HERODIANI TECHNICI

RELIQUIAE.

COLLEGIT DISPOSUIT EMENDAVIT EXPLICAVIT
PRAEFATUS EST

AUGUSTUS LENTZ.

TOMI II
FASCICULUS PRIOR

RELIQUA SCRIPTA PROSODIACA PATHOLOGIAM ORTHOGRAPHICA CONTINENS.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXVIII.

HERODIANI TECHNICI

RELIQUIAE.

COLLEGIT DISPOSUIT EMENDAVIT EXPLICAVIT
PRAEFATUS EST

AUGUSTUS LENTZ.

TOMI II
FASCICULUS PRIOR

RELIQUA SCRIPTA PROSODIACA PATHOLOGIAM ORTHOGRAPHICA
CONTINENS.

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXVIII.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

Cum auctor ampli huius et admirabilis operis subita morte abriperetur, totus liber scriptus in manibus redemptoris erat. Imo ipsorum indicum iam partem ab auctore scriptam invenimus, qua quales eos esse voluerat patebat, scilicet ita amplos et accuratos, ut in libro ipso, qui paene Thesaurus quidam factus est doctrinae grammaticae veterum, unumquodque verbum facile reperiretur. Et exhibebitur eiusmodi index lectoribus, docti et strenui viri diligentia confectus. Sed quia secundum volumen largiter instructum excrescere videmus, melius visum duos eius fasciculos facere, ut primus iam nunc editus documento esset, post auctoris obitum rem sine mora et intermissione procedere potuisse, et ne in correctione quidem, cuius de difficultate in eiusmodi opere intelligentes recte iudicabunt, detrimentum cepisse, cum huic quoque muneri contigerit ut et scientia et diligentia parem virum nancisceremur.

K. Lehrs.

TOMI II

FASCICULUS PRIOR

RELIQUA SCRIPTA PROSODIACA PATHOLOGIAM ORTHOGRAPHICA CONTINENS.

ΗΡΩΔΙΑΝΟΥ
ΠΕΡΙ ΚΥΡΙΩΝ ΚΑΙ ΕΠΙΘΕΤΩΝ ΚΑΙ ΠΡΟΣΗΓΟΡΙΚΩΝ ΜΟΝΟΒΙΒΛΟΝ.

1.

Schol. ad Eurip. Hippolyt. 408: Ἡρωδιανὸς ἐν τῷ μονοβίβλῳ περὶ κυρίων καὶ ἐπιθέτων καὶ προσηγορικῶν λέγει εἶναι τὰς πρῶτον πορνευσάσας θυγατέρας Εὐρυπύλου, οὐ τοῦ Κῴου, ἀλλὰ ἄλλου τινός. ἔστι δὲ τὰ ὀνόματα αὐτῶν Μορφὴ καὶ Κλυτή. ὡς φιλόσοφος δὲ συμβάλλει τοῦτο, ὅτι εὐγενεῖς καὶ πλούσιαι κατήρξαντο τῆς πορνείας, οὐ μόνον ἐκ τοῦ ὑπερτρυφᾶν, ὅπερ τὸν ἔρωτα προκαλεῖται, ἀλλὰ καὶ ἐκ τοῦ μὴ ἐπιζηλωθῆναι τὸ ἁμάρτημα ἐξ εὐτελοῦς τινος γινόμενον. Ante ἐπιζηλωθῆναι inseruit μὴ Heathius; fortasse ἂν post ἐπιζηλωθῆναι excidit.

*2.

Ep. Cr. I 277, 29: Μοῦσα: ἀπὸ μιᾶς αἱ πᾶσαι λέγονται. Μνασέας δέ φησιν, ὅτι αἱ πᾶσαι τρεῖς εἰσιν, Μοῦσα, Θεά, Ὑμνώ. ἐν μὲν οὖν Ἰλιάδι μεμνῆσθαι τῆς Θεᾶς «μῆνιν ἄειδε Θεά». ἐν δὲ Ὀδυσσείᾳ τῆς Μούσης «ἄνδρα μοι ἔννεπε Μοῦσα», ἐν δὲ τῇ Παλαμηδείᾳ τῆς Ὑμνοῦς. ἀλλ' ὁπότε οὐκ ἔστι κύριον, ὥσπερ καὶ τὸ χάρις καὶ κύριον ὄνομα καὶ τὸ πρᾶγμα, ζητήσεις· τὸ μὲν γὰρ προσηγορικὸν θεά, εἶτα μοῦσα, εἶτα ἑκάστης τὰ κύρια·

Κλειώ τ' Εὐτέρπη τε Θάλειά τε Μελπομένη τε (Hesiod. theog. 77).

ὥστε τὸ μὲν προσηγορικὸν εἶναι γενικὸν τὸ θεά, τὸ δὲ εἰδικώτερον προσηγορικὸν τὸ μοῦσα· οὐ γὰρ ἐπιθετικά· ὥσπερ πάλιν θεά, εἶτα μοῖρα, εἶτα «Κλωθώ τε Λάχεσίς τε καὶ Ἄτροπος» (Hesiod. theog. 218 et 905)· πάλιν αὖ θεά, εἶτα χάριτες, εἶτα Πασιθέη καὶ ὅσα ἐστὶν ὀνόματα. καὶ πάλιν καθόλου μὲν ἰχθῦς, εἶτα κεστρεύς, ὄρνις, εἶτα ἀετός, ὥστε εἶναί τι καθολικὸν προσηγορικόν, εἶτα εἰδικώτερον προσηγορικόν, εἶτα τὸ κύριον. ἐκ τοῦ μοῦσα καὶ μοισῶ ῥῆμα παρὰ Συρακουσίοις. Ἀργεῖοι δὲ λέγουσι μόνσα, Αἰολεῖς μοῖσα, ὧν ἐστι Πίνδαρος. Ἀττικοὶ δὲ καὶ Ἴωνες καὶ Συρακούσιοι μοῦσα, Λάκωνες μῶσα καὶ οἱ μεταγενέστεροι Λάκωνες ἄνευ

---

l. 26 pro Θέμις scripsi θεά, l. 27 εἶτα ante ἀετός inserui. — l. 29 Ἀργεῖοι pro Ῥηγῖνοι et l. 29 μόνσα pro μοῦσα scripsi cum Ahrensio de dial. Dor. 106

τοῦ ϲ̄ μῶα καὶ ἡ γενικὴ τῶν πληθυντικῶν μωϲᾶν παρὰ Λάκωϲι, παρὰ δὲ Cαπφοῖ μοιϲᾶν· τὸ Ἰωνικὸν μουϲέων, τὸ Βοιωτικὸν μωϲάων, τὸ Ἀργεῖον μονϲᾶν. τὸ μοῦϲα δὲ παρὰ τὸ μῶ, ὅ ἐϲτι τρίτηϲ ϲυζυγίαϲ, ϲημαντικὸν τοῦ ζητῶ. ἡ μετοχὴ μῶν, τὸ θηλυκὸν μοῦϲα· εἰϲ ϲα δὲ τρία ἔχομεν τὴν ου̅ δίφθογγον παραληγόμενα ὑπὲρ δύο ϲυλλαβὰϲ καὶ μετὰ διϲϲοῦ τοῦ ϲ̄ αἴθουϲϲα Ἔμπουϲϲα καὶ Cυράκουϲϲα· διϲύλλαβα δὲ οὐκ ἔχομεν ὅμοιον τῷ μοῦϲα ὑπάρχον. τὸ γὰρ λεγόμενον Cοῦϲα οὐδέτερόν ἐϲτι πληθυντικὸν ἐπὶ πόλεωϲ τεταγμένον.

Περὶ ἐπιθέτων ἐπὶ κυρίων τεθέντων.

Il. Pr. C 39, Arcad. 28, 10, Choer. Dict. 352, 19: τὸ Νημερτήϲ καὶ Ἀψευδήϲ παρὰ τῷ ποιητῇ (C 46) «Νημερτήϲ τε καὶ Ἀψευδὴϲ καὶ Καλλιάναϲϲα» κύρια γινόμενα τὴν αὐτὴν τάϲιν ἐφύλαξε.

Arc. 27, 11: τὰ εἰϲ ηϲ̄ ἐπίθετα παρὰ ῥῆμα ϲύνθετα εἰϲ ουϲ̄ ποιοῦντα τὴν γενικὴν ὀξύνεται, εὐϲεβήϲ, εὐλαβήϲ, θεοφιλήϲ, αὐτοϲφαγήϲ, πολυδευκήϲ, Πολυδεύκηϲ δὲ τὸ κύριον βαρύνεται.

Arc. 27, 17, Il. Pr. Π 57, Epim. Cr. I 159, E. M. 435, 40: τὰ εἰϲ ηϲ̄ κύρια ἀπὸ τῶν εἰϲ οϲ οὐδετέρων βαρύνεται, Δημοϲθένηϲ, Διογένηϲ, ὅϲοιϲ δὲ κυρίοιϲ εἰϲ ηϲ̄ λήγουϲι βαρυτόνοιϲ ϲυνθέτοιϲ παράκειται ἐπιθετικά, ταῦτα ὀξύνεται, Διογένηϲ διογενήϲ, Πολυνείκηϲ πολυνεικήϲ, Εὐρυϲθένηϲ εὐρυϲθενήϲ· οὐ μάχεται τὸ Εὐμενήϲ· οὐ γὰρ πάντωϲ τὰ μὲν κύρια ἀεὶ βαρύνεται, τὰ δὲ ἐπιθετικὰ ὀξύνεται, ἀλλ' εἴ που βαρύνεται τὸ κύριον, τὸ ἐπιθετικὸν ὀξύνεται.

Arc. 37, 5: ϲκαιόϲ τὸ ἐπίθετον, Cκαῖοϲ τὸ κύριον.

Arc. 43, 28: Παλαῖοϲ τὸ κύριον, παλαιόϲ δὲ τὸ ἐπίθετον.

Il. Pr. B 842: τοῦ Πύλαιοϲ τὴν πρώτην ὀξυτονητέον πρὸϲ ἀντιδιαϲτολὴν τοῦ τοπικοῦ καὶ τὸν Ἑρμῆν τὸν Πύλαιον.

Il. Pr. N 791, Arcad. 43, 14: Ἀθηναῖοϲ· τὸ δὲ Ἀθήναιοϲ κύριον προπαροξύνεται εἰϲ διαϲτολήν.

Arc. 39, 15, Eustath. 890: τὰ διὰ τοῦ διοϲ̄ προπαροξύνεται, εἰ μὴ τριϲύλλαβα ὄντα τριβράχεα εὑρεθῶϲι καὶ παροξύτονα πρὸϲ ἀντιδιαϲτολὴν κυρίων καὶ ἐπιθέτων ὥϲπερ ἔχει τὸ Ῥοδίοϲ ποταμόϲ (Il. Pr. M 20) καὶ Cχεδίοϲ καὶ Ὀδίοϲ.

---

not. 4. Eidem debentur l. 1 μωϲᾶν pro μωϲάων, l. 2 μοιϲᾶν pro μοιϲάων, μωϲάων pro μουϲάων et l. 3 Ἀργεῖον pro Ῥηγῖνον. Theod. Bergk. ad Pind. Ol. I 15 arbitratur Rheginos dixisse Μῶϲα antiquitatis veteris tenaciores, nam descendere Musarum nomen a Lydorum voce μωῦϲ ἡ γῆ Hes. sive μῶϋ τὸ ὕδωρ Hes. — l. 6 tria nomina αἴθουϲϲα Ἔμπουϲϲα καὶ Cυράκουϲϲα addidi monitu Lehrsii ad Mon. 12, 28.

Arc. 40, 5: Ὅσα ἀπὸ τῶν εἰς ξ ἢ ρ γίνεται διὰ τοῦ ι βραχέος, προπαροξύνεται, εἰ μὴ διαστολὴ κυρίου γένοιτο ἐν τρισυλλάβοις καὶ τριβραχέσιν ὥσπερ Φρυγίος Φλογίος.

Il. Pr. Ζ 24, Arc. 40, 21: σκότιος ὡς λόγιος. τὸ γὰρ κύριον πρὸ τέλους ἔχει τὴν ὀξεῖαν.

Arc. 41, 19: τὸ Τυχίος, Φρυγίος, Πλυτίος, Κλυτίος, Σκυφίος παροξύνεται ὡς κύρια.

Il. Pr. Β 495: Κλονίος παροξύνεται, ἐπεὶ τὰ εἰς ος λήγοντα τῷ ι παραληγόμενα, τριβράχεα, ἐπὶ κυρίων παροξύνεται, Σχεδίος, Δολίος, ἀντιπίπτει τό Ἅλιος κατὰ τὴν παράδοσιν καὶ Κρόνιος καὶ Ξένιος (Χρομίος et Ἄνιος quae non adiective usurpantur, omisi).

Arc. 46, 17: Γόργος τὸ κύριον, γοργός δὲ τὸ ἐπίθετον.

Arc. 46, 22: ἀργός τὸ ἐπιθετικόν, τὸ μέντοι Ἄργος βαρύνεται.

Arc. 49, 1: Ξοῦθος τὸ κύριον βαρύνεται.

Il. Pr. Υ 72: σῶκος: ἐριούνιος Ἑρμῆς. Τυραννίων ἀξιοῖ ὀξύνειν, ἵνα ἀποφύγοι τὸ κύριον βαρυνόμενον «ὦ Σῶχ' Ἱππάσου υἱέ» (Il. Λ 450) ὥσπερ ἐπὶ τοῦ λευκός, γλαυκός. οὐκ ἔστι δὲ ὅμοιον τοῖς προκειμένοις κοινοῖς ἐπίθετον, ἀλλὰ ἴδιον τοῦ Ἑρμοῦ ὥσπερ καὶ τοῦ Ἀπόλλων βαρυνόμενον τὸ Φοῖβος. διό βαρυτονητέον ὁμοίως καὶ αὐτῷ τῷ κυρίῳ.

Arc. 50, 6, Steph. B. s. v.: Γραικός ὁ Ἕλλην ὀξυτόνως, τό δὲ Γραῖκος κύριον βαρύνεται.

Theogn. 62, 15, Ep. Cr. I 436, 8, E. M. 816, 22: Χῶλος βαρυτόνως ὄνομα κύριον ὥσπερ καὶ τό Πῶλος ὄνομα, χωλός δὲ ὁ τοὺς πόδας βεβλαμμένος.

Arc. 52, 22: Ἴλλος τό κύριον βαρύνεται, ἰλλός δὲ ὁ διεστραμμένος.

Arc. 53, 15: Μύλλος ποιητὴς κωμικός, τὸ δὲ μυλλός ἐπίθετον, Κύλλος τό κύριον, οὗ μέμνηται καὶ Ἀριστοφάνης καὶ Κρατῖνος ἐν Μαλθακοῖς (Mon. 11, 17), τὸ δὲ κυλλός ὀξύνεται ὡς ἐπιθετικόν.

Arc. 56, 5 coll. Steph. B. s.: Αἰολία: Αἴολος τὸ ἐθνικόν ὁμοφώνως τῷ οἰκιστῇ ὡς Θετταλός Ἰταλός. τὸ δὲ αἰόλος εἴτε κύριον εἴτε ἐπίθετον παροξύνεται.

Arc. 56, 16 et 57, 6: ἀγκύλος τὸ ἐπιθετικόν παροξύνεται, τὸ δὲ Ἄγκυλος κύριον προπαροξύνεται.

Arc. 63, 10: Φᾶνος τὸ κύριον βαρύνεται, τὸ μέντοι ἐπιθετικὸν φανός ὀξύνεται.

Arc. 64, 25, Mon. 8, 32, Il. Pr. Φ 142: ὀξυτονητέον τό Ἀκεσσαμενός, ἵνα ὄνομα γένηται, οὕτως δὲ ἔχει καὶ Δεξαμενός Τισαμενός.

Arc. 66, 9: τό Κόρωνος κύριον, τό δὲ κορωνός ἐπίθετον.

Arc. 66, 22: Λάμπος κύριον, λαμπός δὲ τὸ ἐπίθετον.

Arc. 69, 10: Χλῶρος τὸ κύριον βαρύνεται. Theogn. 70, 7: Πῶρος ὄνομα κύριον, πωρός ὀξυτόνως.

Arc. 70, 3: Φροῦρος τὸ κύριον, φρουρός τὸ ἐπίθετον.

Arc. 73, 20: Φαῖδρος τὸ κύριον, φαιδρός δὲ ὁ λαμπρὸς ὀξύνεται.

Arc. 74, 19: πυρρός τὸ ἐπίθετον, Πύρρος δὲ τὸ κύριον.

Arc. 74, 5: Τευκρός τὸ ἐπίθετον, Τεῦκρος δὲ τὸ κύριον.

Arc. 74, 28: Ἔρυθρος τὸ κύριον προπαροξύνεται.

Il. Pr. Π 415: Ἀμφοτερός: εἰς διαστολὴν τὸ κύριον ὀξυτόνως ἀνέγνω ὁ Ἀρίσταρχος ὡς δεξιτερόν· καὶ ἐπείσθησαν οἱ γραμματικοί. περὶ δὲ τῆς τοιαύτης ἀνωμαλίας τοῦ ἀνδρὸς ἐν ἑτέροις ἡμῖν εἴρηται.

Arc. 75, 17: βλαισός τὸ ἐπιθετικὸν ὀξύνεται, τὸ μέντοι Βλαῖσος κύριον βαρύνεται.

Il. Pr. Ο 445: Κλειτός ὄνομα κύριον. ὀξυντέον δὲ ὁμοίως τῷ ἐπιθέτῳ, ἐπειδὴ κόσμου ἐστὶ τὸ ἐπίθετον.

Arc. 78, 14, Theogn. 74, 15: Κλῆτος ὄνομα ποταμοῦ, κλητός δὲ ἐπιθετικόν.

St. B. 398, 2 Mein.: Κύρτος πόλις Αἰγύπτου. ὁ τόνος τοῦ μὲν ἐθνικοῦ ὀξὺς ὁμοφώνως τῷ πάθει (sc. κυρτός), τοῦ δὲ κυρίου βαρὺς ὡς κόστος πόντος.

Arc. 81, 10: Μένετος τὸ κύριον, μενετὸς τὸ ἐπίθετον.

Arc. 81, 12: Αἴνετος τὸ κύριον, αἰνετὸς τὸ ἐπίθετον.

Il. Pr. Ρ 37, Arc. 81, 24, Theogn. 75, 10, Eustath. 1474, 15: ἀρητός τὸ ἐπίθετον ὀξύνεσθαι θέλει, τὸ δὲ κύριον Ἄρητος βαρύνεται.

Arc. 80, 3: Ἔρατος τὸ κύριον, ἐρατὸς ὁ ἐπιθυμητικός.

Arc. 82, 18: Ἔρυτος Ἄνυτος κύρια ὄντα βαρύνεται.

Arc. 84, 15: Σόφος τὸ κύριον, σοφός δὲ τὸ ἐπίθετον.

Arc. 87, 18, Schol. Arist. Lysistr. 266: Φιλοῦργος ὡς πανοῦργος ὄνομα κύριον, ἐὰν δὲ ὀξυτόνως, ἐπίθετον.

Arc. 101, 6: τὸ γλυκερά ὀξύνεται, εἴτε κύριον εἴτε ἐπιθετικὸν εἴη.

Arc. 101, 14: τὸ γλαφυρά ὀξύνεται εἴτε ὄνομα πόλεως εἴη εἴτε ἐπίθετον.

Arc. 103, 19: θοή τὸ ἐπίθετον, Θόη δέ τὸ κύριον.

Arc. 106, 3: Ξάνθη βαρύνεται.

Il. Pr. Β 739: Ὀρθή ὀξυτόνως· ἐπιθετικῶς γὰρ τέτακται.

Steph. B. s. v.: Ἀγάθη πόλις — Τιμοσθένης δὲ ἐν σταδιασμῷ Ἀγαθὴν τύχην αὐτήν φησιν. εἰ δ' οὕτως λέγοιτο, καὶ ὀξύνοιτ' ἂν ὡς ἐπιθετικόν ὡς τὸ Ἡραῖον τεῖχος καὶ Ἥραιον καὶ Ἑρμαῖος λόφος καὶ Ἕρμαιος.

Arc. 106, 11, Il. Pr. Σ 39: τὸ Γλαύκη ἐβάρυνεν ὁ Ἀρίσταρχος εἰς ἀποφυγὴν τοῦ ἐπιθετικοῦ τοῦ «γλαυκὴ δέ σ' ἔτικτε θάλασσα» (Il. Π 34).

St. B. s. Θεσσαλία: τὸ Θεττάλη δρᾶμα Μενάνδρου βαρύνεται παρὰ τοῖς Ἀττικοῖς εἰς ἰδιότητα τεθέν.

Il. Pr. Ι 150: Ἱρήν· Ἀρίσταρχος ὀξύνει ὁμοίως τῷ ἐπιθετικῷ Ἱρήν· εἰσὶ δὲ οἳ βαρύνουσιν εἰς ἰδιότητα ὥσπερ ἐδηλώσαμεν ἐπὶ τοῦ «Ῥίπην τε Στρατίην τε» (Il. Β 606). ἡ δὲ αὐτὴ ἀναλογία ἐχώρει καὶ

ἐπὶ τῶν εἰς ος. καὶ πάλιν ὡς ἐπ' ἐκείνων ἐλέγομέν τινα ὁμοτόνως μένειν, οὕτως καὶ ἐπὶ τούτων. καί ἐστιν ὁρίσασθαι τὰ μείναντα ὅτι ἐπαίνων ὀνόματά ἐστιν, οὐκ ἀναστρέφοντος τοῦ κανόνος· οὐ γὰρ τὰ ἐπὶ ἐπαίνου μένει. καὶ τῶν μὲν τρεπόντων ἀρητή Ἀρήτη, τῶν δὲ μεινάντων Πινυτή «μήτηρ πινυτή» (Od. υ 131 cf. Arc. 114, 10), Ἀγαυή (Arc. 103, 10). οὕτως καὶ Ἱρή.

Il. Pr. Β 592: ἐΰκτιτον Αἰπύ: Ἀρίσταρχος ὡς ὀξύ. συγκατατίθεται δὲ αὐτῷ καὶ Ἀπολλόδωρος· Φερεκύδης δὲ ὁ Ἀθηναῖος τὸ μὲν ἐΰκτιτον κύριον ὄνομα παρέλαβε, τὸ δὲ αἰπύ ἐπίθετον. ἐκ δὲ τοῦ ἐναντίου τινὲς τὸ μὲν ἐΰκτιτον ἐπίθετον, τό δὲ αἰπύ κύριον, ἐπεὶ καὶ ἐν ἄλλοις (Il. Λ 711) εἴρηκεν «ἔστι δέ τις θρυόεσσα πόλις, αἰπεῖα κολώνη», ὃ νῦν εἴρηκεν Αἰπύ καὶ ὡς ἴδιον γενόμενον βούλονται βαρυτονεῖν. Πτολεμαῖος δέ φησι μὲν κύριον εἶναι τὸ Αἰπύ, οὐ μὴν συγκατατίθεται τῷ τόνῳ, φάσκων ὡς ὅτι πολλαὶ πόλεις ὁμοφωνοῦσι προσηγορικοῖς, Ἕλος, Αἰγιαλός. χρὴ μέντοι γινώσκειν, ὅτι ἀναλογωτέρα ἀνάγνωσις ἦν ἡ βαρεῖα. τὰ γὰρ εἰς υ μονογενῆ οὐδέτερα βαρύνεται, πῶϋ, μέθυ. ταῦτα ἐν τῇ προσῳδίᾳ κτλ.

Περὶ προσηγορικῶν ἐπὶ κυρίων τεθέντων.

Mon. p. 9: Χελιδών Χελιδόνος εἴτε τὸ ὄρνεον εἴτε ὁ περὶ τελετῶν γράψας.

Steph. B. s. Βιστονία: χιτών πρός διαστολὴν ὀξύνεται τοῦ κυρίου καὶ ποταμοῦ καὶ τό κροτών τὸ ζωΰφιον πρὸς ἀντιδιαστολὴν τοῦ τῆς πόλεως ὀνόματος.

Arc. 20, 1: τὰ εἰς ηρ ἐθνικὰ ἢ κύρια μὴ συνεμπίπτοντα τοῖς προσηγορικοῖς βαρύνεται. τὸ μέντοι Ἐλευθήρ ὀξύνεται ὡς τὸ Ἀστήρ (sc. συνεμπῖπτον προσηγορικῷ) Lehrs Arist. p. 291 ed. II.

E. M. 509, 57: τὸ Κηδέστης τὸ κύριον ὄνομα βαρύνεται ὡς Θυέστης, Ὀρέστης, τὸ δὲ κηδεστής ὀξύνεται ὡς προσηγορικόν.

Il. Pr. Ρ 40: Φρόντιδι ὡς Ἤλιδι: οὕτως Τυραννίων καὶ ἐπείσθη ἡ παράδοσις. ὁ μέντοι κανὼν ὀξυτονεῖ τὸ φροντίς. τὰ γὰρ εἰς τις κτλ. οὕτως οὖν καὶ φροντίς, εἰ μὴ ἄρα, εἰ κύριον τοῦτο, καὶ βαρυτονηθήσεται κτλ.

E. M. 539, 20: Κρῖος ὄνομα Τιτᾶνος παρὰ τὸ κεκρίσθαι. προπερισπᾶται πρὸς ἀντιδιαστολὴν τοῦ κριός τοῦ προσηγορικοῦ. ὁ δὲ Ἀρίσταρχος καὶ τό κύριον ὀξύνει κτλ.

Arc. 56, 11: κρωβύλος προσηγορικὸν καὶ κύριον.

Il. Pr. Ω 566, Arc. 51, 8: φυλακός ὁ φύλαξ, Φύλακος δὲ τὸ κύριον.

Il. Pr. Π 234, Mon. 11, 24: φελλός τὸ προσηγορικόν, Φέλλος τὸ κύριον.

Il. Pr. C 319: σκύμνος ὡς ὕμνος εἰς ἰδιότητα ἀνεγνώσθη· τὸ μέντοι ἀνδρωνυμικὸν ὀξύνεσθαι θέλει ὁ Ἀσκαλωνίτης πρὸς διαφοράν. ὁ μέντοι λόγος συναγωνίζεται τῇ βαρείᾳ τάσει· τὰ γὰρ εἰς νος λήγοντα κτλ. — οὕτως ἄρα καὶ σκύμνος.

Eustath. 1825: Ἰκτῖνος: Ἡρωδιανὸς ἱστορεῖ ὅτι Ἰκτῖνος παρὰ Ἀττικοῖς οὐκ ἄσημος δημιουργὸς ὁμώνυμος τῷ ὄρνιθι, οὗ καὶ τὴν περισπωμένην φυλάσσει ἐν τῇ παραληγούσῃ.

E. M. 492, 20: καρπός ὀξύνεται, πρὸς δὲ ἀντιδιαστολὴν ἐβαρύνθη τὸ Κάρπος κύριον ὄνομα.

Steph. B. s. Γαληψός E. M. 219, 46: σκινδαψός ὀργάνου ὄνομα καὶ κύριον.

Steph. B. s. v.: Στρατία βαρυτόνως Ἀρκαδικὴ πόλις. Ὅμηρος «Ῥίπην τε Στρατίην τε καὶ ἠνεμόεσσαν Ἐνίσπην». βαρυτονητέον δὲ τὰ ὀνόματα εἰς ἰδιότητα. τρία σημαίνει ἡ στρατία, τὴν πόλιν καὶ τὸ σύστημα τοῦ στρατοῦ μετὰ τῆς αὐτῆς γραφῆς, ἀλλὰ τόνου διαφόρου. ὀξύνεται γὰρ τὸ δηλωτικὸν τοῦ συστήματος, τοῦ τῆς πόλεως βαρυνομένου. τὸ δὲ ἀξίωμα ἡ στρατεία καὶ διὰ διφθόγγου καὶ βαρύνεται.

Arc. 104, 29: κραυγή, Κραύγη δὲ τὸ κύριον.

Arc. 105, 7: λαλαγή, Λαλάγη δὲ κύριον.

Arc. 106, 19: ἀκή ἡ ἡσυχία ὀξύνεται, Ἄκη δὲ τὸ κύριον βαρύνεται.

Il. Pr. B 695: Φυλάκη βαρυτονητέον πρὸς ἀντιδιαστολὴν τοῦ ὀξυνομένου.

Arc. 110, 15: τὸ τιμή προσηγορικὸν ὀξύνεται, Τίμη δὲ τὸ κύριον.

Arc. 113, 10: πομπή παρὰ τὸ πέμπω ὀξύνεται, τὸ δὲ Πόμπη κύριον ὂν παροξύνεται.

Steph. B. s. v.: Ῥίπη Ἀρκαδικὴ πόλις. βαρύτονον.

Arc. 103, 1: παραψυχή τὸ προσηγορικόν, Παραψύχη δὲ τὸ κύριον.

Arc. 115, 24: λόγχη, τὸ δὲ Λογχή κύριον.

Theogn. 122, 25: Χώριον ἡ πόλις, ἐπὶ γὰρ ὑποκοριστικοῦ παροξύνεται.

ΕΚ ΤΩΝ ΗΡΩΔΙΑΝΟΥ
ΠΕΡΙ ΔΙΧΡΟΝΩΝ.

Καθόλου τὰ τρία δίχρονα τὰ ἐκ cυναλοιφῆς ἐκτείνεcθαι θέλει, 282 Cr.
ἀέκων ἄκων, κρέαα κρέα, κέραα κέρα· εἰ μέντοι ἀποκοπήν τινα δέξεται τῆς τα cυλλαβῆς, τοῦ κέρατα κέρα, καὶ κρέατα κρέα, cυνεcταλμένον ἐcτὶ τὸ δίχρονον. Θέτιι Θέτι,

πάντα Θέτι καλλιπλοκάμῳ (C 407).

μήτιι μήτι,

μήτι δ' ἡνίοχος περιγίγνεται (Ψ 318).

ἱερεύς ἱρεύς, βότρυες βότρυς, νέκυες νέκυς.

Πᾶν ὄνομα μονοcύλλαβον ἀπαθὲς εἰς ν̄ λῆγον ἢ εἰς ρ̄ ἢ εἰς c̄, εἴτε θηλυκὸν εἴτε ἀρcενικὸν εἴτε οὐδέτερον, ἀπαραcχημάτιcτον εἴτε παρεcχηματιcμένον ἀρcενικῷ, εἰ ἔχοι δίχρονον, ἐκτείνειν αὐτὸ θέλει, ὡς ἔχει τὸ πᾶν, πᾶς, Γρᾶς, Πράς, κράς, λίς, κίς, μῦς, cῦς, | δρῦς, πῦρ, 283
ψάρ, Κάρ. διὸ τὸ τίς cημειούμεθα cυcτελλόμενον τὸ ῐ· τὸ δὲ

cτάδα λίμνην

ἢ

κλάδα χρυcεόκαρπον

οὐχ ἕξει τινὰ εὐθεῖαν cτάς ἢ κλάς. μεταπλαcμοὶ γάρ εἰcι, τὸ

ἐξ ὀρέων ἐπὶ κάρ (Π 392)

κατὰ πάθος. ἀπὸ γὰρ τοῦ κάρη κατὰ ἀποκοπὴν τοῦ η̄ γέγονεν.

Πᾶν εἰς ᾱν λῆγον ἀρcενικὸν ἐπ' εὐθείας ἐκτείνεcθαι θέλει, Παιάν, Τιτάν, Ἀλκμάν, καὶ ὅcα τοιαῦτα.

Πᾶν εἰς ᾱc ἀρcενικὸν βαρύτονον ἐπ' εὐθείας ἐκτείνεcθαι θέλει, εἴτε ὄνομα εἴη εἴτε μετοχή, Αἴας, Δρύας, Θόας, λέξας, γράψας, ποιήcας. διὸ cημειούμεθα τὸ ποιητικὸν προcηγορικὸν «λᾶας ἀναιδής» καὶ μέγας ἐπίθετον. τὸ

δουρὶ δὲ ξυcτῷ μέμηνεν Αἶας (Alcmanis)

καὶ ὅcα τοιαῦτα κατὰ διάλεκτον,

δῆcας ἀλυκτοπέδῃcι (Theogn. 521).

Τὰ εἰς ᾱc ὀξύτονα ὀνόματα διcύλλαβα διὰ τοῦ δος κλινόμενα cυcτέλλεcθαι θέλει, Ἀρκάς, φυγάς, ἐθάς, πολυδειράς.

---

l. 4 «οἷον ἀέκων B et ubique in exemplis citandis». Cram. l. 5 τὰ κέρατα B. l. 12 εἴτε παρεcχηματιcμένον inseruit L. l. 15 τὸ δὲ τὶς B. l. 19 εὐθεῖαν pro ὀξεῖαν monente iam Lob. Parall. 149 dedit Lehrsius. l. 26 pro ποιητικῶς τὸ voluit Lehrsius aut ποιητικὸν aut προcηγορικόν collat. Choer. p. 94, unde etiam verba δουρὶ — Αἶας Alcmanis esse comperimus; equidem utrumque posui. l. 29 pro κατὰ πάθος scripsi, quod Lehrsius voluit, κατὰ διάλεκτον.

Τὰ εἰc αc περιcπώμενα ἀναγκαίωc ἔχει τὸ α μακρόν, ἀλλᾶc, Ἡρᾶc, Βορρᾶc, πελεκᾶc.

Τὰ εἰc ᾰc λήγοντα οὐδέτερα καὶ βαρύνεται καὶ cυcτέλλονται, κρέαc, τέραc, δέπαc, κέραc.

Τὰ εἰc ᾰξ λήγοντα καὶ ἐκτείνει τὸ ᾱ καὶ cυcτέλλει. ὅcα μὲν οὖν διcύλλαβα ὄντα ἔχει πρὸ τέλουc μὴ φύcει μακράν, ἀλλ' ἢ βραχεῖαν ἢ
284 θέcει μακράν, ἀδιάφορον ἔχει τὸν χρόνον τοῦ ᾰ, κόραξ, κόλαξ, φύλαξ, ἄναξ, βόαξ, νέαξ, ὄμφαξ, φόρταξ· εἰ μέντοι ἡ πρὸ τέλουc φύcει μακρὰ εἴη, ἡ δὲ τελευταία cυcτέλλοιτο, γένοc θηλυκὸν ὁρᾶται, πῖδαξ, κλῖμαξ, λεῖμαξ, βῶλαξ. διὸ καὶ τὸ μεῖραξ ἐπὶ θηλυκῷ τιθέμενον εὖ ἂν ἔχοι. οὐκ ἀγνοῶ δὲ ὡc ἔcθ' ὅτε οἱ κωμικοὶ καὶ ἀρcενικῷ γένει τὴν cύνταξιν ποιοῦνται· ἀλλ' εἰκὸc αὐτοὺc θηλυκῇ προcηγορίᾳ cκώπτειν τοὺc παcχητιῶνταc. ὅcα μέντοι ἔχει τὴν πρὸ τέλουc φύcει μακρὰν ἀρcενικὰ ὄντα καὶ τὸ ᾱ θέλει ἔχειν ἐκτεταμένον, ὡc ἔχει τὸ Φαίαξ, θώραξ, οἴαξ, πλούταξ, βώμαξ, κνώδαξ· cημειούμεθα τὸ Γῦναξ καὶ Γῦλαξ ἔχοντα φύcει μακρὰν τὴν παραλήγουcαν καὶ cυcτέλλοντα τὸ ᾰ, εἰcὶ δὲ ταῦτα κύρια ὀνόματα, καὶ τὸ caῦcaξ, φαcὶ δὲ εἶναι τοῦτο ὄcπρεον, καὶ τὸ καύαξ διφορούμενον· τοῦτο γάρ ποτε μὲν cυcτέλλει τὸ ᾰ, ποτὲ δὲ ἐκτείνει αὐτό· ἔcτι δὲ ὄρνεον. Τὰ μέντοι ὑπὲρ δύο cυλλαβὰc ἐκτείνει τὸ ᾱ μὴ ὄντα cύνθετα, ἱέραξ, Ἐπιδαύραξ, ὀρθίαξ, θυμέλαξ. τὰ δὲ cύνθετα βαρύτονα καὶ τὸν τῶν ἁπλῶν χρόνον φυλάττει, Ἀχαρνοφαίαξ, Ἱππῶναξ, Ἀρχεάναξ, ἐριβῶλαξ, πολυπῖδαξ· τὰ δὲ ὀξύτονα cύνθετα cυcτέλλει τὸ ᾰ, διαcφάξ, βλεφαροcπάξ. Τὰ μέντοι μονοcύλλαβα, θηλυκὰ μὲν ὄντα, θέλει cυcτέλλειν τὸ ᾰ, cπάξ, οὕτωc ἡ κύων παρὰ Πέρcαιc, κλάξ, πλάξ, γλάξ, δράξ, ἡ δὲ ῥάξ ἐκτέταται· τὰ δὲ ἐκτεί-

---

l. 2 «φλαcκᾶc addit gramm. Herm. et cod. Par. b.» Cramer. l. 10 ἐπὶ θηλυκοῦ B, D, Draco, reg. Herm. l. 15 «Codd. et regg. Hermanni νώδαξ. Sed κνώδαξ, quod Lud. Dindorf. requirit in Thes., certe apud Draconem eo loco, qui hinc est, p. 18, 25.» Lehrs. — A γλάξ, Cod. Par. γνάξ καὶ cύλαξ, D γνάξ καὶ γώλαξ, reg. Herm. κῦαξ καὶ cῦλαξ, Draco 18, 25 ἄγναξ καὶ γύλαξ, Choer. p. 306, 19 Ὕλαξ Κῆαξ, Lascar. Ὕλαξ Κῦαξ, unde Draco altero loco 51, 10. — Γῦναξ dubium est, Γῦλαξ firmatur Steph. Byzantii testimonio s. Ἀπολλωνία et Γυλάκεια. Lehrsius conferri iubet Lob. Parall. 276. — l. 17 pro caῦcaξ (sic A et B, regg. Herm., D cάνcaξ, Draco 19, 2 caύταξ ἢ caύcaξ) praebet Choer. l. c. cῦαξ φαcηλοειδὲc ὄcπριον, quod iudice Lehrsio collato Lob. Parall. l. c. fortasse rectius est quam caῦaξ, quin Hesych. caύcaκac caseos interpretatur; sed retinuit L. caῦcaξ, quia verba φαcὶ δὲ εἶναι τοῦτο ὄcπρεον (sic A pro ὄcπριον, in D ὄcπρεον [ι]) indicare videntur hoc sibi genus ab aliis aliter explicatum esse. — l. 18 codd. et Draco καύναξ, sed κnύaξ regg. Herm. et Choer., apud quem κάβαξ scriptum est. l. 20 Codd. ABD Par. a θορυβίλλαξ, Par. b θορυβίλαξ, Draco θοριβύλαξ, regg. Herm. θορυμέλαξ; θυμέλαξ emendavit Lob. Parall. l. c. l. 21 pro βαρύνονται scripsit βαρύτονα Lehrs cum BD Par. et Dracone. l. 22 pro Ἀρχαιάναξ cum Lobeckio posuit Ἀρχεάναξ Lehrsius. l. 23 AB διαcπάξ, D διαcπαξ [φ], regg. pr. διαμπάξ, Draco διαcφάξ, quod recepit Lehrs, βλεφαροπάξ praebent ABD et Par. et Draco, βλεφαροcπάξ regg. Herm. l. 24 codd. cτάξ, Draco cπάξ, cuius testem citavit Cramerus Herodotum I 110. — l. 25 κλάξ ut non testatum (cf. Lob. Parall. 94) delendum censet Lehrs.

νοντα τὸ ᾱ ἀρcενικά ἐcτι, βλάξ, κράξ, πτάξ· τὸ δὲ Πράξ ἱcτορεῖται μὲν ἐκτείνεcθαι· ἐγένετο δὲ Ἀχιλλέως ἀπό|γονος, ἔνθεν οἱ Πρᾶκες· 285
cυcτέλλεται δὲ ἔcθ' ὅτε τὸ ᾰ.

Τὰ μέντοι εἰc ιξ μονοcύλλαβα cυcτέλλει τὸ ῐ ἔχοντα δύο cύμφωνα πρὸ τοῦ ῐ, cτίξ, φρίξ, θρίξ. τὸ μέντοι ἴξ καὶ Φίξ ἐκτείνεται. Τὰ μέντοι εἰc ιξ λήγοντα ὑπὲρ μίαν cυλλαβὴν πάντα cυcτέλλει τὸ ῐ. ἐπὶ μέντοι γενικῇ πῇ μὲν φυλάττει τὸ ῐ cυνεcταλμένον, πῇ δὲ ἐκτείνει. καί φαcι τήρηcίν τινα εἶναι τοιαύτην, ὡc τὰ ἔχοντα πρὸ τέλουc μακρὸν ἔχει ἐν τῇ γενικῇ ἐκτεινόμενον τὸ ῑ, φοῖνιξ, βέμβιξ, Τέμμιξ, πέμφιξ, τέττιξ, cκάνδιξ, πέρδιξ, χοῖνιξ. Πτολεμαῖοc δὲ ὁ Ἀcκαλωνίτηc φηcὶν ὡc τῆc πέρδικοc καὶ χοίνικοc γενικῆc ἡ μέcη cυcτέλλεται, πειcθεὶc Ἀριcτοφάνει τῷ γραμματικῷ καὶ τοῖc οὕτω χρηcαμένοιc ποιηταῖc διὰ μέτρον· ἀλλὰ ταῦτα διὰ μέτρον ἐγένετο. ἔcτι γὰρ αὐτὰ εὑρεῖν ἐκτεταμένα πολλάκιc. τὸ μέντοι Θρήϊκοc cυcτέλλει τὸ ῐ, ἔχον διαλλαγήν. λέγεται γὰρ καὶ κατὰ cυναλοιφὴν Θρηκόc. τὸ δὲ ἧλιξ cυνεξῆλθε τοῖc ἔχουcι τὸ λ πρὸ τοῦ ῐ, χόλικοc, ἕλικοc, χάλικοc, κύλικοc. τὸ cύμμιγοc cύνθετόν ἐcτι.

Τὰ εἰc υξ μονοcύλλαβα cυcτέλλει τὸ ῠ, τρύξ, Φρύξ, πτύξ, Cτύξ. Χρόνοc ὁ αὐτὸc καὶ ἐπὶ γενικῆc. Τὰ εἰc υξ διcύλλαβα καὶ αὐτὰ cυcτέλλει τὸ ῠ, φυλάττει μέντοι τὸ ῠ cυνεcταλμένον, ὁπότε τὸ χ ἢ τὸ γ ἐπὶ γενικῆc ἔχει, cτόνυχοc, ὄνυχοc, ὄρτυγοc, ἤλυγοc, δίζυγοc, φάρυγοc, τὸ δὲ κόκκυγοc cυcτέλλουcι καὶ ἐκτείνουcιν. εἰ μέντοι διὰ τοῦ κ ἡ κλίcιc ὑπάρχοι, πῇ μὲν φυλάττει τὸ ῠ cυνεcταλμένον, πῇ δὲ ἐκτείνει. Ἔρυκοc γὰρ cυνεcταλμένωc καὶ | ἄμβυκοc, Βέβρυκοc, κάλυκοc, Γάνυκοc, 286
ἴβυκοc, ἐκτεταμένωc δὲ βόμβυκοc, αἴθυκοc, κήρυκοc. τὸ

κήρυκι Ἠπυτίδῃ (P 324)

διὰ μέτρον φαcὶν ἔχειν cυcτολήν. Τὰ μέντοι εἰc υξ ὑπὲρ δύο cυλλαβὰc ἤτοι cύνθετα ἢ καὶ ἁπλᾶ πρόδηλον ἔχει τὸν χρόνον, ὡc ἐν τῇ κλίcει παραδέδοται.

Τὰ εἰc ιψ μονοcύλλαβα ἐκτείνεται. ὁμοίωc καὶ ἐπὶ γενικῆc. διὸ ἡ λιβόc γενικὴ cημειώδηc· τὰ δὲ ὑπὲρ μίαν cυλλαβὴν cυcτέλλεται. θέλουcι δὲ πεδότριψ ἐκτείνειν, πλανώμενοι ἐκ τοῦ παρ' Ἀρχιλόχῳ

ἄνδρας ἀμφιτρίβας.

---

l. 1 codd. et regg. pros. κλάξ, recte Draco βλάξ. l. 5 propter Cramerum, qui φρίξ semper produci monet, Lehrsius haec de nominativo tantum dicta esse adnotat. — l. 9 βέμβιξ Draco, Cod. Par. et D βέβριξ, B et regg. Herm. βέμβριξ, A omisit hoc vocabulum. Τέμμιξ scripsit Lehrsius collato St. B. pro τέμβριξ vel τέμβιξ, quod praebet cod. Par. b. l. 14 codd. et Draco Θρήϊκες, regg. Herm. Θρήϊκοc, paullo post in A legitur λέγεται γὰρ καὶ Θραϊκόc καὶ Θρεϊκόc καὶ κατὰ cυναλοιφὴν Θρηκόc, in B ὅτι λέγεται καὶ κτλ., ap. Draconem et in reg. Herm. et in D caetera item ut in A, sed Θρηϊκόc pro Θρεϊκόc. Lehrsius, quem secutus sum, omisit verba καὶ Θραϊκόc καὶ Θρεϊκόc. l. 27 pro φαcὶν scribendum videtur Lehrsio φηcίν (sc. Ἡρωδιανόc). l. 28 pro τόνον idem scripsit χρόνον ex regg. Herm. — l. 32 pro παιδότριψ exhibuit Lehrsius πεδότριψ iam ab aliis propositum. — ἐντείνειν praebet A, sed ἐκτείνειν BD, regg. Herm. l. 33 A ἄνδρεc ἐc ἀμφιτρίβαc, B et Par. ἄνδρεc ὡc ἀμφιτρίβαc, D ἄνδραc ὡc ἀμφι-

Τὰ εἰς ᾱψ λήγοντα ὑπὲρ μίαν cυλλαβήν φαμεν cυcτέλλειν τὸ ᾰ, λαῖλαψ. ἐν δὲ μονοcυλλάβοις τὸ δράψ ἐκτείνεται κείμενον παρὰ Ἀριcτοφάνει, καὶ τὸ λάψ παρὰ Ταραντίνοις. ἡ δὲ γράψ καὶ φάψ θηλυκῷ γένει κατακλειόμενα cυcτέλλεται.

Τὰ διὰ τοῦ ᾰνω ῥήματα ὑπὲρ δύο cυλλαβὰς βαρυνόμενα ἔχει τὸ ᾰ cυνεcταλμένον, λιμπάνω, μανθάνω, λανθάνω, λαμβάνω. τὸ μέντοι ἱκάνω καὶ κιχάνω ἄλογον ἔχοντα τὸν πρῶτον χρόνον τοῦ ἀορίcτου ἐκτείνει τὸν δεύτερον.

Τὰ εἰς π̄τ̄ω̄ λήγοντα ῥήματα, εἰ ἔχοι τὸ ῑ πρὸ τοῦ τέλους, cυνεcταλμένον αὐτὸ ἔχει, λίπτω, ἴπτω, χρίπτω· διὸ cημειούμεθα τὸ πίπτω καὶ ῥίπτω.

Τὰ εἰς ν̄ο̄c̄ λήγοντα διcύλλαβα ἐπ' εὐθείας καθαριεύοντος τοῦ ῡ
287 εἰ ἔχει πρὸ τέλους τὸ ῡ ἐκτείνει αὐτό, ὡς ἔχει τὸ | φρυνός, θυνός,
γρυνός καὶ βαρυνόμενον τὸ Κῦνος. τὸ μέντοι πλυνός οὐχ οὕτως ἔχει.

Τὰ εἰς νος λήγοντα ὑπὲρ δύο cυλλαβάς, εἰ παραλήγοιτο τῷ ῡ, πῇ μὲν cυcτέλλει αὐτό, ἐπὰν τὸ c̄ προηγῆται αὐτοῦ, ὡς ἔχει τὸ δεcπόcυνος, θάρcυνος, πίcυνος· τὸ δὲ μόcυνος ἐκτεταμένον ἀπὸ γενικῆς ἐcτι γενόμενον, αἱ δὲ γενικαὶ αἱ διὰ τοῦ νος ὑπὲρ δύο cυλλαβὰς ὑπάρχουcαι εἰ παραλήγοιντο τῷ ῡ ἐκτεταμένῳ παραλήγονται, Φόρκυνος, Πόλτυνος, αἱ μέντοι εὐθεῖαι αὐτῶν cυcτέλλουcι τὸ ῡ. τὰ μέντοι διὰ τοῦ ν̄ο̄c̄ ἐπ' εὐθείας μὴ ἔχοντα τὸ c̄ πρὸ τοῦ ῡ, ὑπὲρ δύο cυλλαβὰς ὄντα, ἐκτείνειν θέλει τὴν πρὸ τέλους, κίνδυνος, εὔθυνος, Πάχυνος, Λάμυνος. διὸ καὶ τὸ βόθυνος ἀναλόγως οἱ Ἀττικοὶ ἐκτείνουcιν· κἂν ὀξύνηται δὲ τοιαῦτά ἐcτι, Μαρνανδυνός, Βιθυνός. τὸ ἄγυνος ἢ ἀνδρόγυνος οὐ μάχεται, cύνθετα γάρ ἐcτι καὶ ἔχει τὸν τοῦ ἁπλοῦ χρόνον, λέγω δὲ τοῦ γυνή, ὅπερ καὶ αὐτὸ ἠλόγητο κατὰ χρόνον· τὰ γὰρ εἰς νη καθαριεύοντα διcύλλαβα, εἰ ἔχοι πρὸ τέλους τὸ ῡ, ἐκτεταμένον αὐτὸ ἔχει, ὡς ἔχει τὸ Βύνη, μύνη, Φρύνη, ὑπεcταλμένου δηλονότι τοῦ γυνή. προcέθηκα δὲ διcύλλαβα, ἐπεὶ τὰ ὑπὲρ δύο cυλλαβάς, διὰ μέντοι τοῦ c̄ῡν̄η̄ ὄντα, ἀεὶ cυcτέλλει τὸ ῠ, βριθοcύνη, ὑποθημοcύνη, καλλοcύνη· εἰ δὲ μὴ ἔχει τὸ c̄ πρὸ τοῦ υ, ἀδιάφορον ἔχει τὸν χρόνον· Δελφύνη γὰρ καὶ χελύνη ἐκτεταμένως, κορύνη δὲ καὶ Ταμύνη cυνεcταλμένως, ὡς τορύνη, Ἀττικοὶ δὲ ἐκτεταμένως.

τρίβας, regg. Herm. ἄνδρες εἰς ἀμφίτριβας. Lehrsius ἄνδρας ἀμφιτρίβας scripsit ὡς ex correcto ε̄c̄ in ἄνδρες ortum ratus, conferri iubet Lob. Parall. 293. — l. 3 μάψ A; λάψ recepit ex BD et regg. Herm. Lehrsius conferens Lob. Parall. 112. — θάψ codd., φάψ regg. Herm. l. 7 pro ἔχει scripsit ἔχοντα et in fine addidit ἐκτείνει τὸν δεύτερον L. — l. 10 ἵπτω AB, ἴπτω D, regg. Herm. et Draco. l. 16 προηγῆται ex reg. Herm. recepit L., codd. προηγεῖται. — l. 18 verba, quae codd. post γενόμενον habent πῇ δὲ ἐκτείνει, cum reg. Herm. omisit Lehrs. l. 22 pro Λάμυνος, quod habet etiam Draco, regg. Herm. λάγυνος. Lehrsius fortasse Λάβυνος scribendum esse dicit, quod ex Etymologicis Parisinis affert Bast. ad Gregor. p. 388 Λάβυνος ὄνομα ποταμοῦ, τὸ βυ μακρόν. — l. 23 post βόθυνος Draco addit λάγυνος. — l. 33 in AD Par. ὡς κορύνη — ὡς τορύνη Draco, in B et regg. Herm. desunt.

Πᾶν εἰς ᾱ λῆγον θηλυκὸν ὀξυνόμενον ἢ περισπώμενον μακρῷ χρῆται τῷ ᾱ, φοβερά, Ἀθηνᾶ.

Πᾶν εἰς ᾰ λῆγον θηλυκὸν προπαροξυνόμενον ἢ προπερισπώμενον 288 συνεσταλμένον ἔχει τὸ ᾰ, Ἀντιόχεια, Μήδεια, ταχεῖα, ὀξεῖα.

Πᾶν εἰς ᾱ λῆγον θηλυκὸν ὄνομα ἔχον πρὸ τοῦ ᾱ ἕν τι τῶν διπλῶν ἢ τὸ ϲ ἢ τὸ ν, μὴ κατὰ πάθος ἢ διάλεκτον, ἔχει τὸ ᾱ συνεσταλμένον, χάλαζα, ἅμαξα, ἀμφίϲβαινα, Λάκαινα, χαρίεϲϲα, μοῦϲα. τὸ δὲ Ἀθηνᾶ καὶ μνᾶ καὶ Δανᾶ καὶ ὅϲα τοιαῦτα ἐϲτὶ κατὰ πάθος, τὸ δὲ Ἑλένα καὶ ὅϲα τοιαῦτα ἐϲτὶ κατὰ διάλεκτον.

Τὰ εἰϲ ρᾱ λήγοντα καθαρόν, εἰ παραλήγοιτο τὸ ῡ, ἀμοιβαῖον ποιεῖται χρόνον· εἰ γὰρ ἐκτείνοιτο τὸ ῡ, τό ᾱ ϲυϲτέλλεται καὶ προπαροξύνεται, ὡϲ ἔχει τὸ ἄγκυρα, Κέρκυρα, ὄλυρα· εἰ δὲ ϲυϲτέλλοιτο τὸ ῠ, τὸ ᾱ ἐκτείνεται καὶ παροξύνεται θηλυκὰ ὑπὲρ δύο ϲυλλαβὰϲ ὄντα, Ἐφύρα, πορφύρα. τὸ οὖν κολλύρα κατ᾽ ἀμφότερα δίχρονα ἐκταθὲν ϲημειῶδεϲ. Τό δὲ αὐτὸ καὶ ἐπὶ τῶν διϲυλλάβων· πυρά ἐκτείνει τό ᾱ, ϲυϲτέλλει δὲ τὸ ῠ, τό τε λύρα καὶ θύρα βαρυνόμενα, τό δὲ ϲφῦρα ἐκτεῖνον τὸ ῡ καὶ ϲυϲτέλλον τὸ ᾰ.

Τά εἰϲ ρα λήγοντα μετ᾽ ἐπιπλοκῆϲ ϲυμφώνου ἐκτείνει τὸ α, ποτίϲτρα, κολυμβήθρα, Ἠλέκτρα, καλύπτρα. ϲημειῶδεϲ οὖν τὸ Τάναγρα καὶ ϲκολόπενδρα.

Τά εἰϲ ᾰ λήγοντα, ὁπότε ἔχει πρὸ τοῦ α διπλοῦν, δίχρονον δέ πρὸ τοῦ διπλοῦ, πάντωϲ ϲυνεϲταλμένον αὐτὸ ἔχει, γάζα, μύζα, ὄρυζα, φύζα, δίψα, ϲχίζα, ῥίζα· ὅθεν ϲημειῶδεϲ τὸ μᾶζα ἐκτεῖνον τὸ πρὸ τοῦ διπλοῦ ᾱ.

Τὰ παρώνυμα τὰ διὰ τοῦ αια παραγόμενα ἐκ θηλυκῶν εἰϲ ᾱ ἢ εἰϲ η ἐκτεταμένον ἔχει τὸ α, ϲεληναία, ἁμαξαία, ἀναγκαία, ἀρχαία. ὅθεν ἐχρῆν καὶ τὸ γαῖα ἐκτείνεϲθαι, χωρίϲ εἰ μὴ ἡ ποϲότηϲ τῶν | ϲυλλαβῶν 289 ποιεῖ ϲυνεϲταλμένον τὸ ᾰ· τοιαῦτα γὰρ τὰ διϲύλλαβα, γραῖα, μαῖα.

Τά εἰϲ ᾰ λήγοντα καθαρὸν ϲυνεϲταλμένον, ὁπότε ἐϲτίν ὑπὲρ δύο ϲυλλαβάϲ, τὴν πρὸ τέλουϲ ἔχει φύϲει μακράν, Μήδεια, Θάλεια, Πηνελόπεια, εὔνοια, εὔχροια, ὑπεϲταλμένων τῶν πρὸ τέλουϲ ἐχόντων τὴν τρι ϲυλλαβήν, οἷον ποιήτρια, μεϲήτρια, ὁδηγήτρια, ὀρχήϲτρια, αὐλή-

l. 14 pro ϲφύρα scripsit Lehrsius Ἐφύρα. — l. 25 verba ἐκ θηλυκῶν εἰϲ ᾱ ἢ εἰϲ η̄ inseruit et in fine canonis apposuit γραῖα, μαῖα ex Excerpto ap. Cram. An. Ox. III 267: λέγει ὁ Ἡρωδιανὸϲ ἐν τῷ περὶ διχρόνων ὅτι τὰ διὰ τοῦ αια γεγονότα ἐκ θηλυκῶν πρωτοτύπων ληγουϲῶν εἰϲ α ἢ εἰϲ η μακρὸν ἔχουϲι τὸ α, οἷον ἅμαξα ἁμαξαία, ϲελήνη ϲεληναία, οὐρά οὐραία (sic Lehrs pro ἄρουρα ἀρουραία). πλὴν τοῦ γαῖα. μήποτε οὖν διὰ τὴν βραχυϲυλλαβίαν διηλλάγη (pro ἐνηλλάγη L.)· τοιαῦτα γὰρ καὶ τὰ διϲύλλαβα τὰ μὴ ὄντα παρώνυμα οἷον γραῖα (pro αἶρα L.), μαῖα. l. 29 et 30 sic leguntur in AD, ap. Draconem (p. 20 et 65), in regg. Herm. In B sic: τὰ εἰϲ ᾱ λήγοντα καθαρὸν ϲυνεϲταλμένον ἔχουϲι τὸ ᾱ, ὁπότε ἐϲτὶν ὑπὲρ δύο ϲυλλαβὰϲ καὶ τὴν πρὸ τέλουϲ ἔχοιεν φύϲει μακράν. l. 31 in AB post εὔχροια exstant: τὰ εἰϲ α λήγοντα καθαρὸν ϲυνεϲταλμένον ἔχουϲι τὸ α ὁπότε ἔχουϲι πρὸ τέλουϲ τὴν τρῑ ϲυλλαβήν, quae exhibui, dedit Lehrsius ex D, Dracone et reg. pros. l. 32 nomina μεϲήτρια, ὁδηγήτρια reperiuntur in solo B, in quo Lehrsio propter colorem recentiorem et Christianum potius accessisse quam in ceteris effluxisse videntur.

cτρια, μαθήτρια. παράλογος οὖν ὁ πρὸ τέλους χρόνος τοῦ πότνια, ὄμπνια, Πολύμνια, Ἰάμνια, Λάμια. ὅcα γὰρ ἔχει πρὸ τέλους τὸ ῑ ὑπὲρ δύο cυλλαβὰς ὄντα μὴ διὰ τοῦ τρια, οὐκ ἐν cυcτολῇ ἔχει τὸ ᾱ, ἀλλ' ἐκτάcει, κακία, φιλία, κοπία, ἐcχατιά. τοῦ οὖν πότνια καὶ ὄμπνια καὶ τῶν τοιούτων ἢ ἡ πρὸ τέλους ἠλάττωται ἢ ἡ ἐπὶ τέλους.

Πᾶν εἰς ᾱ λῆγον οὐδέτερον ἑνικὸν cυνεcταλμένον ἔχει τὸ ᾱ, βῆμα, αἷμα, ποίημα, νόημα. τὸ τοίνυν κάρα ἐκτεινόμενον ἐξ ἀποκοπῆς ἐcτι τοῦ κάρανον.

Τὰ εἰς αρ λήγοντα ὑπὲρ μίαν cυλλαβὴν ἐπὶ παντὸς γένους cυcτέλλει τὸ α, μάκαρ, δάμαρ, ὄαρ, θέναρ, φρέαρ, cτέαρ. Ἀττικοὺς δέ φαcιν ἐκτείνειν τὸ cτέαρ καὶ φρέαρ.

Τὰ εἰς cᾱ λήγοντα θηλυκὰ εἴτε ἐπὶ ὀνομάτων εἴτε καὶ ἐπὶ μετοχῶν, εἰ ἔχοι τὴν πρὸ τέλους cυλλαβὴν εἰς δίχρονον καταλήγουcαν, πάντως ἐκτεταμένον αὐτὸ ἔχει, πᾶcα, πτᾶcα, φῦcα, δῦcα, Τῖcα, Κρῖcα, κνῖcα· οὐκ ἀγνοῶ δὲ ὅτι Πίcαν εἶπε τὴν πόλιν κατὰ cυcτολὴν Πίνδαροc. εἰ μέντοι εἰς cύμφωνον λήγει ἡ πρὸ τέλους cυλλαβή, τὸ δίχρονον cυcτέλλεται, θάλαccα, ἄναccα, πίccα, νύccα, λύccα.

290 Πᾶν εἰς ᾱν λῆγον οὐδέτερον τὸν χρόνον ἔχει τοῦ ᾱ τοῦ | κατὰ τὴν γενικὴν τοῦ ἀρcενικοῦ, τάλανος τάλαν, μέλανος μέλαν, cτάντος cτάν, βάντος βὰν. ποιητικῶς γὰρ ἐκτέτατο

ἵνα μὴ τὸ γῆρας ἐπαναβὰν αὐτὸν λάθῃ.

ἐπεὶ οὖν παντὸς φαμὲν κατὰ cυcτολὴν καὶ πὰν ὀφείλομεν λέγειν κατὰ cυcτολήν, ὥcπερ Αἰολεῖς καὶ Δωριεῖς ἀποφαίνονται. ἡ μέντοι παρ' ἡμῖν ἔκταcις τοῦ ᾱ καὶ παρὰ τοῖς Ἀττικοῖς καὶ παρὰ τοῖς Ἴωcιν ἀφορμὴν ἔχει τὸν τόνον. διὰ γὰρ τὸ δέξαcθαι τὴν περιcπωμένην τοῦ πᾶς ἀρcενικοῦ ἐκτείνει τὸ ᾱ. ὅταν μέντοι τὸ πᾶν διcυλλάβως λέγηται, τότε ἕξει τὸ ᾱ cυνεcταλμένον, cύμπαν, ἅπαν. εὕρηται παρ' Ἀθηναίοις ἐκτεῖνον τὸ α.

Τὰ εἰς ᾱν λήγοντα ἐπιρρήματα ἐκτείνουcι τὰ ᾱ, ἄγαν, λίαν, πέραν, εὐάν, ὑπεcταλμένου τοῦ πάμπαν. τὸ γὰρ ὅταν δύο μέρη λόγου ἐcτί, ὅτε καὶ ἄν. τὸ δὲ τάλαν ὀνοματικόν ἐcτι.

Τὰ εἰς ᾱ λήγοντα θηλυκὰ παρεcχηματιcμένα ἀρcενικοῖς, ὁπότε μιᾷ cυλλαβῇ τοῦ ἀρcενικοῦ πλεονάζει, cυcτελλόμενον ἔχει τὸ ᾱ, ταχὺς ταχεῖα, Κρής Κρῆccα, ἱερεύς ἱέρεια, τάλας τάλαινα, Κίλιξ Κίλιccα. Ἀττικοὶ μέντοι ἐκτεταμένως ἱερείαν ἀποφαίνονται.

Τὰ εἰς οc λήγοντα ὁπότε ἔχει θηλυκὸν εἰς ᾱ λῆγον πάντα ἔχει

---

l. 2 pro ἴμνια λάμνια scripsit Lehrsius Ἰάμνια Λάμια collat. Epim. Cr. I 370, 22. Post ὅcα Lehrsius posuit γάρ, adnotans in codd. et reg. pros. nullam particulam esse, ap. Draconem δέ. — l. 3 μὴ διὰ τοῦ τρια addidit Lehrs, l. 4 pro κοπία codd. et Paris. praebent regg. Herm. cκοπία, Draco cκοπιά. — l. 5 pro καὶ ἡ bis Lehrsius posuit ἢ ἡ. l. 12 εἰς cα scripsit L. pro εἰς α. l. 14 δῦcα ap. Lehrsium excidit. l. 30 A ἐάν, BD et Par. εὔαν eo accentu, qui praescribitur etiam ab Io. Al. 37, 27, Draco εὐάν, scripsi εὐάν approbante Lehrsio cf. Uhlig. Mus. Rhen. XIX p. 37.

ἐκτεταμένον τὸ α, Ῥόδιος Ῥοδία, Κνίδιος Κνιδία. cημειῶδες ἄρα κατὰ χρόνον τὸ:

δῖα γυναικῶν,

ὁμοίως δὲ καὶ τὸ ἴα,

οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος οὐδ' ἴα γῆρυς (Il. Δ 437),

ὅπερ λέγεται καὶ μία, καὶ τὸ πέπειρα. |

Αἱ εἰς c̄ λήγουσαι μετοχαὶ ἀρσενικαὶ ἤτοι βραχυκατάληκτοί εἰσιν, 291
ὡς αἱ εἰς ο̄c̄ λήγουσαι, τυπτόμενος, λεγόμενος, ἢ μακροκατάληκτοι, ὡς αἱ
μὴ οὕτως ἔχουσαι, πεποιθώς, διδούς, βιούς· εἰ δὲ εἰς δίχρονον λήγουσιν, ἐκτεταμένον αὐτὸ ἔχουσιν, ἱστάς, βιβάς, ζευγνύς, δύς, φύς.

Πᾶν εἰς ccων λῆγον συγκριτικόν, εἰ ἔχει δίχρονον ἐν τῇ πρὸ τέλους συλλαβῇ, συνεσταλμένον αὐτὸ ἔχει, πάσσων, μάσσων, βράσσων, γλύσσων. σεσημείωται τὸ θάσσων καὶ ἐλάσσων ἐκτείνοντα τὸ δίχρονον.

Τὰ εἰς ω̄ν̄ λήγοντα καθαρὰ συγκριτικά, ὁπότε παραλήγοιτο τῷ ῑ, ἐκτεταμένῳ αὐτῷ παραλήγονται, καλλίων, ἡδίων, βελτίων, γλυκίων, κακίων. Ἀριστοφάνης δὲ ἐν Ἀττικαῖς λέξεσιν Ἀττικοὺς ἱστορεῖ προφέρεσθαι ἐκτεταμένως.

Πᾶσα αἰτιατικὴ ἀπαθὴς εἰς ᾱ λήγουσα συστέλλεσθαι θέλει, Ἀλκμᾶνα, ποιμένα, Ἕκτορα, θώρακα, Αἴαντα, Ἀχιλλέα, βασιλέα. Ἀττικοὶ μέντοι ἐκτείνουσι τὰς ἀπὸ τῶν εἰς εῡc̄, Ἀτρέα λέγοντες καὶ ἱερέα. πρόσκειται δὲ ἀπαθὴς διὰ τὸ χοᾶ καὶ Ἐρετριᾶ καὶ Πειραιᾶ καὶ Στειριᾶ.

Τὰ διὰ τοῦ αριον ὑποκοριστικὰ παρὰ τοῖς παλαιοῖς Ἕλλησι συστέλλει τὸ α, ἱππάριον, φυτάριον, ἡ μέντοι νῦν συνήθεια ἀπὸ τῆς τῶν Ῥωμαίων διαλέκτου πολλὰ ἐπίσταται διὰ τοῦ αριον ἐκτεταμένα, σουδάριον λέγουσα καὶ κελλάριον.

Τὰ διὰ τοῦ ινη παραγωγὰ ὑπὲρ τρεῖς συλλαβὰς μονογενῆ φιλεῖ
ἐκτείνειν τὸ ῑ, Αἰητίνη, ἰατρίνη, θριδακίνη, ἡρωΐνη, Ὠκεανίνη, χωρὶς
τοῦ εἰλαπίνη καὶ τοῦ Μολυβδίνη, ἔστι δὲ ὄνομα πόλεως. ὑπὲρ τρεῖς
συλλαβὰς ἔφην διὰ τὸ σατίνη, ἔστι δὲ εἶδος ἅρματος, καὶ τὸ Ἀσίνη,
ἔστι δὲ ὄνομα πόλεως, καὶ τὸ μυρσίνη, οὐκ ἐκείνου ἀποφαινομένου ὡς
τὸ τρισύλλαβον | συστέλλει τὸ ῐ. πολλάκις γάρ ἐστι τὰ ἐκτείνοντα τὸ ῑ, 292
ὡς ἔχει τὸ δωτίνη, ὑσμίνη, πυτίνη.

Τὰ εἰς ν̄ο̄c̄ λήγοντα δισύλλαβα ὀξύτονα καθαρεύοντος τοῦ ν̄, εἰ ἔχοιεν ἐν τῇ πρὸ τέλους τὸ ᾱ, ἐκτεταμένον αὐτὸ ἔχουσι, δανός ὁ ξηρός, τρανός, μανός. τοῦτο δὲ παρὰ τοῖς Ἀττικοῖς συστέλλεται.

Πᾶν δίχρονον ἔχον διπλασιασμὸν ἀμεταβόλου ἐπιφερομένου συστέλλεσθαι θέλει, Πράξιλλα, Τελέσιλλα, ἄμμος, Κόριννα, θύννος, ἄλλος, πυρρός. παραλόγως οὖν ἐκτέτατο τὸ μᾶλλον.

Τὰ διὰ δύο c̄c̄ παραγωγὰ ῥήματα ὑπὲρ δύο συλλαβὰς βαρύτονα

l. 7 pro αἱ εἰς ο̄c̄ scr. αἱ εἰς c. — l. 8 in A ὡς αἱ μὴ οὕτως ἔχουσαι δίχρονον, in regg. Herm. desunt αἱ μὴ οὕτως ἔχουσαι, sed exstant πεποιθώς — λήγουσιν. — l. 12 codd. et Draco κράσσων, regg. Herm. βράσσων. — l. 16 λέξεσιν pro διαλέξεσιν emend. L. — l. 31 sic A; BD, Drac., reg. Herm. τὰ τρισύλλαβα.

ὅτε ἔχει δίχρονον πρὸ τέλους συστελλόμενον αὐτὸ ἔχει, ἀράσσω, πατάσσω, χαράσσω, ἀλλάσσω, ἀφύσσω. δῆλον οὖν ὅτι καὶ τὸ θαάσσω ὀφείλει τὸ ᾰ συστελλόμενον ἔχειν. τὸ δὲ ἐλασσῶ περισπᾶται παρὰ τὸ ἔλασσον γενόμενον. διὸ βαρύτονα πρόσκειται.

Τὰ διὰ τοῦ αζω δισύλλαβα συστέλλει τὸ ᾰ, ὑπεσταλμένων τῶν Αἰολικῶν, διὰ τὸ πτάζω καὶ πλάζω, ὅθεν ἐπιπλάζω ἀντὶ τοῦ ἐπιπλήσσω. ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· στάζω, φράζω, βάζω, σφάζω. παρὰ λόγον ἄρα τὸ κράζω ἐκτέταται. καὶ τὰ ὑπὲρ δύο συλλαβὰς ἔχει συνεσταλμένον τὸ α, χωρὶς εἰ μὴ ἔχοι πρὸς τῷ ᾱ τὸ ῑ, διὰ τὸ ματᾴζω, σφαδᾴζω. ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· σκιάζω, ἐνθουσιάζω, ἀγοράζω. τινὲς δὲ ἐκτείνουσι τὸ

ὅδ' ἀγοράζει κλεῖδ' ἔχων

τουτέστιν ἐν ἀγορᾷ διατρίβει, πρὸς ἀντιδιαστολὴν τοῦ ἑτέρου, λέγω δὲ τοῦ ὠνεῖσθαι.

293 Τὰ εἰς ζε λήγοντα ἐπιρρήματα, ὁπότε ἔχει πρὸ τέλους τὸ | ᾰ, συνεσταλμένον αὐτὸ ἔχει, Ἀθήναζε, θύραζε, Θήβαζε, ἔραζε. τὸ μέντοι χαμᾶζε ἐκτείνει τὸ ᾰ καὶ προπερισπᾶται.

Τὸ ᾰ ἔχον ἐν τῇ δευτέρᾳ συλλαβῇ τὸ ξ ἢ τὸ ψ μὴ ἐν ῥηματικῇ κλίσει φιλεῖ συστέλλεσθαι, ἄξων, ἄξιος, ἀξίνη, ἀψίς, ἄψεα, Ἄψυρτος, ἀψευδής· τὸ δὲ

ᾶξον δὴ ἔγχος Διομήδεος (Ζ 306),

καὶ τὸ κρᾶξον ἐκτεταμένον ἔχουσι τὸ α. διὸ ἔφην μὴ ἐν ῥηματικῇ κλίσει.

Τὸ α πρὸ τοῦ ζ ἐν ὀνόμασι συστέλλεται, γάζα, χάλαζα, ἀζηχές, μαζός· σεσημειωμένου τοῦ μᾶζα καὶ Ἀμαζών καὶ ἀλαζών.

Τὰ εἰς νος λήγοντα δισύλλαβα μετ' ἐπιπλοκῆς συμφώνου εἰ ἔχοι πρὸ τέλους ἕν τι τῶν διχρόνων συνεσταλμένον αὐτὸ ἔχει, καπνός, θαλπνός, ἁγνός, ἀμνός. τὸ αὐτὸ καὶ ἐπὶ τῶν ὑπὲρ δύο συλλαβάς, ἀλαπαδνός, ἀκιδνός, ὀλοφυδνός· τὸ μέντοι στρυφνός οἱ Ἀττικοὶ ἐκτείνουσι τὸ ῡ.

Τὰ διὰ τοῦ ιμος παραγωγὰ ὑπὲρ δύο συλλαβὰς συνεσταλμένον ἔχει τὸ ῐ, κύδιμος, ὠφέλιμος, ὤκιμος· τὸ μέντοι ἄτιμος ἐκτεῖνον τὸ ῑ συνθετόν ἐστιν. οὕτως δὲ ἀξιοῦται καὶ τὸ βούλιμος ἐκτείνεσθαι κατὰ τὴν δευτέραν συλλαβὴν συνθέτου ὑπάρχοντος τοῦ ὀνόματος· ἀντὶ γὰρ τοῦ ὁ μέγας λιμός. καὶ τὸ ἴφθιμος δὲ ἐκτείνει τὸ πρὸ τέλους ῑ.

Τὰ δὲ διὰ τοῦ ινος ὑπὲρ δύο συλλαβὰς ὀξυνόμενα, κατὰ καιροῦ ἢ χρόνου παραλαμβανόμενα, συνεσταλμένον ἔχει τὸ ῐ, ἐαρινός, χειμε-

---

l. 6 ὅθεν ἐπιπλάζω inseruit Lehrsius, ἀντὶ τοῦ recepit ex Drac., D et reg. Herm. l. 19 codd. ἀψίς, reg. Herm. ἀψίς, codd. ἄψεα, reg. Herm. ἄψυια, Lehrs ἄψεα. l. 24 ἀζηγές AB et Par., D ἀζηχές, Draco ἀζηγές et ἀζηχές, l. 32 Draco p. 104 habet ὤκιμος καὶ ὤκιμον, quod Lehrsio significare videtur ὤκιμος esse alteram formam pro ὤκιμον. l. 33 ἐκτείνεσθαι pro ἐκτείνειν ex B recepit Lehrsius, Draco et AD habent ἀξιοῦται ἐκτείνειν, reg. pros. ἀξιοῦσι ἐκτείνειν. l. 37 συνεσταλμένον excidit ap. Lehrsium et paullo post ἡμερινός ὀπωρινός.

ρινός, νυκτερινός, ἑωθινός, πρωϊνός, ἡμερινός, ὀπωρινός. παρὰ μέντοι τῷ ποιητῇ κατ' ἔκτασιν ἀναγινώσκομεν τοῦτο ἐπιζητοῦντος τοῦ μέτρου·

ὡς δ' ὅτ' ὀπωρινὸς βορέης (Φ 346),| 294

καὶ πάλιν

ἀστέρ' ὀπωρινῷ ἐναλίγκιον (Ε 5).

Τὰ εἰς μα δισύλλαβα τῷ ῡ παραληγόμενα συστέλλειν αὐτὸ θέλει, πλύμα, χύμα, ῥύμα, φύμα, θύμα, λύμα, διὸ σημειούμεθα τὸ κῦμα μόνως ἐκτεινόμενον. ἱστοροῦσι μέντοι Ἀττικοὺς τὸ λῦμα ἐκτείνειν καὶ τὸ φῦμα.

Τὰ εἰς ρος λήγοντα ὀξύτονα, ὅτε ἔχει τὴν τρίτην ἀπὸ τέλους ἤτοι θέσει μακρὰν ἢ φύσει, πάντως ἔχει τὴν πρὸ τέλους μηκυνομένην. εἰ δὲ ἡ πρὸ τέλους εἴη βραχεῖα, καὶ ἡ τρίτη ἀπὸ τέλους. βλαβερός, φανερός, ῥυπαρός, ὀχυρός, καπυρός, ἱερός. τὸ γὰρ ἐκτεῖνον τὸ ῑ ποιητικόν ἐστι· κρατερός, τὸ γὰρ καρτερός ὑπέρθεσιν ἔχει. τὰ μέντοι ἔχοντα τὴν πρὸ τέλους τρίτην μακράν, ὡς ἔφην, ἔχει καὶ τὴν πρὸ τέλους μακράν, ποιηρός, ἀτηρός, ἀλγηρός, πνιγηρός, ἀνθηρός, τολμηρός, ἰσχυρός. ὅθεν ἐπεὶ τὸ ἁλμυρός ἔχει τὴν τρίτην ἀπὸ τέλους μακρὰν ὑγιῶς ἕξει καὶ τὴν πρὸ τέλους μακράν. ἀναλογώτεροι οὖν οἱ Ἀττικοὶ ἐκτείνοντες αὐτό. παρὰ μέντοι τῷ ποιητῇ ἀνέγνωμεν «ἁλμυρὸν ὕδωρ» (δ 511). ἀντιπίπτει τὸ πενθερός μακρὰν ἔχον τὴν τρίτην ἀπὸ τέλους, βραχεῖαν τὴν πρὸ τέλους. ἀλλ' οὖν γε εἴρηται πενθηρός τὸ ἐπίθετον διὰ τοῦ η, ὥσπερ ἐπὶ ἱματίου μέλανος,

Α. φέρ' αὔτ' ἀνύσας. Β. ἀλλ' ἔστι πενθηρὸν πάνυ·

οὕτως γὰρ ἔφη Ἀναξίλας. οὐκ ἀναστρέφει ὁ κανών. οὐ γὰρ πάντως τὰ ἔχοντα πρὸ τέλους μακρὰν ἔχουσι καὶ τὴν τρίτην μακράν· ἰδοὺ γὰρ πονηρός, τυχηρός.

Τὸ ᾰ ἡ στέρησις συστέλλεσθαι θέλει, ἄκακος, ἄσεμνος, ἄφιλος. τὸ γὰρ ἀθάνατος καὶ ἀκάματος ἐξέτειναν τὸ α διὰ | τὰς ἐπαλλήλους τέσσαρας βραχείας, αἵ τινες ἄθετοί εἰσιν εἰς ἡρωϊκὸν μέτρον. 295

Πᾶν οὐδέτερον εἰς ος λῆγον δισύλλαβον, ἔχον πρὸ τέλους τὸ ᾰ, συνεσταλμένον αὐτὸ ἔχει, ὁπότε μὴ κατὰ διάλεκτον εἴη, ἄχος, δάος,

δάος μετὰ χερσὶν ἔχουσα (ψ 294),

φάος, χάος, σάκος, βάρος, πάθος, κράτος, θράσος. ὅθεν καὶ τὸ φάρος συστέλλον τὸ ᾰ, ὡς παρὰ Σοφοκλεῖ ἐν Κρίσει σατυρικῇ

---

l. 6 ἀστέρ' pro ἀστέρι Lehrsius adnotans Herodianeum esse ΑΣΤΕΡΟΠ — l. 7 hunc canonem ab epitomatore valde mutilatum esse explicate exposuit Lehrsius, qui hic et ῥῦμα et κνῦμα memorata fuisse et omnino ab Herodiano expositum esse suspicatur accurate a communi usu quid veteres poetae et strictius, quid Atticorum mos discesserit cf. etiam Lobeck. Parall. p 417 seqq. — l. 17 pro πονηρός Draco recte praebet ποιηρός cum D. l. 23 τὸ ἐπίθετον addidit Lehrsius adnotans excidisse aliquid, quo significaretur exceptionem in πενθερός eo excusabilem esse, quod esset προσηγορικόν. l. 30 pro ἐν ἡρωϊκῷ μέτρῳ scripsi, quod Herodianum scripsisse putat Lehrsius.

καὶ δὴ φάρει τῷδ' ὡς ἐμῷ καλύπτομαι

καὶ ἐν Τηρεῖ

σπεύδουσαν αὐτήν· ἐν δὲ ποικίλῳ φάρει

ἀναλογώτερόν ἐστι τοῦ ἐκτείνοντος τὸ α, ὡς παρ' Αἰσχύλῳ ἐν Σαλαμινίαις

ἐμοὶ γένοιτο φᾶρος ἴσον ἐν οὐρανῷ.

τὸ πρᾶγος παρὰ τὸ πρήσσω καὶ πράσσω γενόμενον συνεκτεινόμενον ἔσχε τῷ ῥήματι τὸ ᾰ. πρόσκειται δὲ ὁπότε μὴ κατὰ διάλεκτον εἴη διὰ τὸ μῆκος μᾶκος.

Τὰ εἰς λοc λήγοντα δισύλλαβα ὀξύτονα, ὁπότε ἔχει πρὸ τέλους δίχρονον, τοῦτο ἔχει ἢ ἐκτεινόμενον δι' ἑαυτοῦ ἢ διὰ συμφώνου μεγεθυνόμενον. καὶ τὰ μὲν διὰ συμφώνων μεγεθυνόμενά τὰ τοιαῦτά ἐστι, κυλλός, μαλλός, θαλλός, τὰ δὲ δι' ἑαυτῶν τὰ τοιαῦτα, ψιλός, χυλός, δαλός, βαλός, οὕτως ὁ βαθμός καὶ ἐν τῇ τραγῳδίᾳ καὶ ἐν τῇ κωμῳδίᾳ. |
296 ἐχρῆν οὖν καὶ τὸ καλός ἢ βοηθεῖσθαι συμφώνῳ ἢ αὐτόθεν ἐκτείνεσθαι· ὑγιὴς οὖν ἡ ἔκτασις παρὰ τῷ ποιητῇ.

Τὰ εἰς σι λήγοντα ῥήματα τὴν πρὸ τέλους ἔχει φύσει μακράν, ἑστήκασι, βεβασιλεύκασι, τετύφασι, γεγράφασι, νενοήκασιν. οἱ μέντοι ποιηταὶ πολλάκις ἐπὶ τούτοις συστολὰς ποιοῦνται, ὡς παρὰ Ξενοφάνει

ἐξ ἀρχῆς καθ' Ὅμηρον ἐπεὶ μεμαθήκασι πάντες,

καὶ πάλιν

ὁππόσα δὴ θνητοῖσι πεφήνασιν εἰσοράασθαι,

καὶ παρ' Ἀντιμάχῳ

οἱ δὲ πάροιθε πόνοιο νενεύκασιν ἄλλος ἐπ' ἄλλῳ,

καὶ παρὰ Ὁμήρῳ

τιμὴν δὲ λελόγχασι (λ 304).

τοιοῦτο δὲ καὶ τὸ

ἀμφὶ δὲ δένδρεα μακρὰ πεφύκασι (η 114),

καὶ ἕτερα πλεῖστα.

Τὸ ἐκτεινόμενον ᾱ ἐπὶ πληθυντικῶν αἰτιατικῶν οἱ Δωριεῖς συστέλλουσι, ναῦτας, Σκύθας.

Τὰ διὰ τοῦ ᾱροc ὀξύτονα συστέλλει τὸ ᾱ, μαδαρός, χαλαρός, ῥυπαρός, καὶ ὅσα ἄλλα ἐστὶ τοιαῦτα. χρὴ οὖν καὶ τὸ ἀνιαρός συστέλλειν τὸ ᾱ. δηλονότι τὸ νομιζόμενον Ἴωσιν ἀνιηρός πρότερόν ἐστι, καὶ λοιπὸν τὸ ἀνιαρός ὡς ἐδέξατο τροπὴν Ἰωνικὴν ἔμεινεν ἐκτεινόμενον.

Τὸ ᾱ πρὸ τοῦ β ἀεὶ θέλει συστέλλεσθαι, εἰ μὴ κατὰ διάλεκτον εἴη γενομένη τροπὴ ἐκ τοῦ η̄ εἰς ᾱ, ὡς ἔχει τὸ ἡβήσομεν ἀβάσομεν, ἄνηβος
297 ἄναβος. ἔστω οὖν μαρτυρία τοῦ | συνεσταλμένου α βλάβος, βλάβη,

l. 28 nunc in Od. η 114 legitur: ἔνθα δὲ δένδρεα μακρὰ πεφύκασι τηλεθόωντα.
l. 31 pro ναύτας cum Lehrsio scripsi ναῦτας, quamquam de accentu dubitari potest propter Schol. ad Θ 378. — l. 35 Ἰωνικὴν ex τὴν ἐκ τοῦ η ortum esse suspicatur Lehrsius. l. 38 in B μαρτυρία καὶ ὑποδείγματα, ap. Drac. ἐστιν οὖν παραδείγματα.

Ἄβυδος, στραβός, Ἄβος, Λάβδακος, ῥάβδος, ἁβρός. οὐ μάχεται τὸ ἆ βάλε ἐκτεῖνον τὸ α. δύο γὰρ μέρη λόγου εἰσί. 297

Τὸ ᾱ ἐπιφερομένου τοῦ μ συστέλλεσθαι θέλει κατ' ἀρχήν, εἰ μὴ διαλέκτῳ εἴη κατὰ τροπὴν γενόμενον, ὡς ἐπὶ τοῦ ἡμέρα ἁμέρα. ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· ἀμύσσω, ἅμαξα, ἀμνός, ἅμιλλα, ἀμάρα, ἀμύμων. σημειούμεθα τὸ ἀμῶ ῥῆμα ἐκτεινόμενον καὶ τὸ

ἀμητὸς δ' ὀλίγιστος (Τ 223)

παρ' αὐτὸ γενόμενον.

Τὸ α ἐπιφερομένου τοῦ σ̄, ᾧ ὑποτέτακται ἄφωνον, συστέλλεσθαι θέλει, ἄσθμα, ἀσπίς, ἄστυ, Ἀσκληπιός, ἀσχάλλω, ἄσβολος, ἀσκός. οὕτως ἄρα ὀφείλει καὶ τὸ ἀσκήσας καὶ ἀσκηθείς.

Ἡ αρ συλλαβὴ ἄρχουσα, ἀσυνάλειπτος οὖσα, ἐπιφερομένου συμφώνου μὴ τοῦ δ, συστέλλεσθαι θέλει, ἄρβηλος, ἄρκευθος, ἀρκῶ, ἄρκιον, ἄρτος, ἄρχων, ἀργής, Ἄργυννος. τὸ ἀργός ἐκτεινόμενον ἐκ τοῦ ἀεργός ἐστι συναληλιμμένον· τὸ δὲ δ ἐφυλαξάμην, ἐπεὶ τὸ μὲν ἄρδις συστέλλεται, τὸ δὲ ἄρδω ἐκτείνεται,

τὸν νοῦν ἵν' ἄρδω καὶ λέγω τι δεξιόν (Aristoph. Eq. 96, 114).

καὶ τὸ ἄρδην δὲ ἐκτείνουσιν.

Τὸ ῑ πρὸ τοῦ τ κατ' ἀρχὴν συστέλλεσθαι θέλει, ἴτυς, ἰταμός, Ἰταλός, Ἰταμών (?), [ἴτριον], ἰτέα· τὸ γὰρ ἰτέαι ἐκτέταται ποιητικῶς, ὥσπερ καὶ τὸ

Ἰτωνά τε μητέρα μήλων (Β 696).

Ἰτωνία γοῦν λέγεται. τὸ δὲ Ἰτυμονεύς (Il. Λ 671) ἐκτέταται, ὀφείλει δὲ συστέλλεσθαι διὰ τὸ υ. |

Τὸ ῑ κατ' ἀρχὴν ἐπιφερομένων δύο συμφώνων μὴ κατὰ κλίσιν συστέλλεσθαι θέλει, ἴσχω, ἱστός [ἴκριον], ἴκτινος, Ἴσμαρος, ἴφθιμος. ἐφυλαξάμην δὲ κατὰ κλίσιν διὰ τὸ ἵστανον καὶ ἵστην. 298

Τὸ ῑ κατ' ἀρχὴν ἔχον τὴν δευτέραν συλλαβὴν ἀρχομένην ἀπὸ τοῦ ν, μὴ κατὰ κλίσιν ῥηματικήν, ἐκτείνεσθαι θέλει, Ἰνώ, Ἴναχος, ἰνίον.

---

l. 1 pro ἄβιος, quod ut compositum ab hoc loco alienum est, posuit Lehrsius Ἄβος. l. 2 δύο — εἰσί ex reg. pros. adiecit Lehrsius. l. 10 verbis οὕτως ἄρα — ἀσκηθείς Lehrsius suspicatur Herodianum refutasse grammaticos, qui duplicem vocabuli significationem quantitate distingui vellent. — l. 13 ἄρβηλος ex B dedit Lehrs, D et Drac. ἄρβυλος, A ἄρβυλα. — l. 14 Ἄργυννος pro ἀργινός scripsit Lehrsius. — l. 20 ἰτάμων B, ἰτύμων A, ἰτάμον Par., ἰτάμον D, ἱππάλιον regg. Herm. (ap. Drac. deest). Lehrsius accentu mutato Ἰταμών servavit, quia facile e. g. gentis nomen fuisse potest ut Νασαμών, quamquam facile erat Ἴτανον vel Ἰταμός scribere. — l. 20 ἴτριον uncinis inclusit Lehrsius, quia ab Herodiano positum quidem erat, sed in exceptis, non ut nunc in iis, quae regulam faciunt. — l. 23 Ἰτωνία γοῦν λέγεται addidit L. ex Par. et Drac., idem in fine διὰ τὸ υ adiecit coll. p. 298, 21 (huius edititionis p. 18, 12). l. 26 ἴκριον uncinis inclusit Lehrsius ob eandem causam atque paullo ante ἴτριον. — l. 27 ἵστην recepit ex Drac. Lehrs, in A ἱστὰν καὶ ἱστίον, D ἵστανον καὶ ἱστίων, Par. ἵστανον καὶ ἱστίων, B ἵστανον ὅ ἐστι παρατατικὸς καὶ ἱστίων ὅ ἐστι γενικὴ πληθυντική, reg. Herm. ἴσθανον καὶ τὸ ἱστίον, Drac. ἱστίον, ἵστην. l. 29 Lehrsius Ἰνώ recepit ex Drac. et reg. Herm., codd. ἴνυα.

ἀντιπίπτει τὸ ἵνα εἴτε ἐπίρρημα εἴη εἴτε ϲύνδεϲμοϲ. προϲέθηκα δὲ μὴ ἐν κλίϲει ῥηματικῇ διὰ τὸ ἶναι καὶ ἐξῖναι ἀπαρέμφατα.

Τὰ εἰϲ ω̄ λήγοντα καθαρὰ βαρύτονα ῥήματα, ὑπὲρ δύο ϲυλλαβὰϲ ὑπάρχοντα, εἰ παραλήγοιτο τῷ ῑ, μόνῳ ἐκτεταμένῳ αὐτῷ παραλήγεται, χωρὶϲ εἰ μὴ ϲύνθετα εἴη ἢ κατ᾽ ἔλλειψιν τοῦ ζ̄, κυλίω, ἀλίω, μηνίω, δηρίω, κονίω, ἰδίω. τὸ δὲ ἐϲθίω ϲυϲτέλλει τὸ ῐ. ἐφυλαξάμην δὲ ϲύνθετα διὰ τὸ ἀτίω τήν τε ἔλλειψιν τοῦ ζ̄ διὰ τὸ μαϲτίω. τὸ δὲ δειδίω οὐ ῥητόν. τὸ δὲ κηκίω ἐκ διπλαϲιαϲμοῦ,

πολλὴ δ᾽ ἀνεκήκιεν ἅλμη.

Τὸ ῑ ἐπιφερομένου ἑνὸϲ ϲυμφώνου ἁπλοῦ, ὅπερ ἔχει ὑποταϲϲόμενον ῑ ἢ υ, φιλεῖ ἐκτείνεϲθαι, ὑπεϲταλμένων τῶν κατὰ κλίϲιν, ἶβιϲ, Ἴβυκοϲ, ἰδίω, ἰθύϲ, Ἶριϲ, Ἴλιον, ἰνίον, ἶφι, Ἰτυμονεύϲ. τὸ δὲ ἴτυϲ ϲυϲτέλλει τὸ ῐ. τὸ δὲ ἴθι κλίϲιϲ ῥηματική.

Τὰ εἰϲ ιϲ λήγοντα βαρύτονα ἀεὶ ϲυϲτέλλει τὸ ῐ, εἰ μὴ ϲύνθετα ὑπάρχοι ἐξ ἁπλῶν ἐκτεινόντων τὸ ῑ, κόνιϲ, δῆριϲ, μάντιϲ, ὄρχιϲ, ὄφιϲ,
299 λάτριϲ, ὄρνιϲ, Ἀριϲτοκλῆϲ δὲ ἐν τῷ περὶ διαλέκτων φηϲὶν Ἀττικοὺϲ ἐκτείνειν. προϲέθηκα δὲ εἰ μὴ ϲύνθετα εἴη ἐξ ἁπλῶν ἐκτεινόντων τὸ ῑ διὰ τὸ κνημίϲ εὐκνήμιϲ, ψηφίϲ μελαμψήφιϲ καὶ ὅϲα τοιαῦτα. Τὰ μέντοι ὀξύτονα θηλυκὰ εἰϲ ῑϲ λήγοντα μὴ καθαρεύοντα μεμελέτηκε καὶ ἐκτείνεϲθαι καὶ ϲυϲτέλλεϲθαι. τοῖϲ μὲν οὖν ϲυϲτέλλουϲι τὸ ῑ ἀδιάφοροϲ ἡ πρὸ τέλουϲ εἴτε μακρὰ εἴη εἴτε βραχεῖα, βολίϲ, ῥανίϲ, αἰγίϲ, μηλίϲ, Δωρίϲ· τοῖϲ δὲ ἐκτείνουϲι τὸ ῑ, καὶ μάλιϲτα ἐπὶ διϲυλλάβων, ἡ πρὸ τέλουϲ μακρὰ ὑπῆρχεν ἤτοι φύϲει ἢ θέϲει, κηκίϲ, κηλίϲ, νηϲίϲ, κρηνίϲ, ψηφίϲ, ϲφραγίϲ, ἁψίϲ, βαλβίϲ, φαρκίϲ. τὸ μέντοι καρίϲ καὶ ῥιπίϲ ἡ μὲν κοινὴ ϲυνήθεια ἐκτείνει, ἡ δὲ τῶν Ἀθηναίων διάλεκτοϲ ϲυϲτέλλει. διϲύλλαβα δὲ παρεθέμην, ἐπεὶ ὁρᾶται τριϲύλλαβα βραχείᾳ παραληγόμενα καὶ κατὰ τὴν ϲυνήθη χρῆϲιν καὶ κατὰ τὴν τῶν Ἰώνων ἐκτείνοντα τὸ ῑ· κατὰ δὲ τοὺϲ Ἀττικοὺϲ ϲυϲτέλλονται. πλοκαμίϲ, κεραμίϲ, καλαμίϲ, βλεφαρίϲ, ῥαφανίϲ· τὸ δὲ ἀγαθίϲ ἀεὶ ϲυϲτελλομένωϲ· οὕτω δὲ καὶ ἡ τρυφαλίϲ ϲυϲτέλλεται. Καὶ ἐπίϲταϲιν ἔχει τὸ κληῖϲ ἐκτεινόμενον καὶ καθαρεῦον· τὰ δὲ λοιπὰ πάντα ϲυϲτέλλονται, Λαῒϲ, Ναῒϲ, Θηϲηῒϲ, δμωῒϲ, ἡρωῒϲ, Μινωῒϲ.

Τὰ εἰϲ ροϲ λήγοντα καθαρεύοντα διϲύλλαβα κἄν τε ἀρϲενικὰ κἄν

l. 5 ἢ inseruit Lehrsius, B habet καί. — l. 8 post διπλαϲιαϲμοῦ addit B γέγονεν τριϲύλλαβον. l. 16 διαλέκτου regg. Herm. l. 19 μὴ καθαρεύοντα addit Lehrs. l. 24 ἀψίϲ reg. pr. et Draco p. 45, ἁψίϲ codd. et Drac. p. 23. βαλβίϲ Lehrsius cum Cramero, codd. et Draco p. 23 et 45 βαλλίϲ, reg. pros. βαλίϲ. de καρίϲ conferri iubet Lehrsius notissimum locum Athen. 105. 106, unde idem hic etiam de τευθίϲ, quod Athenaeus etiam longa ultima inventum esse dicit, mentionem factam fuisse suspicatur. — l. 26 τὰ τριϲύλλαβα AB, articulum omittunt recte Draco utroque loco, reg. pros. et D. — l. 27 pro ϲυνήθη habent ϲυνηθείᾳ AB. — l. 28 Codd. et Draco ϲυϲτέλλοντα, ϲυϲτέλλονται reg. pros. l. 30 τρυφαλίϲ per υ codd. et Draco, Eustath. ex Herod. 620, 14 τροφαλίϲ per ο. Caeterum multa hic truncavisse epitomatorem monet Lehrsius. — l. 33 καθαρεύοντα addidit Lehrsius ex D, in reg. pros. καθαρόν.

τε θηλυκά, τῷ ᾱ παραληγόμενα, βαρυνόμενα, μὴ κατὰ Δωρίδα διάλεκτον συστελλόμενον ἔχει τὸ α, οἷον λάρος, γάρος, σκάρος, Cάρος ὁ ποταμός, Πάρος νῆσος, Κλάρος ἡ πόλις. τὸ τοίνυν βᾶρος καὶ Ῥᾶρος παρ' Ἀττικοῖς κατὰ χρόνον σημειώδη. Τά τε ὑπὲρ δύο συλλαβὰς βαρυνόμενα πάμπολλα ὄντα συνεσταλμένον ἔχουσι τὸ α, μὴ ὄντα Δώρια μήτε σύνθετα. ἐπίσταςιν | οὖν ἔχει τὸ ἄγγαρος καὶ Αἴσαρος. τὸ δὲ φλύα- 300 ρος ὀφείλει συστέλλεσθαι.

Τὰ εἰς μος καθαρὰ δισύλλαβα, ἔχοντα τὸ ῡ παραληγόμενον, ὀξύνεσθαι θέλουσι καὶ ἐκτείνειν τὸ υ, οἷον θυμός, χυμός, δρυμός, ῥυμός. εἰ δὲ ὑπὲρ δύο συλλαβὰς ὑπάρχει καὶ προπαροξύνεσθαι θέλουσι καὶ συστέλλουσι τὸ ῡ, εἰ μὴ ἐκ συνθέσεως ὑπάρχει, οἷον ἔρυμος, ἔλυμος, δίδυμος, ἔτυμος ὁ ἀληθής. τὸ δὲ πρόθυμος καὶ τὸ μεγάθυμος καὶ τὰ τοιαῦτα ἐκ συνθέσεως ἔσχον τὸ ῡ.

Τὰ εἰς σος λήγοντα ὑπὲρ δύο συλλαβὰς προπαροξυνόμενα καὶ ἔχοντα πρὸ τέλους τὸ α συνεσταλμένον αὐτὸ ἔχουσι· ταύτῃ μοι δοκεῖ καὶ τὸ Ἴασος τὸ ᾱ συστέλλειν τῷ χαρακτῆρι πεισθέν. ἐπὶ δὲ τῶν ὀξυτόνων τῶν ἐχόντων τὸ α ὁρᾶται καὶ ἡ συστολὴ καὶ ἡ ἔκτασις, ὡς ἐν τῷ Τάμασος καὶ Ἐγγύασος, ἀλλὰ καὶ Κέρασος καὶ Ἔρασος.

Τὰ εἰς τι λήγοντα ἐπιρρήματα, εἰ γένοιτο ἀπὸ τῶν εἰς ζω ληγόντων ῥημάτων ἢ ἀπὸ τῶν εἰς ως ἐπιρρημάτων, συστέλλειν θέλει τὸ ῑ, Ἰαστί, Λυδιστί, Φρυγιστί, Δωριστί, μεγαλωστί, δημιωστί, ἱερωστί, νεωστί. τὸ μέντοι ἀπνευστί καὶ ἀνωιστί παρὰ τὸ ἄπνευστος καὶ ἀνώιστος· τὰ δὲ ἀπὸ τῶν πτωτικῶν οὕτω μηκύνεται· ὡς ἔχει τὸ ἀκονιτί, ἀναιμωτί, ἀκλαυτί, πανθοινί, ἀκριτί, ἀμογητί· τὸ ῑ δὲ ἔσθ' ὅτε καὶ συνεσταλμένον προφέρεται ἀδείᾳ ποιητικῇ,

Νέστωρ δ' ὁ γέρων ἀμογητὶ

καὶ τὰ ἑξῆς (Λ 636). οὕτω δὲ καὶ ἀμισθί,

ἀμισθὶ γάρ σε πάμπαν

Τὰ εἰς υς ἐπιρρήματα εἰ λέγοιτο ἄνευ τοῦ σ δίχρονα, λέγεται, 301 μεσσηγύς μεσσηγύ. τὸ μέντοι ἄντικρυς μεταβαλὸν τὸν τόνον μετέβαλε καὶ τὸν χρόνον.

l. 1 βαρυνόμενα apposuit Lehrsius coll. Mon. 35. — l. 6 ἐπίσταςιν hic ut supra p. 18 l. 30 scripsit Lehrsius pro ἐπίταςιν. l. 11 pro συναιρέσεως hic et paullo post l. 13 scripsit Lehrsius συνθέσεως, in reg. pros. εἰ μὴ σύνθετα, ap. Draconem uno loco p. 68 μὴ ὄντα σύνθετα. — ἔρυμος incertum esse et fortasse potius Εὔρυμος scribendum esse monet Lehrsius laudato Lobeckio Parall. 422. — l. 16 in AB exstant ἐπὶ τῶν ὀξυτόνων τῶν ἐχόντων τό σ̄· ὁρᾶται δὲ καί, in D ἐπὶ γὰρ ὀξυτόνων τῶν ἐχόντων τό σ̄ ὁρᾶται καί, in reg. pros. ἐπὶ γὰρ προπαροξυτόνων τῶν ἐχόντων τό ὁ ὁρᾶται καί, locum emendavit Lobeck. Proll. 407, quem secutus est Lehrsius praeterquam quod pro τὸ σ̄ scripsit τὸ ᾱ.
l. 17 verba ὡς ἐν τῷ Τάμασος (in B Τάμεσος, reg. Herm. τάγμασος) καὶ Ἐγγύασος (reg. Herm. ἔμπνασος) post Lobeckium l. c. Lehrsius corruptissima esse pronunciavit neque certam medelam invenit, suspicatur scribendum esse ὡς ἐν τῷ —ασός, ἀλλὰ καὶ κερασός, Κέρασος δὲ καὶ Ἔρασος καὶ Τάμασος. l. 22 pro παρὰ τοῦ praebent παρὰ τὸ D, Draco p. 37 et 96 et reg. pros. — l. 28 Lehrsius laudat Apollon. de adv. 571 τὸ γοῦν Ἀρχιλόχειον συνεστάλη· ἀμισθὶ γάρ σε πάμπαν οὐ διάξομεν. l. 30 AB μεταβαλὼν τὸν χρόνον μετέβαλε καὶ τὸν τόνον, sic,

Αἱ διὰ τοῦ ῑ μόνου ἐπεκτάσεις ἐν οἱῳδήποτε μέρει λόγου ἐκτεταμένον ἔχουσι τὸ ῑ, ὡδί, ἐνθαδί, νυνί, δευρί. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τῶν ἀντωνυμιῶν, ἐκεινοσί, οὑτοσί.

Πᾶν ῥῆμα εἰς ζω λῆγον ἔχον πρὸ τέλους τὸ ῑ συνεσταλμένον αὐτὸ ἔχει, οἰκίζω, κιθαρίζω, πολεμίζω, ἐλπίζω, σκελίζω. τὸ μέντοι δανείζω διὰ τῆς ει διφθόγγου γράφεται, οὐ μέντοι διὰ ἐκτεταμένου τοῦ ῑ.

ΠΕΡΙ ΠΝΕΥΜΑΤΩΝ.

1.

Theognost. Cr. II 19, 30, Bekk. An. 1428: Πρὸ τοῦ ζ ἢ ξ ἢ ψ τὸ ῡ κατ' ἀρχὴν λέξεως οὐχ εὕρηται, εἰ μὴ ἐν τῷ ὕψος, γεγονέναι δὲ αὐτό φασι παρὰ τὸ ὄπτω τὸ βλέπω, ὄψω ὄψος καὶ τροπῇ Αἰολικῇ ὕψος. οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ πνευμάτων. cf. Mon. 22, 3.

*2.

Cram. Anecd. Paris. I 397, 23: δασύνεται Ἁλαεῖς δρᾶμα Μενάνδρου ἀπὸ τοῦ ἐν Ἁλαῖς Ἀραφηνίαις ὑποκεῖσθαι τὰ πράγματα.

ΠΕΡΙ ΑΤΤΙΚΗΣ ΠΡΟΣΩΙΔΙΑΣ.

1.

Schol. ad Aristoph. Eqq. 487: κραγὸν κεκράξεται: Ἀρίσταρχος ὀξυτόνως ἀντὶ τοῦ κραυγαστικῶς. καὶ Ἡρωδιανὸς ἐν Ἀττικῇ προσῳδίᾳ.

2.

E. M. 804, 11: φωριαμός ἡ κιβωτός· ἢ παρὰ τοὺς φῶρας, ἐπεὶ πρὸς φυλακὴν τούτων κατεσκεύασται, ἢ παρὰ τὸ τὰ φάρη ἔχειν. εἰ μὲν οὖν παρὰ τοὺς φῶρας, οὐδὲν πέπονθεν· εἰ δὲ παρὰ τὰ φάρη τὰ ἐντιθέμενα αὐτῇ, πέπονθε μεταβληθέντος τοῦ α εἰς ω ὡς θᾶκος θῶκος. τὰ διὰ τοῦ ᾱμος τρισύλλαβα ἔχοντα τὴν πρὸ τέλους συλλαβὴν φύσει μακρὰν πάντα μὴ κύρια ὄντα ὀξύνονται χηραμός, οὐλαμός. οὕτως καὶ

ut Lehrsius exhibuit, D. l. 5 codd. ἔχουσι, ἔχει ex reg. pros. Lehrs, idem ex D et reg. pros. κιθαρίζω, codd. καθαρίζω.

l. 14 initio addidi δασύνεται et in fine τὰ πράγματα ex Steph. Byz. s. v. Ἁλαί, pro Ἁλαῖς in codice est ἄλλαις.

l. 22 post κιβωτός verba παρὰ τὰ φάρη ἡ τῶν φαρῶν δεκτική. ἔστι δὲ ὄνομα ἀρσενικόν utpote ab epitomatore inculcata omisi. l. 23 pro φορούμενα posui φάρη ex Epim. Cr. I 430, 7 loco simillimo, ubi explicatiora de trope vocalis α in ῶ exstant, quae libro περὶ παθῶν reservavi. l. 27 μὴ κύρια ὄντα addidi ex Epim., intelleguntur enim Πύραμος Τεύταμος, ut patet ex Il. Pr. Ω 228.

φωραμός καὶ πλεονασμῷ τοῦ ῑ φωριαμός Ἰλιάδος Ω (228). Ἡρωδιανὸς περὶ Ἀττικῶν προσῳδιῶν, τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα. οὐχ ὡς ἀνάλογον, ἀλλ' ὡς Ἀττικόν. ἡ μέντοι συνήθεια ὀξυνόμενον ἔχει.

3.

Cyrilli lexicon Cram. An. Paris. IV 181: εἱλυός: ὀξυτόνως ἡ κατάδυσις τοῦ θηρίου· οὕτω καὶ Ἡρωδιανὸς ἐν τῷ περὶ Ἀττικῶν τόνων βιβλίῳ καὶ μέμφεται τοῖς εἰς τὸ ῑ κατατάττουσι τὴν λέξιν.

---

l. 5 εἱλυός in lemmate pro εἰλός scribendum esse vel literarum ordo monet cf. E. M. 299, 45. l. 7 pro τονόλιος scripsi τόνων βιβλίῳ, ante τὸ ῑ inserui εἰς, reprehendit enim Herodianus eos, qui vocabulum in numorum a simplici ῑ ordientium vocum referunt.

ΕΚ ΤΩΝ ΗΡΩΔΙΑΝΟΥ

ΠΕΡΙ ΟΜΗΡΙΚΗΣ ΠΡΟΣΩΙΔΙΑΣ.

ЄΚ ΤΩΝ ΗΡΩΔΙΑΝΟΥ

ΠЄΡΙ ΙΛΙΑΚΗϹ ΠΡΟϹΩιΔΙΑϹ.

Herodiani Iliaca Prosodia

sic uti a Lehrsio ex reliquiis Codicis Veneti composita est.

ЄΙϹ ΤΗΝ Α.

8. ξυνέηκε: δαςύνεται τὸ ξυνέηκεν. Α.

19. ἱκέςθαι: μέςος ἀόριςτος δεύτερος· διὸ παροξύνεται. Α.

40. Excidit nota de μηρία et μῆρα v. Β 427 et Α 464.

52. θαμειαί: Πάμφιλος λέγει θαμεῖαι ὡς ὀξεῖαι, Ἀρίςταρχος δὲ ὡς πυκιναί· ὁμοίως δὲ καὶ τὸ ταρφειαί. BL.

53. ἐννῆμαρ: ἐχρῆν τὸ ἐννῆμαρ προπαροξύνειν, ὡς παρ' οὐδέτερον ςυγκείμενον. ἀλλ' ὁ τόνος παρηλλάγη, ἐπεὶ καὶ ξένη ἡ ςύθεςις· οὐδὲν γὰρ τῶν εἰς αρ ςυνετέθη οὐδετέρων. Α.

56. ῥα: δαςυντέον τὸ ῥα· πάςης γὰρ λέξεως τὸ ρ ἀρχόμενον δαςύνεται πλὴν τοῦ Ῥᾶρος. BL.

59. Excidit nota de παλιμπλαγχθέντας v. Λ 326, Π 95.

63. μάντιν ἐρείομεν ἢ ἱερῆα ἢ καὶ ὀνειροπόλον: μέχρι τοῦ ἐρείομεν διαςταλτέον, εἶτα ἢ ἱερῆα ἢ καὶ ὀνειροπόλον, ἵνα γενικὸν μὲν ᾖ τὸ μάντιν, εἴδη δὲ τὰ ἐπιφερόμενα. οὕτως Ἡρωδιανός. Α.

63. τὸ ἔςτιν ἐγκλιτικόν ἐςτιν, εἰ μὴ ἄρχεται ἢ μὴ προηγεῖται ἡ οὐ ἀπόφαςις. BL.

65. εἴταρ: οὕτως ὀξεῖα εἰς τὸν εἴ· τὸ γὰρ τάρ ἐςτιν ἐγκλιτικὸς ςύνδεςμος ἐπιφερόμενος. καὶ οὐ δεῖ ἀπόςτροφον βάλλειν εἰς τὸ τ. οὐ γάρ ἐςτιν ὁ τέ ςύνδεςμος· ἐπεφέρετο γὰρ ἂν ἕτερος ςύνδεςμος. Α.

A 19 Lehrsius conferri iubet Ω 551, C 283. 59 ipse apposui. 65 Lehrsius Herodianum εἴταρ ὅγ' εὐχωλῆς ἐπιμέμφεται ἠδ' ἑκατόμβης legisse observat

67. ἀπὸ λοιγὸν ἀμῦναι: τὸ ἑξῆς ἐστιν ἀπαμῦναι· διὸ φυλάττει τὸν ἴδιον τόνον. ὅταν γὰρ πρόθεσις τὴν σύνταξιν ἔχῃ πρὸς τὸ ἐπιφερόμενον, τὸν ἴδιον τόνον φυλάττει, ἅτε δὴ ἐπέχουσα τὴν τάξιν. A.

77. ἦ μέν μοι: ἐπὶ μὲν τοῦ προτέρου βαρεῖαν παραληπτέον κατὰ τὴν ἄρχουσαν· κεῖται γὰρ ἀντὶ τοῦ ἠμήν, ὅπερ ἐστὶν ὁρκικὸν ἐπίρρημα, ὅπερ ὁ ποιητὴς ἀεὶ διὰ τοῦ ε̄ προφέρεται· «ἦ μὲν τοὺς ἵππους τε καὶ ἅρματα» (K 322) «ἦ μὲν ἐμοὶ δώσειν» (Il. Ξ 275) τὸ δὲ «ἦ γὰρ ὀίομαι» (78) περισπωμένῃ τάσει ἀναγνωστέον· διαβεβαιωτικὸς γὰρ ὁ σύνδεσμος. A.

80. χέρηϊ: ὡς Ἄρηϊ. γέγονε δὲ οὕτως. ἔστι τι χερείονος γενική, καὶ αἰτιατικὴ «χερείονά περ καταπέφνων» (Il. P 539). ὃν οὖν τρόπον τὴν χερείονα αἰτιατικὴν συγκόψας ἔφη «ἀλλὰ τὸν υἱὸν ἐγείνατο εἷο χέρεια» (Il. Δ 400), πληθυντικῶς δὲ τὰ χερείονα χέρεια. «χέρεια δὲ χείρονι δόσκεν» (Il. Ξ 382), τοῦτον τὸν τρόπον καὶ χερείονι χέρει· καὶ ἐπεὶ κακόφωνόν ἐστι, τροπὴ ἐγένετο τῆς ει διφθόγγου εἰς τὸ η. οὕτως Ἡρωδιανός. A.

81. αὐτῆμαρ: ἐπίρρημα, ὡς τὸ ἐννῆμαρ καὶ ἑξῆμαρ. καὶ ἐχρῆν μὲν αὐτὸ ἀναπέμπειν τὸν τόνον ὡς βούκερως. ἀλλ' ἐπεὶ οὐδὲν τῶν εἰς αρ συντέθειται ἢ μόνον τὸ ἦμαρ, πρὸς τὴν παρηλλαγμένην σύνθεσιν ἦν παρηλλαγμένος καὶ ὁ τόνος. L.

85. εἰπέ: τρία εἰσὶ τὰ ἐν τῇ κοινῇ ὀξυνόμενα, ἐλθέ, εὑρέ, εἰπέ· ἰδίως δὲ καὶ μακρᾷ παραλήγοντα. Ἀττικοὶ δὲ καὶ ἐπὶ τῶν βραχυπαραλήκτων ὀξύνουσι τὸ ἰδέ καὶ λαβέ. A.

93. οὔταρ: οὕτως ὀξεῖαν ἐπὶ τοῦ ου̅· ὁ γὰρ τάρ ἐστι σύνδεσμος ἐπιφερόμενος ἐγκλιτικῶς, ὡς καὶ ἐπὶ τοῦ «εἴ ταρ ὅγ' εὐχωλῆς» (65). οὐ γάρ ἐστιν ὁ τέ συμπλεκτικός· εἰ γὰρ ἦν, ἐπεφέρετο ἂν πάλιν ὁ τέ μετὰ ἀποφάσεως, οὔθ' ἑκατόμβης. οὕτως γάρ ἐστιν εὑρέσθαι τὸν τέ σύνδεσμον μετὰ τῆς οὐ ἀποφάσεως· «ἔνθα μὲν οὔ τε ἄναξ ἐπιδευής, οὔ τέ τι ποιμήν» (Od. δ 87). A.

114. οὕ ἕθεν: οὕτως ὀξυτονητέον τὴν οὐ ἀπόφασιν, ἵν' εἰς ἁπλῆν μεταληφθῇ ἀντωνυμίαν· τοῦτο γὰρ καὶ Ἀρίσταρχος παρήγγειλεν· ἐὰν γὰρ ὀρθοτονήσωμεν, ἔσται τὸ ἑαυτῆς σύνθετον· οὕτως οὖν ὡς τὸ «οἵ ἕθεν ὀτρύνοντος» (Il. O 199) καὶ «οὕς ἕθεν εἵνεκ' ἔπασχον» (Il Γ 128). A.

116. καὶ ὧς: τὸ ὡς, ὁπότε σημαντικόν ἐστι τοῦ ὅμως, περισπᾶται. A.

126. ταῦτ': τὸ ταυτ' Τυραννίων ὀξύνει, ἵν' ᾖ τὰ αὐτά. ABL.

129. δῷσι πόλιν Τροΐην: οὕτως Ἀρίσταρχος τρισυλλάβως καὶ ἐνθάδε καὶ ἐν τῇ Λ τῆς Ὀδυσσείας (510) «ἤτοι ὅτ' ἀμφὶ πόλιν Τροΐην φραζοίμεθα». καὶ ἐπείσθη αὐτῷ ἡ παράδοσις. ἔστι δὲ καὶ τὸ τῆς χρήσεως τῆς Ὁμηρικῆς ἰδίωμα παραφυλάξαι οὕτως, ὡς ὅτι εἴ που λέγει τὸ Τροία δισυλλάβως, οὐδέποτε ἐπιφέρει τὸ πόλις, οἷον «εἰσόκε περ Τροίην διαπέρσομεν» (Il. I 46) καὶ «ἔνθα κεν ὑψίπυλον Τροίην ἕλον υἷες»

coll. quaest. ep. 132. 81 L. ad v. 53 mittit. 114 οὖν inseruit L. 129 pro φράζευ codicis scriptura posui φραζοίμεθα.

(Il. Π 698). καὶ «Τροίῃ ἐν εὐρείῃ» (Il. Ω 256) καὶ ἀλλαχοῦ. ἐπὶ μέντοι τούτων τῶν δύο ὁμοιοπτώτως ἐπήνεγκε τὸ πόλιν τῷ Τροΐην· «δῷςι πόλιν Τροΐην» καὶ τὸ «ἤτοι ἀμφὶ πόλιν Τροΐην» (Od. λ 510). ταῦτα ὁ Ἡρωδιανός. A.

δῷςι: Ζωΐλος ὁ Ἀμφιπολίτης καὶ Χρύςιππος ὁ Cτωϊκὸς ϲολοικίζειν οἴονται τὸν ποιητήν, ἀντὶ ἑνικοῦ πληθυντικῷ χρηςάμενον ῥήματι· τὸ γὰρ δῷςί φαςι πληθυντικόν. ἀγνοοῦςι δέ· ἔςτι γὰρ τὸ δῷ ἑνικὸν ἐπεκτεταμένον, ὡς τὸ λέγῃ λέγῃςι, φέρῃ φέρῃςι. τοιοῦτόν ἐςτι καὶ τὸ ἐν Ὀδυςςείᾳ (α 168) τὸ «φῇςιν ἐλεύςεςθαι» καὶ τὸ «εἰςόκε μοι μάλα πάντα πατὴρ ἀποδῷςιν ἕεδνα» (Od. θ 318). κἀνταῦθα γὰρ ἀποδῷ· διὸ καὶ τὸ ι ἔχει προςκείμενον. μέμνηται αὐτοῦ κἀν τῇ ὀρθογραφίᾳ Ἡρωδιανός. A.

136. ἄρςαντες: Ἀρίςταρχος δαςύνει· ἔνθεν γάρ φηςι γεγονέναι καὶ τὸ ἅρμα. ὁ δὲ Ἡρωδιανὸς ψιλοῖ, λέγων ἀπὸ τοῦ ἄρω, οὗ ὁ μέλλων Αἰολικῶς ἄρςω· τὸ δὲ α καὶ τὸ ε, πρὸ τοῦ ρ ὄντα, ἑτέρου φωνήεντος ἐπιφερομένου ψιλοῦται. ABL.

147. ἦμιν: οὕτως ὀξυτόνως τὴν ἄρχουςαν τοῦ ἤμιν· ἁπλῆ γάρ ἐςτιν. ἐκτατέον δὲ καὶ τὴν τελευταίαν· δεῖ γὰρ ῥωννύναι μᾶλλον τὸ μέτρον. A.

154. πώποτ': οὕτως ὑφ' ἕν, πώποτε, Ἀρίςταρχος. A.

156. ἐπεὶ ἤ: περιςπαςτέον τὸ η· ἔςτι γὰρ βεβαιωτικός. A.

168. ἐπεί κε κάμω πολεμίζων: Ἀρίςταρχος γράφει ἐπεί κε κάμω, ἵνα μὴ ᾖ διπλαςιαςμὸς ἐν τῷ ῥήματι· καὶ οὕτως ἡ ςυνήθης ἀνάγνωςις. οὕτως δὲ καὶ Ἡρωδιανός, φάςκων ὅτι τὸ ἐπήν ἔχει τὸν ἄν, καὶ τίς χρεία ἐν δευτέρῳ αὐτὸν κεῖςθαι; οὐκ ἀγνοῶ δὲ ὅτι τινὲς ἐπήν κε γράφουςιν. A.

173. ἔγωγε: οὕτως προπαροξυτονητέον τὸ ἔγωγε, ἵν' ᾖ ἕν. A.

174. πάρ' ἔμοιγε: τὴν παρὰ πρόθεςιν κατὰ τὴν ἄρχουςαν ὀξυτονητέον. καὶ καθόλου ὁπότε ςημαντικαὶ εἰςι ῥημάτων αἱ προθέςεις, τοῦτον τὸν τόνον ἀναδέχονται· «ἐπεὶ οὔτοι ἔπι δέος» (515) καὶ «οὐ γὰρ ἔπ' ἀνὴρ οἷος Ὀδυςςεύς» (Od. β 58). τὴν δὲ ἔμοιγε προπαροξυτονητέον· ἔςτι γὰρ Ἀττική, ὡς καὶ ἡ ἔγωγε. A.

175. μητίετα: οὕτως Ἀρίςταρχος τρίτην ἀπὸ τέλους ποιεῖ τὴν ὀξεῖαν· καὶ ἐπεκράτηςεν ἡ ἀνάγνωςις. καὶ ἴςως πλεοναςμός ἐςτι τοῦ ε. A.

190. ἤ — ἦε: τὸν μὲν πρότερον ςύνδεςμον βαρυτονητέον, τὸν δὲ δεύτερον περιςπαςτέον· διαπορητικὴ γάρ ἐςτιν ἡ ςύνταξις. καὶ οὕτως ἐν τῇ καθόλου. ABL.

129 τῷ ante Τροΐην inseruit L. l. 5 Ζωΐλος pro Ζώιλος scr. L. l. 8 ἐπεκταμένον pro ἐκτεταμένον scribendum proposuit L. l. 9 φῇςιν pro φηςὶν exhibui. 168 Lehrsius opinatur sic fere Herodianum scripsisse: Ἀρίςταρχος — ἀνάγνωςις· οὕτω δὲ καὶ ἐγὼ ςυγκατατίθεμαι. οὐκ ἀγνοῶ δὲ ὅτι τινὲς καὶ ἐπήν κε γράφουςι. τὸ δὲ ἐπὴν ἔχει τὸν ἄν — κεῖςθαι; 175 cf. ad v. 508.

212. ὧδε γὰρ ἐξερέω· τὸ δὲ καὶ τετελεσμένον ἔσται. τὸ δέ: δύο μέρη λόγου εἰσίν. A.

214. σὺ δ' ἴσχεο, πείθεο δ' ἡμῖν: τὸ ἡμῖν ὀρθοτονεῖται· ἀντιδιέσταλται γάρ, ἀντὶ τοῦ ἡμῖν πείθου καὶ μὴ τῇ σῇ ὀργῇ· κακῶς οὖν Ἀρίσταρχος συστέλλει τὴν μιν. BL.

228. τὸ δέ τοι κὴρ εἴδεται εἶναι. τὸ δέ: ἐν δύο μέρεσι λόγου, ἵνα ᾖ τοῦτο δέ σοι θάνατος νομίζεται. A.

229. ἢ – : περισπαστέον τὸν ἦ· κατ' ἀρχὴν γὰρ κεῖται, ἰσοδυναμῶν τῷ δή. A.

232. ἦ — λωβήσαιο: τὸν ἦ περισπαστέον· βεβαιωτικὸς γάρ ἐστιν. A.

239. ὁ δέ τοι μέγας ἔσσεται ὅρκος. ὁ δέ: ἄμεινον δύο μέρη λόγου ποιεῖν· «ὁ δέ τοι νημερτὲς ἐνίψει» (Od. λ 148). A.

240. Ἀχιλλῆος ποθή: τὸ ποθή ὀξυτόνως. A.

255. ἦ κεν γηθήσαι Πρίαμος: περισπαστέον τὸν ἦ· βεβαιωτικὸς γάρ. τὸ δὲ γηθήσαι παροξυτονητέον, ἐπειδὴ εὐκτικόν ἐστιν, ἡ δὲ αι ἐν τοῖς εὐκτικοῖς μακρά ἐστιν. A.

258. οἳ περὶ μὲν βουλήν: ἡ περί ἀντὶ ἑτέρας κεῖται τῆς ὑπέρ· τὸν ἴδιον οὖν τόνον φυλάξει· πρόθεσις γὰρ ἀντὶ ἑτέρας προθέσεως παραλαμβανομένη τὸν ἴδιον τόνον φυλάττει. οὕτως ἔχει καὶ τὸ «ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων» (287). εἴτε τοῖς ἑξῆς συνάπτεται, ἀντὶ τοῦ περίεστε, πάλιν φυλάξει τὸν ἴδιον τόνον· πάλιν γὰρ πᾶσα πρόθεσις ἔχουσα σύνταξιν πρὸς ἐπιφερόμενόν τι τὸν ἴδιον τόνον φυλάσσει, ὡς τὸ «νήπιοι οἳ κατὰ βοῦς ὑπερίονος ἠελίοιο ἤσθιον (Od. α 8). A.

264. Ἐξάδιον: παρὰ τῷ ποιητῇ ἀπὸ τοῦ ε τὸ ὄνομα ἤρξατο. παρὰ δὲ τοῖς νεωτέροις καὶ χωρὶς τοῦ ε εὑρέθη, ὡς καὶ Ὀϊλεύς μὲν παρὰ τῷ ποιητῇ καὶ παρ' Ἡσιόδῳ. εἰ δὲ χρὴ πρὸς τὸν χαρακτῆρά τι λέγειν, ἐκεῖνο ἔχομεν εἰπεῖν, ὡς ὅτι ἐχρῆν δασύνεσθαι αὐτό· τὸ γὰρ ε πρὸ τοῦ ξ, ὑποστελλομένων τῶν παρὰ τὴν ἐξ πρόθεσιν, θέλει δασύνεσθαι, ἕξις, ἑξῆς, ἕξω. χωρὶς εἰ μὴ λέγοι τις διὰ τὴν ἰδιότητα τὸ πνεῦμα μεταπεπτωκέναι. A.

269. μεθ': οὕτως Ἀρίσταρχος τὴν μετά φυλάσσων τὸν τόνον. A.

271. κατ' ἔμ' αὐτόν: οὕτως κατὰ παράθεσιν ἐν δύο τόνοις, ἐμὲ αὐτόν· σύνθετος γὰρ ἀντωνυμία παρὰ τῷ ποιητῇ οὐκ ἔστιν. A.

276. ἔα: ἐκτατέον τὸ ἄλφα. A.

278. Πηλείδη θέλ': Ἀρίσταρχος ἀποφαίνεται ὡς κατὰ τὴν Ὁμηρικὴν συνήθειαν τὸ ῥῆμα κατὰ τὸν ἐνεστῶτα ἀπὸ τοῦ ε ἄρχεται. ἀλλὰ μὴν καὶ ἡ κίνησις ἡ τοῦ παρατατικοῦ. «ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει» (287)· «ἤθελε Μηριόνης» (Il. K 229). καὶ ἐνθάδε οὖν ἄμεινον τῇ συνηθεστέρᾳ ἀναγνώσει προσέχοντας ἐπὶ τὴν δη συλλαβὴν ὀξεῖαν παραλαμβάνειν,

---

214 fluxisse certe ex Herodiano adnotat Lehrs. 258 In BL, ubi in brevius contracta est nota, additum est ὥς φησιν Ἡρωδιανός. 269 φυλάσσων scr. L. pro φυλάσσειν.

ἵνα κρᾶcιc ᾖ τοῦ ἔθελε τριcυλλάβου γενομένου, ὡc καὶ cύνηθέc ἐcτι τῷ ποιητῇ. τὸ μέντοι ῥῆμα τῶν παραλόγων κατὰ τόνον ἐcτὶ τριcύλλαβον ὄν, ὡc δείκνυται ἐν τοῖc περὶ ῥημάτων. A.

280. καρτερόc: τὰ εἰc τεροc τριcύλλαβα βαρύνεται, οἷον cφέτεροc, πρότεροc, κύντεροc. πῶc οὐχὶ κάρτεροc κατὰ βαρεῖαν λέγομεν; ὅτι τοῦτο οὐκ ἦν εἰc τεροc ἀλλ' εἰc εροc· τὸ γὰρ τ οὐκ ἐν τῇ παραγωγῇ ἔcχεν· ἦν γὰρ ἀπὸ τοῦ κράτοc. ὡc ἀπὸ τοῦ βλάβοc βλαβερόc οὐ διὰ τοῦ βεροc ἡ παραγωγὴ (ἐν γὰρ τῷ πρωτοτύπῳ τὸ β), οὕτωc καὶ ἀπὸ τοῦ κράτοc κρατερόc διὰ τοῦ εροc ἡ παραγωγή, οὐ διὰ τοῦ τεροc. A.

293. οὐτιδανόc: ὡc πευκεδανόc, ληθεδανόc. οἱ δὲ οὔτιc οὐτίδανοc, ὡc οὐδάμινοc. A.

294. εἰ δὴ coί: οὕτωc ὀρθοτονητέον τὴν ἀντωνυμίαν· ἀντιδιαcταλτικὴ γάρ ἐcτιν. διδάcκει καὶ ἡ γραφὴ διὰ τοῦ c οὖcα· εἰ γὰρ ἦν ἐγκλιτική, ὁμοίωc ἂν ἐγράφετο τῷ «εἰ δή τοι coῦ πατρόc» (Od. β 271) καὶ τῷ «καί τοι ἐγὼ cυνέριθοc» (Od. ζ 32). περὶ δὲ ταύτηc τῆc ἀναγνώcεωc ἐντελέcτερον διαληψόμεθα ἐν τῇ Γ τῆc Ὀδυccείαc (50) ὅταν περὶ τῆc Ζηνοδοτείου γραφῆc ἐπιζητῶμεν, πότερον τοῦ ἕνεκα coὶ προτέρῳ ἢ «τοῦ ἕνεκά τοι». A.

301. ἀέκοντοc: δαcυντέον τὸ ἀέκοντοc· κατὰ cτέρηcιν γάρ ἐcτι τὸ ᾱ. B.

302. εἰ δ' ἄγε μὴν πείρηcαι: προπαροξυτονητέον τὸ πείρηcαι, ἵνα ᾖ προcτακτικόν, ὡc τὸ «cὺ δὲ φράcαι» (83), καίτοι πολλάκιc τῶν τοιούτων τὸν τόνον ἐχόντων τῶν ἀπαρεμφάτων, λέγω δὲ τῶν εἰc ᾱι ληγόντων· «ἀλλά με κακκεῖαι cὺν τεύχεcι» (λ 74) «τῇ δὲ τόδε κρήδεμνον ὑπὸ cτέρνοιο τανύccαι» (Od. ε 346). οὐ μέντοι τὸ τοιοῦτο διηνεκέc· ἔcτι γὰρ ἃ καὶ ἐφύλαξαν τὸν ἴδιον τόνον· «ἀλλὰ cὺ μὲν κατάλεξαι» (Od. τ 44) καὶ «νῦν αὖτ' ἐμὸν ἔγχοc ἄλευαι» (Il. X 285). καὶ τὸ τοιοῦτο διδάξαι ἄν, ὅτι ἐπὶ τινῶν μὲν ἤλλαξαν τοὺc τόνουc, ἐπὶ τινῶν δ' οὔ. ἐνθάδε μέντοι κατὰ λόγον δοκεῖ ἡ προcτακτικὴ ἀνάγνωcιc κεῖcθαι· εἰ γὰρ πρόκειται τὸ ἄγε παρακελευcτικὸν ἐπίρρημα, ὅπερ cημεῖόν ἐcτι προcτακτικῆc ἐγκλίcεωc, οἰκείωc καὶ τὰ τῆc ἀναγνώcεωc ἐνεγένετο, ἄγε πείρηcαι, ὡc καὶ ἐν ἑτέροιc «δεῦρ' ἄγε καὶ cὺ ξεῖνε πείρηcαι ἀέθλων» (Od. θ 145). A.

335. ὔμμεc: οὕτωc ψιλωτέον τὸ ῡ τοῦ ὔμμεc· ἡ γὰρ λέξιc Αἰολική. ἐπιμαρτυρεῖ καὶ ἡ cυναλοιφὴ «αἴκ' ὔμμιν ὑπέρcχῃ χεῖρα Κρονίων». (Il. Δ 249). ABL.

363. εἴδομεν: προπαροξύνεται τὸ εἴδομεν, ἀπὸ βαρυτόνου τοῦ εἴδω. οὐ θαῦμα δέ, εἰ τὸ αὐτὸ καὶ ὡc βαρύτονον καὶ ὡc περιcπώμε-

278 L. pro ἐcτὶν ὁ ποιητὴc scr. ἐcτι τῷ ποιητῇ et confert Θ 229. 294 Ζηνοδοτείου scripsit pro Ὀδυccείου L. — In BL incipit nota sic: ὀρθοτονεῖ Ἡρωδιανὸc τὴν coί. 301 L. confert Ε 164. 302 διδάξαι pro δόξει scr. L. cf. Lehrs de Arist. p. 361 not. (ed. II).

νον κλίνει. ἢ ὅτι ἀνθ' ὑποτακτικοῦ ἐςτι, καὶ ἡ ςυςτολὴ ἀνέδωκε τὸν τόνον· οὐ γὰρ παροξύνομεν κατὰ τὸν Πάμφιλον. A.

364. στενάχων: ὁ Cιδώνιος περιςπᾷ, ὁ δὲ Ἀρίςταρχος βαρύνει. τὰ πολλὰ γάρ, φηςί, κινήματα ὡς ἀπὸ βαρυτόνου γέγονεν· «βαρὺ δὲ ςτενάχοντος ἄκουςα (Od. θ 95)· «ἐπεςτενάχοντο δ' ἑταῖροι» (Il. Δ 154). BL.

368. δάccαντο μετὰ cφίcιν: τοῦ cφίcι τὴν πρώτην ὀξυτονητέον, ἐπειδήπερ εἰς ςύνθετον ἡ μετάληψις, εἰ καὶ οὐκέτι διηνεκὴς ὁ λόγος· ἔςτι γάρ τινα ἐναντιούμενα· «τοὺς δ' ἄναγον ζωοὺς cφίcιν ἐργάζεςθαι ἀνάγκη» (Od. ρ 441). καὶ ὅτι μετὰ προθέςεώς ἐςτιν. ὅταν γὰρ πρόθεςις ἢ μετὰ ἀντωνυμίας, ὀρθοτονεῖται ἡ ἀντωνυμία· «ςὺν ςοὶ δῖα θεά» (Il. K 290)· «προτὶ οἷ δ' ἔλαβ' ἔντεα» (Il. Y 418)· «κατὰ cφέας γὰρ μαχέοντο» (Il. B 366)· «ἀπὸ ἕο κάββαλεν» (Il. E 343)· «ἀμφὶ ἓ παπτήνας» (Il. Δ 497), τοῦ «ἄλτ' ἐπί οἱ μεμαώς» (Il Φ 174) ζήτηςιν ἔχοντος. A.

396. πολλάκι γάρ ςεο πατρὸς ἐνὶ μεγάροιςιν ἄκουςα: Ἀρίςταρχος ἐγκλιτικὴν παρέλαβε τὴν ἀντωνυμίαν ςέο, λέγων τὸ δηλούμενον εἶναι τοιοῦτο, πολλάκις γάρ ςου ἐν τοῖς τοῦ πατρός μου δόμου ἤκουςα καυχωμένης. ἐὰν γάρ, φηςί, κατ' ὀρθὸν τόνον ἀναγνῶμεν, ἔςται ἐν τοῖς τοῦ Νηρέως οἴκοις ὁ Ἀχιλλεὺς αὐτὴν ἀκηκοώς· ταύτην δὲ τὴν ἱςτορίαν οὐκ οἶδεν Ὅμηρος. τοςαῦτα ὁ Ἀρίςταρχος καὶ οἱ ἀπ' αὐτοῦ. Πτολεμαῖος δὲ ςυγκατατίθεται μὲν τῇ ἐγκλιτικῇ ἀναγνώςει, οὐ μὴν τῇ προκειμένῃ αἰτίᾳ, εἴγε ἤδη καὶ αὐτὸς ὁ Ἀρίςταρχος τὸ τοιοῦτο, φηςί, παρεφύλαςςεν, ὡς ὅτι ταῖς μὲν πρωτοτύποις οὕτως χρῆται κατὰ γενικήν, ἐμέο, ἐμεῖο, ἐμεῦ, ἐμέθεν, ὁμοίως καὶ ἐπὶ δευτέρου καὶ τρίτου, ταῖς δὲ κτητικαῖς ἤτοι ἐμοῦ ἢ ἐμοῖο, ςοῦ ςοῖο. ἐγίνετο οὖν, εἴπερ ἦν κτητική, ςοῖο, ὥςτε κἂν ὀρθοτονήςωμεν τὴν ςέο, οὐ δύναται ἀμφίβολος καθίςταςθαι· ἡ γὰρ γραφὴ διελέγχει ὅτι πρωτότυπός ἐςτιν. ἐγένετο οὖν ἐγκλιτικὴ ἡ ἀνάγνωςις, ἐπειδήπερ ἁπλῆ ἐςτι καὶ οὐκ ἔχει ἀντιδιαςτολήν· καὶ ἐπεκράτηςεν ἡ ἀνάγνωςις. A.

420. εἶμ': προπεριςπᾶται, ὅτε ἐπὶ τοῦ πορεύομαι· ὅτε δὲ ἐπὶ τοῦ ὑπάρχω, ὀξύνεται. A.

421. νῦν: τὸ νῦν ἀντὶ τοῦ δή· διὸ καὶ Τυραννίων ἠξίου ὀξύνειν αὐτό, οὐκ εὖ. ABL.

443. παῖδά τε ςοὶ ἀγέμεν: τὸ ςοὶ ὡς ἀντιδιαςτελλόμενον τῷ Φοίβῳ δεῖ ὀρθοτονεῖν, καὶ διὰ τὸν τέ. BL.

---

364 in A haec recisis grammaticorum testimoniis sic dilatata sunt: βαρύνεται ἡ μετοχή. διδαςκόμεθα δὲ ἐξ ἐκείνου «τοὺς δὲ βαρὺ ςτενάχων μετέφη κρείων Ἀγαμέμνων, χειρὸς ἔχων Μενέλαον· ἐπεςτενάχοντο δ' ἑταῖροι». ἡ γὰρ ἐπίζευξις τοῦ ἐπεςτενάχοντο διδάςκει ὅτι καὶ τὸ ςτενάχω βαρύνεται. εἰ γὰρ ἦν περιςπώμενον, ἐςτεναχοῦντο ἐγίνετο ὡς ἐνενοοῦντο. καὶ ἡ κλίςις δὲ τοῦτο δείκνυςι· «βαρὺ δὲ ςτενάχοντος ἄκουςα», οὐχὶ ςτεναχοῦντος. καὶ ἡ δοτικὴ «τῷ δὲ βαρὺ ςτενάχοντι». 368 L. confert qu. ep. 119.

464. μῆρ' ἑκάη: Πτολεμαῖος τὸ ε τελευταῖον λαμβάνει τοῦ μῆρε, ἵνα ἰακώτερον ἐκδέξηται τὸ κάη. καὶ Ἀρίσταρχος δὲ οὕτως. δύναται δὲ καὶ ἑκάη εἶναι τὸ πλῆρες, ἐκθλίψεως γενομένης τοῦ α, ὥσπερ καὶ ἐπὶ τοῦ ἐντελεστέρου αὐτοῦ ὁρῶμεν «ἢ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί' ἔκηα» (40)· τὸ δὲ τοιοῦτο πολὺ παρὰ τῷ ποιητῇ, λέγω δὲ τὸ καὶ τὸν χρόνον τὸν ἔξωθεν φυλάσσειν τὸ ῥῆμα καὶ συνάρχεσθαι τῷ ἐνεστῶτι. ἀπεφηνάμην δὲ ἐντελέστερον τὸ μηρίον τοῦ μήρου ὄν· ἐκ γὰρ συγκοπῆς αὐτοῦ ἐγεγόνει· ἐπεί τοι εὐθύνεται ὁ τόνος· τὰ γὰρ εἰς ος λήγοντα, μεταπλασσόμενα εἰς οὐδέτερον γένος τὸ εἰς ον λῆγον, τὸν αὐτὸν τόνον φυλάσσει· ὁ ζυγός τὸ ζυγόν — τὰ ζυγά, δίφρος δίφρον, δίφρα. ὅθεν εἰ καὶ μηρός, καὶ μηρόν καὶ μηρά. [εἰ δὲ μῆρα καὶ μήρους.] εἰ δὲ δοίημεν, ὅτι κυρίως τὰ ἁγιαζόμενα θεοῖς μῆρα καλεῖται, τὸ περὶ τοῦ σημαινομένου καὶ τοῦ περὶ τὸν τόνον ἁμαρτήματος τὴν λέξιν ἀπολύει. A.

465. μίστυλλον τ' ἄρα τἆλλα: τὸ τἆλλα κατὰ συναλοιφήν ἐστιν, ὡς τἆργα. ὁ δὲ Ἡρωδιανὸς τὸν τέ πληρωματικὸν ἀποδέχεται· καὶ λείπει τὸ ἄρθρον Ὁμηρικῷ ἔθει. BL.

469. πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο: τὸ μὲν ἔρον ὡς Αἰολικὸν ψιλωτέον, ἢ καθὸ τὸ ε καὶ α πρὸ τοῦ ρ φωνήεντος ἐπιφερομένου ψιλοῦται. τὸ δὲ ἕντο δασυντέον. ABL.

486. ἕρματα: τὸ ἕρματα, εἰ καὶ ἐκ τοῦ ἐρείσματα, οὐ ψιλοῦται, ὥς τινες, ἐπεὶ τὰ βραχυνόμενα φωνήεντα καταλήγοντα εἰς ρ ἐπιφερομένου τοῦ μ δασύνεται, ὅρμος ἅρμα Ἑρμῆς ὅρμαθος. ἔνθεν ἡ πλείων χρῆσις τὸ ἁρμοῖ δασύνει. τὸ μέντοι ἄρμενον καὶ ὄρμενον ψιλὸν πνεῦμα ἀνεδέξατο. A.

493. ὅτε δή ῥ' ἐκ τοῖο: Ἀρίσταρχος ὁτεδή ὡς δηλαδή παραλόγως ἀνεγίνωσκε. Πάμφιλος δὲ τὸ ὅτε κατ' ἰδίαν ἀναφορὰν ἀναλόγως· διαφέρει γὰρ τὸ ὅτε ὀξυνόμενον κατὰ τὴν πρώτην τοῦ ὁτέ ἀορίστου· ὥστε ἐὰν θελήσῃ ὁ Ἀρίσταρχος ἀναγινώσκειν ὁτεδή ὡς δηλαδή, πρῶτον τὴν μὴ οὖσαν χρῆσιν παρὰ τῷ ποιητῇ παραλήψεται, δεύτερον τὸ σημαινόμενον παραφθερεῖ. τὸ δὲ τοῖο προπερισπαστέον· τὸ γὰρ τοῦ Θεσσαλικῶς παραυξηθὲν ἐγένετο τοῖο ὡς καλοῦ καλοῖο. ἀποφήνασθαι δεῖ ὅτι ὁ Ἡρωδιανὸς ἐν τῇ Ἰλιακῇ προσῳδίᾳ (Ε 266) διαλαμβάνων περὶ τοῦ «ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο» λέγει, ὅτι τοῦ ὁτέ ὀξυτόνου ἀορίστου οὐκ ἔστιν ἡ χρῆσις παρὰ τῷ ποιητῇ· ἐν μέντοι τῷ ἐννεακαιδεκάτῳ τῆς καθόλου τὸ «ὡς Ἕκτωρ ὁτὲ μὲν μετὰ πρώτοισι φάνεσκεν» (Il. Λ 64) ὀξυτόνως δεῖν φησιν ἀναγινώσκεσθαι. A.

508. μητίετα: ἐχρῆν αὐτὸ παροξύνειν, εἴγε τὰ εἰς της λήγοντα βαρύτονα βραχείᾳ παραληγόμενα, ἀπρόσληπτα τοῦ ς ἐπὶ γενικῆς, καὶ ἐπὶ κλητικῆς παροξύνεται, οἰκέτα, φυλέτα, εὐνέτα. παραλόγως ἄρα ἡ

464 in E. M. transiisse admonet L. et suspicatur Herodianum τὸ τοῦ σημαινομένου scripsisse, quamquam non necessario. 465 L. confert Λ 636, N 510. 493 ἀναφορὰν pro ἀναφορικὸν scr. L. 508 ἐπὶ ante κλητικῆς inseruit L.

εὐρύοπα, δέϲποτα καὶ τὸ μητίετα. ἔϲτι δὲ εἰπεῖν ὅτι ἀπὸ τοῦ μητῖτα κατὰ πλεοναϲμὸν τοῦ ε καὶ ϲυϲτολῇ τοῦ ῑ, ἀπὸ εὐθείαϲ τῆϲ μητίτηϲ, κλητικὴ γέγονε μητίετα· καὶ ὁ τόνοϲ ἐπὶ τοῦ αὐτοῦ τόπου ἔμεινε μετὰ τὸν πλεοναϲμόν. A.

513. ὣϲ ἔχετ' ἐμπεφυυῖα καὶ εἴρετο δεύτερον αὖτιϲ. εἴρετο: Δημήτριοϲ ὁ Ἰξίων προπεριϲπᾷ, παραλαμβάνων τὸ τό ἄρθρον. A.

518. ἤ: περιϲπαϲτέον τὸν ἦ· ἔϲτι γὰρ βεβαιωτικὸϲ ἐν ἀρχῇ κείμενοϲ, ὁμοίωϲ τῷ «ἦ δὴ ἀλιτρὸϲ γ' ἐϲϲί» (Od. ε 182). A.

519. ὅταν: τὸ τέλειον ὅτε ἄν ἐϲτί, καὶ κατὰ ϲυναλοιφὴν ὅτ' ἄν· ἐν δὲ τῇ ϲυντάξει κεκοίμιϲται ἡ ὀξεῖα τοῦ ἄν, ὡϲ τὸ «οὐκ ἂν ἐφ' ὑμετέρων ὀχέων» (Il. Θ 455)· «οὐκ ἂν δὴ μείνειαϲ» (Il. Γ 52). ἀεὶ οὖν οὕτωϲ ὀφείλομεν ἀναγινώϲκειν ἐπὶ τὴν ἄρχουϲαν ὀξεῖαν ποιοῦντεϲ· «ὡϲ δ' ὅταν ὠδίνουϲαν» (Il. Λ 269). καὶ τοτὲ μὲν ἐν ϲημαινομένῳ ὀφείλομεν παραλαμβάνειν τὸ ἄν, ὅταν ὑποτακτικὸν ἐπιφέρῃ ἢ εὐκτικόν, τοτὲ δὲ παρέλκοντα, ὅταν μὴ οὕτωϲ ἔχῃ. πρόδηλον δὲ ἐκ τοῦ χαρακτῆροϲ, ὅτι οὐ δύναται ἓν εἶναι, εἴ γε τὰ εἰϲ ᾱν̄ ἐπιρρήματα οὐδέποτε ϲυϲτέλλει τὸ α· τὸ γὰρ πάμπαν οὐ φύϲει ἐπίρρημα. ἀλλὰ μὴν οὐδὲ ϲύνθετον δύναται εἶναι· οὐδέποτε γὰρ τὰ ἀναφορικὰ τῶν ἐπιρρημάτων κατ' ἀρχὴν ϲυντίθεται. A.

532. ἆλτο: ψιλωτέον. καὶ τάχα μὲν ἀπέλαβε τὸ προοφειλόμενον πνεῦμα· ἠλόγητο γὰρ τὸ ἅλλομαι δαϲυνόμενον, εἴγε τὸ α πρὸ δύο λ ἐψιλοῦτο, ἄλλοϲ ἀλλότριοϲ. τάχα δ', ὅπερ καὶ μᾶλλον, ἐπεὶ τὸ α καταλῆγον εἰϲ λ, ἐπιφερομένου ϲτοιχείου ἑνὸϲ τῶν τῆϲ τρίτηϲ ϲυζυγίαϲ ψιλοῦται. «Ἄλτεω ὃϲ Λελέγεϲϲι» (Il. Φ 86)· «ληῖου ἀλδήϲκοντοϲ» (Il. Ψ 599)· «ἄλθετο χείρ» (Il. Ε 417). ἔνθεν τινὲϲ καὶ τὸ «ὃϲ τοῦτον τὸν ἄναλτον» (Od. ϲ 114) ψιλῶϲ προφέρονται. A.

535. ἔϲταν: ψιλωτέον τὸ ἔϲταν, ἐπεὶ γίνεται «ϲτὰν δὲ μεταϲτοιχεί» (Il. Ψ 358)· τὸ γὰρ αἰρόμενον ἐκ τοῦ ῥήματοϲ ε ἐν ψιλῷ πνεύματι· οἷον ἔϲτηκα δαϲύνεται, ἐπεὶ οὐκ ἀποβάλλει τὸ ε̄· ὁ δὲ ἔϲτηϲα ψιλοῦται, ἐπεὶ γίνεται «ϲτῆϲε δ' ἐν Ἀμνιϲῷ ποταμῷ» (Od. τ 188). A.

540. δολομῆτα: προπεριϲπαϲτέον τὸ δολομῆτα ὁμοίωϲ τῷ «ϲχέτλιε ποικιλομῆτα» (Od. ν 293). καὶ καθόλου τὰ εἰϲ τηϲ λήγοντα βαρύτονα, ὅτε ἐπὶ κλητικῆϲ εἰϲ α λήγει, προπεριϲπᾶται, ἀλῆτα, πλανῆτα, νικῆτα, πεδῆτα, αἰϲυμνῆτα. ἔνθεν οὖν ϲημειωτέον τὸ ἀκάκητα. ABL. ?

542. οὐδέ τί πώ μοι: τὸ πω ὀξύνεται διὰ τὴν μοί ἀντωνυμίαν, ἥτιϲ νῦν ἐγκλιτική ἐϲτιν. A.

554. εὔκηλον: τὸ εὔκηλον ψιλοῦται κατὰ δύο λόγουϲ, καὶ ὅτι τὸ υ ἐπεντιθέμενον ψιλοῖ τὰ δαϲυνόμενα φωνήεντα, ὅροϲ οὖροϲ, ὅλοϲ οὖλοϲ, καὶ ὅτι ἡ ευ δίφθογγοϲ ἐπιφερομένου ϲυμφώνου ψιλοῦται, εὐνή, εὐχή, εὖροϲ. ἐναντιοῦται τὸ εὕδω καὶ εὑρίϲκω· τὸ γὰρ εὗϲεν δαϲυνόμενον ἀπὸ θέματοϲ τοῦ εὕω. BL.

518 pro ἔϲτι codicis scripsi γ' ἐϲϲί. 535 οἷον ἔϲτηκα inseruit L. et δαϲύνεται pro οὐ δαϲύνεται scripsit, praeterea Ἀμνιϲῷ pro Ἀμνηϲῷ.

565. κάθηcο: προπαροξυτόνωc. τὰ γὰρ cύνθετα προcτακτικὰ βραχυκατάληκτα ὡc ἐπὶ τὸ πλεῖcτον ἀναπέμπει τὸν ἑαυτῶν τόνον, τὰ δὲ μακροκατάληκτα τὸν αὐτὸν τοῖc ἁπλοῖc φυλάττει τόνον. βραχυκατάληκτα μὲν λέγε κατάλεγε, cπεῖρε κατάcπειρε· οὕτωc οὖν καὶ ἧcο κάθηcο. μακροκατάληκτα δὲ νοοῦ διανοοῦ, ποίει περιποίει. A.

567. ἀάπτουc: οὕτωc ψιλῶc προενεκτέον· οὕτωc δὲ καὶ Ἀρίcταρχοc· ἤκουε δὲ τὰc δεινὰc καὶ ἀπτοήτουc. ὁ δὲ Ζηνόδοτοc καὶ αὐτὸc ὁμοίωc τῷ πνεύματι, εἰc τὰc ἰcχυρὰc δὲ μετελάμβανεν. ἐν δὲ ταῖc Ἀριcτοφάνουc γλώτταιc διὰ τοῦ ε ἐγέγραπτο ἀέπτουc. εἰcὶ δὲ οἳ ἀπροcπελάcτουc ἀποδιδόαcιν, ἀπὸ τοῦ ἅψαcθαι, ὧν οὐδεὶc ἂν ἅψαιτο δι' ἰcχύν. ἐμοὶ δὲ δοκεῖ παρὰ τὸ ἰάπτω γεγενῆcθαι, ὃ cημαίνει τὸ διαφθείρω καὶ βλάπτω· ἔνθεν τὸ «πολλὰc δ' ἰφθίμουc ψυχὰc Ἄϊδι προΐαψεν» καὶ μέcον αὐτοῦ κατ' ἔλλειψιν τοῦ α «μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν» (454). ἔνθεν καὶ τὸ ἴψ· ἔcτι δὲ θηρίον διατρῶγον τὰ ξύλα. ἀπὸ δὴ τούτου τοῦ ἰάπτω τὸ ἀϊάπτουc ἦν καὶ κατ' ἔλλειψιν τοῦ ι ἀάπτουc ἤτοι τὰc μὴ δυναμέναc διαφθαρῆναι καὶ βλαβῆναι, ἢ κατ' ἐπίταcιν τὰc ἄγαν δυναμέναc βλάψαι καὶ διαφθεῖραι. A.

573. Deest nota de accentu in ἀνεκτόc, ut patet ex Θ 355.

574. cφώ: οὐ πρωτόθετον αὐτήν φηcιν Ἡρωδιανόc. δυϊκὸν ἀπὸ τῆc cφῶϊ· διὸ ὀξύνεται· τὸ γὰρ ω τῶν δυϊκῶν ἀπέcτραπται τὴν περιcπωμένην. BL.

576. ἦθοc: ψιλωτέον ὡc τροχαϊκὸν τῶν εἰc οc ληγόντων. κατὰ μεταcχηματιcμόν ἐcτι τὸ ἦθοc τοῦ ἡδονή· δαcυνόμενον γὰρ μεταcχηματίζεται εἰc τὸ ἦθοc ψιλούμενον, ὡc τὸ ἡμέρα μεταcχηματίζεται εἰc τὸ ἦμαρ ψιλούμενον καὶ τὸ ἅμα εἰc τὸ ἄμυδιc. οὕτωc Ἡρωδιανὸc ἐν τῇ Ἰλιακῇ προcῳδίᾳ. A.

579. ἧμιν: πιθανώτερον ὀξύνειν τὴν πρώτην τοῦ ἡμῖν καὶ ἐκτείνειν τὴν τελευταίαν. A.

600. Ἥφαιcτον: δαcύνεται διὰ τὴν ἐτυμολογίαν· παρὰ γὰρ τὸ ἅπτω ἐγένετο. A.

611. ἔνθα καθεῦδ' ἀναβάc: τὸ καθεῦδε προπεριcπᾶται ὅτι τὰ ἀπὸ φύcει μακρᾶc ἀρχόμενα ῥήματα κατὰ τοὺc παρῳχημένουc χρόνουc ἐν ὁριcτικοῖc, ἀπαθῆ ὄντα, φυλάccει τὸν τόνον ἐν τῇ cυνθέcει, εἶχον κατεῖχον· ὅθεν εἰ «εὗδε δ' ἀνακλινθεῖcα» (Od. δ 794), δῆλον ὅτι καθεῦδεν ὁμοτόνωc ὀφείλομεν προφέρεcθαι. A.

---

565 ἁπλοῖc pro αὐτοῖc scr. L. 567 BLV summam huius notae brevem incipere: Ἡρωδιανόc παρὰ τό ἰάπτω adnotat L., idem Eustath. h. l. et Etym. referentes Herodianum ἰάπτω ab ἴψ duxisse fidem non inventuros esse monet.
574 οὐ πρωτόθετον pro πρωτόθετον et δυϊκὸν pro οὐκ dedit L., qui confert Io. Al. p. 23. 576 Lehrs pro κατὰ cχηματιcμόν scripsit κατὰ μεταcχηματιcμόν ex E. M. s. ἦθοc, ubi hic totus locus citatur cum indice Ἡρωδιανὸc ἐν τῇ Ἰλιακῇ προcῳδίᾳ, et confert Herod. infra I 6; idem pro τό ἡδονὴ scripsit τοῦ ἡδονή.
611 transiit in E. M. 483, 43. pro ἀνακλινθεῖc codicis exhibui ἀνακλινθεῖcα.

ΕΙΣ ΤΗΝ Β.

6. ἐπ' Ἀτρείδῃ: οὐκ ἀναστρέφεται ἡ πρόθεσις. αἱ γὰρ συναλειφόμεναι οὐκ ἀναστρέφονται, εἰς μονοσυλλαβίαν περιιστάμεναι. A.

8. βάσκ' ἴθι: Τυραννίων ὑφ' ἓν ὡς ἄπιθι· παραιτητέον δέ· τὰ γὰρ εἰς μι λήγοντα μετὰ προθέσεως φιλεῖ συντίθεσθαι, μετ' ἄλλων δὲ λέξεων οὐκέτι. καὶ πάλιν τὰ διὰ τοῦ κ παραχθέντα κατ' ἀρχὴν οὐ θέλει συντίθεσθαι. καὶ ἄμεινον ταυτολογίαν εἶναι, ἐμφαίνουσαν τὴν ἔπειξιν. καὶ ἀλλαχοῦ «ἔλθοι καὶ ἵκοιτο». «ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν. ABL.

11. θωρῆξαί ἑ κέλευε: ἐγκλιτέον τὴν ἕ. BL.

26. ἄγγελος: τὴν λος ὀξυτονητέον διὰ τὸ εἰμί. A.

28. θωρῆξαί σε: τοῦ θωρῆξαι τὴν τελευταίαν ὀξυτονητέον· ἀπολελυμένη γάρ ἐστιν ἡ σέ. A.

36. ἅ ῥ': δασυντέον τὸ ἅ. ἄρθρον γάρ ἐστι· καὶ δύο μέρη λόγου ἅ ῥα, ἃ δή. A.

73. ἣ θέμις ἐστί: τὸ ἣ δασυντέον· οὐ γάρ ἐστι σύνδεσμος ἀλλ' ἰσοδυναμοῦν τῷ ὡς ἐπίρρημα. A.

87. ἀδινάων: δασυντέον τὸ ἀδινάων· ἀπὸ γὰρ τοῦ ἅδην καὶ ἁδινός ἡ κίνησις. ABL.

96. ἐννέα: τὸ ἐννέα ψιλοῦται, ὅτι πᾶν φωνῆεν καταλῆγον ἢ εἰς ν ἢ εἰς γ, τῆς ἑξῆς συλλαβῆς ἀρχομένης ἀπὸ συμφώνου, ψιλοῦται, ἀντίος, ἔγχος, τοῦ ἁνδάνω ὑπεξαιρουμένου. A.

115. δυσκλέα: συσταλτέον τὴν τελευταίαν τοῦ δυσκλέα ὡς ἀμφηρεφέα, ὁμοίως τῷ ἀκλέα (sic) ἀνδρῶν, «ἀκλέα ἐν μεγάρῳ» (Od. δ 728; nunc ἐκ μεγάρων). A.

150. νῆας ἐπ' ἐσσεύοντο: οὕτως νῆας ἐπ' ἐσσεύοντο. οὐκ ἀναστρέφεται ἡ πρόθεσις, ὅτι συνήλιπται. διὸ καὶ ἐλέγομεν ἕνεκα ἑτέρου σημαινομένου τὸν Ἀρίσταρχον κατ' ἀναστροφὴν ἀνεγνωκέναι τὸ «στεῦτο γὰρ Ἡφαίστοιο πάρ' οἰσέμεναι» (Il. Σ 191). οὐκ ἀναστρέφονται γάρ, εἰ μὴ ἐπὶ τέλους κέωνται ἢ ῥῆμα δηλῶσι. A.

153. οὐρούς: ψιλοῦται. ἐν πλεονασμῷ γὰρ τοῦ ῡ ἐγένετο, ὡς καὶ ὅλος οὖλος. ἀνεγνώσθη δὲ κατ' ὀξεῖαν τάσιν· ὁ γὰρ Ἀρίσταρχος παρήγγελλεν. ἴσως δὲ σημειώδης ὁ τόνος· τὰ γὰρ εἰς ρος λήγοντα δισύλλαβα ἁπλᾶ ἔχοντα τὴν ου δίφθογγον ἐβαρύνετο, κοῦρος, θοῦρος, οὖρος· καὶ γὰρ ταῦτα περισσὸν ἔχει τὸ ῠ. ἴσως οὖν εἰς ἀποφυγὴν τοῦ ἐπὶ τοῦ ἀνέμου· καὶ γὰρ καὶ ἐπ' ἄλλων τὸ τοιοῦτο ποιεῖ ὁ ἀνήρ. A.

154. ἧρεον: δασυντέον τὸ ἧρεον· ἀπὸ γὰρ τοῦ αἱρῶ περισπωμένου καὶ δασυνομένου γέγονεν. A.

B 8 cf. E. Gud. 105, 40. 87 ἀδινός pro ἀδηνός scr. Lehrs. 115 L. confert Arc. 196. 150 L. scripsit ἢ ῥῆμα δηλῶσι pro ῥῆμα δηλοῦσαι et citat qu. ep. p. 76.

155. ὑπέρμορα: οὕτως ὑφ' ἓν τὸ ὑπέρμορα· οὐ γάρ, ὥς τινες, κατὰ διάστασιν. ἔστιν οὖν τι μόρος, ὃ συντεθὲν γίνεται ὑπέρμορος ὡς ὠκύμορος, οὗ οὐδέτερον τὸ ὑπέρμορον καὶ πληθυντικὸν τὰ ὑπέρμορα. ὡς οὖν τὸ καλά καὶ ὄνομα ἀλλὰ καὶ ἐπίρρημα «ἦ μευ καλὰ πατὴρ ὥς κήδεαι» (Od. ρ 397) καὶ «πυκνὰ μάλα στενάχων» (Il. C 318) οὕτως καὶ ὑπέρμορα νόστος ἐτύχθη. A.

162. φίλης ἀπὸ πατρίδος αἴης: οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν, ὡς Τυραννίων καὶ Πτολεμαῖος· ὁπότε γὰρ γενικῇ συντάττεται ἡ ἀπὸ μὴ μεταξὺ πιπτουσῶν λέξεων καὶ σημαίνῃ τὸ ἄποθεν τηρεῖ τὸν τόνον· «καὶ γάρ τίς θ' ἕνα μῆνα μένων ἀπὸ ἧς ἀλόχοιο» (292). A.

164. σοῖς δ' ἀγανοῖς: ψιλωτέον τὸ ἀγανός· τοιοῦτο γὰρ τὸ α πρὸ τοῦ γ. ALV.

175. φεύξεσθ' ἐν νήεσσι πολυκλήϊσι: τινὲς προπερισπῶσιν, ὡς καὶ τὸ ἁπλοῦν «ἐπὶ κληῖσι καθῖζον» (Od. β 419)· ὡς γὰρ πλοκαμίς — «ἐϋπλοκαμῖδες Ἀχαιαί» (ib. 119) οὕτως καὶ κληῖς καὶ πολυκληῖς. οὐκ ἔχει δὲ οὕτως ἡ ἀνάγνωσις. ἔστιν οὖν λόγος ὑπὲρ τῆς βαρυνομένης λέξεως οὗτος. τὰ εἰς ις λήγοντα θηλυκὰ ὀξυνόμενα, εἰ μὲν ἐν τῇ συνθέσει φυλάσσοι μόνον τὸ θηλυκὸν γένος, καὶ τὸν αὐτὸν τόνον φυλάσσει, εἰ δὲ μεταληπτικὰ γίνοιτο καὶ ἀρσενικοῦ, μεθίσταται καὶ εἰς βαρεῖαν τάσιν ἀναγκαίως. τοῦ μὲν προτέρου, φυλάσσοντος τὸ αὐτὸ γένος καὶ τὸν αὐτὸν τόνον, περισκελίς, τοῦ δὲ δευτέρου δύσελπις. ταύτῃ οὖν τὸ μὲν καταιγίς ὀξύνεται, τὸ δὲ μελάναιγις βαρύνεται. οὕτως οὖν καὶ τὸ εὐκλήϊς καὶ πολυκλήϊς βαρυνθήσεται· τίθεται γὰρ καὶ ἐπὶ ἀρσενικοῦ ὡς καὶ ἐκ τοῦ ἐναντίου τὸ λεύκασπις· καὶ γὰρ ἐπὶ Ἀμαζόνος ταγείη ἄν. καὶ τὸ εὐκνήμις ἀμέλει ἐπὶ Ἀθηνᾶς τέτακται παρὰ Ῥιανῷ ἐν Θεσσαλικοῖς «τοὶ δ' ἤδη ἐπὶ νηὸν ἐϋκνήμιδος Ἰτώνης». A.

190. οὔ σε: ἡ μὲν ἀκρίβεια ὀρθοτονεῖ, ἐγκλίνει δὲ ἡ συνήθεια. BL.

201. οἵ σέο: οὕτως ὀρθοτονητέον τὴν σέο. ἀντιδιασταλτικὴ γάρ ἐστιν. A.

207. δίεπε: δασυντέον τὸ ἕπω· πρόδηλον κἀκ τῆς συναλοιφῆς, ὡς ἔφεπε. A.

223. νεμέσσηθέν τ': ὁ τε σύνδεσμος ἐγκλιτικὸς ὢν τὴν πρὸ ἑαυτοῦ συλλαβὴν ὀξύνει. A.

255. τὸ ὅτι οἱ ἐν μιᾷ ὀξείᾳ προενεκτέον· πᾶσα γὰρ δίβραχυς λέξις πρὸ ἐγκλιτικοῦ οὐκ ἐπιδέχεται ἐπάλληλον ὀξεῖαν, εἰ μὴ ἐπιφέροιτο ἀντωνυμία διὰ τοῦ σφ, σεσημειωμένου τοῦ «ἔνθ' ἔσάν οἱ πέπλοι» (Od. ο 105). ABL.

διδοῦσιν: οὕτως περισπωμένως τὸ διδοῦσιν· τὸ γὰρ ῥῆμα διδῶ. A.

---

162 μεταξὺ — ἄποθεν inseruit L., qui confert C 64. 175 Lehrs μεταληπτικά pro μεταληπτικόν, εὐκλήϊς καὶ πολυκλήϊς pro εὔκληϊς καὶ πολύκληϊς scr., λεύκασπις iam ex significatione sua fere masculinum esse observat, porro εὐκνήμις pro εὔκνημις exhibuit, denique νηὸν ut est in E. M. 518, 43, in quod nota transiit, pro νηῶν.

262. αἰδῶ: Ἀρίσταρχος περισπωμένως ἀναγινώσκει ὁμοίως καὶ τὸ «ἠῶ δῖαν ἔμιμνε» (Il. I 662). καὶ ἡμεῖς δὲ αὐτῷ συγκατατιθέμεθα. Διονύσιος δὲ ὁ Σιδώνιος ὀξύνει. Πάμφιλος δὲ πάσας τὰς τοιαύτας αἰτιατικὰς περισπᾷ· «Λητῶ γὰρ δ' ἥλκησε» (Od. λ 580) καὶ «Πυθῶ δ' ἐρχομένην» (ibid. 581), ἐπεί, φησίν, Λητόα ἐστὶ καὶ Πυθόα. Διονύσιος δ' ὁ Θρᾷξ φησι κακῶς ἀνεγνωκέναι Ἀρίσταρχον κατὰ τὸν περισπώμενον τόνον τὸ μὲν αἰδῶ καὶ ἠῶ, τὰ δὲ ἄλλα κατ' ὀξεῖαν τάσιν, Πυθώ Λητώ· ἐχρῆν γάρ φησιν ὁμοίως ἀνεγνωκέναι. οὐκ εὖ δὲ μέμφεται τῷ Ἀριστάρχῳ, εἴγε ἤδη διάφοροι αἱ εὐθεῖαι, ἠώς αἰδώς, Λητώ δὲ καὶ Πυθώ. ἔστιν οὖν λόγος ὑπὲρ τῆς Ἀρισταρχείου ἀναγνώσεως καὶ τῆς κατεγνωσμένης προσῳδίας οὗτος, ὅτι ἐχρῆν μὲν τὸ Πυθώ περισπᾶσθαι, ἐπειδήπερ Πυθόα ἐστί, καὶ τοῦτο ἀπήτει ἡ συναλοιφή· ἀλλὰ πάλιν τὸ πτωτικὸν ω ἀπέστραπται τὸν περισπώμενον τόνον· κατὰ τοῦτο ὠξύνετο. ταύτῃ γοῦν καὶ τοῦ χρυσοῦς περισπωμένου τὸ δυϊκὸν ὀξύνομεν. οὕτως ἀποδείκνυται, ὅτι καὶ ἡ καλῷ δοτικὴ εἰς ῑ λήγει καὶ οὐκ εἰς ω̄. δεύτερος δὲ λόγος ἀληθής ἐστιν, ὡς εὐθεῖα καὶ αἰτιατικὴ ὁμόφωνος οὖσα κατὰ φωνὴν ἐν τῷ αὐτῷ ἀριθμῷ πάντως καὶ τὸν αὐτὸν τόνον ἀποφέρεται, οἱ ταχεῖς — τοὺς ταχεῖς, εἰ δὲ ἡ εὐθεῖα ὀξύνεται πάντως καὶ ἡ αἰτιατική. διὰ τοῦτο οὖν ἡ μὲν αἰδῶ αἰτιατικὴ καὶ ἠῶ, μὴ κρατούμεναι ὑπὸ τῆς συνεμπτώσεως κατὰ τὴν εὐθεῖαν, περισπῶνται, κατεχόμεναι τῷ λόγῳ τῆς συναλοιφῆς, οὐχ ὑπὸ τοῦ πτωτικοῦ χαρακτῆρος· ἡ δὲ Λητώ καὶ Πυθώ καθάπερ κατεχόμεναι ὑπὸ τῆς συνεμπτώσεως τῆς φωνῆς κατέχονται καὶ τῷ τόνῳ. A.

266. ἰδνώθη: Hic notam fuisse Herodiani de spiritu in ἰδνωθείς patere ex M 205 dicit L., sed ibi legitur προείρηται ἡμῖν ἐν τῇ A (non B).

269. ἀχρεῖον: Διονύσιος καὶ Τυραννίων τὴν πρώτην ὀξύνουσιν, ὥσπερ καὶ παρὰ τοῖς Ἀττικοῖς, καὶ ἀναλόγως· παρὰ γὰρ τὸ χρεία τὸ κατὰ στέρησιν ἄχρειος ὡς μοῦσα ἄμουσος. ἡ μέντοι παρὰ τῷ ποιητῇ ἀνάγνωσις ἀφορμῆς ἐχομένη τῆς κατὰ τὴν συνεκδρομὴν προπεριεσπάσθη. τὰ γὰρ ἐν τῇ πρώτῃ συλλαβῇ ἔχοντα τὸ ᾱ μὴ καθαρὸν ἐπιφερομένων δύο συμφώνων μετὰ τῆς ει διφθόγγου, μὴ σημαίνοντα μέρος σωματικὸν προπερισπᾶται, ἀνδρεῖος, Ἀργεῖος. οὕτως καὶ ἀχρεῖος. A.

272. ἤ: τὸν ἤ περισπαστέον· παραλλήλως γὰρ κεῖται τῷ δή, βεβαιωτικὸς ὤν, ὁμοίως τῷ «ἦ δὴ λοίγια ἔργα» (Il. A 573). A.

291. ἦ: ὁμοίως τὸν (βεβαιωτικὸν τὸν?) ἦ περισπαστέον. A.

292. ἀπὸ ἧς ἀλόχοιο: τινὲς ἀνέγνωσαν ἄπο ἧς ἀλόχοιο κατὰ ἀναστροφήν, ἵνα σημαίνηται τὸ ἄπωθεν. ἄμεινον δὲ πείθεσθαι τῇ κατειθισμένῃ ἀναγνώσει· συντέτακται γὰρ τῇ γενικῇ. A.

312. ὑποπεπτηῶτες: δύναται κἂν ἀναστρέφεσθαι. πιθανώτερον δὲ συντάσσειν τῇ μετοχῇ τὴν πρόθεσιν διὰ τὴν ἔμφασιν. A.

---

262 ἀποφέρεται pro ἐπιφέρεται et καθάπερ pro καίπερ scr. L. 269 verbis σημαίνοντα μέρος σωματικὸν significari ἄρνειος, ἄμνειος monet Lehrs collat. Choer. Orth. 174.

316. ἀμφιαχυῖαν: μετοχή ἐστι· διὸ προπερισπαστέον. σημειωτέον δὲ τὸν ἐν ἀρχῇ χρόνον, ὅτι συνεστάλη τὸ ῑ. A.

339. οὕτως συνθεσίαι τε ὡς θυσίαι τε. ὅσοι δὲ προπαροξύνουσι, πταίουσι· τῆς γὰρ μεταγενεστέρας Ἀτθίδος ἡ τοιάδε ἀνάγνωσις. A.

346. τοῦσδε: ἕν ἐστι τὸ τοῦσδε. διὸ προπερισπαστέον. A.

368. ἤ: Πτολεμαῖος περισπᾷ τὸν ῆ, διαπορητικὸν ἐκδεχόμενος. εἰσὶ δὲ οἳ ὀξύνουσιν, ὥσπερ καὶ οἱ περὶ τὸν Ἀλεξίωνα, ἐκδεχόμενοι παραδιαζευκτικὸν τὸν ἤ. A.

393. ἄρκιον ἐσσεῖται: προπερισπαστέον τὸ ἐσσεῖται· οὐ γὰρ παροξυντέον, ὥς τινες, ἐπεὶ Δώριον· ἤδη γὰρ πολλὴ χρῆσις τῶν τοιούτων παρὰ Ἀττικοῖς. A.

427. μηρ' ἐκάη: Πτολεμαῖος ἀπὸ τοῦ κ τὴν ἀρχὴν ποιεῖται, μῆρε παραλαμβάνων, εἶτα κάη, ἵνα φησὶν ἰωνικώτερον γένηται. τοῦτο δὲ οὐ συνεκτικόν, ὥσπερ εἶπον ἐντελῶς, ὁπότε διέλαβον ἐπὶ τοῦ «ἢ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί' ἔκηα» (Il. A 40), εἴγε ἤδη οἶδε καὶ τὰ μῆρα «μῆρα δὲ κείαντες» (Od. ν 26). A.

495. Κλονίος: παροξύνεται, ἐπεὶ τὰ εἰς ος λήγοντα τῷ ῑ παραληγόμενα, τριβράχεα, ἐπὶ κυρίων παροξύνεται, Σχέδιος Χρομίος Δολίος, ἀντιπίπτει τὸ Ἄλιος κατὰ τὴν παράδοσιν, καὶ τὸ Ἄνιος καὶ Κρόνιος καὶ Ξένιος. BL.

496. Αὐλίδα: ὡς ἀπὸ ὀξυτόνου εὐθείας ἡ ἀνάγνωσις καὶ εἰ μέντοι παρὰ τῷ Εὐφορίωνι «Αὖλίν τ' ἔσφαγον» (fr. CXXIX Mein.) αἰτιατικὴ ἀπὸ εὐθείας βαρυνομένης γέγονεν. ἡ γὰρ εἰς ιν κατάληξις ἀπὸ βαρυτόνων ἐστίν, ἡ δὲ εἰς δα καὶ βαρυτόνων καὶ ὀξυτόνων. A.

498. Θέσπειαν: ἐκτετάσθαι φασὶ διὰ τὸ μέτρον (sine dubio Θέσπιαν scribentes). τὸ γὰρ τῆς ἱστορίας ἐν συστολῇ τέ ἐστι πληθυντικῶς τε λεγόμενον. ἴσως οὖν ὅλον ποιητικόν ἐστιν· σύνηθες γὰρ αὐτῷ πολλάκις τὰ πληθυντικῶς λεγόμενα καὶ ἑνικῶς προφέρεσθαι, «καὶ εὐρυάγυιαν Ἀθήνην» (Od. η 80), «πολυχρύσοιο Μυκήνης» (Il. H 180). καὶ ἐκ τοῦ ἐναντίου τὰ ἑνικὰ πληθυντικῶς· «ἐκ μὲν Κρητάων γένος εὔχομαι» (Od. ξ 199). ταῦτα ἐν τῇ προσῳδίᾳ ὁ Ἡρωδιανός. ἐν μέντοι τῷ ια' τῆς καθολικῆς προσῳδίας ἐν τοῖς προπαροξυτόνοις καὶ ἔχουσι πρὸ τέλους τὴν ει δίφθογγον αὐτὸ καταριθμεῖ καὶ τοῦτο αὐτὸ τὸ Ὁμηρικὸν παρατίθησι, καὶ ἀλλαχοῦ λέγει τὴν ει ἔχειν αὐτὸ φανερῶς καὶ ἐπιφέρει ὅτι καὶ Θεσπιά ὀξυτόνως λέγεται. A.

504. Γλισᾶντα: ἡ συνήθεια προπερισπᾷ τὸ ὄνομα, ἡ δὲ ἱστορία προπαροξύνει. BL.

339 L. cft. Є 54 et Arc. 133, 9. 346 hoc longioris annotationis fragmentum esse patere ex Λ 409 monet L. 393 haec sic scripsisse Herodianum arbitratur Lehrsius: προπερισπαστέον τὸ ἐσσεῖται· οὐ γὰρ προπαροξυτόνως, ὥς τινες, ἐπεὶ Δώριον. ἤδη γὰρ πολλὴ χρῆσις τῶν τοιούτων παρὰ Ἀττικοῖς. 427 οἶδε καὶ pro οἱ δ' ἐκάη scripsit L. 498 cf. Pros. Cath. p. 280, 18. 504 προπαροξύνει pro περισπᾷ scr. L.

518. Ἰφίτου: τὴν μέσην συλλαβὴν ἐκτείνομεν τοῦ Ἰφίτου διὰ τὸ μέτρον. ἐν ἑτέροις γοῦν φυλάσσομεν τὸν χρόνον· «Ἴφιτος Εὐρυτίδης» (Od. φ 14). A.

521. Ὑάμπολις: οὕτως ἀνεγνώσθη ὡς φιλόπολις. ἓν γάρ ἐστιν· ἱστοροῦσι δὲ τοὺς ἐγχωρίους καὶ σὺν τῷ σ λέγειν Ὑσάμπολιν. A.

523. πηγῆς ἔπι Κηφισοῖο: Πτολεμαῖος ἀναστρέφει καὶ Πάμφιλος. Ἀλεξίων συντάσσει τῇ γενικῇ τὴν πρόθεσιν καὶ οὐκ ἀναστρέφει. Ἀρίσταρχος δὲ τοῖς κυριωτέροις συνέτασσε τὰς προθέσεις. A.

533. Excidit Herodiani nota de accentu vocis Θρόνιον v. B 648.

557. δυοκαίδεκα: Πάμφιλος τρία ποιεῖ καὶ κατὰ παράθεσιν ἀναγινώσκει. ἀφορμὴν δὲ ἔχει ἡ κατὰ σύνθεσιν ἀνάγνωσις τὴν ποιητικὴν χρῆσιν, ἥτις τὰ κατὰ παράθεσιν πολλάκις ἑνοῖ, ὡς τὸ πασιμέλουσα (Od. μ 70) καὶ τὰ τοιαῦτα. A.

585. Οἴτυλον: ὡς δάκτυλον. ἄρχεται γὰρ τὸ ὄνομα ἀπὸ τῆς οι διφθόγγου. κακῶς δὲ Τυραννίων οἰόμενος ἄρθρον εἶναι τὸ οἱ καὶ παρὰ τὴν συνήθειαν τοῦ ποιητοῦ ἁμαρτάνων καὶ παρὰ τὴν ἱστορίαν, εἴ γε οὕτως φησὶ καὶ Φερεκύδης· «τοῦ δὲ γίνεται Ἀμφάναξ, τοῦ δ' Οἴτυλος, ἀφ' οὗ ἡ πόλις ἡ ἐν Σπάρτῃ καλεῖται». τὸ δὲ κεφάλαιον ἐκτέταται ἐν τῇ προσῳδίᾳ τῷ Ἡρωδιανῷ περὶ τῆς ἀναγνώσεως τῆς Τυραννίωνος. A.

592. ἐΰκτιτον Αἰπύ: Ἀρίσταρχος ὡς ὀξύ· συγκατατίθεται δὲ αὐτῷ καὶ Ἀπολλόδωρος. Φερεκύδης δὲ ὁ Ἀθηναῖος τὸ μὲν ἐΰκτιτον κύριον ὄνομα παρέλαβε, τὸ δὲ αἰπύ ἐπίθετον. ἐκ δὲ τοῦ ἐναντίου τινὲς τὸ μὲν ἐΰκτιτον ἐπίθετον, τὸ δὲ αἰπύ κύριον, ἐπεὶ καὶ ἐν ἄλλοις (Il. Λ 711) εἴρηκεν «ἔστι δέ τις Θρυόεσσα πόλις, αἰπεῖα κολώνη» ὃ νῦν εἴρηκεν Αἰπύ, καὶ ὡς ἴδιον γενόμενον βούλονται βαρυτονεῖν. Πτολεμαῖος δέ φησι μὲν κύριον εἶναι τὸ Αἰπύ, οὐ μὴν συγκατατίθεται τῷ τόνῳ, φάσκων ὡς ὅτι πολλαὶ πόλεις ὁμοφωνοῦσι προσηγορικοῖς, Ἕλος, Αἰγιαλός. χρὴ μέντοι γινώσκειν, ὅτι ἀναλογωτέρα ἀνάγνωσις ἦν ἡ βαρεῖα· τὰ γὰρ εἰς υ μονογενῆ οὐδέτερα βαρύνεται, πῶϋ, μέθυ. ταῦτα ἐν τῇ προσῳδίᾳ. καὶ ἐν τῇ καθόλου δὲ ὁμοίως ἀμφίβολον αὐτὸ ἐᾷ. ἐν μέντοι τῇ Ζ (422) τῆς Ἰλιάδος διαλαμβάνων περὶ τοῦ ἰῷ «οἱ μὲν πάντες ἰῷ κίον ἤματι» φανερῶς λέγει, ὅτι Ἀρίσταρχος ὀξύνει τὸ Αἰπύ καὶ ἐπείσθη αὐτῷ ἡ πλείων χρῆσις. A.

599. πηρόν ὡς χρηστόν κατ' ὀξεῖαν τάσιν παρὰ τῷ ποιητῇ· παρὰ δὲ τοῖς Ἀττικοῖς πῆρον ὡς λῆρον. ὑγιεστέρα δὲ ἡ παρὰ τῷ ποιητῇ ἀνάγνωσις, ἐπεὶ τὰ εἰς ος λήγοντα δισύλλαβα, εἰ ἔχοι τὴν πρώτην συλλαβὴν ἔχουσαν τὸ π καὶ τὸ η ὀξύνονται, οἷον πηός, πηλός. οὕτως καὶ πηρός. A.

606. Excidit nota de accentu in Ῥίπην τε Στρατίην τε. v. Ι 150.

---

521 Lehrsius suspicatur Συάμπολιν forte scribendum esse coll. Lob. Ai. p. 367.
523 cf. Lehrs. qu. ep. 86.

648. Φαιστόν: ὡς πιστόν ὀξυτόνως· βαρυνόμενον γὰρ ἐπὶ τοῦ ἥρωος τίθεται «Ἰδομενεὺς δ' ἄρα Φαῖστον» (Il. Ε 43). Α.

Ῥύτιον: προπαροξυτόνως ὡς στάδιον. οὐκ εὖ δὲ Τυραννίων παροξύνει αὐτὸ ὡς πεδίον· οὔτε γὰρ ὑποκοριστικόν, οὔτε, εἰ ἦν ὑποκοριστικόν, παρωξύνετο, καθότι τρίβραχυ. τοῦτο δὲ εἴπομεν καὶ ἐπὶ τοῦ Θρόνιον. Α.

655. τρίχα: τὸ τρίχα βαρύνεται, ὅτι τὰ εἰς ως λήγοντα ἐπιρρήματα, εἰ ἔχοι παρακείμενα εἰς α λήγοντα, μὴ συνεμπίπτοντα ὀνόμασι, πάντως βαρυνόμενα ἔχει, οἷον σαφῶς σάφα· ὅθεν εἰ τριχῶς τρίχα. Α.

662. κατέκτα: Πτολεμαῖός φησιν ὁ Ἀσκαλωνίτης Ἀρίσταρχον ἀνεγνωκέναι ὁμοίως τῷ «ἔκτα σὺν οὐλομένῃ ἀλόχῳ» (Od. λ 410) κατὰ συστολήν. Τυραννίων δὲ κατ' ἔκτασιν. οἶμαι δὲ ἀκόλουθον εἶναι ἐκείνῃ τῇ γραφῇ τῇ κομιζομένῃ ὑπ' Ἀριστάρχου «ὡς ἔμεν ὡς ὅτε δῖον Ἐρευθαλίωνα κατέκταν» (Il. Δ 319). ἡ μέντοι κοινὴ ἀνάγνωσις ἡ κατὰ συστολὴν ἀφορμὴν ἔσχε τὴν τῆς ἀποκοπῆς, ὁμοίως τῷ «οὖτα κατὰ λαπάρην» (Il. Ζ 64). Α.

665. γάρ οἱ: ὁ γάρ ὀξύνεται, ἵνα ἀντωνυμία γένηται ἐγκλιτικὴ δοτικῆς πτώσεως τὸ οἱ καὶ μὴ ἄρθρον· καὶ γὰρ ἔθος μᾶλλον τῷ ποιητῇ παραλείπειν τὰ ἄρθρα. Α.

672. Χαρόποιο: ὡς Μενάνδροιο· καὶ γὰρ ἀπὸ γενικῆς εὐθεῖά ἐστι παρειλημμένη, ὡς τὸ «υἱὸς Τροιζήνοιο» (847). καὶ εἰς ἰδιότητα ὀφείλει ἡ βαρεῖα τάσις παραλαμβάνεσθαι. Α.

676. Κράπαθον: ὡς λάπαθον, οὕτως Κράπαθον· καὶ γὰρ ὁ τοιοῦτος χαρακτὴρ ὀφείλει βαρύνεσθαι ἐπὶ θηλυκῶν, λέγω δὲ ὁ εἰς θος λήγων ὑπὲρ δύο συλλαβάς, τῷ α παραληγόμενος, ἄμαθος, ψάμαθος. Α.

677. Καλύδνας: ὡς καλύβας ἀναγνωστέον. Α.

681. νῦν αὖ τούς, ὅσσοι: τὸ τούς ἀντωνυμία ἐστί· διὸ περισπαστέον τὸ νῦν καὶ τὸ αὖ. Α.

695. Φυλάκην: βαρυτονητέον τὸ Φυλάκην πρὸς ἀντιδιαστολὴν τοῦ ὀξυνομένου. Α.

699. τότε δ' ἤδη ἔχεν κάτα γαῖα μέλαινα: κάτα: εἰ συντάσσεται τῷ ἔχεν, δῆλον ὅτι καὶ ἀναστρέφεται· πρόδηλον δὲ ὅτι συντάσσεται, ἐν οἷς φησιν ἐν ἄλλοις «τοὺς δ' ἤδη κάτεχεν φυσίζοος αἶα» (Il. Γ 243). Α.

717. Ὀλιζῶνα: προπερισπωμένως ὡς Μεδεῶνα. Νικίας δὲ οὐκ εὖ γράφει Ὀλίζωνα ὡς περίζωμα. Α.

731. Ἀσκληπιοῦ: οὕτως ἐκτατέον διὰ τὸ μέτρον τὸ Ἀσκληπιοῦ. Α.

---

662 in v. Il. Δ 319 Cod. peccare ὡς ἔμεν ὅτε et κατέκτα animadvertit Lehrsius, qui Aristarchum tertiam personam brevem voluisse propter non dubios quosdam poetae locos testari Aristonicum Ο 432 monet. 677 καλύβας pro καλάθας emendat G. Dindorf. in Thes. ex E. M. et Suid. ὁ Ἀπολλόδωρός φησι λέγεσθαι Καλύδνας ὡς καλύβας, quo testimonio minus probabile fieri dicit, quod caeteroquin proximum sit παλάθας. 731 L. confert Ο 554.

739. Ὀρθήν: Ὀρθήν, οὕτωϲ ὀξυτόνωϲ· ἐπιθετικῶϲ γὰρ τέτακται. A.

755. ἀπορρώξ: Ἀρίϲταρχοϲ ὀξυτόνωϲ, ὡϲ θυλακοτρώξ. καὶ ἡ ϲύνθεϲιϲ δὲ τοῦτο ἀπαιτεῖ, ὅτι ἂν ϲημαίνῃ, εἴτε πάθοϲ εἴτε ἐνέργειαν. A.

764. ποδώκεαϲ: τινὲϲ ὡϲ εὐϲεβέαϲ καὶ οὕτωϲ αἱρεῖ ὁ λόγοϲ, εἴγε καὶ τὸ ποδώκηϲ ὀφείλει ὀξύνεϲθαι, καθὸ τὰ εἰϲ $\overline{\upsilon\varsigma}$ ὀξύτονα, φυλάϲϲοντα ἐν τῇ ϲυνθέϲει τὴν κατάληξιν, ἀναδίδωϲι τὸν τόνον, δριμύϲ ἄδριμυϲ, οὐχ οὕτωϲ δὲ ἔχοντα, ἀλλὰ τρέποντα τὸ τέλοϲ ἵϲταται ἐπὶ τῆϲ ὀξείαϲ, ἡδύϲ ἀηδήϲ, βαρύϲ ἀβαρήϲ, ἠΰϲ ἐνηήϲ. οὕτωϲ οὖν ὤφειλε καὶ τὸ ποδώκηϲ ὀξυτονεῖϲθαι, γενόμενον ἀπὸ τοῦ ὠκύϲ. ἀλλά φαϲιν εἰϲ ἰδιότητα τοῦ Ἀχιλλέωϲ βεβαρυτονῆϲθαι τὸ ποδώκηϲ. παρὰ γοῦν τῷ Ἡϲιόδῳ ἀνεγνώκαϲι «ποδωκὴϲ δῖ' Ἀταλάντη» (catal. XXVI Marksch.). τί οὖν ἐπὶ τοῦ Δόλωνοϲ κατὰ βαρεῖαν τάϲιν ἀνεγνώκαϲι καὶ ἐπὶ τούτου; «ὃϲ δή τοι εἶδοϲ μὲν ἔην κακόϲ, ἀλλὰ ποδώκηϲ» (Il. K 316). A.

765. οἰέτεαϲ: ὡϲ Διομήδεαϲ. ἔϲτι δὲ καὶ ἐπὶ τούτου τοῦ ϲχηματιϲμοῦ παράλογοϲ ὁ τόνοϲ· τὰ γὰρ παρὰ τὰ εἰϲ $\overline{o\varsigma}$ λήγοντα οὐδέτερα διϲύλλαβα ϲυντιθέμενα εἰϲ $\overline{\eta\varsigma}$ λήγοντα, ἐπιθετικά, μὴ ἔχοντα τὸ $\overline{\eta}$ πρὸ τέλουϲ, πάντα ὀξύνεται, εὐγενήϲ εὐκλεήϲ εὐειδήϲ· οὕτωϲ δὲ καὶ εὐτειχήϲ. ἐχρῆν μὲν οὖν καὶ τὰ παρὰ τὸ ἔτοϲ τὸ αὐτὸ ἀναδέχεϲθαι· νυνὶ δὲ κατὰ βαρεῖαν τάϲιν ἀναγινώϲκουϲιν, ἀλλ' οὐδὲ τοῦτο πάλιν καθολικῶϲ ϲώζοντεϲ· ἑξετέα γὰρ ἀδμήτην (Il. Ψ 266) ἀναγινώϲκουϲιν ὡϲ εὐϲεβέα. A.

777. ἕϲταϲαν: δαϲυντέον τὸ ἕϲταϲαν· ὑπερϲυντέλικοϲ γάρ ἐϲτι ϲυγκεκομμένοϲ, ὁ δὲ παρακείμενοϲ δαϲὺ ἔχει τὸ $\overline{\epsilon}$ καὶ ὁ ὑπερϲυντέλικοϲ· οἱ δὲ ἀόριϲτοι ψιλόν, ἐπεὶ καὶ κατὰ ἀποβολὴν τοῦ $\overline{\epsilon}$ λέγονται· «ϲτὰν δὲ μεταϲτοιχεί» (Il. Ψ 358). καὶ ὁ πρότεροϲ «ϲτῆϲαν ἀείραντεϲ» (Od. β 425). οὐκέτι δὲ ὁ ἕϲταϲαν ϲτάϲαν. A.

783. Τυφωέοϲ: οὕτωϲ Τυφωέοϲ, ὡϲ Ἀχιλλέωϲ· καὶ γὰρ «Τυφωέϊ γαῖαν ἱμάϲϲῃ» (versu antecedente) ἀπ' εὐθείαϲ τῆϲ Τυφωεύϲ. ϲυνήθηϲ δὲ αὐτῷ ὁ τοιοῦτοϲ τύποϲ παρώνυμοϲ. A.

798. τὸν ἧ περιϲπαϲτέον· ἔϲτι γὰρ βεβαιωτικόϲ. A.

808. δ' ἔλυϲ': τινὲϲ ἀπὸ τοῦ $\overline{\lambda}$ ἀρχὴν ποιοῦνται καὶ προπεριϲπῶϲιν, ἵνα ποιητικώτερον γένηται, αἶψα δὲ λῦϲ' ἀντὶ τοῦ αἶψα δ' ἔλυϲ'. ἔφαμεν δὲ τὸ τοιοῦτο παρὰ τῷ ποιητῇ διαφόρωϲ ὁρᾶϲθαι· «ἂν δ' ἄρ' ἔβη Πρίαμοϲ» (Il. Γ 261). «αὐτὰρ ὁ βῆ ῥ' ἰέναι» (Il. K 73). «οὐδ' ἔλαθ' Ἀτρέοϲ υἱόν» (Il. P 1). «ἐμὲ δ' οὐ λάθεν» (Od. ι 281). A.

813. οὕτωϲ προπαροξυτόνωϲ Βατίειαν, ὡϲ Ἀλεξάνδρειαν. A.

824. ὑπαὶ πόδα: οὕτωϲ ὑπαί ὡϲ καταί καὶ παραί· αἱ γὰρ προθέϲειϲ ἐπαυξανόμεναι διὰ τοῦ $\overline{\iota}$ φυλάϲϲουϲι τὸν αὐτὸν τόνον. A.

---

739 quod est in altero Schol. cod. A, ut la Roche die Homerische Texteskritik p. 131 adnotat οὕτωϲ ὡϲ Ϲπάρτην, ἵν' ᾖ ἴδιον, non est Herodiani. Lehrs confert ι 150. 764 cf. Lehrsii qu. ep. 162. 765 transiisse in E. M. observat L. — Pro οὐ διϲύλλαβα scripsi, quod est teste Bastio in A οὐδέτερα διϲύλλαβα. cf. Rumpf in Iahnii Annal. 1866 p. 151.

828. Ἀπαιςοῦ: οὕτως Ἀπαιςοῦ ὡς ἀγανοῦ. καὶ ἴςως ἀκολούθως τῷ «ὅς ῥ' ἐνὶ Παιςῷ» (Il. Ε 612). A.

831. περὶ πάντων: οὕτως φυλακτέον τὸν τόνον τῆς προθέςεως. εἴτε γὰρ πρόθεςίς ἐςτιν ἀντὶ προθέςεως παρειλημμένη, ἀντὶ τοῦ ὑπὲρ πάντων, φυλάςςεται ὁ τόνος, καθότι πᾶςα πρόθεςις ἀντὶ ἑτέρας προθέςεως λαμβανομένη φυλάςςει τὸν αὐτὸν τόνον· εἴτε ἀντὶ τοῦ περιςςῶς, φυλάςςει τὸν τόνον, ὡς τὸ «ὃς περὶ μὲν νόον ἐςτὶ βροτῶν, περὶ δ' ἱρὰ θεοῖςιν» (Od. α 66). «οὗ περὶ μὲν πρόφρων κραδίη» (Il. Κ 244). καὶ τὸ αἴτιον ἐν ἑτέροις εἴπομεν, ὡς ὅτι πρὸς αὐτοὺς τοὺς τόνους τῶν ἐπιρρημάτων καὶ αὐταὶ ὀρθοτονοῦνται. A.

832. οὕτως τὸ ᾱ τοῦ ἔαςκε κατὰ ςυςτολήν· οὕτως καὶ πάντες· τὰ γὰρ διὰ τοῦ ςκε παρηγμένα Ἰακῶς βραχεῖαν ἔχει τὴν παραλήγουςαν· «ὧδε δέ τις εἴπεςκε» (271) καὶ «τὴν αὐτὸς φορέεςκε» (Il. Ο 646). A.

839. ποταμοῦ ἀπὸ Σελλήεντος: Πτολεμαῖος ὁ Ἀςκαλωνίτης ἀναςτρέφει πρὸς τὰ προςηγορικώτερα ποιούμενος τὰς ςυντάξεις. ὁμοίως καὶ Νικίας. οὐκέτι μέντοι ἐπὶ τοῦ «Ξάνθῳ ἐπὶ διvήεντι» (Il. Ε 479) «μάχῃ ἐνὶ κυδιανείρῃ» (Il. Ζ 124). ἐπεφέρετο γὰρ τὰ προςηγορικώτερα. ὁ μέντοι Ἀρίςταρχος τοῖς κυριωτέροις ςυνέταττε τὰς προθέςεις· διὸ ἀναςτρέφων ἀνεγίνωςκε «Ξάνθου ἄπο διvήεντος» (877), φυλάςςων δὲ τὸν τόνον ἐπὶ τοῦ «ποταμοῦ ἀπὸ Σελλήεντος». εἶτα πολλὰ εἰπὼν ὁ Ἡρωδιανὸς φηςι ὅτι ἐμοὶ μέντοι δοκεῖ τὸ τοιοῦτον ὅλον εἶδος ἀναγινώςκειν κατὰ ἀναςτροφήν. εἰ γὰρ δύο ὀνόματά ἐςτι καθ' ἑνὸς ὑποκειμένου λαμβανόμενα καὶ ςχεδὸν ἕν ἐςτι τὸ ὅλον, καὶ θέλει ἡ πρόθεςις προηγεῖςθαι, μέςη δὲ παρείληπται καθ' ὑποταγήν, ὡς ὑποτεταγμένη ἀναςτραφήςεται. A.

842. Πύλαιος: τοῦ Πύλαιος τὴν πρώτην ὀξυτονητέον πρὸς ἀντιδιαςτολὴν τοῦ τοπικοῦ καὶ τὸν Ἑρμῆν τὸν Πύλαιον. A.

847. Τροιζήνοιο: οὕτως Τροιζήνοιο ὡς Εὐμήλοιο. ἀπὸ γὰρ γενικῆς τῆς Τροιζῆνος ἐγένετο εὐθεῖα ἔθει ποιητικῷ. A.

855. Ἐρυθίνους: ὡς Ἀκραγαντίνους. BL.

ΕΙΣ ΤΗΝ Γ.

20. οὕτως ὁ Ἀρίςταρχος προπεριςπᾷ δηϊοτῆτι, ὡς ἀπὸ ὀξυτόνου εὐθείας. τὸ δὲ κεφάλαιον ἐκτέταται ἐν τῇ Ἰλιακῇ προςῳδίᾳ. A.

29. χαμᾶζε: προπεριςπᾶται· ἐχρῆν δὲ πρὸς τὸν χαρακτῆρα τρίτην ἀπὸ τέλους εἶναι τὴν ὀξεῖαν ςυςτελλομένου τοῦ ᾰ, ὥςπερ τὸ Ἀφίδναζε, Θήβαζε, ἔραζε, χωρὶς εἰ μή ἐςτιν ἀφορμὴ ὅτι ταῦτα ἀπὸ ὀνομάτων, τοῦτο δὲ ἀπὸ ἐπιρρήματος τοῦ χαμαί. τὸ δὲ μέταζε χρονικὸν παρὰ πρόθεςιν παρῆκται. A.

---

828 τῷ pro τὸ suspicatus est L. 832 pro αὐτοῦ scripsi ᾱ τοῦ. 842 cf. Lob. Parall. 342. Lehrsius putat Πυλαῖον scribendum esse et ad h. l. et de Arist. p. 296 ed. II. 847 L. cft. 672.

35. ὦχρος: οὕτως ὦχρος ὡς ὦμος, εἰς ἀποφυγὴν τοῦ ἐπιθετικοῦ. τάχα δὲ καὶ ἄχροός ἐστιν, ὃ ἐν ὑπερθέσει γίνεται ἄοχρος καὶ κατὰ συναλοιφὴν ποιεῖ τὸ ὦχρος βαρυνόμενον. ἄλλως τε τὰ εἰς ος λήγοντα δισύλλαβα μονογενῆ ἀρχόμενα ἀπὸ τοῦ ω̄, μὴ προσκειμένου τοῦ ῑ, βαρύνεται, ὦμος. πρόσκειται μὴ ἔχοντα τὸ ῑ διὰ τὸ ᾠδός. BL. παρειά: οὕτως ὀξυτόνως καὶ χωρὶς τοῦ ϲ γραπτέον, ἵνα ᾖ οὐδέτερον. τὰ γὰρ ἀπὸ τῶν τοιούτων θηλυκῶν μεταποιούμενα εἰς οὐδέτερον γένος τοῦ αὐτοῦ σημαινομένου μένοντος τὸν αὐτὸν φυλάσσει τόνον, πλευραί πλευρά, πυραί πυρά. οὐκ ἀντίκειται τὸ νευραί καὶ νεῦρα. διάφορον γὰρ τὸ σημαινόμενον. οὕτως παρειαί παρειά. φασὶ μέντοι Ἀρίσταρχον καὶ Ἀριστοφάνην γράφειν παρειὰς σὺν τῷ ϲ̄, ἐπειδὴ καὶ «παρειάων ἁπαλάων» λέγει (Il. Σ 123). A.

43. ἤ: περισπαστέον τὸν ἦ· βεβαιωτικὸς γάρ ἐστι καὶ ἰσοδυναμεῖ τῷ δή. A.

63. ὡς σοί: ἡ σοί ἀντωνυμία ὀρθοτονεῖται νῦν διὰ τὴν ἀντιδιαστολήν. A.

97. νῦν: τὸ νῦν περισπαστέον, κἂν παρέλκῃ παρὰ τῷ ποιητῇ. A.

102. διακρινθεῖτε: οὕτως προπερισπᾶται διακρινθεῖτε· ἔστι γὰρ εὐκτικόν, κατὰ πάθος γεγονὸς ἐκ τοῦ διακρινθείητε, ὁμοίως τῷ «καὶ εἴ ποθεν ἄλλ' ἐπιθεῖτε» (Od. χ 62). ὧν πάλιν πρῶτα διακρινθείημεν καὶ διακρινθεῖμεν, ὥσπερ καὶ τὸ «ἡμεῖς δ' ἐς δεκάδας διακοσμηθεῖμεν Ἀχαιοί» (Il. Β 126). A.

122. γαλόῳ: βαρύνειν δεῖ τὸ γαλόῳ· τὰ γὰρ εἰς ω̄ς θηλυκά, ὑπὲρ μίαν συλλαβήν, βραχείᾳ παραληγόμενα, βαρύνεται, ἅλως, Κέως, ἕως· οὕτω γάλως. τοῦτο δὲ ἀξιοῖ Τρύφων ἐν τῷ α' περὶ ἀρχαίας ἀναγνώσεως. A.

128. οὔς ἕθεν: ἐγκλιτικῶς ἀνεγνώσθη διὰ τὸ μεταλαμβανόμενον, ἐπεὶ εἰς ἁπλῆν ἡ μετάληψις, οὓς αὐτῆς. τοῦτο δὲ ἐπὶ τῆς ἕθεν φασίν, ὅτι εἰ μὲν εἰς ἁπλῆν μεταλαμβάνοιτο, ἐγκλιτικῶς ἀναγινώσκειν δεῖ, εἰ δὲ εἰς σύνθετον, ὀρθοτονητέον. διὸ κἀκεῖνα οὕτως ἀνεγνώσθη «ἐπεὶ οὔ ἑθέν ἐστι χερείων» (Il. Α 114) «οἵ ἕθεν ὀτρύνοντος» (Il. Ο 199)· ἐκεῖνο δὲ κατ' ὀρθὴν τάσιν «ἀπὸ ἕθεν ὤσατο χειρί» (Il. Ζ 62). ὅθεν Σιδώνιος μέμφεται Ἀριστάρχῳ μὴ ἐγκλιτικῶς ἀναγνόντι τὸ «πρόσθεν ἕθεν φεύγοντα» (Il. Ε 80)· ἡ γὰρ διάνοια ἁπλῆν αἰτεῖ τὴν μετάληψιν. A.

152. ἱεῖσιν: προπερισπαστέον ὡς τιθεῖσιν· τὰ γὰρ τρία πληθυντικὰ ὁριστικὰ ἐνεστῶτος χρόνου τὴν αὐτὴν φωνὴν καὶ τὸν αὐτὸν τόνον ἀποφέρεται ταῖς πληθυντικαῖς δοτικαῖς μετοχαῖς, λέγομεν λέγετε λέγουσι καὶ τοῖς λέγουσιν, ἵσταμεν ἵστατε ἱστᾶσι καὶ τοῖς ἱστᾶσιν. οὕτως ἵεμεν ἵετε ἱεῖσι· καὶ γὰρ ἱέντες ἱέντων ἱεῖσιν. ἀντιπίπτει μόνον διά τι αἴτιον τὸ φασί πρὸς τὸ φᾶσι μετοχικόν, ὡς στᾶσι. A.

Γ 35 παρειά transiisse in E. M. 653, 26 adnotat L. 122 in fine exciderunt, quae suppleri possunt ex Herod. περὶ παθῶν E. M. 220, 9: κλίνεται τῆς γάλω, ἡ δοτικὴ τῇ γάλῳ καὶ πλεονασμῷ τοῦ ο̄ γαλόῳ. διὰ τοῦτο καταβιβάζει τὸν τόνον, ἐπειδὴ οὐδέποτε ἐπὶ τέλους κειμένου τοῦ ω̄ τρίτη ἀπὸ τέλους τίθεται ἡ ὀξεῖα χωρὶς τῶν Ἀττικῶν. cf. Χ 473. 128 pro ὤτρυνον scripsit ὀτρύνοντος L.

157. τοιῆδ᾽: ἕν ἐστι· διὸ προπερισπαστέον τὸ τοιῆδε. A.

159. ὥς: περισπαστέον τὸ ὥς· ἀντὶ γὰρ τοῦ ὅμως. A.

160. ἡμῖν: ὀρθοτονητέον τὴν ἡμῖν· ἔστι γὰρ ἐν συμπλοκῇ διασταλτικῶς εἰλημμένη, ἡμῖν καὶ τοῖς τέκνοις. ABL.

182. ὀλβιόδαιμον: προπαροξυτόνως· ἔστι γὰρ σύνθετον· τὰ δὲ μακρᾷ παραληγόμενα βαρύτονα, ἔχοντα κλητικὴν εἰς ον περατουμένην, προπερισπᾶται ἁπλᾶ ὄντα, Μαχᾶον, Ἀρετᾶον. σύνθετα μέντοι ἀναδίδωσι τὸν τόνον, κυλλοπόδιον, Ποσείδαον, ὀλβιόδαιμον. καὶ ἐπὶ τῶν ἄλλων τῶν συνθέτων τὸ αὐτό, λέγω δὲ τὸ Αὐτόμεδον καὶ Ἀγάμεμνον· ταῦτα γὰρ πάλιν τὸν τόνον ἀνεβίβασε κατὰ κλητικήν, ἐπεὶ σύνθετα ἦν. τὰ μέντοι παρὰ τὸ φρήν συντιθέμενα ἐφύλαξε τὸν τόνον, Λυκόφρον, δαΐφρον. ὅθεν σημειῶδες ἐκεῖνο κατὰ κλητικήν «ἰὼ Λακεδαῖμον» Ἀριστοφάνης Ὁλκάσιν· καὶ σύνθετον τὸ «ψευδόμενοί σε Παλαῖμον». A.

198. ὀΐων: Ἀρίσταρχος δισυλλάβως ὡς αἰγῶν καὶ Πτολεμαῖος ὁ Ἀσκαλωνίτης· Ἀριστόνικος δὲ τρισυλλάβως, ὡς τὸ (l. ὅς τ᾽) ὀΐων μέγα πῶϋ. ὁ μέντοι Πτολεμαῖος οὐχ ὑγιὲς αἴτιον ἐπιφέρει τῆς δισυλλάβου ἀναγνώσεως· φησὶ γὰρ ὅτι ἡ εὐθεῖα μονοσύλλαβός ἐστιν, οἷς ὡς αἶξ. διαμαρτάνει δέ· οὐδέποτε γὰρ ὁ ποιητὴς μονοσυλλάβως εἶπε τὴν εὐθεῖαν, δισυλλάβως δὲ «τοῖσι δ᾽ ὄϊς λάσιος» (Il. Ω 125) καὶ «μῆλ᾽ ὄϊές τε καὶ αἶγες» (Od. ι 184) καὶ «Τειρεσίῃ δ᾽ ἀπάνευθεν ὄϊν» (Od. κ 524)· ἕνεκα δὲ μέτρου «οἰὸς ἀωτῷ» (Od. α 443) καὶ «οἰῶν τε βληχήν» (Od. μ 266). ὥστε εἰ καὶ ἐνθάδε μέτρον οὐ κωλύει, οὐδὲν ἦν ἐμποδὼν παραδέξασθαι τὴν τοῦ Ἀριστονίκου ἀνάγνωσιν. καὶ γὰρ ἄλλως τὸ ὄϊς ἀναλογώτερον ἔσται δισύλλαβον ὂν τοῦ μονοσυλλάβου· πολλὰ γὰρ τὰ εἰς ις λήγοντα ἐπ᾽ εὐθείας, οὐδὲν δὲ εἰς οις, ὅτι μὴ μόνον τὸ οἷς καὶ παρὰ Ἀττικοῖς τὸ φθοῖς. A.

217. ὑπαί: ὡς εἰ καὶ ἐντελὴς ἦν, οὕτως ἀναγνωστέον, φυλάττοντας τῆς προθέσεως τὸν τόνον. A.

219. αἴδρεϊ φωτὶ ἐοικώς: αἴδρεϊ προπαροξυτόνως ὡς ἀπ᾽ εὐθείας τῆς ἄϊδρις· «χώρου ἄϊδρις ἐών» (Od. κ 282). ταύτης δὲ τῆς εὐθείας ὀφείλει γενικὴ ἐκπίπτειν αἴδρεος, καὶ αἴδρεϊ. οὐ γὰρ δή γε διὰ τοῦ δ· οὐ γάρ ἐστι παρώνυμον μακρᾷ παραληγόμενον· ἀλλ᾽ ὡς τὸ ἔχις πόσις ὄφις, οὕτως ὀφείλει κλίνεσθαι. ὥστε ἐκ τοῦ ἐναντίου ἁμάρτημα τὸ παρὰ τῇ Σαπφοῖ, τὸ πολυΐδριδι, εἰ μὴ ἄρα ὁμοίως τοῖς Ἀττικοῖς ἐκλίθη. ὁ γὰρ Σοφοκλῆς ἴδριδα ἔφη τὴν αἰτιατικήν, ὅ τε Φρύνιχος τὴν εὐθεῖαν ἴδριδες. γένοιτο οὖν ἡ δοτικὴ αἴδρεϊ φωτὶ ἐοικὼς κατὰ τὸν προκείμενον λόγον. οὐδὲν δὲ θαυμαστόν, εἰ διὰ τοῦ ι πολλάκις τῶν τοιούτων γενικῶν τὴν παραλήγουσαν προφέρονται Ἴωνες, τὴν δὲ δοτικὴν διὰ τοῦ ε, οὐχὶ δὲ διὰ τοῦ ι· τάχα γὰρ διὰ τὸ κακόφωνον. ὁ γοῦν ποιητής φησιν «εὐνήν τ᾽ αἰδομένη πόσιος» (Od. π 75), τῇ δὲ δοτικῇ «χαριζομένη πόσεϊ ᾧ» (Il. Ε 71). A.

182 Lehrsius conferri iubet Schol. ad A 149. 198 in Et. M. transisse monet L. 219 in E. M. transisse observat L.

236. ἰδέειν: οὐκ ἔστιν ἐντελὲς τὸ ἰδέειν, ἀλλὰ τοὐναντίον ἀπὸ τοῦ ἰδεῖν γέγονε κατὰ διάλυσιν, ὥσπερ ἀπὸ τοῦ εὐφρανεῖν τὸ εὐφρανέειν· οἱ γὰρ δεύτεροι ἀόριστοι καὶ μέλλοντες οὐκ ἔχουσι τὴν περισπωμένην ἀπὸ ἐντελείας ὥσπερ οἱ περισπώμενοι ἐνεστῶτες. A.

239 et 240. ἢ — ἤ: ὁ μὲν πρῶτος ἢ σύνδεσμος βαρύνεται, ὁ δὲ δεύτερος περισπᾶται, ἵνα τοιαύτη ἡ φράσις γένηται, ἢ οὐκ ἠκολούθησαν ἢ ἠκολούθησαν μὲν οὐκ ἐθέλουσι δὲ μάχην καταδύμεναι ἀνδρῶν. A.

240. νέεσσ' ἐνὶ ποντοπόροισιν: Νικίας οὐκ ἀναστρέφει. οὐ συμφωνεῖ δὲ τὰ τῆς ἱστορίας αὐτῷ. φασὶ γὰρ Ἀρίσταρχον τοῖς κυριωτέροις συντάσσειν τὰς προθέσεις. A.

280. μάρτυροι ἔστε: παροξύνεται τὸ ἔστε, ἵνα προστακτικὸν γένηται ὁμοίως τῷ φυλάσσετε· πιθανωτέρα γὰρ ἡ τοιαύτη ἀνάγνωσις· πολλὰ γάρ ἐστι προστακτικὰ ὡς πρὸς τοὺς θεοὺς «Ζεῦ πάτερ, ἀλλὰ σὺ ῥῦσαι, ποίησόν τ' αἴθρην, δός τ' ὀφθαλμοῖσιν» (Il. P 645). ἀναγκαῖον μέντοι ἐστὶ παραφυλάξαι ἐκεῖνο, ὡς ὅτι τὰ εἰς τε λήγοντα πληθυντικὰ ὁριστικὰ καὶ προστακτικὰ ἀεὶ ὁμοτονεῖ ὑπεσταλμένου τοῦ ἔστε, οἷον λέγετε — ὅτι λέγετε, ἄγετε — ὅτι ἄγετε. A.

316. χαλκήρεϊ: προπαροξυτόνως· ἔστι γὰρ παραγωγὴ διὰ τοῦ ηρης, ἥτις βαρύνεται, ξιφήρης, ὀλιγήρης, θυμήρης, ἔνθεν τὸ «θυμῆρες κεράσασα» (Od. κ 362). εἰ μέντοι γε τὸ ἄρω ἔγκειται ἐπὶ τούτου καὶ διὰ τοῦ α ἡ σύνθεσις γένοιτο, καὶ ὀξεῖα τάσις ἐστίν· «ἔχει δ' ἄλοχον θυμάρεα» (Il. I 336). ABL.

344. διαμετρητῷ: Ἀρίσταρχος περισπᾷ καὶ οἱ ἄλλοι καὶ οὕτως ἔχει ἡ παράδοσις· καί ἐστι παρασύνθετον· τὸ γὰρ ῥῆμα συντέθειται ἐν τῷ «χῶρον μὲν πρῶτον διεμέτρεον» (315). A.

354. ξεινοδόκον: παροξύνεται διὰ τὴν ἐνέργειαν. οὕτως δὲ πέφυκε τὰ παρὰ ῥῆμα συντιθέμενα παροξύνεσθαι μέν, ὅτε ἐνέργειαν ὑπισχνεῖται, προπαροξύνεσθαι δέ, ὅτε πάθος, εἰ μὴ κανόνες τινὲς κωλύοιεν οὓς παρατίθεται ὁ Ἡρωδιανός. ὥστε διαφέρειν τὸ λιθοβόλος τοῦ λιθόβολος· τὸ μὲν γὰρ παροξυνόμενον σημαίνει τὸν λίθους βάλλοντα, τὸ δὲ προπαροξυνόμενον τὸν ὑπὸ λίθου βεβλημένον, ὡς παρ' Εὐριπίδῃ ἐν Φοινίσσαις (1069) «λιθόβολον εἶμα κατειργάσω». A.

366. ἤ: περισπᾶται ὁ ἦ· βεβαιωτικὸς γάρ. A.

426. ἔνθα κάθιζ' Ἑλένη: κάθιζ': συστέλλειν δεῖ τὸ ι καὶ προπαροξύνειν τὸ κάθιζε. ὅσα γὰρ παρῳχημένου ῥήματα βραχυκατάληκτα ἐνέλειψε χρόνῳ κατὰ τὸ ἄρχον, ταῦτα συντιθέμενα ἀναδίδωσι τὸν τόνον· εἶχον συνεῖχον· ἀλλ' ἐπεὶ ἐγένετο ἔχε, ἀνεδόθη ὁ τόνος «νὺξ δὲ μάλα στυγερὴ κάτεχ' οὐρανόν» (Od. ν 269). οὕτως ἷζε κάθιζε· «Νέστωρ τ' αὐτὸς ἔφιζε» (Od. γ 411). A.

236 ἀόριστοι καὶ inter δεύτεροι ac μέλλοντες inseruit L. 239 ἢ ἠκολούθησαν inseruit L. coll. qu. ep. p. 54. 240 οὐκ ἀναστρέφει pro ἀναστρέφει scripsit Lehrs coll. qu. ep. p. 81. 354 canonem einsmodi, qui distinctionem activae et passivae notionis per accentum impediat, esse M 26 monet L., qui conferri iubet Λ 270. adeas nunc Pros. Cath. p. 235.

440. πάρα γὰρ θεοὶ εἰςι καὶ ἡμῖν: ὀξυτονητέον τὴν παρά πρόθεςιν κατὰ τὴν ἄρχουςαν. ἔςτι δὲ οὐκ ἀναςτροφή, ἀλλὰ καθ' ὑπέρβατον κεῖται, διαλελυμένου τοῦ πάρειςιν. εἰκότως τινές φαςιν, ὅτι αἱ προθέςεις, ὅταν κατὰ διάλυςιν λέγωνται πρὸς τὰ ἐπιφερόμενα, φυλάςςουςι τοὺς τόνους «κατὰ ταῦρον ἐδηδώς» (Il. Ρ 542) «κατὰ βοῦς Ὑπερίονος ἤςθιον» (Od. α 8) «ἀνὰ δ' ὁ πτολίπορθος Ὀδυςςεὺς ἔςτη» (Il. Β 278). ἐχρῆν οὖν καὶ τῆς παρά ἐνθάδε, εἰ πρὸς τὸ ἐπιφερόμενον ςυντάττεται, φυλάςςεςθαι τὸν τόνον. πρὸς οὓς πιθανῶς ὑπαντητέον, ὅτι ἐκεῖνα μέν, ἅπερ ἐτίθεντο, καὶ ἐν τῇ ςυνθέςει φυλακτικὰ ἐγένετο τοῦ τόνου τῶν προθέςεων, οἷον κατήςθιον, κατεδηδώς. οὐ γάρ τις τῶν προθέςεων τούτων ἐπὶ τὴν ἄρχουςαν ςυλλαβὴν ἑαυτῆς μετεβίβαζε τὸν τόνον· τὸ δὲ πάρειςι μετεβίβαζεν· ἔνθεν καὶ τὸ κατὰ διάλυςιν οὕτως ἀναγινώςκομεν. Λ.

446. ὥς ςεο: ἐγκλιτικῶς ἀναγνωςτέον· οὐ γὰρ ἀντιδιαςτολὴ προςώπου· ἐκεῖνο δὲ ἐπὶ τοῦ Διὸς ὀρθοτονητέον «ὡς ςέο νῦν ἔραμαι» (Ξ 328). ἀντιδιαςτολὴ γὰρ πρὸς ἄλλα πρόςωπα. Λ.

ΕΙϹ ΤΗΝ Δ.

2. μετὰ δέ ςφιςι. τὸ ςφιςι κατ' ἔγκλιςιν ἀναγνωςτέον νῦν, ἵνα εἰς ἁπλῆν ἀντωνυμίαν ἡ μετάληψις γένηται. τοῦτο δὲ τὸ παρατήρημα οἱ ἀπ' Ἀριςτάρχου παραγγείλαντες διηνεκῆ τὴν ἀνάγνωςιν οὐκ ἐφύλαξαν. ἀληθὲς γάρ ἐςτιν, ὅτι ἡ ςφίςιν ἐγκλιτικὴ οὖςα εἰς ἁπλῆν μεταλαμβάνεται, ὥςπερ καὶ ἐπὶ τοῦ «ἔτι γάρ ςφιςι κῦδος ὀρέξω» (Il. Ρ 453). οὐ μὴν ὀρθοτονουμένη πάντως εἰς ςύνθετον· ἔςτι γὰρ ὅτε καὶ εἰς ἁπλῆν. εἰς μὲν οὖν ςύνθετον οὕτως «αἵ ἑ μετὰ ςφίςιν εἶχον» (Il. Χ 474), εἰς ἁπλῆν δὲ οὕτως· «τοὺς δ' ἄναγον ζωοὺς ςφίςιν ἐργάζεςθαι» (Od. ξ 272), «ςφίςι δ' αὐτοῖς δαῖτα πένεςθαι» (Od. δ 683). οὐ γὰρ δὴ καὶ οἱ αἰχμάλωτοι ἄγονται ἑαυτοῖς ἐργάζεςθαι, ἀλλ' αὐτοῖς τοῖς ἄγουςιν· οὐδὲ οἱ μνηςτῆρες τὰ πρὸς τὴν δαῖτα ἑαυτοῖς παρεςκεύαζον, ἕτεροι δὲ αὐτοῖς. ΑΒ.

3. νέκταρ ἐῳνοχόει: διαφόρους δόξας ἐκτίθεται ἐν τῇ προςῳδίᾳ ὁ Ἡρωδιανός, ἣ δὲ ἀρέςκεται, αὕτη ἐςτίν. ἔθος ἐςτὶ τῷ ποιητῇ ἀποβάλλειν πολλάκις τὸ κατ' ἀρχὴν ε ἐπὶ τῶν παρῳχημένων, ἔςθ' ὅτε δὲ καὶ πλεονάζειν. πρόδηλοι δὲ αἱ χρήςεις· «ςτῆςε δ' ἐν Ἀμνιςῷ» (Od. τ 188)· «ςκῆπτρον μέν τοι δῶκε» (Il. Ι 38)· τὸ γὰρ ἐντελὲς «τῷ δ' ἕτερον μὲν ἔδωκεν» (Il. Π 250). οὕτως οὖν καὶ ἐκ τοῦ ἐναντίου· τὸ μὲν γὰρ ἀκόλουθόν ἐςτι κίνημα ἀπὸ τοῦ οἴγω ᾦγεν κατὰ παρατατικόν· «τὴν δ' οὐ θεὸς ἄλλος ἀνῷγεν» (Il. Ξ 168)· ἀλλὰ τὸ κατὰ πλεοναςμὸν τοῦ ε· «χηλοῦ δ' ἄπο πῶμ' ἀνέῳγεν» (Il. Π 221). καὶ ἀπὸ τοῦ ἁνδάνω ἥνδανεν «ἀλλ' οὐκ Ἀτρείδῃ Ἀγαμέμνονι ἥνδανε» (Il. Α 24)·

Δ 3 ἐν ante τῇ προςῳδίᾳ inseruit L.

τὸ δὲ κατὰ πλεοναcμόν, «οὐδ' Ἀγαμέμνονι πάμπαν ἑήνδανε» (Od. γ 143). καὶ πάλιν «ἕccατο δ' ἔκτοcθεν» (Il. Κ 334)· εἶτα ἐν ἑτέροις «ἑέccατο δέρμα» (Il. Κ 177). ἀπὸ δὲ τοῦ ὤθω βαρυτόνου τὸ «ὦcα παρέξ» (Od. ι 488) καὶ ὦcε τὸ τρίτον. ὃ ἐν πλεοναcμῷ φηcι «κὰδ δ' ἄρ' ἐπὶ cτόμ' ἔωcεν» (Il. Π 410). οὕτωc οὖν ἐπὶ τούτου. ἐν ἑτέροις γάρ φηcιν «ὠνοχόει δ' υἱὸc Μενελάου» (Od. ο 141), ὅπερ κατὰ πλεοναcμὸν τοῦ ε̄ ἀκολούθωc πάλιν ἀπεφήνατο «νέκταρ ἐῳνοχόει». A.

26. πῶc ἐθέλειc ἅλιον: δαcυντέον τὸ ἅλιον· παρὰ γὰρ τὴν ἁλόc γενικὴν κτητικῶc μετήχθη. cημαντικὸν δέ ἐcτι τοῦ ματαίου, ἐπεὶ οὐκ εὔχρηcτον εἰc πόcιν τὸ θαλάccιον ὕδωρ. τὸ γοῦν ἐναντίον πότιμον καὶ ποταμὸc λέγεται. A.

27. ἱδρῶθ': αἰτιατική ἐcτι κατ' ἔκθλιψιν εἰλημμένη· ἔνθεν προπεριcπῶμεν· ὀξύνεται γὰρ ἡ εὐθεῖα ὁμοίωc τῷ εὐρώc. τὸ δὲ ἵδρωcα οὐκ ἀναγκαῖον cυcτέλλειν· δύναται γὰρ ἐκτείνεcθαι καὶ μηδὲν λυμαίνεcθαι τῷ μέτρῳ. ἔφαμεν δὲ τὸν ποιητὴν ἀδιαφόρωc καὶ φυλάccειν τὸν χρόνον τῶν παρῳχημένων καὶ ἀποβάλλειν. δύναται μέντοι καὶ ἱδρῶ τε εἶναι τὸ πλῆρεc, ἐπεὶ cύνηθεc αὐτῷ οὕτωc τὴν αἰτιατικὴν προφέρεcθαι «ἱδρῶ ἀπεψύχοντο» (Il. Λ 621). A.

43. ἐγὼ cοί: ὀρθοτονητέον τὴν cοί. δύναται γὰρ ἀντιδιαcτολὴ εἶναι. A.

46. περὶ κῆρι: περιccῶc τῷ κέαρι. τὸ περί φυλάccει τὸν τόνον, ὅτε cημαίνει τὸ περιccῶc, ὁμοίωc τῷ «ὡc περὶ μὲν νόον ἐcτί, περὶ δ' ἱρὰ θεοῖcιν» (Od. α 66). τὸ δὲ κῆρι οὐδέτερον ὅταν ᾖ, προπεριcπᾶται. ἐκ γὰρ τοῦ κέαρι cυνήλειπται, ὅταν δὲ θηλυκὸν ᾖ, ὀξύνεται. ἐνθάδε δὲ οὐδέτερόν ἐcτι. προπεριcπαcθήcεται ἄρα. A.

53. πρὸ τέλουc ἡ ὀξεῖα τοῦ διαπέρcαι, ἵν' ᾖ ἀπαρέμφατον ἀντὶ προcτακτικοῦ. A.

94. τλαίηc κεν Μενελάῳ ἐπιπροέμεν ταχὺν ἰόν: ἐπιπροέμεν: Ἀρίcταρχοc ἀναcτρέφει, ἵνα τὸ ἑξῆc γένηται ἐπὶ Μενελάῳ, ὡc καὶ ἐπ' ἐκείνου «ἦ καὶ ἐπ' Ἀντινόῳ ἴθυνεν» (Od. χ 8). Μενεκράτηc δὲ ὁ Μιλήcιοc ὑφ' ἕν, ἐπιπροέμεν, ὁμοίωc τῷ ἐπιπροΐηλε καὶ ἐπιπροέηκε, ἵν' ἔμφαcιc μᾶλλον γένηται. A.

97. τοῦ κεν δὴ πάμπρωτα παρ' ἀγλαὰ δῶρα φέροιο. πάμπρωτα παρ' ἀγλαά: τινὲc ἀναcτρέφουcι τὴν παρά, κακῶc· οὐδέποτε γὰρ ἀναcτρέφεται πρόθεcιc γενικῇ cυνταccομένη πτώcει· ἔcτι γὰρ τὸ ἑξῆc παραφέροιο. AL.

99. πυρῆc ἐπιβάντ': οὐκ ἀναγκαῖον ἀναcτρέφειν, ἵνα γένηται τὸ ἑξῆc ἐπὶ πυρῆc βάντα· ἔμφαcιc γὰρ γίνεται, τῇ μετοχῇ εἰ cυνταγείη ἡ πρόθεcιc. A.

---

46 pro cυνείληπται Lehrs scripsit cυνήλειπται. 97 notam sic fere supplendam dixit Lehrs q. ep. 78: οὐδέποτε γὰρ ἀναcτρέφεται πρόθεcιc cυναληλιμμένη. ἀλλ' οὐδὲ ἔcτι νῦν τῇ γενικῇ cυνταccομένη πτώcει· ἔcτι γὰρ κτλ.

109. De quantitato in κέρα hic ampla Herodiani nota fuit, ut intelligitur ex Λ 385.

126. ἐπιπτέcθαι: παροξυτονητέον· ἔcτι γὰρ μέcοc δεύτεροc ἀόριcτοc, ὁμοίωc τῷ «τότ' ἂν οὔ τοι ἀποcχέcθαι» (Od. ι 211), καὶ τὸ ἁπλοῦν αὐτοῦ ἐcτὶ πτέcθαι. πᾶν δὲ ἀπαρέμφατον cυντιθέμενον φυλάccει τὸν αὐτὸν τόνον. Α.

138. τὸ ἔρυτο ψιλοῦται καὶ προπαροξύνεται· οὕτωc Ἀρίcταρχοc, καὶ ἐπείcθη αὐτῷ ἡ παράδοcιc. δύναται δὲ καὶ προπεριcπᾶcθαι. ἔcτι γάρ τι ῥῆμα ἐρύω. τούτου ὁ παρατατικὸc παθητικὸc γίνεται εἰρυόμην, τὸ τρίτον εἰρύετο, ὃ ἐν cυναλοιφῇ καὶ ἐνδείᾳ τοῦ ῑ ἐγένετο ἐρῦτο. Α.

151. ὡc δὲ ἴδεν νεῦρόν τε: ἴδεν: cυcταλτέον τοῦ ἴδε τὸ ῑ, ὁμοίωc τῷ «οὐκ ἴδον, οὐ πυθόμην» (Od. ψ 40). εἰcὶ δὲ οἳ ἀναγινώcκουcιν «ὡc δ' εἶδεν νεῦρόν τε», ὁμοίωc τῷ «ὡc εἶδεν δύο φῶτε» (Il. Ε 572), οὐχ ὑγιῶc. ἐνθάδε γὰρ οὐκ ἄλλωc δυνάμεθα ἀναγνῶναι ἢ φυλάccοντεc τὴν ει δίφθογγον. ἐπὶ δὲ τούτων παραφύλαξαι, ὅτι ὅταν ἡ προκειμένη λέξιc εἰc τὸ ε̄ καταλήγῃ, ἤτοι διαcτέλλει τὸ ῑ ἀπ' αὐτῆc μετὰ cυcτολῆc, ἢ ἔκθλιψιν ποιεῖται τοῦ ε̄, ἔκθλιψιν μὲν οὕτωc «τὸν δ' ἴδεν Αἰνείαc» (Il. Ε 166) καὶ «νῦν δ' ἴδεν ὅc μέγ' ἄριcτοc» (Il. Β 82), διαcτολὴν δὲ οὕτωc μετὰ cυcτολῆc «τὴν δὲ ἴδεν προμολοῦcαν» (Il. C 382) καὶ «τὸν δὲ ἴδεν Κάδμου θυγάτηρ» (Od. ε 333). οὕτωc οὖν καὶ ἐνθάδε. Α.

212. περὶ δ' αὐτὸν ἀγηγέραθ' ὅccοι ἄριcτοι Κύκλοc': Ἀρίcταρχοc μὲν ὀνοματικῶc, ἵν' ᾖ ἀγηγέρατο κύκλοc, ὁμοίωc τῷ «ἀγρόμενοι πᾶc δῆμοc» (Il. Υ 166)· τοιοῦτο γὰρ βούλεται cημᾶναι, κύκλοc γενόμενοι. Νικίαc δὲ καὶ ὁ Ἀcκαλωνίτηc κυκλόcε, ὡc «πόcε φεύγετε» (Il. Π 422). ὅπερ καὶ πιθανώτερον. οὐ γὰρ δύναται ἐντελὴc εἶναι ἡ cύνταξιc τοῦ Ἀριcτάρχου, ἀγηγέρατο κύκλοc· λείπει γάρ τι. διὸ ὁ Ἀρίcταρχοc ἔξωθεν προcτίθηcι τὸ γενόμενοι· εἰ δὲ προcτίθηcιν, ἄμεινον αὐτόθεν ἀναγινώcκειν κυκλόcε· τοιοῦτο γὰρ τὸ ἐπίρρημα τὴν προκειμένην cχέcιν cημαῖνον. εἰ δέ τιc λέγοι, διὰ τί γὰρ τὸ ἀγρόμενοι πᾶc δῆμοc εὐπαράδεκτόν ἐcτιν, οὐκέτι δὲ τὸ ἀγηγέρατο κύκλοc, ἴcτω ὅτι τὸ δῆμοc τῇ μὲν φωνῇ ἑνικόν ἐcτι, τῷ δὲ cημαινομένῳ πληθυντικόν· τῷ οὖν cημαινομένῳ ἡ cύνταξιc ἐγένετο, ὡc καὶ ἐπὶ τοῦ «ἡ πληθὺc ἐπὶ νῆαc Ἀχαιῶν ἀπονέοντο» (Il. Ο 305). οὔ γε μὴν ὁ κύκλοc ἔχεται τούτου τοῦ cημαινομένου· διὸ οὐδὲ ἐντελὴc ἡ τοιαύτη cύνταξιc ἐπ' αὐτῷ δύναται γενέcθαι. Α.

222. κατὰ τεύχε' ἔδυν: cυcταλτέον τὸ ἔδυν· πληθυντικὸν γάρ ἐcτι

---

109 ex Λ 385 et Χ 347 iure concludit L. falsum esse, quod nunc in schol. A scriptum est de κέρα: ἀποκοπή ἐcτι τοῦ κέρατα, Ἡρωδιανὸc cυναλοιφὴν τοῦ κέραα· τὸ δὲ χρέεα χρέα cυγκοπή. 138 pro εἰρύω L. scripsit ἐρύω et pro ἔρυτο ἐρῦτο, idem verba δύναται δὲ καὶ προπεριcπᾶcθαι inseruit coll. Π 542, unde praeterea in fine additum fuisse putat cυγκατατιθέμεθα δὲ μᾶλλον τῷ Ἀριcτάρχῳ.
151 οὐκ ἄλλωc scripsi pro οὐ καλῶc.

cυγκοπὲν ἀπὸ τοῦ ἔδυcαν, τὸ δὲ ἑνικὸν ἐκτατέον ἔδυν· «δῦ δέ μιν Ἄρηc» (Il. P 210). ὁμοιόν ἐcτιν αὐτῷ καὶ τὸ «ἀλλήλοιcιν ἔφυν ἐπαμοιβαδόν» (Od. ε 481). εἰ δέ τιc λέγοι ὅτι τὰ ἑνικὰ καὶ τὰ πληθυντικὰ ὁμοφωνοῦντα καὶ ὁμόχρονά ἐcτιν, οἷον ἔλεγον ἐγὼ καὶ ἔλεγον ἐκεῖνοι, ἴcτω ὅτι ἐκ cυγκοπῆc ἐcτι τοῦτο τοῦ ἔδυcαν. ἐν δὲ τοῖc τοιούτοιc τρίτοιc ἡ cυγκοπὴ ἀναδέχεται λῆξιν τὴν αὐτὴν τῇ παραληγούcῃ τῆc γενικῆc τῆc κατὰ τὴν μετοχήν, ἔcτηcαν ἔcταν, cτάντοc γάρ· ἔβηcαν ἔβαν, βάντοc γάρ· ἐκοcμήθηcαν ἐκόcμηθεν, κοcμηθέντοc γάρ· «φάνεν δὲ οἱ εὐρέεc ὦμοι» (Od. c 68), φανέντοc γάρ· ἔφυμεν, ἔφυτε, ἔφυcαν ἔφυν, ἐπεὶ φύντοc· ἔδυμεν, ἔδυτε, ἔδυcαν ἔδυν, ἐπεὶ δύντοc. περὶ δὲ τοῦ «τῆc δ᾽ ἦν τρεῖc κεφαλαί» (Hesiod. Th. 321) ἐν τοῖc περὶ ῥήματοc ἐροῦμεν. τὸ μέντοι γε ἔδυν ἑνικὸν ἐκτείνεται, ἐπεὶ πᾶc δεύτεροc ἀόριcτοc ἐπὶ τῶν εἰc μι μακροκατάληκτόc ἐcτιν, ἔγνων, ἑάλων, ἐξέτρων, ἔτλην, ἔcτην, ἔδην, ἔφην. ἔφυν ἄρα καὶ ἔδυν. AB.

228. Πειραΐδαο: ἐν τέccαρcι cυλλαβαῖc προφέρεται τὴν εὐθεῖαν τοῦ πατρωνυμικοῦ, καὶ οἱ ἄλλοι. Τυραννίων δὲ τριcυλλάβωc, λέγων ὡc ὅτι οὐδὲν πατρωνυμικὸν παρὰ τῷ ποιητῇ ἔχει πρὸ τέλουc διεcταλμένον τὸ ῐ ἀπὸ ἑτέρου φωνήεντοc, οἷον Πανθοΐδηc, Βοηθοΐδηc Πηλεΐδηc· οὐδ᾽ ἄρα τοῦτο. ὑπὲρ δὲ τοῦ τετραcυλλάβωc ἀναγινώcκειν ἔχομεν ἐκεῖνο λέγειν, ὡc ὅτι ἐντελέc ἐcτι τὸ κατὰ διάλυcιν τοῦ ῑ, καὶ ὅτι οὐκ ἔχομεν τοιοῦτό τι πατρωνυμικόν, ὃ κατὰ cύλληψιν ἐξηνέχθη τοῦ ᾱ καὶ τοῦ ῑ πρὸ τέλουc. παρὰ τὸ Πείραιοc οὖν Πειραΐδηc ἐγένετο. A.

235. οὐ γὰρ ψευδέccι πατὴρ Ζεὺc ἔccετ᾽ ἀρωγόc: Ἀρίcταρχοc ἐπιθετικῶc ἀναγινώcκει ψευδέcι ὡc cαφέcι· τοῦτο γάρ φηcι θέλει δηλοῦν, οὐ γὰρ τοῖc ψεύcταιc Τρωcὶ βοηθεῖ ὁ Ζεύc. εἰ δὲ τὸ πρᾶγμα ἠβουλόμεθα παραλαβεῖν, ψεύδεcιν ἀνέγνωμεν ὡc βέλεcιν, ἵν᾽ ἀπ᾽ εὐθείαc ᾖ ἡ κλίcιc «ψεῦδοc δ᾽ οὐκ ἐρέει» (Od. γ 20). οὕτωc δὲ καὶ Πτολεμαῖοc ὁ Ἀcκαλωνίτηc cυγκατατιθέμενοc Ἀριcτάρχῳ. ὁ μέντοι Ἑρμαππίαc προcηγορικὸν ἀναγινώcκει ψεύδεcιν ὡc τείχεcιν, ἐπεὶ οὐδέποτε, φηcίν, οἶδεν ὁ ποιητὴc ἁπλοῦν τὸ ψευδήc, ἐν δὲ cυνθέτῳ φιλοψευδήc (Il. M 164) ἀψευδήc (Il. C 46), ἢ οἶδεν ἑτέρωc λεγόμενον τὸ «ψεῦcταί τ᾽ ὀρχηcταί τε» (Il. Ω 261). cυνεχῶc δὲ τὸ ψεῦδοc «ὦ γέρον οὔ τι ψεῦδοc» (Il. Ι 115), «ψεῦδοc δ᾽ οὐκ ἐρέει» (Od. γ 20), «ἴcκε ψεύδεα πολλά» (Od. τ 203). AV.

243. ἔcτητε: Πτολεμαῖοc ψιλοῖ, ἐπεὶ γίνεται cτῆτε, τὸ δὲ ἀποπῖπτον ε̄ ψιλοῦται. καὶ ἀληθεύει. ἐνθάδε μέντοι γε οὐκ ἔcτιν, ἀλλ᾽ ἐκ τοῦ ἕcτατε ἔκταcιc ἐγένετο τοῦ ᾱ εἰc η̄· cτάτε δὲ οὐ γίνεται. ἔνθεν δύναται δαcύνεcθαι· τὸ γὰρ αὐτό ἐcτι τῷ ἑcτήκαμεν τὸ ἕcτατε. A.

308. πόλεαc: οὕτωc Ἀρίcταρχοc προπαροξύνει, καὶ ἐπὶ τῶν

222 pro δῦ δέ μιν Ἄρηc Lehrs posuit δῦ μιν Ἄρηc praeter necessitatem.
228 post προφέρεται, nisi epitomator more excerptorum tertia persona Herodianum significet, nomen excidisse c. g. Ἀρίcταρχοc aut Πτολεμαῖοc arbitratur L.

πόλεων τὸ cημαινόμενον ἐκδέχεται, ᾧ cυγκατατίθεται καὶ ὁ Ἀcκαλωνίτης, λέγων ὅτι καὶ διὰ τοῦ ε̄ οἶδεν ὁ ποιητὴς τὴν χρῆσιν καὶ διὰ τοῦ ῑ, διὰ μὲν τοῦ ῑ· «ἐκ πόλιος δ' ἀλόχους» (ι 41), «πολλέων ἐκ πολίων» (Ι 544)· διὰ δὲ τοῦ ε̄ πόλεως «χρυσείην ἑκατὸν πόλεων» (Ε 744). πιθανὸν οὖν ἐστιν ἐκδέξασθαι ἐνθάδε ἐπὶ τῶν πόλεων τὸ cημαινόμενον, ἐπεὶ καὶ τείχεα ἐπιφέρει. Α.

319. κατέκταν μετὰ τοῦ ν̄ αἱ Ἀριστάρχου, καὶ ἐν ἐκτάcει τοῦ ᾱ Δωρικῇ οὔcῃ ὡς ἔβαν ἐγώ. ἡ γὰρ χρῆcις τοιαύτη ἦν παρὰ Ἀττικοῖς· παρὰ γὰρ τὸ κτῶ καὶ κτῆμι κινήματα ἱκανὰ ἐξέπιπτεν· δεύτερος μὲν αὐτὸς ἀόριστος, ὀφείλων εἶναι κοινῶς ἔκτην, γινόμενος δὲ κατὰ Δωρίδα ἔκταν, ὃς ἐν χρήσει ὁρᾶται Ἀττικοῖς. Εὐριπίδης Πλεισθένει «οὐ τὸν cὸν ἔκταν πατέρα πολέμιόν γε μήν». Αἰσχύλος δὲ Παλαμήδει· «τίνος κατέκτας ἕνεκα παῖδ' ἐμὸν βλάβης» καὶ ἐν Σεμέλῃ ἢ ὑδροφόροις «Ζεὺς ὃς κατέκτα τοῦτον». ἐπίσταται ὁ ποιητὴς καὶ τὸ πληθυντικὸν πρώτου ἀορίστου παθητικοῦ κατὰ συγκοπὴν «οὐδέ τις Αἰγίσθου, ἀλλ' ἔκταθεν ἐν μεγάροισι» (Od. δ 537), καὶ μέσον δεύτερον ἀόριστον «Τεῦκρε πέπον δὴ νῶϊν ἀπέκτατο πιστὸς ἑταῖρος» (Il. Ο 437), ᾧ ἀκόλουθον ἀπαρέμφατον τὸ «κτάσθαι τε πολίτας» (ib. 558)· μετοχαί τε σημαίνουσαι τὸ κτῆμι, ἤτε κτάς καὶ κτάμενος, ἀπαρέμφατόν τε ἐνεργητικὸν τὸ κτάμεναι. ὑγιῶς ἄρα Ἀρίσταρχος ἔκταν γράφει ὡς ἔκταν (imo ἔβαν ut supra, Aiax 868) ἐγώ. Α.

346. δασυντέον τὸ μελιηδέος. Α.

404. μὴ ψεύδε': τὸ πλῆρές ἐστι μὴ ψεύδεο· ἀρκεῖ οὖν ἡ ὀξεῖα. Α.

412. τέττα σιωπῇ ἧσο (cf. Ζ 336, Ο 10. 245, Ω 84): δασυντέον τὸ ἧσο. Α.

423. Ζεφύρου ὕπο κινήσαντος: Πτολεμαῖος ὁ τοῦ Ἀριστονίκου καὶ Νικίας καὶ Τυραννίων ἀναστρέφουσιν· οἱ δὲ ἄλλοι παρέλκειν φασὶ τὴν πρόθεσιν, ἔνθεν καὶ φυλάσσεται ὁ τόνος ὁμοίως τῷ «ἔσκεν ὑφηνίοχος» (Il. Ζ 19) καὶ «Ποσειδάωνος ὑποδμώς» (Od. δ 386). Α.

452. χείμαρροι: Πτολεμαῖος ὁ Ἀσκαλωνίτης παροξύνει, ἐπεὶ τὸ ἑνικόν ἐστι χειμάρρους, Νικίας δὲ ὡς εὔζωνοι, καὶ μήποτε πιθανώτερον, ἵνα ἐκ τοῦ χειμάρροος ᾖ γεγονός, εἴτε μᾶλλον ἐντελέστερον οἶδε τὸ ἑνικὸν ἐν τῇ συνθέσει ἤπερ τὸ συνηλιμμένον· «ὅσσους Ἑλλήσποντος ἀγάρροος» (Il. Β 845), «στήῃ ἐπ' ὠκυρόῳ ποταμῷ» (Il. Ε 598), «ἐς ποταμὸν εἰλεῦντο βαθύρροον» (Il. Φ 8), «ἀψορρόου Ὠκεανοῖο» (Il. Σ 399). σπανίως δὲ τὸ ἕτερον· «χειμάρρους κατ' ὄρεσφιν ὄπαζεν» (Il. Λ 493), «ποταμῷ πλήθοντι ἐοικὼς χειμάρρῳ» (Il. Ε 87). τὸ μέντοι γε ἁπλοῦν ἀεὶ ἐντελῶς ἀποφαίνεται ῥόος· «ὦθει δ' ἐν σάκεϊ πίπτων ῥόος» (Il. Φ 241). Α.

483. ἐν εἱαμενῇ: δασυντέον ἀπὸ τῆς ἕσεως. Α. cf. Ο 631.

308 ἀλόχους pro ἄλοχον scr. L. 319 Παλαμήδει pro Παλαμήδῃ scr. L., idem ἐνεργητικὸν positum post μέσον δεύτερον ἀόριστον transtulit post ἀπαρέμφατόν τε. 452 οἶδε pro οἱ δὲ scr. L.

497. ἀμφὶ ἕ: δασυντέον τὸ ε καὶ ὀρθοτονητέον· μεταλαμβάνεται γὰρ εἰς σύνθετον. A.

534. οἷ ἕ: ἐγκλιτικῶς ἀναγνωστέον, ἵνα εἰς ἁπλῆν ἀντωνυμίαν ἡ μετάληψις γένηται. A.

ΕΙΣ ΤΗΝ Ε.

9. Δάρης: ὡς Χάρης. ὁμολογεῖ καὶ ἡ γενική· Δάρητος γὰρ ὡς Χάρητος. εἰ γὰρ ὠξύνετο, ἡ γενικὴ ἐγίνετο Δαροῦς ὡς σαφοῦς, ὅτι τὰ εἰς ης δισύλλαβα ὀξύτονα, ἓν ἔχοντα σύμφωνον, εἰς ους περατοῦται κατὰ τὴν γενικήν, σαφοῦς, πρηνοῦς, πρυλοῦς, φραδοῦς «φραδέος νόου ἔργα» (Il. Ω 354). τοιαύτη ἄρα ἐγίνετο καὶ ἡ τοῦ προκειμένου ὀνόματος κλίσις. περὶ δὲ τοῦ ψιλῆτος παρ' Αἰσχύλῳ καὶ τοῦ «Κουρῆτές τ' ἐμάχοντο» (Il. I 529) καὶ τοῦ κριτῆς ἐν τοῖς περὶ ὀνομάτων ἀποδώσομεν τὸν λόγον. γέγονε δὲ τὸ Δάρης ἤτοι παρὰ τὸ δείρω καὶ ἐκδείρω (ἐοικὸς γὰρ ἱερεῖ), καὶ ἐχρῆν γε αὐτὸ εἶναι Δέρης ὡς Φέρης· ἐτράπη οὖν τὸ ε εἰς α· ἢ παρὰ τὸ δαίω τὸ καίω ἐν πλεονασμῷ τοῦ ρ. A.

19. μεταμάζιον: οὕτως μεταμάζιον ἓν ποιητέον ὡς τὸ μετάφρενον καὶ ἐνώπιον. παρῆκται δὲ παρὰ τὸ μαζός καὶ τὴν μετά, ὡς παρὰ τὸ χθονός καὶ τὴν ἐπί ἐπιχθόνιος, παρὰ ποταμόν παραποτάμιος. γίνεται γὰρ καὶ ἀπὸ δύο λέξεων κατὰ παράθεσιν ἕν τι παραγωγόν, ὡς τὸ Νεαπολίτης καὶ ἄλλα μυρία. A.

31. Ἆρες Ἄρες: Ἰξίων τὸ δεύτερον ὀξύνει, ἵν' ᾖ ἀντὶ τοῦ βλαπτικέ· οὐδέποτε γὰρ κλητικὴ ἀναδιπλασιάζεται παρὰ τῷ ποιητῇ. οὐχ οὕτως δὲ ἔχει ἡ παράδοσις. AB.

39. δασυντέον τὸ Ἁλιζώνων· οὐ (οὕτω corrigit Bekker) γὰρ ἱστοροῦνται λεγόμενοι. A.

39. Ὀδίον: πρὸ τέλους ἡ ὀξεῖα ἐπεὶ κύριόν ἐστιν· τὸ δὲ προσηγορικὸν ὅδιος ὡς σκότιος. βούλονται γὰρ τὰ τοιαῦτα τριβράχεα ἐπὶ κυρίων μὲν παροξύνειν, ἐπὶ δὲ προσηγορικῶν προπαροξύνειν, Τυχίος Δολίος, κἂν μὴ σχῇ διαστολήν, ὡς τὸ Χρομίος. Πτολεμαῖος μέντοι γε κἂν τῇ Ὀδυσσείᾳ (θ 370) ἀνεγίνωσκεν «Ἀλκίνοος δ' Ἁλίον» πρὸ τέλους ποιῶν τὴν ὀξεῖαν. ἔστι μέντοι γε διαπεφευγότα τινά, ὡς τὸ Ἄνιος καὶ Εὐφορίωνος Ξένιος (v. Mein. Anal. Alex. 23) καὶ ἐν τῇ συνηθείᾳ τὸ Κρόνιος. A.

43. Φαῖστον: προπερισπᾶται τὸ Φαῖστον ἐπὶ τοῦ ἥρωος, ἐπὶ δὲ τῆς πόλεως ὀξύνεται «ἐς Φαιστόν, μικρὸς δὲ λίθος» (Od. γ 296). B.

54. οὕτως ἐκηβολίαι ὡς εὐστοχίαι. ἔφαμεν γὰρ ὅτι τὸ ἀναδιδόναι τὸν τόνον τῶν μεταγενεστέρων ἐστὶν Ἀττικῶν, ὅτε περὶ τοῦ «πῇ δὴ συνθεσίαι» (Il. B 339) διελαμβάνομεν. A.

Ε 43 μικρὸς pro μικρὸν exhibuit L.

64. **οἵ τ' αὐτῷ:** ἡ οἱ ὀρθοτονεῖται νῦν διὰ τὴν ἀρχήν, οὐ πάντως δὲ εἰς σύνθετον μεταληφθήσεται. ἔτι δὲ συνεπέπλεκτο. ὅμοιον δέ ἐστι τὸ «ἀλλὰ τόδ' ἤμὲν ἐμοὶ πολὺ κάλλιον ἠδὲ οἱ αὐτῷ» (Il. Ο 226). Α.

69. **Πήδαιον:** Ἀρίσταρχος ὡς Πήδασον, καὶ ἐπεκράτησεν. καὶ ἴσως ἔχει ἀφορμὴν τοιαύτην, ὡς πολλάκις τὰ τοιαῦτα τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, εἰ ῥῆμα αὐτῶν προκατάρχοι, ὥσπερ ἔχουσι τὸ βέβαιος (παρὰ γὰρ τὸ βέβηκα), ὡς τὸ Φίλαιος, τὸ Νίκαιος, τὸ Τίμαιος. τοιοῦτον οὖν καὶ Πήδαιος. οὐ γάρ, ὡς οἴεται ὁ Ἄβρων, παρὰ τὴν πῆδον (sic)· ἐοικὸς γὰρ μᾶλλον ἥρωϊ παρὰ τὸ πηδᾶν ἐσχηματίσθαι. Α.

76. **Εὐαιμονίδης:** ψιλοῖ ὁ Ἀσκαλωνίτης, ἵνα κύριον γένηται ὥσπερ καὶ τὸ Φίλιππος καὶ Μελάνιππος. ἔστι μὲν οὖν ὃ λέγει πιθανὸν (διὰ τοῦτο γοῦν καὶ τὸ πολύμνια πῇ μὲν ψιλοῦμεν πῇ δὲ δασύνομεν, καὶ τὸ Εὐρύαλος, Ἀγχίαλος)· οὔ γε μὴν ἀληθές· εὑρέθη γὰρ τὸ Πάνορμος δασυνόμενον, καὶ Ἔφιππος ὁ κωμικός. Α.

99. τὸ γυαλον ὅταν ἐπίθετον ᾖ ὀξύνεται «εὖτ' ἂν ὁ παῖς ἀπὸ μὲν γυαλὸν λίθον ἀγκάσασθαι». Α.

100. **ἀντικρύ:** ὀξύνεται καὶ ἐκτείνεται· ὅταν δὲ ἔχῃ τὸ ς, συστέλλεται καὶ βαρύνεται. τὸ δὲ αἴτιον ἐν τῷ περὶ ἐπιρρήματος ἐροῦμεν. Α.

130. ἐνθάδε βούλονται τοῦ ἀντικρύ τὴν τελευταίαν συστέλλειν διὰ τὸ μέτρον. Α.

138. **αὐλῆς ὑπεράλμενον:** Διονύσιος ἀναστρέφει τὴν ὑπέρ. ὁ δὲ Ἀσκαλωνίτης ἓν ἐποίει, ὃ καὶ πυθανώτερον. Α.

158. **χηρωσταί:** ὡς ἀθληταί. οὕτως καὶ ὁ Ἀσκαλωνίτης· τὰ γὰρ εἰς της λήγοντα ῥηματικὰ ὑπὲρ δύο συλλαβάς, φύσει μακρᾷ παραληγόμενα, ὀξύνεται, τορευτής, βραβευτής, ἀθλητής, ποιητής, ὀρχηστής, χρυσωτής. οὕτως οὖν καὶ παρὰ τὸ «ἑεδνώσαιτο θύγατρα» (Od. β 53) τὸ ἑεδνωτής, καὶ παρὰ τὸ «χήρωσας δὲ γυναῖκα» (Il. Ρ 36) τὸ χηρωστής. μάχεται τὸ κυβερνήτης· τὸ γὰρ ἀήτης ἄλλως γέγονε. (An ab ἀήτη?) τὸ δὲ παρὰ Σοφοκλεῖ ἐν Ἀλεξάνδρῳ «στείχων δ' ἀγρώστην ὄχλον» παρώνυμον. Α.

164. **ἀέκοντας:** στέρησίς ἐστι τοῦ ἑκόντα τὸ ἀέκοντα. διὸ δασυντέον τὸ ε. πταίει οὖν Νικίας ψιλῶν τὸ ε· οἴεται γὰρ τῷ ἄκοντα ἐπεντίθεσθαι τὸ ε. ὅπερ οὐκ ἔστι· τὸ γὰρ ἄκοντα συναλοιφή ἐστι τοῦ ἀέκοντος. διὰ τί δὲ τὸ α ἐψιλώθη, ἐν ἑτέροις ἔφαμεν. (e. g. Α 301). Α.

178. **χαλεπὴ δὲ θεοῦ ἐπι μῆνις:** Ἀρίσταρχος παρολκὴν οἴεται τῆς ἐπί, ὁμοίως τῷ ἐπισμυγερῶς (Od. γ 195) καὶ «βοῶν ἐπιβουκόλος ἀνήρ» (ib. 422). ὅταν δὲ παρέλκῃ ἡ πρόθεσις, οὐ ποιεῖται ἐξαλλαγὴν

---

64 verba ἔτι δὲ συνεπέπλεκτο inseruit L. coll. quaest. ep. 108. 69 cf. Arist. p. 297[2] et in Addend. ad h. l. 76 pro Πολύμνεια scr. πολύμνια Lehrs, et pro ἀληθές commodius legi διηνεκές monet. cf. Lehrs Arist. p. 317 ed. II. 99 Eust. ad h. l. Ἀπίων καὶ Ἡρόδωρός φασι γύαλον μὲν θώρηκος προπαροξύνεσθαι, γυαλὸν δὲ λίθον ὀξυτόνως λέγεσθαι. 130 L. cft. v. 100. 158 L. cft. Ν 382. 164 pro τὸ ἄκοντα scripsit L. τῷ. 178 cf. Arist. p. 110 ed. II.

τόνου. εἰσὶ δὲ οἳ ἀνεγνώκασιν ὁμοίως τῷ «ἐπεὶ οὔτοι ἔπι δέος» (Il. Α 515), ἵνα τὸ ἔπεστι σημαίνηται. ἄλλοι δὲ ἐπίμηνις, ἓν μέρος λόγου ποιοῦντες. ἄμεινον δὲ τῷ Ἀριστάρχῳ συγκατατίθεσθαι. A.

202. φορβῆς: ὡς τροφῆς· τὰ γὰρ εἰς η̄ λήγοντα θηλυκὰ μετὰ συμφώνου δισύλλαβα ὀξύνεται, τῷ ο̄ παραληγόμενα, εἰ γένοιτο ἀπὸ ῥημάτων τῷ ε̄ παραληγομένων μόνῳ, οἷον στρέφω στροφή, τροπή, ῥοπή, σπονδή, νομή, ὁλκή, πλοκή. οὕτως καὶ φορβή. προσέθηκα τῷ ε̄ παραληγομένων μόνῳ, ἵνα νῦν ἐκφύγω τὸ πόρπη· τοῦτο γὰρ παρὰ τὸ πείρω. A.

203. ἄδδην: Νικίας διὰ δύο δ̄ γράφει διὰ τὸ μέτρον, ὁμοίως τῷ «κύον ἀδδεές» (Il. Φ 481), καὶ ψιλοῖ. Ἀρίσταρχος δὲ δι' ἑνὸς δ καὶ βραχέως καὶ δασέως· τὸ γὰρ α̅ πρὸ τοῦ δ δεκτικὸν μὲν ψιλοῦται, ὡς τὸ ἀδολέσχης ἀδρανής, μὴ οὕτως δὲ ἔχον δασύνεται «ἅδε δ' Ἕκτορι» (Il. Μ 80), «ἅδος τέ μιν ἵκετο θυμόν» (Il. Λ 88). καὶ τὸ Αδωνις δέ τινες δασύνουσι παρὰ τὸ ἥδω. AB. μάχεται τὸ ἀδράφαξυς δεκτικὸν ἔχον τὸ α̅ καὶ δασυνόμενον. A.

219. νώ: τὸ νώ βαρυτονητέον. ἅπαξ δὲ ἐν Ἰλιάδι καὶ ἅπαξ ἐν Ὀδυσσείᾳ τῷ νώ ἐχρήσατο κατ' αἰτιατικὴν πτῶσιν, ὥσπερ καὶ ἐνθάδε. «νὼ ἀναβησάμενοι» (Od. ο 475). ὁπότε μέντοι γε σὺν τῷ ῑ λέγεται, καὶ ἐπ' εὐθείας αὐτὸ τάσσει καὶ ἐπ' αἰτιατικῆς καὶ προπερισπᾶται· «νῶϊ δ' ἐγὼ Σθένελός» (Il. Ι 48) καὶ «οὐδ' ἂν νῶϊ διαδράκοι ἠέλιός περ» (Il. Ξ 344). περὶ δὲ τῆς τάσεως τοῦ μονοσυλλάβου, διὰ τί οὐ περιεσπάσθη, ἐν τῷ περὶ ἀντωνυμιῶν δηλοῦται. καὶ τάχα ἐπεὶ οὐδὲν δυϊκὸν εἰς ω̄ λῆγον περισπᾶται· οὕτως γὰρ ἔχει καὶ τὸ σφώ, τασσόμενον καὶ ἐπ' εὐθείας καὶ ἐπ' αἰτιατικῆς· καὶ παρ' αὐτῷ «σφὼ δὲ μάλ' ἠθέλετον» (Il. Λ 782), «Ζεὺς σφὼ ἐς Ἴδην» (Il. Ο 146). AB.

237. τέ' ἅρματα: τὸ πλῆρές ἐστι τεά· διὸ βαρυτονητέον· ἐπιφέρει γοῦν «καὶ τεὼ ἵππω». A.

252. οὐ δὲ σέ: ὁ Ἀσκαλωνίτης τὸν δέ ὀξύνει, ἵνα ἐγκλιτικῶς ἀναγνῷ. οὐκ ἀναγκαῖον δέ, ἀλλ' ὀρθοτονεῖν· καὶ γὰρ δύναται συνδεδέσθαι. A.

256. ἔα: συστέλλεται τὸ α̅ καὶ βαρύνεται. τὸ μὲν οὖν ἐντελὲς τοῦ ἐνεστῶτός ἐστιν ἐῶ ἐᾷς ἐᾷ, σὺν τῷ ῑ γραφόμενον ὡς τιμῶ τιμᾷς τιμᾷ. τοῦ δὲ παρατατικοῦ εἴων εἴας εἴα οὐ προσγραφομένου τοῦ ῑ «οὔ μ' εἴας μακάρεσσι» (819). καὶ τὸ τρίτον ἐν Ἰωνικῇ παραγωγῇ «τὸν δ' οὔτι πατὴρ εἴασκε μάχεσθαι» (Il. Υ 408) καὶ «τόνδε δ' ἔασκεν» (Il. Ω 17) καὶ προστακτικὸν «ἀλλ' ἔα ὥς οἱ πρῶτα» (Il. Α 276). εἰ τοίνυν ἐστὶ τοιοῦτο «τρεῖν μ' οὐκ ἔα», μόνον συνεστάλη τὸ ἄλφα, καὶ ὁ παρατατικός ἐστιν ἰσοδυναμῶν ἐνεστῶτι. εἰ δὲ ὁ ἐνεστὼς αἰεί ἐστι περισπώμενος καὶ σὺν τῷ ῑ γραφόμενος, δῆλον ὅτι πολλὰ πάθη· συστολὴ γὰρ τοῦ α̅, καὶ ἐκβολὴ τοῦ ῑ καὶ μεταβολὴ τοῦ τόνου, εἰ μὴ ἄλλως ἐκδεξαί-

203 cf. Pneumatol. El. p. 724. 256 ex E. M., quo transiit nota, inseruit L. τοῦ δὲ παρατατικοῦ, idem suspicatur post βαρυτόνων deesse ἐνεστῶτος.

μεθα, ὅτι ἔθος αὐτῷ ταῦτα τὰ τῆς δευτέρας συζυγίας κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον πολλάκις διαλύειν εἰς δύο ᾱᾱ, ὧν τὸ μὲν πρότερον συνεσταλμένον ἐστί, τὸ δὲ δεύτερον ἐκτεταμένον καὶ σὺν τῷ ῑ γραφόμενον, ὁρᾷς «οὐχ ὁράᾳς οἷος κἀγώ» (Il. Φ 108) καὶ ἐπὶ τοῦ τρίτου «ἰσχανάᾳ δακέειν» (Il. Ρ 572) καὶ «ἐκπεράᾳ μέγα λαῖτμα» (Od. ι 323) «οὐκ ἐάᾳ Κρονίδης» (Il. Θ 414). τοῦτο τοίνυν τὸ ἐάᾳ δύναται κατὰ ἀποκοπὴν εἰρῆσθαι «τρεῖν μ' οὐκ ἔᾳ». ἔνθεν καὶ συνέσταλται τὸ ᾰ καὶ βεβάρυνται. οὐκ ἄηθες δὲ καὶ ἐνεστῶτας ἀποκόπτεσθαι καὶ ἄλλους χρόνους, ὡς ἔχει τὸ «οὖτα κατὰ λαπάρην» (Il. Ζ 64). εἰ δέ τις ἐπιζητήσειεν ὁμοιότητα ἀπὸ τῶν εἰς ῶ περισπωμένων ἢ βαρυτόνων ἐπὶ τρίτου ἀποκοπήν, καὶ μὴ εὑρὼν μηδὲ τοῦτο παραδέξαιτο, ἑαυτὸν λήσει· περὶ γὰρ πάθους διαλαμβάνομεν. ABLV.

266. υἷος: προπερισπαστέον· ἀπὸ γὰρ εὐθείας ἐστὶ μὴ εἰρημένης τῆς υἷις, ἧς γενικὴ ὤφειλεν εἶναι τρισύλλαβος ὡς μάντιος. αὕτη τοίνυν συναλοιφὴν παθοῦσα καὶ δισύλλαβος γενομένη βαρύνεται, ἧς ἀκόλουθος δοτικὴ «Νηληΐῳ υἷι ἐοικώς» (Il. Β 20), καὶ αἰτιατικὴ «ἀλλ' υἷα Κλυτίοιο σαώσομεν» (Il. Ο 427) καὶ πληθυντικὴ εὐθεῖα «υἷες ὁ μὲν Κτεάτου» (Il. Β 621) καὶ αἰτιατικὴ «υἷάς τ' ὀλλυμένους» (Il. Χ 62). ἀποδείξομεν δὲ καὶ τὸ «υἷάσι δὲ Πριάμοιο» (463) παρὰ τοῦτο κεκλίσθαι ἐν τοῖς περὶ ὀνομάτων, ὅταν καὶ περὶ τῆς καθολικῆς κινήσεως τοῦ ὀνόματος διαλαμβάνωμεν. A.

269. θήλεας ἵππους: τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα, ἵν' ἀπ' εὐθείας τῆς θῆλυς ᾖ κεκλιμένον· «θῆλυς ἐέρση» (Od. ε 467) «Ἥρη θῆλυς ἐοῦσα» (Il. Τ 97) «θῆλυν ὑπόρρηνον» (Il. Κ 216). οὕτως Ἀρίσταρχος καὶ ὁ Ἀσκαλωνίτης. A.

278. ἦ μάλα: περισπαστέον τὸν ἦ· ἔστι γὰρ μᾶλλον βεβαιωτικός. A.

283. τῷ δ' ἐπὶ μακρὸν ἄϋσε: ἐπί: οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν· πρὸς γὰρ τὸ ἄϋσε φέρεται. ἀλλ' οὐδ' εἰ πρὸς τὸ ἄρθρον δὲ συνετάττετο, ἀνεστρέφετο, δι' ὃν προείπομεν πολλάκις λόγον, ὡς ὅτι ἐὰν μεταξὺ πέσῃ μέρος λόγου, οὐ γίνεται ἀναστροφὴ τῆς προθέσεως, ἐὰν μὴ τελευταία στίχου τεθῇ, ὡς τὸ «ἔπτυσε πουλὺ κάτα». ALV.

289. ταλαύρινον: Ἀρίσταρχος ψιλοῖ τὸ ῥ· οὐ γάρ φησι σύνθετον δεῖ νοεῖν τὸν σχηματισμόν, ἀλλὰ κατὰ ἁπλῆν ἔννοιαν, τὸν εὔτολμον καὶ ἰσχυρόν. ὁμοίως δὲ καὶ Ἀριστοφάνης. Τρύφων δὲ σύνθετον αὐτὸ ἐκδέχεται, παρὰ τὸ ταλαὸν καὶ τὴν ῥινόν, ὁμοίως τῷ ταναόποδα ταναύποδα. εἴτε δὲ λεκτὸν ἔχει τὸ ἐπὶ τέλους, εἴτε παρέλκει, ὀφείλει φυλάττεσθαι τὸ πνεῦμα· οὕτως γὰρ διελάβομεν καὶ περὶ τοῦ μελιηδέος οἴνου, ᾧ καὶ αὐτὸς συγκατατίθεται. ἡ μέντοι παράδοσις ἐπείσθη Ἀριστάρχῳ. AVL.

269 ἐέρση cod. correxit L. 283 in codd. exstat πολύ, item ap. Io. Al. 79; verum πουλύ, quod coniecerat Dindorfius, servatum esse ap. Moschop., qui περὶ σχεδ. p. 35, 36 Io. Alexandrinum a p. 26, 13 usque ad finem capitis 28, 19 descripserit, monuit L.

292. πρυμνήν: πρυμνήν ὡς πυκνήν. ἐπίθετον γάρ. ὅταν δὲ ἰδίως ἐπὶ τοῦ πλοίου, βαρύνομεν, ὡς λευκή καὶ λεύκη. ὀξύνεται δὲ ὁ πρυμνός, ἐπεὶ τὰ εἰς νος λήγοντα μετ' ἐπιπλοκῆς συμφώνου τριγενῆ ἁπλᾶ ὀξύνεται, συχνός πυκνός· οὕτως πρυμνός. A.

297. Ἡλιόδωρος στίζει εἰς τὸ ἀπόρουσεν, εἶτα ἄρχεται ἀπὸ τοῦ σὺν ἀσπίδι δουρί τε μακρῷ. ἃ γὰρ εἶχε, φησί, πρότερον, ταῦτα τῷ Πανδάρῳ παρέδωκε. αἴρει γοῦν (οὖν), φησί, τὴν ἀσπίδα ἀπὸ τοῦ νεκροῦ καὶ καθοπλίζεται, καὶ τὸ βληθὲν ὑπὸ τοῦ Διομήδους δόρυ. (Voluit igitur: Αἰνείας δ' ἀπόρουσε. σὺν ἀσπίδι δουρί τε μακρῷ, δείσας — Ἀχαιοί, ἀμφὶ δ' ἄρ' αὐτῷ βαῖνε.) τοῦτο δὲ οὐκ ἔστιν ἀληθὲς ὡς ὅτι ἀπὸ τοῦ Πανδάρου ὁ Αἰνείας αἴρει τὰ ὅπλα· οὐ γὰρ ἐδήλωσεν ὁ ποιητής. ἀπίθανόν τε αὐτὸν ἑαυτὸν τὸν Αἰνείαν γυμνὸν παραδεδωκέναι τοῖς πολεμίοις. ὑπόψυχρόν τε τὸ ἐκδέχεσθαι τὸν Διομήδη ἕως οὗ καθοπλίσηται ὁ Αἰνείας, καὶ μὴ εὐθέως αὐτὸν ἀνελεῖν. διὸ καὶ ὁ Ἀσκαλωνίτης συνάπτει, ὥστε ἐπὶ τοῦ Αἰνείου κεῖσθαι τὸ σὺν ἀσπίδι δουρί τε μακρῷ· καὶ δῆλον ὅτι ὁ Πάνδαρος ὑπ' ἄλλου κατὰ τὸ σιωπώμενον καθώπλιστο, ὁ δὲ Αἰνείας εἰς τὸ μετάφρενον μετενηνόχει τὴν ἀσπίδα, εἶχε δὲ τὸ δόρυ παρακείμενον, ἣ ἔκειτο ἐν τῷ δίφρῳ, ὥσπερ καὶ Νέστωρ ἡνιοχῶν Διομήδει, ὡς σαφὲς ἐκ τοῦ Ἕκτορος προσώπου «αἴ κε λάβωμεν ἀσπίδα Νεστορέην» (Il. Θ 191). οὕτως δὲ καὶ Αὐτομέδων ἡνιοχεῖ τῷ Πατρόκλῳ· παραδοὺς οὖν τὰς ἡνίας Ἀλκιμέδοντι πολεμεῖ τοῖς ἰδίοις ὅπλοις. ἦν οὖν τόπος τῶν ὅπλων τοῦ ἡνιόχου ἐν τῷ ἅρματι, ἵνα εἰ χρεία γένοιτο μαχέσωνται. ταῦτα Ἡρωδιανὸς ἐν τῇ προσῳδίᾳ. AL (paulo brevius et sine testimonio auctoris) V.

299. τὸ ἀλκί μεταπλασμὸν ἔπαθεν ἀπὸ τῆς ἀλκῇ δοτικῆς. ὁ Ἀσκαλωνίτης δὲ οἴεται ἀπὸ τῆς ἄλξ εὐθείας κλιθῆναι τὸ ἀλκί. Τρύφων δὲ ἐν τῷ πρώτῳ περὶ τῆς ἀρχαίας ἀναγνώσεώς φησιν ὅτι Ἀρίσταρχος λέγει ὅτι ἔθος τοῖς Αἰολεῦσίν ἐστι λέγειν τὴν ἰωκήν ἰῶκα καὶ τὴν κρόκην κρόκα καὶ τὴν ἀλκήν ἄλκα ὡς σάρκα. εἰ δὲ σάρκα ὡς ἄλκα, καὶ ἀλκί ὡς σαρκί. AL.

302. σμερδαλέα ἰάχων: βαρύνειν δεῖ τὴν ἰάχων· ἐνεστῶτος γάρ ἐστι καὶ παρατατικοῦ. οὐ μέντοι περισπασθήσεται, ὡς οἴεται Τυραννίων. διδάσκει τὰ κινήματα· «ἡμεῖς δὲ ἰάχοντες» (Od. δ 454)· εἰ γὰρ περιεσπᾶτο, ὡς νοοῦντες ἐγίνετο. «ἐπὶ δ' ἴαχε λαὸς ὄπισθε» (Il. Ν 834). «τρὶς δ' ἄϊεν ἰάχοντος» (Il. Λ 463)· οὕτως οὖν καὶ τὸ «φθέγξομ' ἐγὼν ἰάχουσα» (Il. Φ 341) ὀφείλομεν προπαροξύνειν. A.

308. ὦσε δ' ἀπό: οὐχ ὡς οἴεται ὁ Ἀσκαλωνίτης ἀναστραφήσεται ἡ πρόθεσις, ἐπεὶ τὸ ἑξῆς ἐστιν ἀπῶσε· μεταξὺ γὰρ πέπτωκεν ὁ δέ. A.

322. ἀπό: οὐκ ἀναστρεπτέον· δύναται γὰρ καὶ τῇ γενικῇ συντάττεσθαι καὶ σημαίνειν τὸ ἄποθεν, ἵνα ὅμοιον ᾖ τῷ «οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος» (Il. Ι 353). ἢ καὶ παρέλκεται. A.

---

322 τῇ ante γενικῇ apposuit L.

325. περί: οὐκ ἀναστρεπτέον· κεῖται γὰρ ἀντὶ τῆς ὑπέρ. δεδήλωται δὲ ἡμῖν ἐν τῇ Α ἐντελῶς, ὁπότε διελαμβάνομεν περὶ τοῦ «ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων» (Il. A 287). A.

332. πόλεμον κατακοιρανέουσιν: ὁ Ἀσκαλωνίτης ἀναστρέφει. ἵνα γένηται κατὰ πόλεμον. δύναται δὲ ἔμφασις γενέσθαι, εἰ συνάπτοιτο τῷ κοιρανέουσιν [ὡς ἀνακοιρανέοντα. v. Ε 824], καί ἐστιν ὅμοιον τῷ «Ἰθάκην κατακοιρανέουσιν» (Od. α 247). A.

343. ἰάχουσα: Τυραννίων προπερισπᾷ τὸ ἰάχουσα, κακῶς. LV.

638. ἀλλ' οἷόν τινα: Νικίας ψιλοῖ, ἐκδεχόμενος τὸ μόνον· ἄλλοι δὲ δασύνουσι θαυμαστικῶς ἐκδεχόμενοι, ὡς καὶ Ἡρακλέων, ἵνα ὅμοιον ᾖ τῷ «ἀλλ' οἷον τὸν Τηλεφίδην» (Od. λ 519). κέχρηται μὲν οὖν αὐτῷ καὶ ὁμοιωματικῶς «οἷόν τε κρομύοιο λοπόν» (Od. τ 233). καὶ ἀντὶ τοῦ ὡς «οἷον ἀναΐξας» (Od. α 410). Τυραννίων δὲ ἀλλοῖον ἀναγινώσκει ὡς ἑτεροῖον, ὁμοίως τῷ «ἀλλοῖός μοι ξεῖνε» (Od. π 181). ἡμῖν δὲ δοκεῖ θαυμαστικώτερον ἀναγινώσκειν, ὥσπερ καὶ τοῖς περὶ Ἡρακλέωνα, ἵνα ὅμοιον ᾖ τῷ «ὀσσάτιόν τε καὶ οἷον» (758) καὶ «ἀλλ' οἷον τόδ' ἔρεξεν» (Od. δ 242) «οἷον τὸν Τηλεφίδην» (Od. λ 519). οὕτως ἀρέσκει καὶ Φιλοξένῳ. A.

656. τὸ ἁμαρτῇ δασέως. περισπᾷ δὲ καὶ ὁ Ἀσκαλωνίτης καὶ οἱ πλείους. ὀξύνει δὲ ὁ Ἀρίσταρχος βουλόμενος αὐτὸ τοῦ ἁμαρτήδην ἀποκεκόφθαι· διὸ καὶ κατ' αὐτὸν χωρὶς τοῦ ῑ γεγράψεται. ἐπικρατεῖ μέντοι τὸ περισπώμενον, γενόμενον παρὰ τὸ ἅμα καὶ τὸ ἀρτῶ. A.

672. 673. ἤ: ὁ μὲν πρότερος κεῖται ἀντὶ τοῦ πότερον. διὸ ἐγκλιτέον· τὸν δὲ δεύτερον περισπαστέον. A.

683. Χρομίον παροξυτόνως, Ἄλιον προπαροξυτόνως· εἴπομεν (ὁ Δίων — immo Ἡρωδιανὸς — φησί V) τὰ τοιαῦτα τριβράχεα ἐπὶ κυρίων παροξύνεσθαι καὶ ἐσημειούμεθα τὸ Ἄλιος, Ξένιος, Κρόνιος (B 495). ἐπεκράτησε δὲ καὶ κατὰ τὴν Ὁμηρικὴν ἀνάγνωσιν τὸ Ἄλιος προπαροξυνόμενον. ABV.

736. ἡ: δασυντέον τὸ η· ἄρθρον γάρ ἐστιν ἀντωνυμικόν. τινὲς δὲ ψιλοῦσι σύνδεσμον ἐκδεχόμενοι τὸν ἠδέ, κακῶς. A.

739. ἣν πέρι μὲν πάντῃ φόβος ἐστεφάνωται: ἀναστρεπτέον τὴν πρόθεσιν, ἵνα πρὸς τὸ ἥν συντάττηται. A.

759. ἕκηλοι: δασυντέον· παρὰ γὰρ τὸ ἑκών ἐγένετο. ὅπερ ἐστὶ σημαντικὸν τοῦ ὑποχωρῶν καὶ ἡσυχάζων· [ὁ δὲ ὑποχωρῶν καὶ ἡσυχάζει.] ἄλλως τε τὸ ε̄ πρὸ τοῦ κ δασύνεται μὴ ὂν ἐκ κλίσεως ἢ προθέσεως ἢ μεμελετηκὸς ἀφαιρεῖσθαι (ut ἐκεῖνος) οἷον ἑκάς Ἑκάτη. οὕτως ἄρα καὶ ἕκηλος. μάχεται τὸ ἐκεχειρία, ὅπερ οὐκ ἔχει γνήσιον τὸ κ̄, ἀπὸ τοῦ ἔχειν γενόμενον. AB.

784. στᾶσ': περισπαστέον· ἔστι γὰρ τὸ πλῆρες στᾶσα. A.

656 in B legimus οἱ δὲ περὶ Ἡρωδιανὸν περισπῶσι καὶ προσγράφουσι τὸ ῑ. 759 ἑκὼν pro εἴκων scr. L.

787. ἐλέγχεα: ὡς τείχεα· οὐ γὰρ νῦν ἐπιθετικόν. A.

798. ἴσχων: ὡς λέγων ἔχων· οὐδὲ γὰρ δύναται ὀξύνεσθαι ὡς δευτέρου ἀορίστου· ἄνευ γὰρ τοῦ ι ἐλέγετο ἂν σχών. A.

800. ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς. τὸν ἦ περισπαστέον· βούλονται γὰρ αὐτὸν ἰσοδυναμεῖν τῷ δὴ καὶ βεβαιωτικὸν εἶναι· τοιοῦτος γάρ ὁ κατ' ἀρχὴν ἦ. τὴν δὲ ἀντωνυμίαν ὀρθοτονοῦσιν, ἐπεὶ εἰς σύνθετον μεταλαμβάνεται. A.

812. ἤ νύ σε: ὁ ἤ ὀξύνεται· διαζευκτικὸς γάρ. φυλάσσεται δὲ ἡ ὀξεῖα διὰ τὸ ἐπιφερόμενον νύ ἐγκλιτικόν, ὃ καὶ αὐτὸ ἔσχεν ὀξεῖαν διὰ τὴν σέ ἐγκλιτικὴν οὖσαν. A.

824. μάχην ἀνὰ κοιρανέοντα: ἀνά: οἱ μὲν ἀνέστρεψαν, ἵνα γένηται ἀνὰ τὴν μάχην. Ἀρίσταρχος δὲ παρῃτήσατο τὴν ἀνά ἀναστρέψαι, ὁπότε μὴ σημαντικὴ εἴη τοῦ ἀνάστηθι, ἵνα μὴ συνεμπέσῃ τῷ «Ζεῦ ἄνα Δωδωναῖε» (Il. Π 233). ἔστι δὲ καὶ νῦν ἐκεῖνον προσθεῖναι τὸν λόγον, ὡς ὅτι ὅταν πρόθεσις ἀντὶ ἑτέρας προθέσεως παραλαμβάνηται οὐκ ἀναστρέφεται. «ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι (Il. A 287) «θεῖναι Ἀθηναίης ἐπὶ γούνασι» (Il. Z 92). οὕτως οὖν κἀνθάδε ἡ ἀνά ἀντὶ τῆς κατά. A.

856. ἔγχεϊ: εἴρηται περὶ τῶν τοιούτων δοτικῶν πότε κατὰ διάστασιν, ὡς νῦν, καὶ πότε κατὰ συναλοιφήν, καὶ ὅτι τὸ μέτρον πολλάκις αἴτιον· καὶ τὰ ἀντικείμενα, καίτοιγε μέτρου μὴ ἐμποδίζοντος, ὡς τὸ «πλήθει πρόσθε βαλόντε» (Il. Ψ 639). A.

862. βαρυτονητέον τὴν ὑπό· παρέλκεται γάρ. A.

885. 887. ἤ — ἤ: διαζευκτικοὶ ἀμφότεροι· διὸ ὀξύνονται διὰ τὰ ἐπιφερόμενα ἐγκλιτικά, χωρὶς εἰ μὴ ὁ δεύτερος βεβαιωτικός· καὶ γὰρ τοῦτο μᾶλλον αἰτεῖ ἡ διάνοια. A.

887. ζώς: τὸ ζώς ὁ Ἀσκαλωνίτης ἀξιοῖ περισπᾶν, οὐχ ὑγιῶς· μόνον γὰρ τὸ σῶς ἐστι περισπώμενον μονοσύλλαβον εἰς ως λῆγον ἀρσενικόν (sc. exclusis propriis), γεγονὸς ἢ ἐκ τοῦ σόος, ὡς οἴεται Φιλόξενος, ἢ ἐκ τοῦ σάος, ὅπερ κρεῖττον. εἰ δὲ ὁ Ἀσκαλωνίτης περισπώμενον ἀξιοῖ αὐτὸ ἐκ τοῦ ζωός, ἴστω ὅτι τὸ μὲν προκείμενον βαρύτονον ἦν, ἔνθεν περιεσπᾶτο τὸ σῶς· τὸ δὲ ζώς ἐξ ὀξυνομένου, ὥς φησι, τοῦ ζωός γενόμενον δεῖ ὀξύνειν, ἐγκλίνειν δὲ ἐν ταύτῃ τῇ ἀναγνώσει. ἡ μέντοι κλίσις αὐτοῦ ἰσοσύλλαβος εὑρέθη. A.

τὸ ἔα Ἰωνικόν ἐστιν ἐκ τοῦ ἦν γεγονός· διὸ συσταλτέον τὸ α ὁμοίως τῷ «τοῖος ἔα ἐν πολέμῳ» (Od. Ξ 222), ὃ καὶ διὰ τοῦ η λέγεται «τοίη τοι ἐγὼν ἐπιτάρροθος ἦα (Ε 808), οὐκ ἀποφώλιος ἦα οὐδὲ

798 in altero Scholio cod. A haec exstant: Ζητεῖται πότερον ἴσχων ὡς τρέχων ἢ ὡς νοῶν· εὑρέθη γὰρ ἴσχηκα (?) ὁ παρακείμενος· ἀλλὰ τοῦτο οὐδὲν συμβάλλεται πρὸς τὴν Ὁμηρικὴν ἀνάγνωσιν· παρ' αὐτῷ γὰρ πάντα τὰ κινήματα ὡς ἀπὸ βαρυτόνου «ἴσχεσθ' Ἀργεῖοι» (Il. Γ 82), ἶσχον (?) γὰρ πυργηδόν (Il. O 618), ἥ τε πληθυντικὴ μετοχὴ «χεῖράς τ' ἀνίσχοντες» (Il. Θ 347). 887 περισπώμενον ante ἀξιοῖ inseruit L. et pro ἄμεινον δὲ scripsit γενόμενον δεῖ. Idem conferri iubet Choer. 243, 13 et 253, 15 Gaisf. l. 36 pro λέγεται τοῖς ἦα φιλοπτό-

φυγοπτόλεμος» (ξ 212). τὸ δὲ μέτρον οὐ κωλύεται· ἀπήρτιϲε γὰρ εἰϲ μέροϲ λόγου καὶ ἐπέχει τόπον μακρᾶϲ ὁμοίωϲ τῷ «ἀμφηρεφέα τε φαρέτρην» (Il. A 45). Λ.

τυπῆϲιν: ὡϲ πληγῆϲιν. δοκεῖ δὲ ὡϲ πρὸϲ τὴν ἀναλογίαν ϲημειοῦϲθαι· τὰ γὰρ εἰϲ πη καθαρὰ μονογενῆ διϲύλλαβα φιλεῖ βαρύνεϲθαι· εἰ δὲ ὀξύνεται ἔχει πρὸ τέλουϲ ἢ ι ἢ ο. πῶϲ οὖν τὸ τυπὴ μόνον ὀξυνόμενον τῷ υ παρελήχθη; Λ.

ΕΙϹ ΤΗΝ Ζ.

24. ϲκότιον: ὡϲ λόγιον· τὸ γὰρ κύριον πρὸ τέλουϲ ἔχει τὴν ὀξεῖαν. Λ.

56. ἤ: περιϲπαϲτέον τὸν ἤ· διαπορητικὸϲ γάρ ἐϲτι. BL.

90. τὴν ὅϲ ὀξυτονητέον διὰ τὴν οἱ ἀντωνυμίαν, ἥτιϲ νῦν ἐγκλιτική ἐϲτιν. ABL.

92. ἐπί: οὐκ ἀναϲτρεπτέον τὴν πρόθεϲιν. Λ.

135. βουπλῆγι: προπεριϲπωμένωϲ· ἡ γὰρ εὐθεῖα ὀξύνεται, βουπλήξ· τὰ γὰρ παρὰ παρακείμενον ϲυντιθέμενα ἐπιθετικὰ φιλεῖ ὀξύνεϲθαι. ὁπότε καὶ μίαν ϲυλλαβὴν ἀποφέρεται τοῦ ῥήματοϲ, ἀδμήϲ ἡμιθνήϲ κυαμοτρώξ. οὕτωϲ καὶ μεθυπλήξ. ὕϲπληξ δὲ καὶ ἀντίπηξ. Λ.

146. τοίη δέ: δύο μέρη λόγου τὸ τοίη δέ, τοίη καὶ δέ· διὸ οὐ περιϲπαϲτέον τὸ τοιηδε. Λ.

149. ἠμὲν — ἠδ': ἀντὶ τοῦ καί. δύναται δὲ καὶ ἄρθρα εἶναι· βέλτιον δὲ τὸ ϲύνδεϲμον παραλαβεῖν. Λ.

150. Ἀρίϲταρχοϲ περιϲπᾷ εἰδῆϲ καὶ οὕτωϲ ἐπεκράτηϲεν ἡ προϲῳδία· ἣν γὰρ καὶ λόγον ἔχουϲα. Λ.

152. ἔϲτι πόλιϲ Ἐφύρη: τὸ ἔϲτι ἐπὶ τῆϲ πρώτηϲ ϲυλλαβῆϲ ἔχει τὴν ὀξεῖαν, ὅταν ἄρχηται «ἔϲτι δέ τιϲ προπάροιθε πόλιοϲ» (Il. B 811), καὶ ὅταν ὑποτάϲϲηται τῇ οὐ ἀποφάϲει «ὡϲ οὐκ ἔϲθ' ὅδε μῦθοϲ (Od. ψ 62)· εἰ μέντοι γε μὴ εἴη τὸ τοιοῦτο, οὐκέτι ἐπὶ τῆϲ πρώτηϲ ϲυλλαβῆϲ ἔχει τὴν ὀξεῖαν, οἷον «ὃ δὴ τετελεϲμένον ἐϲτίν». Λ.

160. προπεριϲπαϲτέον τὸ δῖα, καὶ τὸ Ἄντεια προενεκτέον ὡϲ Κράτεια. ἔνιοι δὲ ὑπονοήϲαντεϲ ἀτόπωϲ ἔχειν τὸ δῖα Διάντειαν ὑφ' ἓν ἀνεγίγνωϲκον, κακῶϲ. τὸ δῖα κατὰ κόϲμον ποιητικὸν προϲέρριπται, ὡϲ καὶ ἐπὶ τοῦ «δῖα Κλυταιμνήϲτρη» (Od. γ 266). Λ.

201. τὸ Ἀλήϊον οἱ μὲν ἐψίλωϲαν ἀπὸ τῆϲ ἄληϲ τοῦ Βελλεροφόντου, οἱ δὲ ἐδάϲυναν ἀπὸ τοῦ τοὺϲ ἅλαϲ ἐκεῖ πήγνυϲθαι· βέλτιον δὲ τὸ πρότερον. Λ.

λεμοϲ Lehrsius scribendum proposuit λέγεται «τοίη — φυγοπτόλεμοϲ». — ἀπήρτιϲε pro ἀπήρτηϲε ex Bekkeri coniectura recepit L. qui confert O 463.

l. 4 καθαρὰ addendum suspicatus est L.

Z 92 διὸ seclusit initio L. Idem 135 addit ἐπιθετικὰ et in fine verba δὲ καὶ ἀντίπηξ. 160 Διάντειαν ὑφ' ἓν ἀνεγίγνωϲκον, κακῶϲ. τὸ δῖα inseruit Lehrs consulto Scholio BL τινὲϲ δὲ Διάντεια ὁμοῦ ἀναγινώϲκουϲι, κακῶϲ, ἀγνοοῦντεϲ, ὅτι τὸ δῖα πολλαχῶϲ παρ' Ὁμήρῳ νοεῖται.

202. πάτον: ὡς λόγον· τὰ γὰρ εἰς τος λήγοντα δισύλλαβα, βραχείᾳ παραληγόμενα, μονογενῆ βαρύνεται, κρότος, κότος, μίτος, νότος, πότος. οὕτως ἄρα καὶ πάτος. δοκεῖ ἀντικεῖσθαι τὸ στρατός· τὸ γὰρ βροτός κατὰ δύο τρόπους ἀποφεύγει ὅτι καὶ κοινὸν καὶ ἔχει ἀντέμφασιν. Λ.

205. ἔκτα· ἀποκοπὴ τοῦ «ἔκταν' ἐπὶ προμάχων» (Il. Ϲ 456). Λ.

229. δύνηαι: ὡς λέγηαι καὶ φέρηαι· «σὺ δέ κεν κακὸν οἶτον ὄληαι» (Il. Γ 417). Τυραννίων δὲ προπερισπᾷ· καὶ δῆλον ὅτι καὶ τὸ πρῶτον αὐτοῦ πρόσωπον δώσει δυνῶμαι ὡς νικῶμαι· ἀλλ' εἰ ἅπαξ ἐστὶ τὸ ὁριστικὸν κατὰ χρῆσιν, δύναμαι δύνασαι, καὶ ὁμολογεῖται ἀπὸ τῶν εἰς μι, ὁμοτονήσει τούτοις καὶ τὰ ὑποτακτικά· οὕτως καὶ Ἀρίσταρχος καὶ οἱ ἄλλοι. Λ.

239. ἔτας: ὁ Ἀσκαλωνίτης ψιλοῖ ἐφ' οὗ ἂν τάσσηται, φησί, σημαινομένου· πολλὰ γὰρ ἡ λέξις σημαίνει. εἰ δὲ καὶ ἐπὶ τῶν ἑταίρων, φησί, πάλιν ψιλωτέον, ἐπεὶ συγκοπὴ ἐγένετο ὡς ἀπὸ τοῦ ἥλατο ἆλτο. πιθανώτερον δέ ἐστι, φησίν, ἐνθάδε ἀκούειν ἐπὶ τῶν συγγενῶν. Ἀλεξίων δὲ δασύνει. ὁ δὲ Ἀρίσταρχος οὐδὲν ἄντικρυς περὶ τοῦ πνεύματος ἀπεφήνατο. ἡμῖν δὲ δοκεῖ ἀφορμῇ ἐκείνῃ χρήσασθαι. εἰ ἄδηλόν ἐστι τὸ πνεῦμα, τὰ δὲ τοιαῦτα πολλάκις ἐκ συναλοιφῶν κρίνεται, εὑρέθη δὲ διὰ ψιλοῦ ἡ συναλοιφή, οὐδέποτε δὲ διὰ δασέος, δῆλον ὅτι διὰ τοῦτο συγκαταθετέον τῷ Ἀσκαλωνίτῃ ψιλοῦντι. παρὰ γοῦν Αἰσχύλῳ οὕτως εὕρομεν «οὔτε δῆμος οὔτ' ἔτης ἀνήρ» (fr. 262) καὶ παρ' Εὐριπίδῃ τὸ «πόλει μὲν ἄρχων φωτὶ δ' οὐκ ἔτῃ πρέπων». Λ.

244. ἔνεσαν: ὡς ἔλεξαν. οὕτως καὶ Ἀρίσταρχος· ἀληθὲς γάρ ἐστιν ὡς πᾶς παρῳχημένος δισύλλαβος παθὼν κατὰ τὴν ἀρχὴν καὶ βραχεῖαν ἀναδεξάμενος ἀναδίδωσι τὸν τόνον, κατεῖχε κάτεχε. οὕτως οὖν ἀνέγνωμεν «ἥμενον εἴσειδε» (Il. Ξ 158) προπερισπωμένως, τὸ δὲ ἕτερον «τὰ φρονέων μνηστῆρσι μεθήμενος, εἴσιδ' Ἀθήνην» (Od. α 118) προπαροξυτόνως. Λ.

248. τέγεοι: ὡς τέλεοι· τέγος γὰρ ὡς τέλος καὶ τέγειος ὡς τέλειος. Λ.

260. δέ κ' αὐτός: τοῦτο διχῶς ἀναγινώσκεται. ὅσοι γὰρ ἡγοῦνται ἐγκεῖσθαι τὸν κέ ἐγκλιτικόν, ῥωννύουσι τοῦ δέ τὴν ὀξεῖαν, ὡς καὶ ὁ Ἀσκαλωνίτης. οὕτω γὰρ καὶ τὸ ἐν τῇ Ὀδυσσείᾳ (γ 255) ἀναγινώσκει «ἤτοι μὲν τόδε κ' αὐτὸς ὀΐεαι». ὅσοι δὲ τὸν καί κατὰ κρᾶσιν καὶ ἔκθλιψιν, καὶ αὐτός — καὐτός, ἐγκλίνουσι τὸν δέ. Λ.

268. εὐχετάασθαι: Ἀρίσταρχος τὸ δεύτερον $\overline{α}$ συστέλλει, καὶ ὁ Ἀσκαλωνίτης, ἄλλοι δὲ ἐκτείνουσιν, οὐχ ὑγιῶς. ὅσα γὰρ εἰς $\overline{θαι}$ λήγει ἀπαρέμφατα μὴ κατ' Αἰολίδα διάλεκτον, τρίτην ἀπὸ τέλους ἔχοντα τὴν ὀξεῖαν, φιλεῖ πρὸ τέλους βραχύνεσθαι, λέγεσθαι, τίθεσθαι, ἵστασθαι,

---

202 transiit in E. M. 656, 15. 205 L. cft. Β 662. 239 pro οὐκέτι Lehrsius scripsit οὐκ ἔτῃ, quod habet etiam Eust. 642 fin. 248 L. cft. Φ 476. 260 pro μέντοι restituit in versu Homerico μὲν Lehrs.

κίχρασθαι, πίμπρασθαι. ὅσα δὲ πρὸ τέλους ἔχει φύσει μακρὰν προπερισπᾶσθαι θέλει, νικᾶσθαι, φιλεῖσθαι· τὰ γὰρ τοιαῦτα, δίζησθαι, φίλησθαι, ὑποφαίνει Αἰολικὸν χαρακτῆρα. ὅθεν οἱ ἀξιοῦντες ἐκτείνειν τὸ δεύτερον ᾱ ἐν τῷ εὐχετάασθαι, πάντως καὶ προπερισπῶσιν· εἰ δὲ δεδώκασι τρίτην ἀπὸ τέλους τὴν ὀξεῖαν, δώσουσι καὶ τὴν παραλήγουσαν βραχυνομένην. οὕτως οὖν πάντα τὰ τοιαῦτα ἀναγνωστέον· «ἀλλ' ἤτοι σε γυναῖκας ἐγὼ δεδάασθαι ἄνωγα» (Od. π 316)· «ἐν μέγαροις ἀέκητι σέθεν κακὰ μηχανάασθαι» (Od. γ 213)· «ἄλλοτε μέν σε καὶ αἰτιάασθαι ἄνωγα» (Il. Κ 120)· «καὶ ἑδράασθαι ἄνωγον» (Od. γ 35)· «μήτε μνάασθαι ἄκοιτιν» (Od. α 39). Α.

289. ἑσάν οἱ: ἐγκεκλιμένως ἀναγνωστέον οὕτως δύο τόνοις, καίτοι πυρριχιακῆς οὔσης τῆς λέξεως, ἵνα μὴ ἄρθρον νοηθῇ τὸ οἱ ἀλλ' ἀντωνυμία. Α.

319. οἱ μὲν διαιροῦσιν, ἕχεν, εἶτα δεκάπηχυ· οἱ δὲ ἐνδεκάπηχυ. ὁ μὲν οὖν Ἀσκαλωνίτης οὐδεμίαν προκρίνει· οἱ δὲ περὶ Ἡρακλέωνα καὶ Ἀλεξίωνα πιθανωτέραν ἡγοῦνται τὴν τοῦ ἕνδεκα ἀριθμοῦ διαστολήν, ἐπειδήπερ τὰ ναύμαχα, τὰ ἐκ δύο συμβληθέντα καὶ κολληθέντα, λέγεται δυωκαιεικοσίπηχυ. Α.

336. ἦμην: προσπνευστέον τὸ η· ἐνδιατρίβειν γὰρ σημαίνει καὶ τὸ καθῆσθαι. ὅσοι δὲ ἠθέλησαν σημαντικὸν εἶναι τοῦ ὑπάρχειν, ἐψίλωσαν· ὃ σπανίως εὑρίσκεται κατὰ τὴν χρῆσιν τῶν Ἑλλήνων, οὗ τὰ ὑποδείγματα δίδομεν ἐν τῷ περὶ τῶν εἰς μι. ὁ μέντοι ποιητὴς οὐκ ἐχρήσατο. Α.

348. ἀπόερσε: ψιλωτέον· τὰ γὰρ φωνήεντα καταλήγοντα εἰς τὸ ρ ἐπιφερομένου τοῦ σ ψιλοῦσθαι φιλεῖ, ἄρσαντες — οὕτως γὰρ ἐλέγομεν περὶ τούτου καὶ ἐν τῇ Α ῥαψῳδίᾳ (136) —, Ἀρσινόη, «ἐν δὲ σταθμοὺς ἄρσε» (Od. φ 45), ὄρσας, «ὄρσεο κυλλοπόδιον» (Il. Φ 331). ταύτῃ ἀναλογώτερον τὸ ἔερσα τρισυλλάβως. ΑΒ.

355. τὸ δᾶερ ὡς ἀνερ· τοιαῦται γὰρ αἱ εἰς ερ κλητικαί. τὴν δὲ σέ ἀντωνυμίαν ὀξυτονοῦσι, τουτέστιν ὀρθοτονοῦσιν, ἐπεὶ πρός τί ἐστιν. ἔστι μὲν οὖν ἀληθές, ὅτι ἀντιδιασταλτική ἐστι νῦν ἡ ἀντωνυμία· ἡ μέντοι κοινὴ ἀνάγνωσις ἀνέγνω ἐγκλιτικῶς ἀεὶ τὴν τοιαύτην σύνταξιν. ὃ δὲ λέγω, τοιοῦτόν ἐστιν. τὸ ἐπεί σε εὑρέθη συνεχῶς οὕτως ἀνεγνωσμένον, ἐγκλιτικῶς ἀεί, μὴ ἐπιφερομένου συνδέσμου «ἐπεί σ' εἴασεν Ἀχιλλεύς» (Il. Ω 684), «ἐπεί σε πρῶτα κιχάνω» (Od. ν 228), «ἐπεί σε φυγὼν ἱκέτευσα» (Od. ο 277), «ἐπεί σε λέοντα» (Il. Φ 483). οὕτως δὲ καὶ «ἐπεί σε μάλιστα πόνος φρένας». καί μοι δοκοῦσι τῷ πρώτῳ προσώπῳ ἀκολουθεῖν οἱ οὕτως ἀνεγνωκότες. πιθανῶς πάνυ. διὰ γὰρ τῆς φωνῆς τὸ πρῶτον πρόσωπον ἐπιδείκνυται, τό τε ὀρθοτονούμενον καὶ τὸ ἐγκλιτικόν, εἴ γε ἡ ἐμέ αἰτιατική. ὅτε φυλάσσει τὸ ε, ὀρθοτονεῖται, εἰ δὲ ἀποβάλοι, ἐγκλιτική ἐστιν. εὑρέθη τοίνυν μετὰ τοῦ ἐπεί

268 in Od. γ 213 pro μεγάροισι δ' ἔκητι posui μεγάροις ἀέκητι. 289 initio ἡ διπλῆ ὅτι quae seclusit L. omisi.

cυνδέcμου παρὰ τῷ ποιητῇ κατὰ ταύτην τὴν cύνταξιν ἀποβάλλουcα τὸ ε· «Ἕκτορ ἐπεί με κατ' αἶcαν» (Il. Γ 59), «ἐπεί μ' ἀφέλεcθέ γε δόντεc» (Il. Α 299). τούτῳ τοίνυν τῷ λόγῳ πιθανὸν ἂν εἴη κατακολουθήcαντας ἡμᾶς ἀναγινώcκειν ἐγκλιτικῶς «ἐπεί cε μάλιcτα». ΑΒ.

357. οἷcιν ἐπὶ Ζεὺς θῆκε κακὸν μόρον: ὁ Ἀcκαλωνίτης ἀναcτρέφει, ἵν' ᾖ ἐφ' οἷc. δύναται δὲ τὸ ἑξῆc εἶναι ἐπέθηκεν· οὕτως γὰρ βούλονται καὶ οἱ περὶ Ἡρακλέωνα· ἢ περιccὴν λαμβάνειν τὴν ἐπί, ἥτις πάλιν οὐκ ἀναcτραφήcεται, δι' ὃν εἴπομεν λόγον· τοῦτο γὰρ βούλεται καὶ ὁ Ἀλεξίων. οὐδὲν μέντοι κεκώλυκε καὶ τὸ τοῦ Ἀcκαλωνίτου, ἐπεὶ οὐχ ὁρῶ τινα λόγον ἀναγκαcτικόν. Α.

362. Τρώεcc': τὸ τέλειον Τρώεccι· διὸ προπαροξύνεται. Α.

ποθήν: ὡς κριτήν. Α.

367. ἔτι cφιν: οὕτως ἔτι cφιν. εἷς τόνος, καίτοι ἐχρῆν δύο διὰ τὸ ἐπιφέρεcθαι ἀντωνυμίαν ἀπὸ τοῦ cφ ἀρχομένην, ὁμοίως τῷ «ὅθί cφιcι πέφραδ' Ἀχιλλεύc» (Il. Ψ 138), «ἦρχε δ' ἄρά cφιν ἄναξ ἀνδρῶν Ἀγαμέμνων» (Il. Ξ 134). cεcημείωται οὖν αὕτη ἡ ἀνάγνωcιc μόνη, ὡς ἐν ἄλλοις ὁ Ἡρωδιανὸς λέγει. Α.

414. ἀμόν: Δημήτριός φηcιν ἀντὶ τοῦ ἐμόν. διὸ καὶ ἄντικρυc ψιλοῖ. πιθανώτερον δέ ἐcτι Δωρικώτερον εἶναι, ἀντὶ τοῦ ἡμέτερον ἀμόν. οὕτως Ἀπολλώνιος. (V. pron. 142. 144.) Α.

422. ἰῷ: ὡς coφῷ Ἀρίcταρχοc· καὶ ἐπεκράτηcεν αὐτοῦ ἡ ἀνάγνωcιc. ἐκεῖνο μέντοι ἀναγκαῖον προcθεῖναι, ὅτι τὸ ἴα βαρυτόνως ἀνέγνω ὁ ἀνὴρ καὶ τὸ μία· «οὐδ' ἴα γῆρυc» (Il. Δ 437) καὶ «μία δ' οἴη» (Il. C 565)· τὰς μέντοι δοτικὰς περιέcπαcεν «ἰῇ ἄρα γινόμεθ' αἴcῃ» (Il. Χ 477) καὶ «ἰῇ δ' ἐν νυκτὶ γένοιτο» (Il. C 251). καί φαcί γε τὸ τοιοῦτο Ἰώνων εἶναι. τινὲς δὲ ἐτόλμηcαν λέγειν αὐτὸ Ἀττικόν, λέγω δὲ τὸ ἐπὶ τῶν τοιούτων θηλυκῶν καταβιβαcμὸν γίνεcθαι τόνου. οὕτως οὖν καὶ «μέcην ἐς ἄγυιαν» (Il. Υ 254) ἀνέγνω· «ἐϋκτιμένας» δὲ «κατ' ἀγυιάc» (391). μήποτ' οὖν, ἐπεὶ καὶ τὸ ἰῇ ἐπὶ τῆς δοτικῆς περιέcπαcε, cυνεξομοιῶν τῷ τοῦ θηλυκοῦ τόνῳ κατὰ τὴν αὐτὴν πτῶcιν καὶ τὸ οὐδέτερον οὕτως ἀνέγνω ὁμοτόνως. Α.

439. ἢ — ἦ: διὰ τὸ πού καὶ νύ τὸν ἢ ὀξυτονητέον, ὃς δύναται εἶναι διαζευκτικὸς ἢ καὶ παραδιαζευκτικόc. Α.

465. πρίν γ' ἔτι: Διονύcιος ὁ Cιδώνιος τόν γέ ἐκ πλήρους ποιεῖ· οὕτως καὶ Ἀλεξίων καὶ οἱ περὶ Ἡρακλέωνα· οὐ γὰρ πιθανὸν ἐγκεῖcθαι τὸ ἔτι· οὐ γὰρ δή γε καὶ πρότερον cυνέβη ταῦτα τῇ Ἀνδρομάχῃ. ἔcτιν οὖν τὸ τί καθ' ὕπαρξίν τινα λεγόμενον, ἢ καὶ παρελκόμενον, ὁμοίως τῷ «ἤ νύ τοι οὔτι μέλει Τρώων πόνοc» (Il. Χ 11) καὶ «μήτι φόβον δ'

357 τὸ τοῦ Ἀcκαλωνίτου Lehrs scr. pro ὁ τοῦ. 414 pro ἀμόν scr. L. ἀμόν et confert N 96. 422 hoc scholion valde decurtatum esse observavit L., nam etiam de aliis vocabulis accentum mutantibus hic tractatum esse patere ex Schol. Β 592 (de αἰπὺ) et ex Schol. Θ 108 (de τοῦδε τῷδε). cf. Eust. ad h. l.

ἀγόρευε» (Il. Ε 252) καὶ «μή τί μευ ἠΰτε παιδὸϲ» (Il. Η 235). οὐχ ὑγιῶϲ οὖν ὁ Πτολεμαῖοϲ οἴεται ϲυναλοιφὴν εἶναι. Α.

489. τὰ πρῶτα: τινὲϲ πρωτά, ὡϲ γνωτά, ἵν᾽ ᾖ τὰ πεπρωμένα, οὐχ ὑγιῶϲ. Α.

518. ἠθεῖε: Ἀρίϲταρχοϲ προπεριϲπᾷ ὡϲ οἰκεῖε. καὶ ἴϲωϲ παρὰ τὸ θεῖοϲ, λέγω δὲ τὸ ϲημαντικὸν τοῦ ἐπαίνου, κατὰ πλεοναϲμὸν τοῦ η̄ ἐγένετο, εἰ καὶ νεωτέρου ἐϲτὶ πρὸϲ πρεϲβύτερον ἀδελφὸν ἔχουϲα ϲεβαϲμὸν προϲφώνηϲιϲ. οὐκ ἀγνοῶ δὲ ὅτι ϲυγχεῖται ἐν τοῖϲ μεθ᾽ Ὅμηρον. Α.

ΕΙϹ ΤΗΝ Η.

6. καμάτῳ δ᾽ ὑπὸ γυῖα λέλυνται: ὑπό: οὐκ ἀναϲτρεπτέον διὰ τὸν ϲύνδεϲμον. ἄλλωϲ τε καὶ τὸ ἑξῆϲ ἐϲτιν ὑπολέλυνται. Α.

31. ἐπεὶ ὧϲ φίλον ἔπλετο θυμῷ: βαρυτονητέον τὸ ὧϲ· δηλοῖ γὰρ τὸ οὕτωϲ. Α.

63. πόντον ἐπὶ φρίξ· ὁ Ἀϲκαλωνίτηϲ ἀναϲτρέφει πόντον ἔπι· οὕτωϲ καὶ οἱ ἄλλοι. καὶ ἄμεινον· οὐδὲν γάρ ἐϲτι τὸ ἐπιφρίξ, χωρὶϲ εἰ μὴ παρέλκῃ ἡ πρόθεϲιϲ. ὅπερ οὐ πιθανόν. οὐ γὰρ κατεπείγει. Α.

64. μελάνει: ὡϲ οἰδάνει ὁ Ἀϲκαλωνίτηϲ· ἐκ γὰρ τοῦ μελαίνει, φηϲίν, ἐνδείᾳ τοῦ ι̅ ἐγένετο. Α.

110. τὸ ϲχέο τὴν ὀξεῖαν ἴϲχει ἐφ᾽ ἑαυτοῦ νῦν. ὅταν μέντοι ἀπολάβῃ τὴν πρόθεϲιν, τὸ τηνικαῦτα ἀναπέμπει τὸν τόνον, ἀνάϲχεο. Α.

129. 130. ἀκούϲαι — ἀείραι: παροξυτονητέον ἀμφότερα· ἔφαμεν γὰρ τὴν αι̅ δίφθογγον ἐν εὐκτικοῖϲ μακρὰν εἶναι (Α 255). Α.

135. Φειᾶϲ: περιϲπαϲτέον· ἑνικὴ γάρ ἐϲτι γενική· πρόδηλον κἀκ τῆϲ ϲυντάξεωϲ τοῦ τείχεϲϲι, παρὰ τοῖϲ τῆϲ Φειᾶϲ τείχεϲι. Α.

163. ἐπί: οὐκ ἀναϲτρεπτέον τὴν πρόθεϲιν· μεταξὺ γὰρ πέπτωκεν ὁ δέ ϲύνδεϲμοϲ. Α.

167. ἐπ᾽: οὐδὲ ἐνθάδε ἀναϲτρεπτέον, καὶ ὅτι ϲυνήλειπται. Α.

ψιλωτέον τὸ Εὐαίμονοϲ εἰϲ ἰδιότητα. προείρηται δέ. Α.

177. ὁ Ἀϲκαλωνίτηϲ διαϲτέλλει ἰδὲ χεῖραϲ ἀνέϲχον, ὡϲ «ἰδὲ κλέοϲ ἐϲθλὸν ἄροιτο» (Il. Ε 3) ἵνα γένηται καὶ χεῖραϲ ἀνέϲχον. Ἀλεξίων δὲ τὴν κατειθιϲμένην παραλαμβάνει, λαοὶ δ᾽ ἠρήϲαντο, θεοῖϲι δὲ χεῖραϲ ἀνέϲχον. οὕτωϲ καὶ οἱ περὶ Ἡρακλέωνα. οὐκ ἀποδοκιμάζει μέντοι τὴν ἑτέραν ὁ Ἀλεξίων· καὶ ἡμῖν οὕτωϲ δοκεῖ. Α.

184. ἐνδέξια: ὅταν ἀντὶ ἐπιρρήματοϲ ᾖ τοῦ ἐπιδεξίωϲ τὸ ἐνδέξια, τρίτη ἀπὸ τέλουϲ ἡ ὀξεῖα. Α.

198. ἐμέ: ἐν ὀρθῇ τάϲει ἀναγνωϲτέον, ἵνα ᾖ ἀντιδιαϲτολὴ πρὸϲ ἄπειρα πολέμου τινὰ πρόϲωπα. Α.

199. γενέϲθαί τε: ἀλλεπάλληλοι ὀξεῖαι, καίτοι ϲπονδειακόν ἐϲτιν ἀλλ᾽ ἴϲωϲ ἵνα ἐκφύγωμεν τὸν διπλαϲιαϲμὸν τοῦ ῥήματοϲ, λέγω δὲ τοῦ

---

518 pro τοῦ θ̅ scripsit L. τοῦ η, de significatu cf. E. Gud. 238, 19.

τετραφέμεν τε, ὡς καὶ ἐν τῇ Τ τῆς Ὀδυσσείας (320) παραλόγως ἐνεκλίναμεν ἐν τῷ «ἠῶθεν δὲ μάλ᾽ ἦρι λοέσσαί τε χρῖσαί τε» ἵνα μὴ πληθυντικὸν ῥῆμα ὑπολάβωμεν. A.

273. ὀξυντέον τὸ αὐτοσχεδόν· τὰ γὰρ εἰς δον ἐπιρρήματα ἐπὶ (l. ἐν) τῇ συνθέσει φυλάσσουσι τὸν τόνον. BLV.

282. πιθέσθαι: παροξυντέον· μέσος γάρ ἐστι δεύτερος ἀόριστος. ABLV.

289. πινυτήν: Ἀρίσταρχος ὡς καλήν, καὶ ἐπεκράτησεν οὕτως ἡ παράδοσις. A.

334. ἀπὸ πρὸ νεῶν: τὰς δύο προθέσεις ἐγκλίνειν δεῖ, ἵνα ἡ μὲν ἀπό συντάσσηται τῇ νεῶν γενικῇ, ἡ δὲ πρό παρέλκηται. A.

362. ἀπόφημι: ὡς ἄπειμι· τὰ γὰρ ὀξυνόμενα τῶν ῥημάτων ἐν τῇ συνθέσει ἀναδίδωσι τὸν τόνον. A.

393. ἦ μήν: περισπᾶται ὁ ἤ· ἰσοδυναμεῖ γὰρ τῷ βεβαιωτικῷ. ὅμοιον δέ ἐστι τὸ «ἦ μὴν καὶ πόνος ἐστίν» (Il. B 291). A.

425. νίζοντες ἄπο: τὸ ἑξῆς ἀπονίζοντες διὸ ἀναστρεπτέον. A.

ΕΙΣ ΤΗΝ Θ.

4. θεοὶ δ᾽ ὑπὸ πάντες ἄκουον: ἡ ὑπό φέρεται καὶ ἐπὶ τοῦ (l. φέρεται ἐπὶ τὸ) ἄκουον· διὸ οὐκ ἀναστρεπτέον. τὸ αὐτὸ δὲ καὶ ἐπὶ πάσης προθέσεώς ἐστιν ἰδεῖν ἐχούσης σύνταξιν πρὸς τὰ ἐπιφερόμενα· «οἳ κατὰ βοῦς Ὑπερίονος Ἠελίοιο ἤσθιον» (Od. α 8). καὶ γὰρ διαφέρει τὸ ἀκούειν ἁπλῶς λεγόμενον τοῦ ὑπακούειν, ἢ ἐκ μὲν τοῦ ἀκούειν οἷόν τ᾽ ἐστὶν ἐκδέξασθαι καὶ τὸ μόνον ἀκοῦσαι, μὴ μέντοι πείθεσθαι τοῖς λεγομένοις. οὕτως οὖν τινες ἐδέξαντο «οὐδ᾽ ἐσάκουσε πολύτλας δῖος Ὀδυσσεύς» (97)· ἀκούσας γὰρ οὐκ ἐπείσθη. διὸ ἐν ἑτέροις Ὀδυσσεὺς ἐπαινούμενος ὑπὸ τοῦ Διομήδους παραιτεῖται καὶ τὸ ἐπισκώπτεσθαι, ἐν οἷς φησι «Τυδείδη μή τ᾽ ἄρ με μάλ᾽ αἴνεε μή τέ τι νείκει» (Il. K 249). ἐν μέντοι τῷ ὑπακούειν τὸ πάντως πείθεσθαι τοῖς λεγομένοις ἤτοι ἑκόντας ἢ ἄκοντας. οὕτως οὖν ἔχει καὶ τὸ ὑπήκοος, ὥσπερ ὑποτεταγμένος τινί. τοῦτο δὲ ἀπαιτεῖ ἡ διάνοια· οἱ γὰρ θεοὶ ὑπήκουον τῷ Διῒ ὡς ὑποτεταγμένοι. A.

18. εἴδετε: ὡς λέγετε. ἢ συστολὰς μὲν τὰ τοιαῦτα παραληπτέον, ἢ ἐναλλαγὰς ἐγκλίσεων, ὡς τὸ «ὄθ᾽ ἡδεῖ λέξεται ὕπνῳ» (Il. Δ 131)· «ὄφρ᾽ εὖ πᾶσαι εἴδετ᾽ ἀκούουσαι» (Il. Σ 52)· «μηδ᾽ ὡς Πάτροκλον λίπετ᾽ αὐτόθι τεθνηῶτα» (Il. T 403)· «ὄφρα καὶ Αὐτομέδοντα σαώσε-

---

H 334 in BLV. haec exstant: Ἀρίσταρχος ἀναστρέφει τὴν ἀπό, ἵνα σημαίνῃ τὸ ἄπωθεν, καὶ τὴν πρό ὡς πλεονάζουσαν κοιμίζει· ὁ δὲ Ἡρωδιανὸς τῆς ἀπό φυλάσσει τὸν τόνον καὶ συντάσσει αὐτὴν τῷ νεῶν· τὴν δὲ πρό ὡς πλεονάζουσαν κοιμίζει.

Θ 18 in versibus Homericis L. vitia codicis (εἴπετ᾽ αὐτόθι τεθνειῶτι et αὐτῷ μοι σαώσετον ἐκ πολέμου) sustulit.

τον ἐκ πολέμοιο» (Il. Ρ 452)· «αἴ κέν πως ἀρνῶν κνίςης αἰγῶν τε τελείων βούλεται ἀντιάςας» (Il. Α 66). Α.

110. τῶδε: παροξύνεται τὸ τῶδε· παραλόγως· ἀληθὲς γὰρ ὡς ὅτι τὰ διὰ τοῦ δε ἐπεκτεταμένα, εἰ ἔχοι πρὸ τέλους φύςει μακράν, προπεριςπᾶται. ὅπερ ὤφειλε κἀπὶ τοῦ τῶδε δὲ νῶϊ εἶναι, ἀλλ' ὅμως πάλιν ἐπεκράτει καὶ ἐπὶ τούτου πρὸ τέλους ἡ ὀξεῖα. ταῦτα ὁ Ἡρωδιανὸς ἐν τῇ ζ', ὅπου περὶ τοῦ ἰῷ διαλαμβάνει. (Ζ 422. v. quaest. ep. 134 not.) Α.

125. καὶ ἀχνύμενός περ ἑταίρου: περ: οὐκ ἔςτιν ἡ περὶ πρόθεςις, ἀλλ' ὁ πέρ ςύνδεςμος ἐναντιωματικὸς καὶ ἐγκλιτικός· διὸ τὸ τέλος τῆς μετοχῆς ὀξυτονητέον. Α.

157. φύγαδε: ὡς ἅλαδε· καὶ ἤτοι τὴν φυγὴν φύγα εἶπεν κατὰ μεταπλαςμόν, ὡς τὴν ςκέπην ςκέπα· ἢ ὡς τὸ οἶκον δὲ οἴκαδε, οὕτως φυγὴν δὲ φύγαδε. Α.

161. περὶ μέν ςε τίον: ἡ ςέ ἐγκλιτική ἐςτιν· ἀπολέλυται γὰρ νῦν. καὶ τὸ τίον δὲ ποιητικώτερον ἀπέβαλε τὸν κατ' ἀρχὴν χρόνον, διὸ ἐπὶ τὴν τι ἡ ὀξεῖα ἵςταται. περὶ δὲ τῶν τοιούτων ῥημάτων ἔφαμεν ὅτι ἴςη ἐςτὶν ἡ χρῆςις παρὰ τῷ ποιητῇ (Β 808). Α.

163. ἀντ': κακῶς ὅςοι ἀναςτρέφουςαν· ἡ γὰρ ἀντί ἀναςτρέφεται οὔποτε. εἰ δὲ τὸ ἄντα ἐπίρρημα ἐκδέχονται, ἐναντίον τῇ διανοίᾳ παραλήψονται. Α.

177. οἵ: Ἀρίςταρχος τὸ οἵ ἄρθρον φηςίν, ὁ δὲ Cιδώνιος οἷα τὸ πλῆρες, οὐχ ὑγιῶς. V.

178. ἀβλήχρ': Ἡρακλείδης ὁ Μιλήςιος βαρύγει ὡς ἄςιτα· λόγῳ δὲ χρῆται τούτῳ ὡς ὅτι βληχρόν ἐςτι τὸ ἰςχυρόν, ὅπερ κατὰ ςτέρηςιν ὀφείλει λέγεςθαι ἄβληχρος ὡς ἄκακος· ςημαίνει γὰρ τὸ ἀςθενές (cf. Cram. Epimerism. I p. 95). ἡ μέντοι παράδοςις ὀξύνει τὸ ἀβληχρά καὶ ἀβληχρήν, πειςθεῖςα πρῶτον τῷ παραςχηματιςμῷ ὡς ἁπλῷ· οὕτως γὰρ παρεςχηματίςθη ὡς πενιχρά, ψυχρά, λέγω δὲ θηλυκῶς. οὕτως ἀβληχρά, οὐ κοινωνοῦντός ποτε τοῦ γένους, λέγω δὲ ὁ ἄβληχρος καὶ ἡ ἄβληχρος. ἄλλως τε ἤδη αὐτὸ τὸ βληχρός ςημαίνει ὡς ἐπὶ τὸ πλεῖςτον μᾶλλον τὸ ἀςθενές. Ἀλκαῖος θ' «βληχρῶν ἀνέμων ἀχείμαντοι πνοιαί» καὶ ὁ Νίκανδρος «βληχρὸν γὰρ μυὸς οἷα μυληβόρου ἐν χροΐ νύγμα» (Ther. 446). τοῦτο δὴ πλεονάςαν τῷ ᾱ φυλάξει τὸν αὐτὸν τόνον λαλητός ἀλαλητός, ςτεροπή ἀςτεροπή· οὐκ ἐκεῖνο μέντοι διηνεκὲς λέγομεν, ὅτι πλεοναςμὸς τοῦ ᾱ φυλάςςει τὸν αὐτὸν τόνον ἀεί· οἶδα γὰρ τὸ ἄδορος ἀγαυρός, ἄςταχυς. Α.

178. οὐδενόςωρα: ὡς κυνόςουρα ὑφ' ἓν κατὰ ςύνθεςιν, εἰ καὶ ςπάνιος ἡ τοιαύτη ςύνθεςις ἐξ ἀποφάςεως καὶ ςυνδέςμου καὶ τῆς ἑνός

157 pro οἰκόνδε et φυγήνδε scripsit L. οἶκον δέ, φυγήν δέ. 163 οὐ in οὔποτε adiecit L. 178 verba λαλητός — τὸν αὐτὸν τόνον inseruit L. ex Eust., pro ἄβορος Lob. El. I 31 ἄδορος emendat, quod monente Lehrsio recepi.

γενικῆς ἐντελοῦς· οὐδέποτε γὰρ οὕτως αὕτη ἡ γενικὴ συντίθεται· ἀλλ' οἵγε ποιηταὶ τολμῶσι ξένας συνθέσεις. A.

217. τὸ κηλέῳ ὡς μελέῳ· γέγονε δὲ παρὰ τὸ κᾶλον καὶ κῆλον κήλειον, ὡς παρὰ τὸ μῆλον μήλειον δέρος, καὶ Ἰωνικῶς κήλεον καὶ κηλέῳ· ἐκεῖνο γοῦν ἐντελές ἐστι τὸ «σὺν πυρὶ κηλείῳ χάριν Ἕκτορος» (Il. O 744). A.

229. ὅτε δὴ φάμεν: οὐκ ἀναγκαῖον ὀξύνειν τὸν δή, ἵνα κρᾶσις γένηται ὁμοίως τῷ «μήτε σὺ Πηλείδηθελε» (Il. A 277). ἐπὶ μὲν γὰρ τοῦ ἐθέλω πᾶσα ἀνάγκη τὸ ε̄ μένειν κατὰ τὸν ποιητὴν ὡς εἴρηται (l. l.)· ἐπὶ δὲ τούτου τοῦ παρῳχημένου δύναται ποιητικῶς ἀποβεβλῆσθαι τὸ ε̄, ὥστε ἐπὶ τὴν φα συλλαβὴν θετέον τὴν προσῳδίαν, καί ἐστιν ὅμοιον τῷ ἐν Ὀδυσσείᾳ «Τηλεμάχῳ ὁδὸς ἦδε· φάμεν δὲ οἱ οὐ τελέεσθαι» (Od. π 347). A. Cod. Τηλέμαχος δ' ὡς εἶδεν, φάμεν δέ οἱ, οὐ τελέομεν.

233. Τρώων ἀνθ' ἑκατόν: ἐπὶ τὴν ἀνθ' συλλαβὴν ἡ ὀξεῖα, ἵνα τὸ πλῆρες ᾖ ἄντα. οὕτως δὲ ἀξιοῖ Δημήτριος ὁ γονύπεσος· καὶ ἐμοὶ δὲ οὕτως ἀρέσκει τὸ τῆς διανοίας· ἄντικρυς γὰρ Τρώων ἑκατὸν καὶ διηκοσίων εἷς ἕκαστος στήσεσθαί φησιν. οὐ γὰρ κωλύεται ἡ τοῦ ἄντα σύνταξις, εἴγε ἐπὶ γενικὴν φέρεται. A.

240. δημόν: δημὸν Ἀρίσταρχος κατ' ὀξεῖαν τάσιν ἐπὶ τοῦ λίπους· τὸ γὰρ ἐπὶ τοῦ πλήθους βαρύνει. οὕτως καὶ ὁ Ἀσκαλωνίτης, λέγων τὸ μὲν παρὰ τὸ δέμας γεγενῆσθαι, οἱονεὶ σῶμά τι τυγχάνον, ἢ παρὰ τὸν δασμόν· τὸ δὲ ἐπὶ τοῦ λίπους παρὰ τὸ δαίω· εὔκαυστον γὰρ τὸ λίπος. δύναιτο δ' ἄν τις καὶ ἄλλως ἐτυμολογεῖν, εἰ παρὰ τὸ δέω γένοιτο δέεμος καὶ ἐν συναλοιφῇ δῆμος, τὸ συνδεδεμένον πλῆθος. τὸ γὰρ ἐναντίον λύῃ ἀπὸ τῆς διαλύσεως. A.

257. φύγαδε ὡς οἴκαδε. A.

276. Πολυαιμονίδην Ἀμοπάονα καὶ Μελάνιππον: ψιλωτέον πάντα, ἵνα κύρια γένηται. παραιτητέον δὲ τοὺς διαλύοντας τὸ Ἀμοπάονα· πιθανώτερον γάρ ἐστι κύριον αὐτὸ παραλαβεῖν, ἵνα τὸ προκείμενον αὐτοῦ πατρωνυμικὸν τυγχάνῃ. A.

283. ὅ σ' ἔτρεφε. ἥ σέ ἀντωνυμία ἐγκλιτική ἐστι· τὸ δὲ ὅ παρὰ τῷ ποιητῇ κείμενόν ἐστιν ἀντὶ τοῦ ὅς. A.

290. ἢ τρίποδ' ἠὲ δύω ἵππους: παραδιαζευκτικὸς ὁ ἤ, ὡς τὸ «ἠὲ δύω ἠὲ τρεῖς ἄνδρας ἔρυσθαι» (Od. ε 484). A.

328. νάρκησε δὲ χεὶρ ἐπὶ καρπῷ: τινὲς προπεριέσπασαν τὸ χειρ, ἵν' ἔχῃ ἐντέλειαν πτώσεως αἰτιατικῆς. ὁ μέντοι Ἀσκαλωνίτης ὀξύνει, καὶ εὐθεῖαν παραλαμβάνει, ἵνα καὶ σχῆμα γένηται. A.

355. ἀνεκτῶς: ὡς ἀνδρικῶς Ἀρίσταρχος περισπᾷ. λέλεκται δὲ ἡμῖν περὶ τῆς προσῳδίας, ὁπότε διελάβομεν περὶ τοῦ «ἢ δὴ λοίγια ἔργα τάδ' ἔσσεται, οὐκέτ' ἀνεκτά» (Il. A 573). A.

240 λύῃ pro λύει scripsit Lehrs, de vocabulo ipso confert Arc. 103, 23 ubi λύη ἡ στάσις et de re M 213. 276 Lehrs cft. Ε 76.

379. ἤ τις: περισπαστέον τὸν ἢ σύνδεσμον, ἵνα διαπορητικὸς γένηται. καὶ βεβαιωτικὸς δὲ ὢν περισπασθήσεται. A.

402. γυιώςει μέν σφωϊν: σφωϊν: ἐγκλιτικὴ νῦν ἐστιν ἡ ἀντωνυμία· τρίτου γὰρ προσώπου, τὰ δὲ τρίτα δυϊκὰ τό τε σφωέ καὶ σφωΐν ἐγκλιτικά ἐστιν. ὅτε μέντοι δευτέρου γίνεται τὸ σφωϊν, προπερισπᾶται· ὀρθοτονεῖται γάρ· «γυιώςειν μὲν σφῶϊν» (416). A.

441. ἀμβωμοῖσι Χρύσιππος ὑφ' ἓν προφέρεται· ὁ μέντοι Ἀρίσταρχος δύο μέρη λόγου παραλαμβάνει καὶ προπερισπᾷ· λέγει γοῦν καὶ ἀλλαχοῦ «χρύσειοι δ' ἄρα κοῦροι ἐϋδμήτων ἐπὶ βωμῶν» (Od. η 100). χρὴ μέντοι γινώσκειν ὅτι διὰ τοῦ μ̄ γράφεται κἂν παράθεσις ᾖ ὁμοίως τῷ «ἂμ φόνον, ἂν νέκυας» (Il. K 298). τὸ δὲ αἴτιον ἐν τοῖς περὶ ὀρθογραφίας εἴρηται. A.

λῖτα: μεταπλασμός ἐστιν, ἔνθεν βαρύνεται, ἐπεὶ πᾶσα αἰτιατικὴ ἑνικὴ ἀπαθὴς εἰς ᾱ λήγουσα βαρύνεται, ὑπεσταλμένης τῆς τινά. ἀπαθὴς διὰ τὸ εὐφυᾶ διφυᾶ καὶ τὰ τοιαῦτα. A.

474. ὄρθαι: ἀπὸ βαρυτόνου τοῦ ὄρω κέκλιται. ὅτι δέ ἐστι βαρύτονον τὸ ὄρω, πρόδηλον ἐκ τοῦ «ὅτε τ' ὤρετο» (Il. M 279), «ὦρτο πολὺ πρῶτος μέν» (Il. H 162). A.

527. κηρεσσιφορήτους: συνθέτως ἀνέγνω ὁ Ἀρίσταρχος καὶ οἱ πλείους· ἴσως δὲ ἐπεὶ ἀναλύει αὐτὸ «οὓς κῆρες φορέουσιν»· ἔθος γὰρ αὐτῷ πολλάκις τὰ σύνθετα ἀναλύειν. οὐδέποτε δὲ δοτικὴ ἐπεκτεταμένη κατ' ἀρχὴν συντέθειται, οἷον πᾶσι καὶ πάντεσσι — πασιμέλουσα (Od. μ 70), οὐχὶ παρὰ τὴν πάντεσσι ἡ σύνθεσις· Ναυσικάα, Ναυσίθοος, ἐγχεσίμωροι, τειχεσιπλήτης. κατ' ἀρχὴν δὲ προσέθηκα διὰ τὸ παρ' Ἐπιχάρμῳ κατὰ τέλος συντεθειμένον «γυναικάνδρεσσι ποθεινοί». εἴπερ οὖν τοῦτο ἀληθές, δῆλον ὅτι παράλογον τὸ κηρεσσιφορήτους κατὰ σύνθεσιν ἀναγνωσθέν. ἀλλ' ὅμως ἐπεκράτησεν ἡ Ἀριστάρχειος, δι' ὃν εἴπομεν λόγον. A.

557. πρώονες: ὡς σώφρονες· τὸ γὰρ πρῶνες πληθυντικὸν διῃρέθη καὶ εἰς ὀξεῖαν καὶ βαρεῖαν ἡ περισπωμένη μετηνέχθη. A.

ΕΙΣ ΤΗΝ Ι.

6. Νικίας καὶ Πάμφιλος δασύνουσι τὸ ἄμυδις, ἐπεὶ παρὰ τὸ ἅμα ἐγένετο. ὁ δὲ Ἀσκαλωνίτης καὶ οἱ περὶ Ἀλεξίωνα ψιλοῦσιν, πολὺ δὲ πρότερον καὶ οἱ περὶ Ἀρίσταρχον, καθότι, φασί, φιλεῖ πως τὰ ἀπὸ δασέων πολλάκις μετασχηματιζόμενα ψιλοῦσθαι, ἡμέρα ἦμαρ, ἡδονή ἦδος. πρόδηλον δὲ κἀκ τῆς συναλοιφῆς «πάντ' ἄμυδις κεφαλῆς» (Il. M 385). ἐχρῆν δὲ αὐτοὺς προσθεῖναι ἐκεῖνο, ὡς ὅτι τὸ ἄλλυδις καὶ ἄμυδις καὶ ἐξαιρέτως τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, καὶ τῇ παρα-

402 Lehrsius pro ὀρθοτονεῖται γὰρ τὸ γυιώςειν proposuit quae exhibui.
441 κἂν pro καὶ scripsit L., qui notam in E. M. 81, 16 transiisse monet.
I 6 καὶ ἐξαιρέτως addidit L.

ληγούσῃ ἐξαιρέτῳ ἐχρήσαντο, ἢ διὰ τοῦ ῡ ἐξηνέχθησαν. ἐχρῆν οὖν ἀμάδις τι εἶναι ὡς χαμάδις. τροπὴ δὲ τοῦ ᾱ ἐγένετο εἰς τὸ ῡ, ὡς τὸ σάρκες σύρκες. καὶ ἐπεὶ Αἰολικὴ ἡ τροπή, καὶ ὁ τόνος Αἰολικὸς καὶ τὸ πνεῦμα. A.

7. τὸ παρέξ παρὰ τῷ ποιητῇ καὶ δύο μέρη λόγου ἐστί, καὶ ἐγκλίνονται αἱ δύο προθέσεις, διὸ καὶ πολλάκις εὑρίσκεται καὶ εἰς κ λήγουσα ἡ ἐξ· «παρὲκ μέγα τειχίον αὐλῆς» (Od. π 165). ἔστι δὲ ὅτε τὸ νοητὸν ἐπικρατεῖ τῆς ἐξ προθέσεως, ἔσθ' ὅτε καὶ τῆς παρά· «ἀλλὰ παρὲξ τὴν νῆσον ἐλαύνετον» (Od. μ 276)· «ὡς ἄρα φωνήσαντε παρὲξ ὁδοῦ» (Il. K 349). ἐνθάδε μὲν οὖν ἡγεῖται ὁ Ἀσκαλωνίτης παρέλκειν τὴν παρά, ἵν' ᾖ ἔξαλος. ἄλλοι δὲ τὴν παρὰ κυρίως κεῖσθαι, ἵνα γένηται παρ' ἅλα φῦκος, καὶ τὴν ἐξ συντάσσεσθαι πρὸς τὸ ἔχευαν, ὅπερ καὶ βέλτιον· παρ' ἁλὶ φῦκος ἐξέχευαν....... μετὰ γοῦν τῆς διά οὖσα ἡ ἐξ οὐ τρέπει τὸ ξ· «διὲξ σωλῆνος εἰς ἄγγος» (Archilochi v. Et. M. p. 324, 16). Τυραννίων δὲ ἓν μέρος λόγου ἤκουσεν, ἵν' ᾖ ἐπίρρημα, καὶ βαρύνει· καὶ ἔχει λόγον, ὡς Ἡρόδοτος ἐν δ' (46) «πάρεξ τοῦ Σκυθικοῦ ἔθνεος». ἀλλ' οὐ παρ' Ὁμήρῳ. A.

73. ὑποδεξείη ὡς Ἀργείη, τὸ δὲ ἀκόλουθον ὤφειλεν εἶναι κοινὸν ὑποδεξία ὡς παρὰ τὸ ἀνόρεκτος ἀνορεξία. ταῦτα ἐν τῇ προσῳδίᾳ· ἐν μέντοι τῇ καθόλου οὕτως. «πᾶσά τοί ἐσθ' ὑποδεξίη»· ἕνεκα μέτρου ἔκτασιν ἔπαθε τοῦ ῑ. ἀγνοίᾳ μέντοι τἀκριβοῦς διὰ τῆς ει διφθόγγου τὴν γραφὴν ποιοῦνται, καὶ οὕτως ἔχει ἡ τῶν ἀντιγράφων παράδοσις. D.

102. τὸ ἕξεται δασυντέον· ἀπὸ γὰρ τοῦ ἕξω μέλλοντος δασυνομένου μέσος ἐστίν. A.

130. Λεσβίδας — ἐξελόμην: Ἀρίσταρχος ψιλοῖ καὶ πρόθεσιν παραδέχεται ὥστε εἶναι ἓν μέρος λόγου. A.

134. ἣ θέμις ἀνθρώπων πέλει ἀνδρῶν ἠδὲ γυναικῶν: τὸ ῆ τὸ πρῶτον δασυντέον· ἔστι γὰρ ἰσοδυναμοῦν τῷ ὥς, διὸ καὶ ὁ τέ προστίθεται σύνδεσμος πολλάκις. ὡς γὰρ λέγομεν «ὥστε γὰρ ἢ παῖδες νεαροί» (Il. B 289) οὕτως «ἣ τε ξείνων θέμις ἐστίν» (Od. ι 268). τὸ δὲ ἠδέ ψιλωτέον· σύνδεσμος γάρ ἐστιν ἰσοδυναμῶν τῷ καί, ὁμοίως τῷ «ἠδ' εὔφρονα καρπὸν ἀμᾶσθαι» (Hes. Op. et D. 771). A.

7 ἵν' ᾖ ἔξαλος pro ἵν' ᾖ ἐξ ἁλός scripsi suadente Lehrsio, qui ἐξ ἁλός recte se habere negat et Ptolemaeum ἔξαλα ab ἔξαλος adverbiali significatione positum voluisse suspicatur. — Lacunam ante μετὰ γοῦν monente Lehrsio indicavi. Idem Ἡρόδοτος pro Ἡρωδιανὸς scripsit et pro ὡς ἕνα collatis Anecd. Par. III 11, ubi ἐν α' exhibetur, ἐν δ' proposuit et in fine addidit ἀλλ' οὐ παρ' Ὁμήρῳ coll. περὶ μον. 25, 24. 73 τὸ δὲ pro εἰ scripsit L. et in fine pro τοῦ Ἀντιφάνους, cui Wolfius Ἀριστοφάνους substituere voluit, τῶν ἀντιγράφων proposuit. — Ab Herodiani doctrina aberratum esse in derivatione nominis ἀνορεξία ab ἀνόρεκτος et ὑποδεξία ab ὑπόδεκτος monet Lehrsius collato Arcad. p. 99, ubi τὰ διὰ τοῦ ια παρὰ μελλόντων γενόμενα παροξύνεται, ὀρέξω ἀνορεξία, πέψω πεψία, προδώσω, προδοσία. Eodem modo quo hoc loco ὑποδεξία propagatur in Choer. Orth. 269, 21 ὑπόδεκτος ὑποδεξία διὰ τὴν σύνταξιν. 134 ἀμᾶσθαι pro ἀμεῖσθαι correxit L.

147. ἐπιμείλια: Ἀρίσταρχος ἓν μέρος λόγου παρέλαβεν ὡς ἐπιφέρνια. Ἀπολλόδωρος δὲ διαλύει, ἐπί, εἶτα μείλια· οὕτως δὲ καὶ Ἀλεξίων· καί ἐστι τὸ ἑξῆς ἐπιδώσω μείλια. Τρύφων δὲ ζητεῖ περὶ τοῦ τόνου, πότερον ὡς ποίμνια ἢ ὡς παιδία. ἡμῖν δὲ δοκεῖ τὸ προπαροξυνόμενον πλέον εἶναι. σπάνιον δὲ τὸ παροξυνόμενον, εἰ οὕτως ὁρισαίμεθα· τὰ διὰ τοῦ ιον οὐδέτερα μονογενῆ τρισύλλαβα, μὴ ὄντα ὑποκοριστικά, εἰ ἔχοι τὴν τρίτην ἀπὸ τέλους φύσει μακράν, διὰ τοῦ ι ἐκφερομένην, ἤτοι μόνου ἢ καὶ σὺν ἑτέρῳ φωνήεντι, προπαροξύνεται, Ἴλιον, ποίμνιον, Σίγριον, λείριον, ἴτριον. οὕτως καὶ μείλιον. σπάνια δὲ τὰ παροξυνόμενα, ὥσπερ τὸ ἰνίον· τὸ γὰρ τειχίον ὑποκοριστικὸν καὶ τὸ κλειδίον. A.

150. Ἱρήν: Ἀρίσταρχος ὀξύνει ὁμοίως τῷ ἐπιθετικῷ ἱρὴν, εἰσὶ δὲ οἳ βαρύνουσιν εἰς ἰδιότητα, ὥσπερ ἐδηλώσαμεν ἐπὶ τοῦ «Ῥίπην τε Στρατίην τε» (Il. B 606), «Ὄρθην» (Ὀρθήν, ib. 739). ἡ δὲ αὐτὴ ἀναλογία ἐχώρει καὶ ἐπὶ τῶν εἰς ος. καὶ πάλιν ὡς ἐπ᾽ ἐκείνων ἐλέγομέν τινα ὁμοτόνως μένειν, οὕτως καὶ ἐπὶ τούτων. καί ἐστιν ὁρίσασθαι τὰ μείναντα ὅτι ἐπαίνων ὀνόματά ἐστιν, οὐκ ἀναστρέφοντος τοῦ κανόνος· οὐ γὰρ τὰ ἐπὶ ἐπαίνου μένει. καὶ τῶν μὲν τρεπόντων ἀρητή Ἀρήτη, τῶν δὲ μεινάντων Πινυτή, «μήτηρ πινυτή» (Od. υ 131)· Ἀγαυή. οὕτως καὶ Ἱρή. A.

153. πᾶσαι δ᾽ ἐγγὺς ἁλὸς νέαται Πύλου ἠμαθόεντος: ὡς κέαται. σημαίνει δὲ τὸ ναίονται, γενόμενον παρὰ τὸ νῶ, οὗ παραγωγὸν ναίω. ὅσοι δὲ παροξύνουσιν ὡς ἐπὶ τοῦ ἔσχαται κατὰ τὸ νοητὸν παραλαμβάνουσιν· οὐδ᾽ εὐθεῖαν δὲ ὑγιῶς παροξύνουσιν· ὀφείλει γὰρ ὁμοτονεῖν τῷ νέατοι· Ἀπολλώνιος (? Ἀπολλόδωρος ex schol. L) δὲ διὰ τοῦ κ γράφει κέαται. A.

164. διδοῖς: ὡς ὀρθοῖς. οὕτως καὶ Ἀρίσταρχος. καὶ γὰρ τὸ τρίτον «εἰ μὲν γὰρ μὴ δῶρα διδοῖ» (Il. I 515). A.

167. οἳ δέ: βαρυτονητέον· δύο γὰρ μέρη λόγου, ἀντὶ τοῦ οὗτοι δέ. εἰσὶ δὲ οἳ προπεριέσπασαν, οὐκ εὖ· χρεία γάρ ἐστι τοῦ δέ συνδέσμου. A.

184. περισπαστέον τὸ πεπιθεῖν· δεύτερος γὰρ ἀόριστος. ABL.

197. ἢ φίλοι ἄνδρες ἱκάνετον. ἦ τι μάλα χρεώ: ἀμφοτέρους τοὺς συνδέσμους περισπαστέον· βεβαιωτικοὶ γάρ. A.

202. καθίστα: εἰ καθίστανε τὸ πλῆρες, οὕτως καὶ ἐπὶ τῆς ἀποκοπῆς. εἰσὶ δὲ οἳ ἐκτείνουσιν, ἀπὸ τοῦ ἱστῶ τὴν κλίσιν παραλαμβάνοντες. A.

206. κρεῖον ὡς θεῖον. γέγονε δὲ παρὰ τὸ κρέας. A.

147 pro πύμνον scripsit Lehrs ποίμνιον, quod praebet Eustath. ad h. l. Ἴλιον εἴριον Σίγειον λείριον proferens, pro Σίγιον Σίγριον et pro αἴ ιον ἴτριόν.
150 Codicis scripturam μεινάντων πινυτή· μήτηρ δὲ πιστὴ ἄγνη emendavit Lehrs.
153 οὐδ᾽ εὐθεῖαν δὲ pro οὐδ᾽ ἐνθάδε δὲ scr. L. 202 εἰ pro ὡς emendavit L., qui conferri iubet περὶ παθῶν in E. M. s. ἵστη μὲν ὄμμα. 206 L. confert E. M. s. v.

220. θυηλάς: ὡς ἀπαρχάς. τὰ δὲ διὰ τοῦ ηλη μονογενῆ ὑπὲρ δύο συλλαβὰς καὶ ὀξύνεται, ὥσπερ τὸ γαμφηλή, θυηλή, καὶ βαρύνεται, ὡς τὸ ἀνθήλη. A.

230. ἐν δοιῇ: περισπαστέον· δοτικὴ γὰρ ἀκόλουθος εὐθείᾳ τῇ δοιός, οὗ τὸ θηλυκὸν δοιή. A.

236. Ἀρίσταρχος ὑφ' ἓν μέρος λόγου τὸ ἐνδέξια, ἐπὶ τὴν δε συλλαβὴν τὴν ὀξεῖαν ποιῶν· ὁ δὲ Ἀσκαλωνίτης κατὰ παρολκὴν παραλαμβάνει τὴν ἐν πρόθεσιν, ὥστε εἶναι δέξια σήματα φαίνων. ἄμεινον δὲ τὸ πρότερον. A.

240. ἠῶ: τὴν ἠῶ κατ' αἰτιατικὴν πτῶσιν περισπαστέον, καὶ τὴν αἰδῶ, οὐ μὴν καὶ τὸ Λητώ καὶ τὰ τοιαῦτα πάντα· ἀλλὰ τὰ μὲν εἰς ω λήγοντα θηλυκὰ ἐπ' εὐθείας καὶ αἰτιατικῆς ὁμοτονήσει ὀξυνόμενα, τὸ δὲ ἠώς καὶ αἰδώς μόνα ἕξει ἐπ' αἰτιατικῆς τὴν περισπωμένην τάσιν. A.

292. οὕτως Ἰρὴν ὀξυτόνως, ὡς ἐν τῇ καθόλου. A.

321. περίκειται: ὁ Ἀσκαλωνίτης δύο ποιεῖ, περί, εἶτα κεῖται, καὶ προπερισπᾷ· σημαίνει δέ φησι τὸ περισσῶς κεῖται. εἰσὶ δὲ οἳ ὑφ' ἓν ἀναγινώσκουσι περίκειται ὡς ἀντίκειται, οἷς συγκατατίθεμαι· τί γάρ ἐστι τὸ κωλῦον καὶ ἐν τῇ συνθέσει τὸ αὐτὸ νοεῖν; A.

336. θυμαρέα: τῇ ψυχῇ ἀρέσκουσαν, θυμήρη. σύνθετον δέ ἐστι παρὰ τὸ ἄρω θυμαρής, καὶ οὕτως ἀνέγνωμεν «Εὔμαιος δ' ἄρα οἱ σκῆπτρον θυμαρές» (Od. ρ 199) διὰ τοῦ α. οὐ γάρ ἐστι παρώνυμον διὰ τοῦ ηρης, τὰ γὰρ διὰ τοῦ ηρης καὶ ωδης παρώνυμα βαρύνεται, ξιφήρης, ὀλιγήρης, τοξήρης, ὀνώδης καὶ βοώδης. A.

342. αὐτοῦ: ὁ Ἀσκαλωνίτης δασύνει, σύνθετον ἐκδεχόμενος τὴν ἀντωνυμίαν, ἀγνοῶν ὅτι Ὅμηρος οὐδέποτε συνθέτῳ κέχρηται ἀντωνυμίᾳ. διὸ καὶ τὰς τοιαύτας κατὰ διάλυσιν ἀναγινώσκομεν «καὶ μαχόμην κατ' ἔμ' αὐτὸν ἐγώ» (Il. A 271) καὶ «πυκάσασα ἓ αὐτήν» (Il. P 551). τί οὖν ἐστιν ἐνθάδε λέγειν; ἢ ὅτι λείπει ἡ ἕο; ὡς τὸ «ἕο τ' αὐτοῦ πάντα κολούει» (Od. θ 211), οὕτως καὶ ἐνθάδε «τὴν ἕο αὐτοῦ φιλέει». A.

343. δουρικτήτην: δουρικτήτη, ὡς ἀριγνώτη, ἵνα τοῦ δουρίκτητος παρώνυμον ᾖ· οὕτως γὰρ φιλεῖ σχηματίζειν ὁ ποιητής, ἀμφιρύτη, περιξέστη. A.

353. οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος ὀρνύμεν Ἕκτωρ: δύναται τῇ γενικῇ συντάσσεσθαι καὶ μὴ πάντως σημαίνειν τὸ ἄπωθεν. A.

392. ὅστις οἱ: εἰς ἁπλῆν μεταλαμβάνεται ἡ ἀντωνυμία, ὅστις αὐτῷ· ὅμως δὲ ὠρθοτονήθη (v. Apoll. pron. 54). περισπασθήσεται οὖν. δείκνυται δὲ ἐν τοῖς περὶ ἀντωνυμιῶν ὡς ὅτι ἡ ἐμοί ἐπὶ δοτικῆς καὶ ἔτι ἡ σοί ὀξύνονται, ἡ δὲ οἷ περιεσπάσθη ἀνακολούθως. A.

336 pro ἀρέσκουσα θυμήρης Lehrsius ex E. M. 458, 25 scripsit ἀρέσκουσαν, θυμήρη et θυμαρής pro θυμάρης, indidem l. 21 ὀξυτόνως adiiciendum iudicavit. 342 verba ἀγνοῶν — ἀντωνυμίᾳ L. addidit ex V., ubi haec leguntur: Πτολεμαῖος δασύνει νομίζων τὸ πλῆρες εἶναι ἑαυτοῦ, ἀγνοῶν — ἀντωνυμίᾳ. 343 L. confert Ξ 372. 353 L. citat quaest. ep. 94. 392 ὅμως δὲ ὠρθοτονήθη addidit L.

393. cόωcι: Τυραννίων προπεριcπᾷ ὡc νοῶcιν, ὡc ἀπὸ τοῦ cοῶ περιcπωμένου, ἐπεί, φηcί, καὶ τὸ εὐκτικὸν κατὰ ἀποκοπὴν εἶπεν «ἥ κέν cφιν νῆάc τε cοῷ καὶ λαὸν Ἀχαιῶν» (424) καὶ τὸ δεύτερον «ὅππωc κεν νῆάc τε cοῷc καὶ λαὸν Ἀχαιῶν» (681). Ἀπίων δὲ διὰ τοῦ ᾱ γράφει, ἐπεὶ καὶ ἐν ἄλλοιc οὕτωc εὑρίcκεται, «cάωcε δὲ νυκτὶ καλύψαc» (Il. Ε 23) καὶ «τὸν μὲν ἐγὼν ἐcάωcα» (Od. ε 130) καὶ «ἀλλὰ cάω μὲν ταῦτα, cάω δ' ἐμὲ» (Od. ν 230)· καὶ ἐπὶ μέλλοντοc «κερδαλέηc εἴ τίc κεν ἐρύcεται ἠδὲ cαώcει» (Il. Κ 44). ἡ δὲ πλείων χρῆcιc, ὧν ἐcτι καὶ ὁ Ἀcκαλωνίτηc, ὡc cώζωcι. καὶ δῆλον ὅτι τοῦ cώωcι cυcτολὴν αὐτοὺc δεῖ παραδέξαcθαι. πρόδηλον κἀκ τῆc μετοχῆc· «τὼ δ' ἑτέρω ἑκάτερθεν ἴτην cώοντεc ἑταίρουc» (Od. ι 430). Α.

398. ἔνθα δέ: δύο μέρη λόγου. «ἔνθα δέ τοι θάνατοc» (Il. Υ 390), «ἔνθα δέ κ' αὖθι μένων» (Od. ε 208), «ἔνθα δὲ νῦν τρέψαc ἀπὸ τείχεοc» (Il. Χ 16). Α.

426. ἀπομηνίcαντοc: ἕν ἐcτιν ὡc ἀπομανέντοc· καὶ γὰρ τὴν εὐθεῖαν οὕτωc οἶδεν «ἀπομηνίcαc» (Il. Β 772). οὕτωc οἶδε καὶ ὁ Ἀcκαλωνίτηc καὶ Ἀλεξίων. καὶ εἰ παρέλκει δὲ ἡ ἀπό, οὕτωc ἀναγνωcτέον. Α.

449. περιχώcατο: οἱ μὲν ἀνέcτρεψαν, ἵνα γένηται περὶ παλλακίδοc· οἱ δὲ περιχώcατο ἀνέγνωcαν, ἵνα cημαίνηται τὸ περιccῶc. καὶ οὕτωc μᾶλλον ἐπεκράτηcεν ἡ παράδοcιc. οὕτωc δὲ καὶ Ἀλεξίων. Α.

452. προμιγῆναι: πρὸ τοῦ πατρὸc μιγῆναι· ἢ περιccεύει ἡ πρόθεcιc. Α.

456. θεοὶ δ' ἐτέλειον ἐπαράc: εἴτε παρέλκει ἡ ἐπί, φυλαχθήcεται ὁ τόνοc ὁ αὐτόc, ὡc «ἐπιβουκόλοc ἀνήρ» (Od. γ 422) «καὶ ἐπιcμυγερῶc» (ib. 195.) εἴτε τὸ ἑξῆc ἐcτιν ἐπετέλουν, οὐκ ἀναcτραφήcεται πάλιν, καθότι αἱ cυναλειφθεῖcαι οὐκ ἀναcτρέφονται cεcημειωμένου ἐκείνου «cτεῦτο γὰρ Ἡφαίcτοιο πάρ' οἰcέμεναι» (Il. C 191). Α.

470. εἰνάνυχεc ὡc μονώνυχεc, ἀπ' εὐθείαc τῆc εἰνάνυξ. Α. ?

485. καί cε: οὐκ ἀναγκαῖον ἐνθάδε ὀρθοτονεῖν· οὐδὲ γὰρ ἀντιδιαcτολὴ πρὸc ἕτερον πρόcωπον. ἀπολελυμένωc οὖν ἀναγνωcτέον. Α.

494. ἀλλά cέ: ἐνθάδε ὀρθοτονητέον· ἔμφαcιc γὰρ δείξεωc. Α.

502. παραβλῶπεc: προπεριcπαcτέον ὁμοίωc τῷ τυφλῶπεc· ἀπὸ γὰρ ὀξυνομένηc εὐθείαc ἐγένετο τῆc παραβλώψ. τὰ δὲ τοιαῦτα καὶ βαρυνόμενα εὑρέθη καὶ ὀξυνόμενα, ὥcπερ τὸ ἑλικῶπεc καὶ Κύκλωπεc, περὶ ὧν ἐντελέcτερον λέγεται ἐν τοῖc περὶ cχημάτων. Α.

505. ἀρτίποc: πρὸ τέλουc ἡ ὀξεῖα, ὁμοίωc τῷ ἀελλόποc καὶ τρίποc. Α.

506. ἐκτατέον τὸ φθάνει διὰ τὸ μέτρον. Α.

---

393 in priore versu Homerico pro ἤ scripsit ἥ et pro cόῳ et cόῳc coῷ et coῷc monens Aristarchi scripturam esse cαῷc et coῷc (Didymus in Schol. A ad I 681).

509. Ad h. v. A habet: ἡ διπλῆ ὅτι περιccὸc ὁ δέ cύνδεcμοc. διὸ οὐ δεῖ cυνεγκλίνειν τῷ ἄρθρῳ τὸν cύνδεcμον. Hic est cur coniicias Aristonici et Herodiani notas per epitomatorem coaluisse, et ultima de accentu non fuisse apud Aristonicum sed potius ab Herodiano esse. Est tamen aliquid dubitationis praesertim inspicienti scholia ad Β 189. (cυνεγκλιτικὸc Apollon. coni. 526, 16. ἀcυνέγκλιτοc ib. 508, 1.)

516. ἐπιζαφελῶc: ὡc χαλεπῶc. παρέλκει δὲ πάλιν ἡ ἐπί. ἐχρῆν δέ, ἐπεὶ παρὰ τὸ ζάφελοc γέγονε, καὶ ζαφέλωc ἡμᾶc ἀνεγνωκέναι βαρυτόνωc, ἢ καὶ ἐκεῖνο κατ' ὀξὺν προφέρεcθαι τόνον. ἀλλὰ μήποτε τὸ μὲν ζάφελοc προπαροξύνεται λόγῳ τούτῳ, ὡc τὰ εἰc οc λήγοντα cυγκείμενα παρὰ τὸ ζα προπαροξύνεται, ζάθεοc, ζάκοτοc. οὕτωc ζάφελοc. τὸ δὲ ζαφελῶc περιcπᾶται, ἐπεὶ τὰ διὰ τοῦ λωc ἐπιρρήματα, παραλητόμενα τῷ ε, ὡc ἐπὶ τὸ πλεῖcτον φιλεῖ περιcπᾶcθαι, ἐντελῶc, ἐπιμελῶc, οἷc καὶ τὸ ζαφελῶc cυνεξέδραμε. πρόcκειται ὡc ἐπὶ τὸ πλεῖcτον διὰ τὸ εὐτραπέλωc, ἰκέλωc. A.

526. παραρρητοί: ὡc παραμυθητοί καὶ νοητοί κατ' ὀξεῖαν τάcιν. A.

529. Κουρῆτεc: οὕτωc ἀνεγνώcθη ὡc ἀβλῆτεc, πρὸc διαcτολὴν τοῦ «κούρητεc Ἀχαιῶν (Il. Τ 248). οὐκ ἐχρῆν δέ, καθότι οὐ φιλεῖ τὰ εἰc ηc λήγοντα ἐθνικὰ ὑπὲρ μίαν cυλλαβὴν ὀξύνεcθαι. ἐλέγχεται δὲ καὶ ἡ κλίcιc τοῦ κουρῆτεc ἐν τῇ κλίcει τῶν ὀνομάτων. A.

540. ἔθων: ψιλῶc τὸ ἔθων, καθότι ἐδιδαcκόμεθα καὶ ἐκ τῆc cυναλοιφῆc «ἤ ἓ μάλιcτ' εἴωθε» (Il. Ε 766). καὶ ἄλλωc τὸ ε πρὸ τοῦ θ οὐ δαcύνεται, εἰ μὴ εἴη ἀντωνυμικὸν ἐξ ἀποβολῆc τοῦ c, cέθεν ἕθεν. τὴν γὰρ ὑπό τινων φερομένην ἔδων παραιτητέον. A.

567. καcιγνήτοιο: ὡc Ἀδμήτοιο. τινὲc δὲ προπεριcπῶcιν ὡc λευκοῖο, ἵνα γένηται καcιγνητικοῦ· ἡ γὰρ Ἀλθαία, φαcίν, οὐχ ἕνα εἶχεν ἀδελφόν. δύναται μέντοι καὶ τὸ βαρυνόμενον ἑνικὸν ἰcοδυναμεῖν τοῦ καcιγνητικοῦ. A.

571. ἠεροφοῖτιc: τὰ εἰc ιc παρώνυμα θηλυκά, παρακείμενα τοῖc εἰc ηc ἀρcενικοῖc βαρυνομένοιc, προπεριcπᾶται, εἰ φύcει μακρᾷ παραλήγοιτο, πρωθῆβιc, πολῖτιc, ἀλεῖτιc, πλανῆτιc, πρεcβῦτιc. οὕτωc δὲ καὶ ἠεροφοῖτιc. ὅcα δὲ παρὰ τὸ πωλεῖν ἐcτίν, ἀνεβίβαcε τὸν τόνον, ἀρτόπωλιc, ἀλφιτόπωλιc· ἀλλ' οὖν καὶ ὅcα παρὰ τὸ κοῖτοc, παράκοιτιc, ἄκοιτιc. τὸ μέντοι δολόμητιc οὐκ ἔcτι θηλυκὸν ἀλλὰ καὶ ἀρcενικόν· καὶ ἴcωc τὸ μῆτιc ἔγκειται, ὡc τὸ πολύμητιc δολόμητιc. καὶ ἔcτι cύνθετον. A.

582. ἐπ' ἐμβεβαώc: εἴτε ἓν μέροc λόγου ἐπεμβεβαώc, ὡc ἐμμεμαώc, εἴτε τῇ ὁδοῦ γενικῇ cυνάπτεται, οὐ δύναται ἀναcτρέφεcθαι· cυνήλειπται γάρ. A.

---

516 pro ἐχθρ Bekker. correxit ἐχρῆν. 529 cf. Ε 9. 540 ἔδων pro ἐδον scripsit L. 567 φαcίν pro φηcίν scripsit L.

605. τιμῆς ἔςεαι: τινὲς τὸ τιμῆς διὰ τοῦ ῑ γράφουςιν, ἀπὸ γὰρ τοῦ τιμήεις. οὕτως καὶ τὴν αἰτιατικὴν εἶπε «καὶ χρυςὸν τιμῆντα» (Il. C 475). καίτοι λόγος ἐςτίν, ὡς πᾶςα εὐθεῖα ἀρςενικοῦ ὀνόματος ἐν τῇ τελευταίᾳ δύο ἔχουςα φωνήεντα ταῦτα ἐκφωνεῖ, χωρὶς τοῦ Θρᾷξ. οὐκ ἐπείςθη δὲ ἡ παράδοςις. Ἀρίςταρχος γὰρ ἄνευ τοῦ ῑ, οὐχ ὑγιῶς δὲ γενικὴν ἐκδέχεται, λειπούςης φράςεως· τιμῆς γάρ φηςιν ἄξιος ἔςῃ. ὁ δὲ Χαῖρις βοηθῶν αὐτῷ φηςιν ὅτι ἐπιφέρει «οὔτι με ταύτης χρεὼ τιμῆς». A.

ἀλαλκών: ὀξυτονητέον· δευτέρου γὰρ ἀορίςτου ἐςτίν. ὡς ἀγαγών καὶ ἀγαγεῖν, οὕτως καὶ ἀλαλκών καὶ ἀλαλκεῖν. A.

614. ἵνα μημοι ἀπέχθηαι φιλέοντι: ὁ Ἀςκαλωνίτης ἀναγινώςκει ἵνα μημοι τὰς δύο βαρυτόνως, οἷον ἵνα μὴ ἐμοί κατ' ὀρθὴν τάςιν· ςυγκριτικὴ γάρ ἐςτι, φηςίν, ὡς πρὸς τὸν Ἀγαμέμνονα. καὶ ὑγιῶς φηςιν. ἡ μέντοι παράδοςις ἐγκλιτικῶς ἀνέγνω, ἐπὶ τὴν μή τὴν ὀξεῖαν τιθεῖςα, ὁμοίως τῷ «μή μοι οἶνον ἄειρε» (Il. Z 264), τῷ μὴ εἶναι ἐν τῇ ἀντωνυμίᾳ τὸ ε, ἀλλ' ἀποβεβλῆςθαι. καὶ ὁμοία ἐςτὶν ἡ πλάνη τῷ «ἤ μ' ἀνάειρε ἢ ἐγώ ςε» (Il. Ψ 724) καὶ τῷ «τάχα δή με διαρραίςουςι καὶ αὐτόν» (Od. α 251), εἴγε ἐχρῆν καὶ ταῦτα ὀρθοτονεῖςθαι. ἀλλὰ τῷ μὴ ὁρᾶςθαι κατ' ἀρχὴν τὸ ε οὕτως ἀνέγνωςαν· τοῦτο γὰρ ἐπακολουθεῖ τοῖς πρωτοτύποις. ἐχρῆν δὲ αὐτοὺς ἐπιγνῶναι ὅτι κρᾶςις δύναται ἐπακολουθεῖν, καὶ οὕτως ῥῶςαι τὴν ὑγιῆ ἀνάγνωςιν. A.

680. αὐτόν ςε: ὁ Ἀςκαλωνίτης ὀρθοτονεῖ τὴν ςέ, ἐπεί, φηςίν, ἀεὶ μετὰ τῆς ἐπιταγματικῆς αἱ πρωτότυποι φιλοῦςιν ὀρθοτονεῖςθαι. ἐχρῆν δὲ αὐτὸν ἐπὶ τοῦ πρώτου καὶ δευτέρου προςώπου ὁρίςαςθαι, παραιτήςαςθαι δέ τινα Ὁμηρικὰ ἄλλως ἀνεγνωςμένα δι' αἰτίαν τινά· «κελεύετέ μ' αὐτὸν ἐλέςθαι» (Il. K 242)· «ἤ μή τίς ς' αὐτόν» (Od. ι 406). ἄλλως τε αἱ πρὸ τῆς αὐτός εἰςιν αἱ ὀρθοτονούμεναι, οὐχ αἱ μετὰ τὴν αὐτός. ἐγκλιτικῶς οὖν ἀναγνωςτέον. A.

ΕΙΣ ΤΗΝ Κ.

18. Πάμφιλος τὴν ἐπὶ ἀναςτρέφει· πιθανώτερον δέ ἐςτι τὸ ἀκόλουθον φυλάττοντας ἀναγινώςκειν ἐπὶ πρῶτον Νέςτορα. οὕτως ὁ Ἀςκαλωνίτης. A.

19. εἴ τινά οἱ ςὺν μῆτιν ἀμύμονα τεκτήναιτο: εἰςὶν οἳ ἀνέγνωςαν καθ' ἓν μέρος λόγου, ὡς εὔμητιν, κακῶς· δύο γὰρ ἐςτι μέρη λόγου ςύν καὶ μῆτιν· τὸ δὲ ἑξῆς ἐςτι ςυντεκτήναιτο μῆτιν. A.

25. οὐ δὲ γὰρ αὐτῷ ὕπνος ἐπὶ βλεφάροιςιν ἐφίζανε: Τυραννίων τὴν αὐτῷ ἀντωνυμίαν καθ' ἓν ἐλάμβανεν ὡς ἐν τῇ ςυνηθείᾳ· ὁ δὲ Ἀςκαλωνίτης τὸν αὖ ςύνδεςμον παρελάμβανε, καὶ τὸ τῷ ἰςοδυναμοῦν τῷ τούτῳ, ὁμοίως τῷ «τοῦδ' αὖ τοῦ λυκάβαντος» (Od. ξ

605 Θρᾷξ pro Θρᾷξ scripsit L., qui cft. M 201. 680 pro τις cαυτόν scripsit L. τίς ς' αὐτόν, equidem ἤ pro εἰ.

161). ἴcη δέ μοι δοκεῖ ἡ ἀνάγνωcιc εἶναι. ἐπὶ μέντοι τοῦ τοῦδ' αὖ τοῦ λυκάβαντοc κατεπεῖγόν ἐcτιν αὖ, εἶτα τοῦ ἀναγνῶναι· κωλύεται γὰρ ἐνθάδε ἐμπαραληφθῆναι ὑπὸ τοῦ cημαινομένου τὸ αὐτοῦ (cf. schol. Q eo loco). A.

38. Ἀρίcταρχοc ἐπίcκοπον ὡc κατάcκοπον. Νικίαc δὲ ἀναcτρέφει τὴν ἐπί, ἵν' ᾖ ἐπὶ Τρώεccιν. εἰcὶ δὲ οἳ ἀνεγνώκαcιν ἐπιcκοπόν ὡc ἀγακλυτόν, ἵνα παρέλκῃ ἡ ἐπί. ἄμεινον δὲ τῷ Ἀριcτάρχῳ cυγκατατίθεcθαι· καὶ γὰρ ἤδη ἡ cυνήθεια ἐπίcταται τὴν τοιαύτην cύνθεcιν. χρὴ δὲ νοεῖν ὅτι πολλὴ ἡ χρῆcιc τοῦ ὀνόματοc παρὰ τῷ ποιητῇ ἐν ἁπλότητι καὶ ἐν cυνθέcει· «δμωάων cκοπόc ἐccι» (Od. χ 396) «καὶ ἐπίcκοποc ἦcιν ἑταίρων» (Od. θ 163). A.

56. φυλάκων: ὡc cκυλάκων· ἐπὶ γὰρ τῶν ἀνδρῶν τέτακται, οὐκ ἐπὶ τῶν τόπων. A.

65. τὸ ἀβροτάξομεν ψιλωτέον ὁμοίωc τῷ ἤμβροτεc. τινὲc γοῦν κυρίωc ἡγοῦνται τὸ βροτοῦ μὴ ἐπιτυχεῖν ἀλλ' ἁμαρτεῖν, ὥcτε καὶ cτέρηcιν ἐγκεῖcθαι. A.

67. ἐγρήγορθαι: τὸ ἐγρήγορθαι ἀνέγνωμεν προπαροξύνοντεc, οὐκ ἐχρῆν δέ. εἴτε γὰρ cυγκοπή ἐcτι τοῦ ἐγρηγορέναι, εἴτε παθητικόc, ὀφείλει παροξύνεcθαι, καθότι τὰ εἰc θαι λήγοντα ἀπαρέμφατα, ἔχοντα πρὸ τοῦ θ ἀμετάβολον, παροξύνεται, κεκάρθαι, τετίλθαι, ἐcπάρθαι· μίαν μέντοι ἀφορμὴν ὁρῶ τοῦ δύναcθαι προπαροξύνεcθαι τὸ ἐγρήγορθαι τὸ τὰ εἰc θαι λήγοντα, τῇ ορ cυλλαβῇ παραληγόμενα, μὴ παρ' ἄλλῃ τινὶ διαλέκτῳ ὁρᾶcθαι, ἢ τῇ Αἰολίδι, τέτορθαι, μέμορθαι, ἔφθορθαι· ὅθεν ἐπεὶ ἡ παράληξιc Αἰολικωτέρα ἐγένετο, καὶ ὁ τόνοc ὁμοίωc τοῖc προκειμένοιc. A.

93. αἰνῶc γὰρ Δαναῶν περιδείδια: πιθανώτερόν πωc ἐcτιν ἀναcτρέφειν· δύναται δὲ καὶ τὸ ἕτερον. A.

95. ἐκθρώcκει: Νικίαc κατ' ἰδίαν τὴν πρόθεcιν ποιεῖ, ἵνα τὸ ἐξῆc γίνηται ἐκ cτηθέων θρώcκει. ἄμεινον δὲ ἓν ποιεῖν, ἐκθρώcκει ὡc ἐκτρέχει. A.

ὑπό: κακῶc Νικίαc ἀναcτρέφει· μεταξὺ γὰρ πέπτωκεν ὁ δέ. A.

105. ὅcα πού νυν ἐέλπεται: τὸ νῦν ἐνθάδε cυcταλτέον διὰ τὸ μέτρον, ὥcπερ καὶ ἐπὶ τοῦ «δεῦρό νυν ἢ τριπόδοc» (Il. Ψ 485). A.

109. δουρὶ κλυτόν: τὸ κλυτόc, εἰ πτωτικὸν κατάρχοι ἐν cυνθέcει, βαρύτονόν ἐcτι, τοξόκλυτοc, ὀνομάκλυτοc, εἰ δὲ ἄπτωτον φυλάccει τὸν αὐτὸν τόνον, περικλυτόc ἀγακλυτόc, διὸ cημειωτέον τὸ ναυcικλυτόc ὀξυνόμενον. ὅτι γὰρ cύνθετόν ἐcτι, δῆλον ἐκ τοῦ μένειν τὸ ᾱ τῆc ναυcί δοτικῆc· κατ' ἰδίαν γὰρ παρὰ τῷ ποιητῇ ἢ διὰ τοῦ η

K 38 post Ἀρίcταρχοc inseruit ἐπίcκοπον ὡc L. 67 παθητικόc inseruit L., qui hanc notam exstare observat et ap. Eustath., qui habet εἴτε ἀπὸ τοῦ ἔγρω γίνεται et in E. M. 312. 41, ubi εἴτε ἀπὸ τοῦ ἐγείρω. 109 διό cημειωτέον τὸ ναυcικλυτόc ὀξυνόμενον in priore editione omissa esse monuit Lehrsius, qui post cυνθέcει inseruit βαρύτονον et pro παραcυνθέcει scripsit παραθέcει.

λέγεται ἡ διὰ τοῦ ε, ἐν δὲ συνθέσει διὰ τοῦ ᾱ, Ναυσικάα, Ναυσίθοος. τὸ μὲν οὖν δουρὶ κλυτὸς ἐν παραθέσει ἐστίν. A.

134. οὔλη δ': ὡς κούρη· οὕτως γὰρ καὶ τὸ ἀρσενικὸν αὐτοῦ ἐβαρύνετο «οὔλων τε ταπήτων» (Il. Π 224). τούτῳ συγκατατίθεται καὶ ὁ Ἀσκαλωνίτης καὶ Ἀλεξίων καὶ Ἀρίσταρχος. καὶ μήποτε ἀνάλογος ἡ παρὰ τῷ ποιητῇ ἀνάγνωσις πρὸς τὴν κοινὴν συνήθειαν, εἴ γε ὀξυτονοῦσι τὸ ὄνομα, λέγοντες οὐλὸς ἄνθρωπος καὶ οὐλὴ κόμη. οὐ δέον δέ· τὰ γὰρ εἰς λος λήγοντα δισύλλαβα μὴ ἔχοντα πρὸ τοῦ λ̄ ἄλλο σύμφωνον, παραληγόμενα δὲ τῷ ο̄ ἤτοι μόνῳ ἢ μεθ' ἑτέρου φωνήεντος, βαρύνεται, πόλος, στόλος, θόλος, κοῖλος, δοῦλος. οὕτως καὶ οὖλος. προσέθηκα δὲ μὴ ἔχοντα πρὸ τοῦ λ̄ ἄλλο σύμφωνον διὰ τὸ μοχλός, πολλός. τὸ μέντοι θολὸς ὀξυνόμενον πρὸς ἀντιδιαστολήν ἐστι. A.

174. ἤ: ἄμφω τοὺς συνδέσμους ἐγκλιτέον. διαζευκτικοὶ γάρ εἰσιν. V.

210. τὴν σφίσι νῦν ὀρθοτονητέον, καὶ διὰ τὴν σύνταξιν καὶ διὰ τὴν μετάληψιν. εἰς γὰρ σύνθετον. A.

242. κελεύετέ μ' αὐτόν: Ἀλεξίων τὸ ε̄ τῇ ἀντωνυμίᾳ δίδωσιν, οὐ τῷ ῥήματι τελικόν, καὶ δοκεῖ ὀρθοτονεῖν, ὡς εἰ καὶ συνθέτως ἐλέγετο ἐμαυτόν. καὶ τοῦτό γε ἐχρῆν εἶναι· ἀεὶ γὰρ αἱ τοῦ πρώτου προσώπου ἀντωνυμίαι προτασσόμεναι τῆς αὐτὸς ὀρθοτονοῦνται. ὁ μέντοι Ἀσκαλωνίτης καὶ Ἀρίσταρχος ἐγκλιτικῶς ἀνεγνώκασιν, ἐπὶ τὴν τε συλλαβὴν ποιοῦντες τὴν ὀξεῖαν, ἵνα μὴ ὡς κατάλληλον φανῇ τὸ ἐμαυτὸν ἐλέσθαι. A.

246. ἑσπομένοιο: δύναται καὶ σπομένοιο, ὥς φησιν ὁ Ἀσκαλωνίτης· καὶ ὅμοιόν ἐστι τοῦ «ὁ δ' ἑσπόμενος περὶ δουρί (Il. N 570). εἰ δὲ Ἀρίσταρχος δασύνει τὸ «εἰ δέ σὺ (est nunc ἀλλὰ σοί) ὦ μέγ' ἀναιδὲς ἅμ' ἑσπόμεθ'» (Il. A 158), ἀνάγκη πᾶσα κατ' αὐτὸν δασύνειν καὶ τὴν μετοχὴν καὶ ἀπὸ τοῦ ε̄ ἄρχεσθαι. A.

247. περίοιδε: οἱ μὲν ὡς σύνοιδε ἀνέγνωσαν, ἓν ποιοῦντες καὶ τρίτην ἀπὸ τέλους τὴν ὀξεῖαν· οἱ δὲ κατὰ παράθεσιν ἵνα γένηται περισσῶς οἶδε. δύναται δὲ καὶ ἐν τῇ συνθέσει τὸ αὐτὸ νοεῖσθαι, ὡς καὶ Ἀρίσταρχος βούλεται. A.

258. καταῖτυξ: ἡ καταῖτυξ προπερισπᾶται. πάντα τὰ εἰς ῡξ̄ συστέλλει τὸ υ, τὰ μέντοι διὰ τοῦ κ̄ κλινόμενα ἐνίοτε ἐκτείνει τὸ ῡ ἐπὶ τῶν ἄλλων πτώσεων, οἷον βόμβυκος, κήρυκος· τὸ γὰρ «κήρυκι Ἠπυτίδῃ» (Il. P 324) συνέσταλται διὰ τὸ μέτρον. A.

266. Ἐλεῶνος: εἰσὶν οἳ ψιλοῦσιν. ὁ δὲ Ἀσκαλωνίτης φησὶ δασύνεσθαι. ἔστι δέ τινα ἃ ἱστορίᾳ τοπικῇ κατέχεται. οὕτως οὖν καὶ ἐπὶ τούτου. ἱστοροῦσι γὰρ οὕτως δασέως τὴν πόλιν λέγεσθαι· πῶς οὖν ἐν τῷ καταλόγῳ ψιλῶς ἀνέγνωμεν «οἵ τ' Ἐλεῶν' εἶχον» (Il. B 500); φασὶ γὰρ κἀνταῦθα τὴν Βοιωτιακὴν εἶναι πόλιν. εἰ μὴ λέγομεν ὅτι οὐ

---

258 ἐπὶ τῶν — κήρυκος inseruit L. 266 extrema verba inde ab εἰ μὴ λέγομεν addidit Lehrsius coll. M 20 cf. Arist. p. 262 ed. II.

πάντως ἐπικρατεῖ ἡ ἀπὸ τῶν ἐθνῶν χρῆσις καὶ ἐπὶ τὴν Ὁμηρικὴν ἀνάγνωσιν. A.

273. κατ' αὐτόθι: φασὶ παρέλκειν τὴν κατά· διὸ φυλάσσειν τὸν αὐτὸν τόνον. κἂν μὴ παρέλκῃ δέ, συντάσσηται δὲ τῷ λιπέτην, οὐ δύναται ἀναστρέφεσθαι κατὰ δύο τρόπους, καὶ ἐπεὶ συνήλειπται καὶ ἐπεὶ μεταξὺ πέπτωκεν ὁ δέ σύνδεσμος. A.

281. εὐκλεῖας: προπερισπαστέον· ἐκ γὰρ τοῦ εὐκλέας ἐγένετο κατ' ἐπένθεσιν τοῦ ῑ· λέγει γάρ, δὸς ἡμᾶς εὐκλεεῖς καὶ ἐνδόξους. οἱ δὲ ἐκτείνοντες ἄνευ λόγου ἐκτείνουσιν. A.

292. Πτολεμαῖος ὁ τοῦ Ὀροάνδου ἀνέγνω ἦνιν ὡς μῆνιν· καὶ τοῦτο ὀφείλει εἶναι τὸ ἀνάλογον· Τυραννίων δὲ ὀξύνει τὴν πρώτην· καὶ δῆλον ὅτι δώσει καὶ τὴν ἐπὶ τέλους ἐκτείνεσθαι· ὀξεῖα γὰρ κατὰ μακρᾶς βραχείας ἐπιφερομένης οὐ πίπτει κατὰ τὸ κοινὸν ἔθος, ὑπεσταλμένων τῶν σεσημειωμένων, λέγω δὲ τοῦ εἶθε, αἴθε ναίχι, περὶ ὧν καὶ λόγον δεδώκαμεν. τάχα οὖν καὶ τὸ ῆνῑν ἐκτείνει ὁ Τυραννίων διὰ τὸ μέτρον, οὐχὶ διὰ τὸ πληθυντικὸν «ἤνις ἠκέστας» (Il. Ζ 94)· καὶ γὰρ πόλῑς λέγουσι καὶ πόλῑν καὶ μάντῑς καὶ μάντῑν. A.

307. οἷ: ὀρθοτονεῖται καὶ περισπᾶται καὶ εἰς σύνθετον μεταλαμβάνεται. A.

335. κρατὶ δ' ἐπὶ κτιδέην κυνέην: ὁ Ἀσκαλωνίτης ἀναστρέφει ἵνα γένηται ἐπὶ κρατί, οὐχ ὑγιῶς· μέσος γὰρ πέπτωκεν ὁ δέ. τὸ δὲ ἑξῆς δεῖ διαστέλλειν κατὰ τὸν ποιητὴν κτιδέην ἀπὸ τοῦ κ̄ ποιουμένους τὴν ἀρχήν, ἐπεὶ ἐν ἑτέροις φησὶ «τοῦ δ' ἀπὸ μὲν κτιδέην» (458). A.

351. ἐπί: οὐδὲ ἐνθάδε ἀναστρεπτέον· μεταξὺ γὰρ πάλιν σύνδεσμος, ἐφ' ὅσον ὅρια. A.

373. ἐΰξου: Πτολεμαῖος περισπᾷ: λέγων ἐκ τοῦ ἐϋξόου συνηλεῖφθαι. οὐκ ἀναγκαῖον δέ· εἰ γὰρ ἤδη τέτριπται εὔξου ὡς ἡσύχου, δῆλον ὅτι τὸ ἐΰξοος πολὺ πρότερον ἐΰξους ἐγένετο ὡς εὔνους· καὶ οὕτως τὸ εὔξου ὡς εὔνου. A.

466. δέελον: ταὐτόν ἐστι τῷ δῆλον· διὸ καὶ τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα καὶ ψιλοῦται τὸ δεύτερον ε̄. A.

475. παρ' αὐτῷ δ' ὠκέες ἵπποι Ἐξ ἐπιδιφριάδος πυμάτης ἱμᾶσι δέδεντο: ψιλωτέον τὸ ἐξ' τὸ γὰρ ἑξῆς ἐστιν, ἐκ πυμάτης, ἐκ τῆς ἄντυγος ἐδέδεντο τοῦ δίφρου, ἐξ ἄκρας τῆς ἐπιδιφριάδος. ἔνιοι δὲ κακῶς δασύνουσιν ὥστε κατὰ τὸν ἀριθμὸν ἓξ ἵππους δεδέσθαι. A.

505. 6. 7. ἤ: διαπορητικὸς ὁ ὕστερος, διὸ περισπαστέος· τὸν δὲ πρῶτον καὶ δεύτερον ἐγκλιτέον. A.

546. ἤ τίς σφωε πόρεν: τὸ ῥῆμα ἀπὸ τοῦ π̄ ἄρχεται καὶ ἡ σφωέ τρίτου προσώπου ἐγκλιτική ἐστι, σημαίνουσα τὸ αὐτούς· «τίς τ' ἄρ' σφωε θεῶν» (Il. Α 8)· «ἀλλά σφωε δόλος καὶ δεσμός» (Od. θ 317)·

---

281 pro περισπαστέον scripsi προπερισπαστέον cum codice et Lob. El. II 54.
505 cod. διαπορητικοὶ οἱ ὕστεροι· διὸ περισπαστέον τὸν δεύτερον, τὸν δὲ πρῶτον καὶ τρίτον — emendavit L.

ὥϲτε οὐκ οἶδεν ὁ ποιητὴϲ οὐδὲ μονοϲύλλαβον τὴν ϲφώ, εἰ μή ποτε ὀρθοτονεῖται καὶ δευτέρου προϲώπου ἐϲτὶ καὶ ϲημαίνει τὸ ὑμεῖϲ ἢ ὑμᾶϲ· «ϲφὼ δὲ μάλ' ἠθέλετον» (Il. Λ 782). ἔνθεν οὖν οἱ ἀκριβέϲτερον αὐτὰ παραφυλάξαντεϲ ἔκθλιψιν δεδώκαϲι τοῦ ε̄ ἐν τῷ «εἰ μή ϲφω' Αἴαντε διέκρινον» (Il. Ρ 531) ἵνα τὸ διηνεκὲϲ φυλαχθῇ. Α.

574. τοῦ ἐπεί τὴν τελευταίαν ὀξυτονητέον· ἐγκλιτικὴ γὰρ ἡ ϲφίν. V.

ΕΙϹ ΤΗΝ Λ.

24. βαρύνεται τὸ οἶμοϲ ὡϲ οἶκοϲ· δοκεῖ δέ μοι κατά τινα ἀφορμήν· φιλεῖ γάρ πωϲ τὰ εἰϲ οϲ λήγοντα διϲύλλαβα μονογενῆ ἀπὸ τῆϲ οι διφθόγγου ἀρχόμενα βαρύνεϲθαι, ὁπότε πρὸ τῆϲ οϲ ϲυλλαβῆϲ ϲύμφωνον ἢ ϲύμφωνα ὑπάρχει — φημὶ δὲ διὰ τὸ Οἰόϲ· οὕτωϲ γὰρ λέγεται δῆμοϲ παρ' Ἀθηναίοιϲ κατ' ὀξεῖαν τάϲιν — οἷον οἶκοϲ, οἶτοϲ, οἶκτοϲ, οἶνοϲ. οὕτωϲ καὶ οἶμοϲ. Α.

35. λευκοί: ὀξυτονητέον, ἵνα ἐπὶ τῶν ὀφθαλμῶν κέηται. εἰϲὶ δὲ οἱ περιϲπῶϲιν, ἵνα γενικὴ γένηται, ἐπίθετον τοῦ καϲϲιτέρου, κακῶϲ· ἔθοϲ γάρ ἐϲτι παρὰ τῷ ποιητῇ τὴν Θεϲϲαλικὴν ταύτην καλουμένην γενικὴν εὑρίϲκεϲθαι, εἰ μὴ μέτρον κωλύοι· εἰ γὰρ κωλύοι, ἡ κοινὴ παραλαμβάνεται. παρεκτέταται τὸ κεφάλαιον Ἡρωδιανῷ. Α.

36. ἡ ἐπί πρὸϲ τὸ ἐϲτεφάνωτο ϲυντάϲϲεται· διὸ τὸν τόνον φυλακτέον. Α.

51. φθάν: ὁ Ἀρίϲταρχοϲ βαρύνει· καὶ δῆλον ὅτι ὑγιῶϲ· κοιμίζεται γὰρ ἡ ὀξεῖα ἐν τῇ ϲυνεπείᾳ· «Ζεὺϲ δ' ἐπεὶ οὖν Τρῶάϲ τε» (Il. Ν 1). ἔϲτι δὲ ὁ νοῦϲ τοιοῦτοϲ, ἔφθαϲαν δὲ κατὰ τὸ πολὺ οἱ πεζοὶ τοὺϲ ἱππεῖϲ προδιαταγέντεϲ ἐπὶ τῆϲ τάφρου. Α.

68. ὄγμον: ὡϲ ὄλβον. τὰ γὰρ εἰϲ οϲ λήγοντα διϲύλλαβα μονογενῆ ἀρχόμενα ἀπὸ τοῦ ο καὶ ἔχοντα δύο ϲύμφωνα ἢ πλείονα βαρύνεϲθαι θέλει, οἷον ὄκνοϲ, ὄμβροϲ, ὄρροϲ, ὄϲϲοϲ, Ὄρθοϲ (sc. Ὄρθοϲ τὸ μονογενέϲ ut loquitur Ω 316. ubi vid.) ὄρφοϲ. οὕτωϲ καὶ ὄγμοϲ. Α.

75. τὸ πάρεϲαν τρίτη ἀπὸ τέλουϲ ἡ ὀξεῖα· ἐκ δὲ τοῦ παρῆϲαν ἐγένετο. Α.

ἔκηλοι: δαϲύνεται. τὸ γὰρ ε̄ πρὸ τοῦ κ̄ δαϲύνεϲθαι θέλει, ὁπότε μὴ ἐκ κλίϲεωϲ τυγχάνοι ῥήματοϲ ἢ ἀπὸ προθέϲεωϲ. Α.

88. ἅδοϲ: δαϲυντέον· τὸ γὰρ α πρὸ τοῦ δ ὂν καὶ μὴ ἔχον ϲτερητικὴν ἔννοιαν ἢ κρᾶϲίν τινα δαϲύνεϲθαι θέλει, ϲτερητικὴν μὲν οὕτωϲ ἀδαήϲ, ἀδρανήϲ, ἀδευκήϲ, κατὰ κρᾶϲιν ᾄδηϲ. μὴ οὕτωϲ δὲ ἔχον ἁδρόϲ, ἁδινόϲ, Ἁδρίαϲ. διὸ καὶ τὸ Ἄδωνιϲ κρεῖττόν ἐϲτι δαϲύνειν, ἵνα καὶ παρὰ τὸ ἁδεῖν τῇ δαίμονι ἐτυμολογηθῇ. Α.

Λ 68 pro ὄϲϲοϲ L. cum Eustath. ὄϲϲοϲ dubitans num hoc cum reliquis hic ab Herodiano positum sit; suspicatur ὄγκοϲ. 75 Lehrsius confert Ε 759, ubi additum ἢ μεμελετηκὸϲ ἀφαιρεῖϲθαι. 88 pro οὕτωϲ, κατὰ κρᾶϲιν, ἀδαήϲ ἀδρανήϲ ἀδευκήϲ Lehrsius scripsit οὕτωϲ ἀδαήϲ, ἀδρανήϲ, ἀδευκήϲ, κατὰ κρᾶϲιν ᾄδηϲ collato Arcad. 197, 19 V. Pneumatol. El. p. 724.

101. βῆ ῥ' Ἶϲον: κατὰ διάϲταϲίν ἐϲτι, βῆ ῥα, εἶτα Ἰϲόν τε καὶ Ἄντιφον. Α.

141. ἕμεν: δαϲυντέον· τὸ γὰρ εἶναι καὶ ἀφεῖναι παραγωγῶϲ γέγονεν ἕμεναι, ὡϲ τὸ θεῖναι θέμεναι. Α.

160. κείν': λέγει ὁ τεχνικὸϲ ἐν τῷ ὑπομνήματι τοῦ περὶ παθῶν Διδύμου· τὰ ὀξύτονα ἡνίκα ἐκθλίβηται τὴν ὀξυνομένην ϲυλλαβήν, ἀναπέμπει τὴν ὀξεῖαν ἐπὶ τὴν ὀπίϲω ϲυλλαβήν, καὶ ἐὰν ᾖ ἡ ἐκθλιβεῖϲα ϲυλλαβὴ ἡ ἔχουϲα τὴν ὀξεῖαν βραχεῖα, ἡ δὲ ὀπίϲω ϲυλλαβὴ φύϲει μακρά, τῷ τονικῷ παραγγέλματι γίνεται περιϲπώμενον. περιϲπᾷ γοῦν τὸ δῆλον (δεῖλ' Heyn.). ἐν δὲ τῇ Ὁμηρικῇ προϲῳδίᾳ ἐναντιοῦται τούτῳ. Α.

192. ἄλεται: ψιλοῦται εἴτε ἐπὶ τοῦ ἐκκλίνειν τάϲϲηται, ὥϲ φηϲιν ὁ Ἀϲκαλωνίτηϲ, εἴτε ἐπὶ τοῦ ϲυϲτραφῆναι, ὡϲ καὶ Τυραννίων, ᾧ καὶ μᾶλλον ϲυγκατατίθεμαι. πολλὴ δὲ ἡ κίνηϲιϲ αὐτοῦ παρὰ τῷ ποιητῇ· ὁριϲτικὸϲ μὲν γὰρ δεύτεροϲ ἀόριϲτοϲ «τῇ ὕπο πᾶϲ ἑάλη» (Il. N 408) καὶ πληθυντικὸν τρίτον κατὰ ϲυγκοπὴν «οἱ δή τοι εἰϲ ἄϲτυ ἅλεν» (Il. X 12), ἀπαρέμφατόν τε «ἢ λαοὺϲ εἰϲ τεῖχοϲ ὁμοκλήϲειεν ἀλῆναι» (Il. Π 714). καὶ ὥϲπερ ἡ φανεὶϲ μετοχὴ οὕτωϲ καὶ ἡ ἀλείϲ· «οἴμηϲεν δὲ ἀλείϲ» (Il. X 308) καὶ οὐδέτερον «ἢ χειμέριον, ἀλὲν ὕδωρ» (Il. Ψ 420), καὶ πληθυντικὸν ἀρϲενικὸν «αὐτὰρ ἐπεί κ' ἐϲ τεῖχοϲ ἀναπνεύϲωϲιν ἀλέντεϲ» (Il. Φ 534), καὶ γενικὴ «πόλιϲ δ' ἔμπλητο ἀλέντων» (Il. Φ 607). τούτου τοίνυν ὑποτακτικὸν ἄληται ὡϲ λάβηται. ϲυϲτολὴ οὖν ἐγένετο ἢ μεταβολὴ ἐγκλίϲεωϲ ὁμοίωϲ τῷ «ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκοϲ ὀδόντων» (Il. I 409)· «ὄφρα καὶ ἄλλοϲ πτωχὸϲ ἀλεύεται ἠπεροπευτήϲ» (Od. ξ 400) καὶ τὸ «ἢ αὐτὸϲ φθίεται πρώτῳ ἐν ὁμίλῳ» (Il. Y 173)· [τὸ δὲ ὅλον γέγονεν ἀπὸ τοῦ ἀλῶ, ὃ ϲημαντικόν ἐϲτι τοῦ πλανῶ, ὅπερ ψιλοῦται]. Α.

223. Κιϲϲῆϲ: ὡϲ Ἑρμῆϲ· καὶ μήποτε παρὰ τὸ Κίϲϲοϲ παρώνυμόν τι ἐγένετο Κιϲϲέαϲ καὶ κατὰ ϲυναλοιφὴν Κιϲϲῆϲ. Α.

239. οἱ: ὀρθοτονητέον· εἰϲ γὰρ ϲύνθετον ἡ μετάληψιϲ. Α.

λίϲ: ὁ μὲν Ἀρίϲταρχοϲ ὀξύνει· ὁ δὲ Αἰϲχρίων περιϲπᾷ. ὡϲ γὰρ παρὰ τὸ μῦϲ μῦν φηϲι καὶ νοῦϲ νοῦν οὕτωϲ καὶ λῖϲ λῖν· «ἐπί τε λῖν ἤγαγε δαίμων» (480). καὶ ἔϲτι ϲυγκατατίθεϲθαι τῷ Αἰϲχρίωνι, ὅτι μᾶλλον ὀφείλει περιϲπᾶϲθαι, εἰ καὶ μηδὲν τῶν εἰϲ ιϲ ληγόντων καὶ ἀρϲενικὸν γένοϲ ὑπιϲχνουμένων περιεϲπάϲθη. καὶ τάχα καθ' ἕτερον λόγον, ἵνα τὸ ἐπιθετικὸν καὶ ϲημαῖνον γένοϲ θηλυκὸν καὶ ὀξυνόμενον ἀποφύγῃ. λέγω δὲ τὸ «λὶϲ πέτρη» (Od. μ 64). τῷ μέντοι χαρακτῆρι τοῦ κίϲ καὶ θίϲ καὶ ῥίϲ, καίτοιγε διαφόρωϲ κλιθεῖϲι πρὸϲ τὸ λίϲ, ϲυνεξωμοίωϲεν αὐτὸ κατὰ τόνον ὁ Ἀρίϲταρχοϲ· καὶ οὕτωϲ ἐπείϲθη ἡ παράδοϲιϲ. Α.

249. κρατερὸν ῥά ἑ πένθοϲ: ὁ ῥά ϲύνδεϲμοϲ ἐγκλιτικὸϲ ὢν φυλάξει τὴν ἰδίαν ὀξεῖαν διὰ τὴν ἓ ἀντωνυμίαν νῦν ἐγκλιτικὴν οὖϲαν. Α.

192 verba seclusa cum Lob. El. I 56 not. 13 ab Herodiano aliena esse arbitror. Lehrsius confert C 76 et initium in E. M. 59 exstare monet.

251. τὸ εὐράξ ὀξύνεται, καθότι τὰ εἰς αξ λήγοντα ἐπιρρήματα ὀξύνεται, ὑπεσταλμένου τοῦ ἅπαξ· σημαίνει δὲ τὸ ἐκ πλαγίου. A.

257. ὄπατρον: ψιλωτέον, οὐχ ὡς οἴονται διὰ τὴν συγκοπήν· πολλὰ γάρ φασι διὰ τὴν συγκοπὴν ψιλοῦσθαι. ἀπεδείξαμεν δὲ ἡμεῖς ἐν ἑτέροις, ὡς καὶ δασύνεται· ἑστήκαμεν γοῦν καὶ ἕσταμεν, Ἡράκλεες Ἥρακλες. τί οὖν ἐκώλυεν, εἰ καὶ ἀπὸ τοῦ ὁμόπατρος ἦν, τὸ κατὰ συγκοπὴν πάλιν δασύνεσθαι; ἄμεινον οὖν λέγειν ὅτι φιλεῖ τὸ ο πρὸ τοῦ π κείμενον μὴ κατὰ ἀναφορικὴν ἔννοιαν ψιλοῦσθαι, ὀπιπεύω, ὀπή, ὀπώρα. παρὰ τὸ ἕπω δασυνόμενον ψιλούμενον ἐγένετο ὀπάων. οὕτως οὖν ἔχει καὶ τὸ ὄπατρος. προσέθηκα δὲ «εἰ μὴ ἀναφορικὴ σημασία» διὰ τὸ ὁποῖος, ὅπως καὶ τὰ τοιαῦτα. ἀντιπίπτει δὲ τῷ προκειμένῳ κανόνι τὸ ὁπλή καὶ τὸ ὅπλον καὶ τὰ ἀπὸ τούτων παρηγμένα. A.

263. τὸ ἕδυν συσταλτέον: ἔστι γὰρ πληθυντικὸν κατὰ συγκοπὴν γενόμενον ἐκ τοῦ ἔδυσαν. A.

270. προιεῖσι: ὡς τιθεῖσι· καὶ γὰρ ἐν ἑτέροις «ὄπα λειριόεσσαν ἱεῖσιν» (Il. Γ 152). ὁμοτονεῖν δὲ θέλει τὰ εἰς ι λήγοντα τοῦ ἐνεστῶτος ταῖς πληθυντικαῖς δοτικαῖς τῶν μετοχῶν, ὁπότε καὶ ὁμοφωνοῦσιν. ἱέντες ἱέντων ἱεῖσι· οὕτως οὖν καὶ τὸ ῥῆμα. μάχεται τὸ φασί· ῥῆμα γὰρ ὀξύνεται, μετοχὴ δὲ ὂν βαρύνεται. A.

μογοστόκοι: Ἀρίσταρχος παροξύνει· δραστικὴ γάρ φησιν ἔννοιά ἐστιν. οὐ γὰρ αἱ Εἰλείθυιαι πάσχουσιν, ἵνα προπαροξύνωμεν, ἀλλ' ἐνεργοῦσι κατὰ τῶν τικτουσῶν. ἔφαμεν δὲ τὰ τοιαῦτα τῶν συνθέτων ἐνέργειαν ὑπισχνούμενα παροξύνεσθαι, εἰ μὴ κανών τις κωλύοι· (Γ 354). εἰσὶ γάρ τινες κανόνες καθ' οὓς κἂν ἐνέργεια σημαίνηται πάντως προπαροξύνεσθαι δεῖ. μάχεται μέντοι ἄντικρυς τὸ «ὄρνυσθ' ἱππόδαμοι Τρῶες» (Il. Δ 509)· ἐνεργητικὸν γὰρ ὂν καὶ μὴ ὑποπῖπτον κανόνι τῷ προπαροξυτονοῦντι προπαρωξυτονήθη. A.

297. ὑπεραέϊ: ὡς εὐσεβέϊ, κατὰ διάστασιν. ἔφαμεν γὰρ τὰ παρὰ τὸ ἄω συντιθέμενα καὶ εἰς ης λήγοντα ὀξύνεσθαι, ἀκραής, δυσαής· οὕτως ὑπεραής. A.

301. Ἀσαῖον: προπερισπαστέον· παρὰ γὰρ τὸ αἶσα γέγονεν, καὶ ἐξέστη πρότερον τὸ ι· τὰ δὲ ἀπὸ τῶν εἰς α ληγόντων μακρᾷ παραληγομένων παραγόμενα διὰ τοῦ αιος προπερισπᾶσθαι θέλει, μοῦσα Μουσαῖος, γενναῖος, Πισαῖος, ἑρσαῖος. οὕτως καὶ Ἀσαῖος. οὐ μάχεται τὸ Ἥραιος προπαροξυνόμενον· πρὸς γὰρ ἀντιδιαστολὴν τοῦ προπερισπωμένου ἐπιθετικοῦ ἐγένετο. τὸ μέντοι Πείραιος προπαροξυνόμενον παρὰ ῥῆμα τὸ πειρῶ ὡς παρὰ τὸ φιλῶ Φίλαιος. οὕτως καὶ παρὰ τὸ βέβηκα ὁ βέβαιος. A.

306. ἀπὸ τοῦ ἀργεστής ὀξυτόνου Βοιωτιακὴ γενικὴ ἡ ἀργεστᾶο προπερισπωμένως. A.

270 Lehrs confert Γ 152. 301 pro ἐρσαῖος scripsit L. ἑρσαῖος, quod ab ἕρσα forma propria, non ab ἕρση coll. Ξ 351 derivatum esse monet. De Ἥραιος et Ἡραῖος confert L. N 791. ῥῆμα — παρὰ inseruit idem.

326. παλινορμένω: Τυραννίων δύο ποιεῖ, ὁ δὲ Ἑρμαπίας σύνθετον ἐκδέχεται καὶ Ἀρίσταρχος. εἴρηται δὲ περὶ τῆς συνθέσεως τοῦ πάλιν ὡς πρὸς τὰς μετοχὰς ἐν τῇ Α, ὅτε περὶ τοῦ πλαγχθέντας διελαμβάνομεν (Α 59). A.

358. καταείσατο: ψιλωτέον· ἀπὸ γὰρ τοῦ εἴδω βαρυτόνου ὁ σχηματισμός. A.

365. ἤ θήν σ' ἐξανύω: τὸ ἀνύω φυλακτέον ἐπὶ τοῦ αὐτοῦ τόνου, λέγω δὲ τοῦ βαρέος· ἐνεστὼς γάρ ἐστιν ἀντὶ μέλλοντος. A.

370. Τυδείδῃ ἔπι τόξα τιταίνετο: οἱ ἀκριβῶς ἀναγινώσκοντες ἀναστρέφουσι τὴν πρόθεσιν· τὸ γὰρ ἑξῆς ἐστιν ἐπὶ Τυδείδῃ. A.

383. οἵ τέ σε πεφρίκασιν: οὐκ ἀναγκαῖον ἀντιδιαστέλλειν, ὡς οἴεται Ἀλεξίων· δύναται γὰρ καὶ ἀπόλυτος εἶναι. A.

385. κέρα ἀγλαέ· σὺν τῷ ῑ ἔγραψάν τινες τὸ κέρᾳ ἵνα ᾖ δοτική, ὁμοίως τῷ «δέπᾳ μελιηδέος οἴνου» (γ 46, nunc δέπας) καὶ «γήρᾳ ὕπο λιπαρῷ» (Od, λ 136). οὕτως δὲ καὶ δοκεῖ ἐπικρατεῖν ἡ παράδοσις, ὡς καὶ Ἀλεξίων ἀξιοῖ. οἱ δὲ συνέστειλαν, πληθυντικὸν ἐκδεχόμενοι οὐδέτερον, ὁμοίως τῷ «κρέα ἔδμεναι» (Il. Δ 345), ἐξεδέξαντό τε ἐκ τῆς λέξεως τὴν τρίχωσιν καὶ ἐμπλοκῆς εἶδος. οἱ δὲ ἐξέτειναν τὸ ᾱ πάλιν πληθυντικὸν ἐκδεχόμενοι, τιθέντες δὲ τὴν λέξιν ἐπὶ τοῦ τόξου, ὥστε εἶναι κατὰ κέρας, συναλοιφὴν ἐκδεχόμενοι τοῦ κέραα. περὶ δὲ τῆς τοιαύτης ἀναγνώσεως δεδήλωται ἡμῖν, ὁπότε διελάβομεν περὶ τοῦ «κέρα ἐκ κεφαλῆς» (Il. Δ 109). τοσοῦτον δὲ ἔχω νῦν παραφυλάξαι ἐπὶ τοῦ νοητοῦ, ὡς ὅτι σπάνιόν ἐστιν ἐπὶ ἀνθρωπίνης φύσεως παρὰ τῷ ποιητῇ τὸ κέρας ἐπὶ τριχὸς τάσσεσθαι· κόμην δὲ λέγει καὶ τρίχας καὶ πλοκάμους καὶ ἐθείρας. A.

395. οἰωνοὶ δὲ περὶ πλέες ἠὲ γυναῖκες: περὶ πλέες: Τυραννίων περίπλεες συνθέτως ἀνέγνω, τὴν ρ̄ῑ συλλαβὴν ὀξύνων· ὁ δὲ Ἀσκαλωνίτης κατὰ παράθεσιν, λέγων λείπειν τὴν αὐτόν, ἵνα ᾖ περὶ αὐτὸν πλέες. οὕτως δὲ καὶ Ἀλεξίων, λόγῳ τούτῳ ὅτι καὶ κατ' ἰδίαν ἄνευ προθέσεως εὑρέθη τὸ πλέες καὶ τὰ ἀπ' αὐτοῦ κινήματα· «τόσσον ἐγώ φημι πλέας ἔμμεναι» (Il. B 129)· οὐ γὰρ πολλούς, ἀλλὰ πλέονας. ὡμολογημένου τοίνυν ὅτι τοῦ «πλέονές κεν μνηστῆρες» (Od. σ 247) συγκοπή ἐστιν ἡ πλέες φωνή, μὴ ὄντος δὲ ἄρα τοῦ συνθέτου, περιπλέονες, δοθήσεται μηδὲ τὸ ἀπ' αὐτοῦ συγκεκομμένον. ἔνθεν ἐπείσθησαν κατὰ παράθεσιν ἀναγινώσκειν, λειπούσης τῆς αὐτόν. A.

409. Ἀλεξίων τὸ τόνδε ἓν μέρος λόγου ἐκδέχεται, καὶ παροξύνει ἵνα ἰσοδυναμῇ ἀναφορικῇ τῇ τοῦτον. Τυραννίων δὲ δύο μέρη λόγου ποιεῖ, ἵνα ᾖ τοῦτον δέ, κατὰ ἀναφορὰν ὁμοίως. ἔφαμεν δὲ ὅτι παρὰ τῷ ποιητῇ ἡ διὰ τοῦ δε ἐπὶ ταύτης τῆς ἀντωνυμίας ἐπέκτασις σπανίως μὲν εὑρέθη ἐπ' ἀναφορᾶς ὁπότε διελαμβάνομεν περὶ τοῦ «τοῦσδε δ'

---

326 Lehrsius confert Π 95 et monet notam in E. M. transiisse 648, 35, ubi post Ἀρίσταρχος additur ὡς παλιμπλαγχθέντας καὶ εὐρυκρείων.

ἔα φθινύθειν» (Il. Β 346), ὥςτε οὐδὲν κεκώλυκε καὶ ἐνθάδε τὸ τοιοῦτο παραδέξαςθαι διὰ τὸ ἤδη πεπεῖςθαι τὴν παράδοςιν· βεβαιοτέρα μέντοι ἐςτὶν ἡ τοῦ Τυραννίωνος ἀνάγνωςις· οὐδὲν γὰρ ἐναντιοῦται. Α.

413. ψιλωτέον τὸ ἕλςαν, ὅτι Αἰολικωτέρα ἡ κλίςις. Α.

ςφίςι: ὀρθοτονητέον· εἰς σύνθετον γὰρ ἡ μετάληψις καὶ κατέχεται ὑπὸ τῆς προθέςεως. Α.

432. τοιώδ' ἄνδρε κατακτείνας: ἔφαμεν τὴν διὰ τοῦ δε ἐπέκταςιν προπεριςπᾶςθαι, εἰ ἔχοι πρὸ τέλους φύςει μακράν· διὸ ςημειούμεθα τὸ τῶδε δ' ἐνόει (l. δὲ νῶϊ, Θ 109, ubi vid.) παροξυνόμενον. Α.

441. ἆ δειλ': ἐπεὶ μετὰ τὰς προςαγορευτικὰς ἀνάγκη ςτίζειν, ὡς καὶ ἡ ςυνήθεια μαρτυρεῖ ςτίζουςα μετὰ τὴν δευτέραν λέξιν, οὐκ ἔςτι δὲ πλήρης ἀλλὰ ςυνήλειπται, οὕτως δὲ ἡμῶν ἀναγινωςκόντων πεπονθυῖαν τὴν λέξιν βαρβαριςμὸς γίνεται, εἴτε ὀξύνοιμεν εἴτε περιςπάςοιμεν (sic), ἀναγκαίως ἐκ πλήρους γράφειν τὴν λέξιν, ἆ δειλέ, δεῖ, ἵνα καὶ ἡ ςτιγμὴ καὶ ὁ τόνος ἀναλόγως καὶ Ἑλληνικῶς ἔχῃ. οὕτως δὲ καὶ Ἀρίςταρχος ἔγραψεν ἐκ πλήρους, ὡς Δίδυμος μαρτυρεῖ· τὸ μὲν γὰρ μέτρον οὐκ ἂν δόξαι βλάπτεςθαι τοῦ ςτοιχείου προςτεθέντος, ἐπεὶ ὅταν δέῃ ὑγιὲς αὐτὸ παριςτάναι, πάλιν ἀφαιρεθήςεται, ὡς «βουκόλε ἐπεὶ οὔτε κακῷ» (Od. υ 227) «ἦ οὐ μέμνῃ ὅτε τ' ἐκρέμω» (Il. Ο 18). οὕτως δὲ καὶ ἐν τοῖς ἑξῆς «ἆ δειλέ, οὐ μὲν ςοί γε» (452). Α.

446. φύγαδε ὡς οἴκαδε. ἰςοδυναμεῖ δὲ τῷ εἰς φυγήν, οὐ μὴν ἐν τῷ «τοὺς ἕλεν, οἱ δ' ἄλλοι φύγαδε μνώοντο» (Il. Π 697). ἀντὶ γὰρ αἰτιατικῆς οὐ μετὰ τῆς εἰς, διὸ καί τινες ὑπέλαβον μὴ καὶ δύο μέρη λόγου εἰςίν. οὕτως Ἡρωδιανὸς ἐν τῇ καθόλου. Α.

454. ὠμηςταί: Ἀρίςταρχος ὡς ἀθληταί, Τυραννίων δὲ ὡς κομῆται, ςύνθετον ἐκδεχόμενος τὴν λέξιν. ἄμεινον δὲ λέγειν ὡς ὅτι τὰ εἰς ςτης λήγοντα, τῷ η παραληγόμενα, ἔχοντα πρὸ τοῦ τ τὸ ς, ὑπὲρ δύο ςυλλαβὰς ὄντα ὀξύνεται, ἑρπηςτής, ὀρχηςτής. οὕτως οὖν καὶ ὠμηςτής. Α.

ἐρύουςιν: προπαροξύνεται· ἐνήλλακται γὰρ ὁ ἐνεςτὼς χρόνος ἀντὶ μέλλοντος. οὕτως καὶ Ἀρίςταρχος. ὁ δὲ Ἀλεξίων περιςπᾷ, οὐκ εὖ, ἐπεί, φηςίν, ἐν τῷ ἑξῆς ςτίχῳ ὁ μέλλων παρελήφθη περιςπώμενος· «αὐτὰρ ἐπεί κε θάνω, κτεριοῦςί με δῖοι Ἀχαιοί». ἔλαθε δὲ τὸν ἄνδρα ἡ τοιαύτη ὕφεςις τοῦ ς Ἀττικὴ οὖςα καὶ περιςπῶςα τοὺς μέλλοντας διά τι αἴτιον, εἰ παραλήγοιτο τῷ ι ςυνεςταλμένῳ, ὅπερ καὶ ἐπὶ τοῦ «τόνδε δ' ἐγὼ κομιῶ» (Od. ο 546). τὸ μέντοι ἐρύω οὐ δύναται ἔχεςθαι ταύτης τῆς φύςεως, ἀλλ' ἐςτὶν ἐνεςτὼς ἀντὶ μέλλοντος. Α.

---

441 pro ἦ οὐ in versu Hom. L. scripsit ἢ οὐ. L. confert A 160 et adnotat grammaticos ipsos citantes plene scribere ςτεγαςτῆρα Mon. 16, ὀνηςόμεθα Mon. 40. 446 ἐν post οὐ μὴν inseruit L. 454 ἐκδεχόμενος pro ἐκδεχόμενοι scr. L. adnotatque multo explicatiorem notam fuisse, ut Herod. ipse significet ad Χ 67.

461. αὖε: ψιλῶϲ· τέτακται γὰρ ἐπὶ τοῦ φωνεῖν. ὅταν δὲ ἐπὶ τοῦ ξηραίνειν ἢ ἅπτειν, τότε δαϲυντέον· ἔϲτι γὰρ ϲύνθετον. A.

480. λῖν: περιϲπαϲτέον κατὰ νόμον τῶν μονοϲυλλάβων αἰτιατικῶν· πᾶϲα γὰρ αἰτιατικὴ μονοϲύλλαβοϲ εἰϲ ν̄ λήγουϲα περιϲπᾶται, ἀπέϲτραπται δὲ τὸν ὀξὺν τόνον, μῦν, μνᾶν, ϲῦν, ὗν. ταύτῃ καὶ ἡ κλεῖδα αἰτιατικὴ γενομένη κλεῖν περιϲπᾶται τῆϲ εὐθείαϲ ὀξυνομένηϲ. ταῦτα Ἡρωδιανὸϲ ἐν τῷ πεντεκαιδεκάτῳ τῆϲ καθόλου. A.

495. ἀφυϲγετόν: Ἀρίϲταρχοϲ ὀξύνει ὁμοίωϲ τῷ ὑετόν, ὁ δὲ Τυραννίων βαρύνει ὁμοίωϲ τῷ ἀτρύγετον. ἔϲτι δὲ ἐκεῖνο ὑπὲρ τοῦ Ἀριϲτάρχου λέγειν ὅτι τὰ ὑπὲρ τρεῖϲ ϲυλλαβάϲ, διὰ τοῦ ετοϲ ἐκφερόμενα, μὴ ἔχοντα παραϲχηματιϲμὸν θηλυκοῦ, ἐπιθετικῶϲ μὲν λαμβανόμενα τρίτην ἀπὸ τέλουϲ θέλει ἔχειν τὴν ὀξεῖαν, ὥϲπερ ἔχει ὁ ἀμαιμάκετοϲ, περιμήκετοϲ· τὸ δὲ λαιλαπετόϲ μὴ ὂν ἐπιθετικὸν ὠξύνθη καὶ τὸ Ἰαπετόϲ ἐπὶ κυρίου. εἴπερ οὖν καὶ τὸ ἀφυϲγετόϲ οὐκ ἔϲτιν ἐπιθετικόν, ὑγιῶϲ ὀξυτονηθήϲεται κατὰ τὸν Ἀρίϲταρχον. ἢ εἴπερ αὐτὸ βαρύνομεν, δώϲομεν αὐτὸ καὶ ἐπικεῖϲθαί τινι. A.

503. νεῶν δ' ἀλάπαξε φάλαγγαϲ: οἱ μὲν πλείουϲ ἀνέγνωϲαν νέων ὡϲ ξένων, ἵνα τῆϲ οἱ νέοι εὐθείαϲ γενικὴ ὑπάρχοι. ὁ μέντοι Ἀρίϲταρχοϲ καὶ Ἀλεξίων καὶ ὁ Ἀϲκαλωνίτηϲ περιέϲπαϲαν, ἵνα ἀπὸ τοῦ «τῶν νέεϲ ὠκεῖαι» (Od. η 36) ᾖ, ἐπεί, φηϲί, νοῦν οὐκ ἔχει τὸ βαρυνόμενον, τὸ μέντοι περιϲπώμενον, τοιαύτηϲ ὑπαρχούϲηϲ τῆϲ διανοίαϲ, τὰϲ πρὸ τῶν νεῶν τάξειϲ. A.

551. κρειῶν: περιϲπαϲτέον· ἡ γὰρ κρεῶν γενικὴ ἐπλεόναϲε τῷ ῑ, ἥτιϲ περιϲπᾶται διὰ τὸ ἔχειν ἐντελεϲτέραν τὴν κρεάων. A.

610. ὀξύνεται τὸ ἀνεκτόϲ· προείρηται δέ (v. ad Θ 355). A.

627. ἢ ϲφωϊν: ἐγκλιτικῶϲ ἀναγνωϲτέον, ἵνα δηλωθῇ τρίτον πρόϲωπον. A.

635. δύω δ' ὑπὸ πυθμένεϲ ἦϲαν: Ἀρίϲταρχοϲ τὴν ὑπὸ ϲυντάϲϲει τῷ ἦϲαν, καί φηϲιν ὑπῆϲαν οἱ πυθμένεϲ. οὕτωϲ καὶ Ἀλεξίων. A.

636. ἄλλοϲ: ὁ Ἀϲκαλωνίτηϲ ψιλοῖ καί φηϲιν ὅτι ἐπὶ τοῦ γέροντοϲ κεῖται· ἄλλοϲ μὲν γὰρ ἂν τιϲ αὐτὸ μόγιϲ ἐκίνηϲε γέρων, Νέϲτωρ δ' ὁ γέρων ἀμογητὶ ἄειρεν. πολὺ πρότερον δὲ οὕτωϲ καὶ Ἀρίϲταρχοϲ. τινὲϲ δὲ βούλονται δαϲύνειν τὸ ᾱ καὶ ἐκτείνειν, ἵν' ᾖ ὁ ἄλλοϲ μὲν μογέων, τουτέϲτιν ὁ Μαχάων. ἡμεῖϲ δὲ ἐκεῖνο παραφυλάξαι ἔχομεν, ὡϲ ὅτι παρὰ τῷ ποιητῇ οὐ δύναται ἡ τοιαύτη κρᾶϲιϲ εἶναι· εἰ γὰρ καὶ κρᾶϲιν ἠβούλοντο παραλαμβάνειν, ἐχρῆν εἰϲ τὸ ω̄, ὁμοίωϲ τῷ «οἴχετ' ἀνὴρ ὤριϲτοϲ» (288). εἰϲὶ δὲ οἳ διέϲτειλαν ἀλλ' ὅϲ, τὸ ὅϲ δαϲύνον-

---

461 Lehrsius post ϲύνθετον addit τὸ ἀφαύω probabiliter, sed quum cogitari etiam possit Herodianum αὔω sic ortum putasse, ut Lob. Rhem. p. 11 not. suspicatur et traditum est in An. Ox. II 332, 17 τὸ αὔω γίνεται παρὰ τὸ ὕω μετὰ τοῦ ϲτερητικοῦ ᾱ αὔω spiritu simplicis ὕω in ᾱ transgrediente ut in ἀραιόϲ — locum intactum reliqui. 636 L. pro Νέϲτοροϲ collat. Schol. BL scripsit γέροντοϲ et post ἐκίνηϲε addidit γέρων.

τες, ἀλλ' ὃς μὲν μογέων, ἵνα τὸ αὐτὸ ὑπάρχῃ νοητόν· ἐπὶ γὰρ τοῦ Μαχάονος πάλιν βούλονται τὴν διαστολὴν λαμβάνειν· ἡμεῖς δὲ συγκατατιθέμεθα τῷ Ἀριστάρχῳ ψιλοῦντι, ἐπεὶ βούλεται ὁ ποιητὴς καὶ διὰ τούτου τὸ εὔρωστον τοῦ γέροντος παριστάνειν. A.

641. τὸ κυκειῶ περισπαστέον· τοῦ γὰρ κυκεῶνά ἐστιν ἀποκοπὴ καὶ ἐπλεόνασε τὸ ῑ. A.

652. πάλιν ἄγγελος εἶμ' Ἀχιλῆϊ: κατ' ἰδίαν τὸ πάλιν. οὕτως Ἀρίσταρχος καὶ Ἀλεξίων καὶ ὁ Ἀσκαλωνίτης· οὕτως δὲ ἔχει καὶ τὰ τῆς ἀναγνώσεως. πρὸς γὰρ τὸ ῥῆμα ἡ σύνταξις ἐγένετο, πάλιν εἶμ' ἄγγελος. A.

659. οὐτάμενοι: Ἀρίσταρχος ὡς ἱστάμενοι καὶ κιχράμενοι. Πάμφιλος δὲ ὡς δεδαρμένοι, ἐπεὶ καὶ τὸ βεβλημένοι συντελικόν. καὶ δοκεῖ τὸ τοιοῦτον ἀπὸ ἑνικοῦ ἀριθμοῦ πολὺ πρότερον τεθεωρῆσθαι παρ' αὐτῷ. φησὶ γὰρ «οὔτ' ἄρ βεβλημένος ὀξέϊ χαλκῷ οὔτ' αὐτοσχεδίην οὐτασμένος» (Od. λ 536)· συντελικῇ γὰρ μετοχῇ συντελικὴν ἐπήνεγκεν. οὕτως οὖν καὶ ἐπὶ τῶν πληθυντικῶν ἀναγινώσκειν ἔδει, εἰ μὴ ἄρα ἐκεῖνό τις ὑπὲρ τοῦ Ἀριστάρχου λέγοι, ὅτι οὐκ ἐνεστῶτα ἐκδεχόμενος οὕτως ἀνεγίνωσκεν, ἀλλὰ παρακείμενον πεπονθότα. ἔχει δὲ οὕτως. παρὰ τὸ οὐτῶ περισπώμενον ἐκπίπτει παραγωγὸν εἰς μι λῆγον τὸ οὔτημι, ἀφ' οὗ ἀπαρέμφατον τὸ οὐτάναι καὶ οὐτάμεναι. ἀπὸ δὴ τοῦ οὔτημι γίνεται παθητικὴ μετοχὴ οὐτάμενος καὶ οὐτάμενοι ὡς κιχράμενοι. ἀλλ' οὔ φαμεν ταύτην εἶναι ἐν τῇ νῦν συντάξει, ἀλλ' ἕτερόν τι αὐτῷ σύνηθες ῥῆμα εἶναι, τὸ οὐτάζω, ὅθεν καὶ οὔτασεν ὁ ἀόριστος· οὐ γὰρ δὴ συστολὴ τοῦ οὔτησεν, ὡς πρόδηλον κἀκ τοῦ ἀπαρεμφάτου «οὐτάσαι οὐδὲ βαλεῖν» (Il. Ξ 424) καὶ ἐκ τοῦ «οὔτασται δ' Ὀδυσεύς» (661). τούτῳ δὴ τῷ οὔτασται παρέθηκε μετοχὴν τὴν οὐτασμένος «οὔτ' αὐτοσχεδίην οὐτασμένος» (Od. λ 536), ἥτις κατ' ἔλλειψιν τοῦ ϲ γίνεται οὐτάμενος. προπαρωξύνθη δὲ ὑπὸ τοῦ Ἀριστάρχου διὰ τὸν χαρακτῆρα, ἐπεὶ αἱ τοιαῦται μετοχαὶ προπαρωξύνοντο, ἱστάμενος, κιχράμενος· ὁ γὰρ ἀνὴρ τῷ χαρακτῆρι μᾶλλον τοὺς τόνους προσνέμει. ἄλλως τε καὶ ἡ γινομένη τοῦ ϲ ὕφεσις καὶ ἀναδρομὴν ἐργάζεται τόνου. A.

677. Ἀρίσταρχος ληῖδα ὡς Χαλκίδα, Μενεκράτης ὡς Ἦλιδα. ἔστι δὲ οὕτως ὁρίσασθαι περὶ τῆς προσῳδίας, ὡς πάντα τὰ εἰς ις λήγοντα καθαρόν, μόνως θηλυκά, ὀξύνεσθαι θέλει, οἷον Κιρφηΐς, Βρισηΐς, Θαΐς, Λαΐς. ὁ δὲ λόγος ἐπὶ Ἑλληνικῶν ὀνομάτων, μή τις τὸ Ξόϊς καὶ Σάϊς Αἰγύπτια ὄντα καὶ παρ' Ἡροδότῳ (sic Ξ 387) λεχθέντα παράθηται. περὶ μέντοι τοῦ δαΐς ὀξυνομένου, τετολμημένου δὲ καὶ βαρύνεσθαι ἐπὶ

---

641 κυκεῶνα pro κυκειῶνα scr. L. 659 pro φησὶ γὰρ «οὔτ' αὐτοσχεδίην οὐτασμένος ὀξέϊ χαλκῷ» scripsit Lehrsius φησὶ γὰρ «οὔτ' ἄρ βεβλημένος — οὐτασμένος». — ἐν τῇ νῦν συντάξει, quod Lehrsius suspicatus erat, perspicuitatis causa scripsi pro ἐν τῇ συντάξει. Ὀδυσεύς pro Ὀδυσσεύς idem correxit.
677 Κιρφηΐς pro Κριφηΐς cum Lob. Parall. p. 197 et παρ' Ἡροδότῳ pro παρὰ Ζηνοδότῳ cum Bekk. ex Ξ 387 scripsit L. monens Herodianum memoria falli dicentem Ξόϊς esse ap. Herodotum.

ἑτέρου σημαινομένου, εἰρήσεται ἡμῖν ἀλλαχόθι (Ξ 387). τὸ δὲ Κραταιις δοκεῖ ἐπὶ τοῦ κυρίου βεβαρυτονῆσθαι διὰ τὴν αἰτιατικὴν «βωστρεῖν δὲ Κράταιιν» (Od. μ 124)· τάχα δὲ καὶ τοῦτο πρὸς ἀντιδιαστολήν. A.

719. ὀφείλει τὸ τί ὀξύνεσθαι διὰ τὴν μέ ἀντωνυμίαν νῦν ἐγκλιτικὴν οὖσαν. A.

720. 21. ἀλλὰ καὶ ὣς ἱππεῦσι μετέπρεπον ἡμετέροισιν καὶ πεζός περ' ἐών· ἐπεὶ ὥς ἄγε νεῖκος Ἀθήνη: τὸ μὲν πρότερον ὡς περισπωμένως, τὸ δὲ ἕτερον κατ' ἔγκλισιν, ἐπειδήπερ τὸ μεταφραστικὸν αὐτοῦ ἐστιν, ἐπεὶ οὕτως ἦγε τὸ νεῖκος ἡ Ἀθηνᾶ. A.

754. ὁ Ἀσκαλωνίτης δι' ἀσπιδέος, ἐπεὶ ἐπιφέρει «ἀνά τ' ἔντεα καλὰ λέγοντες», τοιοῦτό τι λέγων τοῦ πολλὰς ἔχοντος ἀσπίδας. ὁ δὲ Ἀλεξίων καὶ ἀμφότερα κρίνει, καὶ ἀσπιδέος καὶ σπιδέος. ὅ τε Ἀρίσταρχος ἐκεῖνο ἀποφαίνεται, ὡς ὅτι τινὲς μὲν ἀπὸ τοῦ α ποιοῦνται τὴν διαστολήν, ἵν' ᾖ ἀσπιδέος, ὡς εἰκαστικώτερον τοῦ ποιητοῦ ἀσπιδὲς τὸ πεδίον εἰρηκότος τῷ τὰ μακρὰ τῶν πεδίων καὶ εὐρέα περιφερῆ φαίνεσθαι, μηδενὸς ἄλλου ὁρωμένου τέρματος, ἀλλὰ τοῦ ὁρίζοντος ἀέρος. ἄλλοι δὲ ἐκδέχονται ἀσπιδέος τοῦ ἔχοντος πολλὰς ἀσπίδας, καθότι ἐπιφέρει «ἀνά τ' ἔντεα καλὰ λέγοντες». οἱ δέ φασιν ἐκ πλήρους σπιδέος καὶ ἀποδιδόασι πολλοῦ καὶ μακροῦ. καὶ γὰρ Αἰσχύλος πολλάκις τὴν λέξιν οὕτως ἔχουσαν τίθησιν, ὅταν λέγῃ «σπίδιον μῆκος ὁδοῦ» καὶ ὁ Ἀντίμαχος «οὐδὲ σπιδόθεν προνοῆσαι» τουτέστι μακρόθεν. καὶ ταῦτα μὲν ὁ Ἀρίσταρχος. Κράτης δὲ προκρίνει τὴν διὰ τοῦ ᾱ γραφήν· [καὶ] Ζηνόδοτος δὲ συναινεῖ τῇ δίχα τοῦ ᾱ γραφῇ, καί φησι σπιδέος τοῦ ἀπόρου καὶ τραχέος [καὶ μεγάλου]. καὶ Ἀμερίας δὲ λέγει σπιδέος τοῦ πολλοῦ καὶ εὐρέος καὶ μεγάλου. κἀγὼ δὲ συγκατατίθεμαι τοῖς ἀνδράσιν· ὁρῶ γὰρ πολλὴν τὴν τοιαύτην χρῆσιν παρὰ τοῖς ἀρχαίοις. A.

799. ἴσκοντες: Ἀρίσταρχος ἀξιοῖ διὰ τῆς ει διφθόγγου γράφειν, ἐπεὶ ἐν ἑτέροις, φησί, τὸ κατὰ διαίρεσιν αὐτοῦ ὁρᾶται, ἐΐσκω λεγόμενον· «ἐΐσκω πηγεσιμάλλῳ» (Il. Γ 197). οἱ δὲ περὶ τὸν Ἀλεξίωνα διὰ τοῦ ῑ μόνου συνεσταλμένου. κἀγὼ δὲ τούτοις συγκατατίθεμαι τὸ μὴ δύνασθαι τὰ τοιαῦτα τῶν ῥημάτων, λέγω δὲ τὰ διὰ τοῦ σκω, ἔχειν πρὸ τέλους δίφθογγον ἐκφωνουμένην, ὅτι μὴ τὴν διὰ τοῦ ῡ, πιφαύσκω. ὁ δὲ λόγος παραιτεῖται τὴν Αἰολίδα διάλεκτον διὰ τὸ μιμναίσκω καὶ θναίσκω. ὥστε ὅτε λέγει ἐΐσκω κατὰ διαίρεσιν, ὑγιῶς πάνυ ἀποφαίνεται, εἴγε παρὰ τὸ εἴδω ἐξέπιπτε μέλλων ὁ εἴσω, ὃς ὤφειλεν ἐπενθέσει τοῦ κ̄ ποιῆσαι τὸ εἴσκω, ὡς μεθύσω μεθύσκω, δράσω δράσκω. ἀλλ' ἐπεὶ ἀνέφικτον ἦν χωρῆσαι τὴν τοιαύτην δίφθογγον πρὸ τῆς σκω παραγωγῆς, διαιρέσει ἐχρήσατο· ὅπου δὲ οὐ παραδέχεται αὖ τὸ τῆς διαιρέσεως, ἐκεῖ ἐκβάλλει τὸ ε̄. A.

754 transiit adnotamentum mutilatum in E. M. 271, 8. 799 pro χωρίσαι scripsit L. χωρῆσαι et οὐ παραδέχεται αὖ τὸ τῆς διαιρέσεως pro οὐ παραδέχεται αὐτὸ ἡ διαίρεσις. De re conferri iubet Π 41 Choer. Orth. Cr. II p. 268, E. M. 272, 13.

ΕΙϹ ΤΗΝ Μ.

20. Κάρηcοc: Τυραννίων ὀξύνει τὸ Κάρηcοc ὡc Παρναccόc. οὕτωc γὰρ ὑπὸ Κυζικηνῶν ὀνομάζεcθαι τὸν ποταμόν. ὁ δὲ Ἀρίcταρχοc βαρύνει ὡc Κάνωβοc. εἴπομεν δὲ ἐν ἑτέροιc ὅτι οὐ πάντωc ἐπικρατεῖ ἡ ἀπὸ τῶν ἐθνῶν χρῆcιc καὶ ἐπὶ τὴν Ὁμηρικὴν ἀνάγνωcιν, ὁπότε περὶ τοῦ «Γλιcᾶντα» (Il. Β 504) διελάβομεν, εἴγε Διονύcιοc ἱcτορεῖ τοὺc ἐγχωρίουc cυcτέλλειν τὸ ῑ καὶ μὴ περιcπᾶν. τό τε Λύκαcτοc ὁ αὐτὸc ἱcτορεῖ ὀξύνεcθαι, ἡμῶν ἀναγινωcκόντων βαρυτόνωc (Il. Β 647). οὕτωc οὖν εἰκὸc καὶ ἐπὶ τοῦ Κάρηcοc μὴ πειcθῆναι τὸν Ἀρίcταρχον ὁμοίωc τοῖc ἐγχωρίοιc προενέγκαcθαι τὴν λέξιν. τάχα δὲ ἐπεὶ ἑώρα τὰ εἰc οc λήγοντα ὑπὲρ δύο cυλλαβὰc ὀξυνόμενα, τῷ η παραληγόμενα, ἕτερον ἔχοντα c̄, τοῦτο δὲ ἓν ἀναδεξάμενον, διὰ τοῦτο καὶ ἐξήλλαξεν αὐτὸ τῆc ἐκείνων τάcεωc, εἴγε τὸ Ἁλικαρνηccόc διccὸν ἔχει τὸ c̄, Λυκαβηccόc, Ταρτηccόc, τὸ μέντοι Κάρηcοc ἓν ἔχει τὸ c̄. ἴcωc οὖν διὰ τοῦτο ἐξηλλάγη. A.

Ῥοδίοc παροξυτονητέον ὡc κύριον. V.

26. ἁλίπλοα: τὴν λι, φαcί, cυλλαβὴν ὀξυτονητέον· κατὰ γὰρ αὐτῶν τῶν ἐρειπίων ἡ λέξιc κεῖται, οὐχὶ τὰ ἐν τῇ ἁλὶ πλέοντα cημαίνεται. οὕτωc Ἀλεξίων καὶ οἱ ἄλλοι. κἀγὼ δὲ cυγκατατίθεμαι τῇ προcῳδίᾳ. ἐκεῖνο γὰρ ἔχω ἀποφήναcθαι, ὡc ὅτι ὁπότερον ἐὰν (sic) cημαίνῃ προπαροξυτονηθήcεται· οὕτωc γὰρ ἐμελέτηcε τὰ παρὰ τὸ πλέω, εἴγε καὶ τὸ πρωτόπλοοc προπαροξύνομεν· καὶ δῆλον ὅτι εἰc ἀποφυγὴν τῶν οὕτωc παραγομένων, διπλόοc τριπλόοc. A.

33. ἵεν: οὕτωc φέρουcι τὴν γραφήν, ιεν ὡc τίθεν· καὶ γίνεται ἀμφίβολον πότερον αὐτοὶ οἱ ποταμοὶ ἵεν, ἵνα τοῦ ἵεcαν cυγκοπὴ ὑπάρχῃ, ὡc ἀπὸ τοῦ ἐτίθεcαν τὸ ἔτιθεν· καὶ δέον δαcύνειν. εἰ δὲ ἑνικὸν εἴη τὸ ῑεν ἀντὶ τοῦ ἐπορεύετο, ψιλωτέον, ὁμοίωc τῷ «ἅccον ἴεν πολυκάρπου ἀλωῆc» (Od. ω 221)· ὅπερ οὐ πιθανόν. ἡ μέντοι κοινὴ ἵει ἐcτὶν ὁμοίωc τῷ «ἐννῆμαρ δ' ἐc τεῖχοc ἵει ῥόοc» (25). καὶ μήποτε εἴη (sic) πιθανώτερον· πάντα γὰρ ὁρᾶται τὰ παρακείμενα ἑνικῶc τεθειμένα· «τεῖχοc ἀμαλδύναc, ποταμοὺc δ' ἔcτρεψε νέεcθαι». A.

55. 56. τὸ μὲν πρότερον ἕcταcαν δαcύνει ὁ Ἀρίcταρχοc ἐπειδήπερ τὸ αὐτό ἐcτί τῷ ἑcτήκειcαν. ἔφαμεν δὲ καὶ ἡμεῖc (Β 777) δαcύνεcθαι τὸ ε̄ τοῦ παρακειμένου καὶ ὑπερcυντελίκου ἐπὶ τούτου τοῦ ῥήματοc. τὸ μέντοι δεύτερον ψιλοῖ· ἰcοδυναμεῖ γὰρ τῷ ἔcτηcαν· οὓc ἔcτηcαν γὰρ οἱ Ἀχαιοί. τὸ δὲ ε̄ τοῦ ἀορίcτου ἐπὶ τούτου τοῦ ῥήματοc ἐψιλοῦτο. cυγκατατίθεται δὲ καὶ ὁ Ἀcκαλωνίτηc τῇ τοιαύτῃ ἀναγνώcει· καὶ ἡμεῖc. A.

M 33 ἄccον scr. L. pro ἅccον.

66. προπερισπαστέον τὸ στεῖνος· οὐδετέρως γὰρ ἐξενήνεκται, πᾶν δὲ οὐδέτερον εἰς ος λῆγον ἐν ὀνόμασι βαρύνεσθαι θέλει. οὕτως οὖν καὶ μακρός ὀξύνομεν ἀρσενικὸν ὕπαρχον· εἰ δὲ οὐδέτερον γένοιτο, βαρύνεται. οὕτως καὶ τὸ κλειτός· οὐδέτερον γὰρ γενόμενον βαρύνεται παρ' Ἀλκμᾶνι «ἐν τῷ Θεσσαλικῷ κλείτει». Α.

125. κεκλήγοντες: ὡς ἀρήγοντες. οὐ γὰρ τὸ κεκληγότες ἐπλεόνασε τῷ ν, οὐδὲ παρὰ τὸ «ὀξέα κεκληγώς» (Il. Β 222) ἐκλίθη, ἀλλὰ παρὰ τὸ κέκληγα γέγονεν ὁ Συρακούσιος ἐνεστὼς κεκλήγω, ὡς παρὰ τὸ ἄνωγα ἀνώγω, πέπληγα πεπλήγω, ἔνθεν τὸ «ἐπέπληγον πόδες ἵππων» (Il. Ε 504). ἀκόλουθος δὲ τῷ κεκλήγω μετοχὴ ἡ κεκλήγων βαρυνομένη, ἔνθεν τὸ κεκλήγοντες. ΑV.

137. αὖας: βαρυτονοῦσιν οἱ πλείους. Νικίας δὲ ὀξύνει διὰ τὸ μεταφραζόμενον, ἐπεὶ καὶ τὸ ξηράς ὀξύνεται. εἴρηται δὲ περὶ τῶν τοιούτων, ὅτι οὐ δεῖ πρὸς μεταφραζόμενα τὰς λέξεις τονοῦν. ὁ δὲ Ἀσκαλωνίτης βαρύνει. χρὴ μέντοι γινώσκειν ὅτι μονήρης ἐστὶν ἡ λέξις· οὐδὲν γὰρ εἰς ος λῆγον καθαρὸν δισύλλαβον, τῇ αυ διφθόγγῳ κατὰ τὴν ἡμετέραν διάλεκτον παραληγόμενον, τριγενές ἐστιν, διὸ οὐδὲ ἀντιπαράθεσιν ἔσχεν. ἴσως δὲ βεβαρυτόνηται, ἐπεὶ καὶ τὸ ναῦος ἐβαρύνετο καὶ τὸ Τραῦος κύριον καὶ τὸ ψαῦος παρ' Ἀλκμᾶνι. Α.

148. δοχμώ: ὀξυτονητέον· ἔστι γὰρ δυϊκόν. τὸ δὲ δοχμός ὀξύνεται, ἐπεὶ τὰ εἰς μος μετ' ἐπιπλοκῆς τοῦ χ ὀξύνεσθαι θέλει, αὐχμός, ἰωχμός. ταύτῃ καὶ πλοχμός, εἴτε συγκέκοπται εἴτε καὶ ἐντελές ἐστιν, ὀξυτονηθήσεται. οὕτως οὖν καὶ τὸ δοχμός. Α.

περὶ σφίσιν: ὀρθοτονητέον· εἰς γὰρ σύνθετον μεταλαμβάνεται. Α.

149. πρυμνήν: ὡς πυκνήν. εἴπομεν δὲ περὶ τούτου (Ε 292). Α.

157. Ζαής: ὡς ὑγιής· οὕτως καὶ ὁ Ἀσκαλωνίτης. παραιτητέον δὲ τοὺς βουλομένους βαρύνειν, ἴσως πλανηθέντας ἐκ τῆς αἰτιατικῆς τῆς εἰς ν περατωθείσης (Od. μ 313). ῥηθήσεται δὲ ἐν τῇ Μ τῆς Ὀδυσσείας περὶ τῆς προσῳδίας. Α.

158. ταρφειάς: Ἀρίσταρχος ὀξύνει ὡς πυκνάς· ὁ δὲ Θρᾷξ Διονύσιος ὁμοίως προεφέρετο τῷ ταχείας, παρὰ τὸ ταρφύς ἀρσενικόν, οὗ πολλαὶ ἦσαν χρήσεις παρὰ τοῖς παλαιοῖς καὶ παρ' Ὁμήρῳ. καὶ δῆλον ὅτι ἀναλόγως μὲν ἀναγινώσκει ὁ Θρᾷξ, ἐπεκράτησε δὲ ἡ Ἀριστάρχου. Α.

164. φιλοψευδής: ὀξυτονητέον ὁμοίως τῷ ἁπλῷ· τὰ γὰρ εἰς ης λήγοντα ὑπὲρ μίαν συλλαβήν, ὀξυνόμενα, συντιθέμενα πάντα θέλει φυλάσσειν τὸν αὐτὸν τόνον, ὑπεσταλμένου τοῦ ἀληθής. σαφής, ἀσαφής, ἀντεραστής, φιλαθλητής· οὕτως καὶ φιλοψευδής. τὸ δὲ κριτής ἔσθ' ὅτε καὶ μεταβολὴν ποιεῖται τόνου οἷον ἐν τῷ ξενοκρίτης. Α.

---

66 pro τῷ ἐν Θεσσαλίῳ scripsi cum Lob. Rhem. 293 ἐν τῷ Θεσσαλικῷ. L., qui huius emendationis meminit, adnotat transiisse praeceptum in E. M. 727.
125 transiit in E. M. 500, 2. 137 αὖας pro αὔας scripsi propter Ψ 327. — pro ναῦς exhibuit L. ναθος, quod est ap. Arcad. 37, 7. 157 L. cft. μον. λ. 17.
158 pro Θρᾷξ scripsit L. Θρᾷξ et monet transiisse in E. M. 164 οἷον addidit L.

193. Ἰαμενόν: Ἀρίσταρχος ψιλοῖ· ὁ δὲ Ἀσκαλωνίτης φησίν, ἐὰν μὲν ἀπὸ τῆς ἰάσεως, ψιλωτέον, ἐὰν δὲ ἀπὸ τῆς ὁρμῆς, δασυντέον. ἄμεινον δὲ προκρίνειν τὴν Ἀριστάρχου· οὐδὲν γάρ ἐστι κωλῦον τὴν ἀνάγνωσιν αὐτοῦ. A.

201. ὑψιπέτης: Ἀρίσταρχος ἐβάρυνεν εὑρὼν τὸ «ὠκυπέτα χρυσέῃσιν ἐθείρῃσιν» (Il. Θ 42) οὕτως κεκλιμένον ὡσεὶ καὶ ἀπὸ τοῦ παντοπώλης παντοπῶλα. πρόδηλον δὲ κἀκ τῶν διαλέκτων· ὑψιπέτας γὰρ εὑρέθη κατὰ τροπὴν τοῦ η εἰς τὸ ᾱ, ὅπερ ζητεῖ καὶ ἡ κλίσις καὶ ἡ βαρεῖα τάσις· τινὲς μέντοι ἐτόλμησαν ὡς τὸ «τιμῆς ἕσεται» (Il. I 605), οὕτως ὑψιπετήεις ὑψιπετῆς. ἀλλ' ἐπὶ μὲν τοῦ τιμῆς εὕρομεν αἰτιατικὴν «καὶ χρυσὸν τιμῆντα» (Il. Σ 475), ἥτις ἐδίδασκε τὸ τῆς εὐθείας πάθος· ἐπὶ δὲ τοῦ προκειμένου οὐδὲν εὕρομεν τοιοῦτο, ἔνθεν ἐπείσθημεν τῷ Ἀριστάρχῳ. A.

204. γάρ αὐτον: οὕτως ἐγκλιτέον τὴν ἀντωνυμίαν κατ' αἰτιατικὴν πτῶσιν. μέμνηται καὶ Ἡρωδιανὸς καὶ Ἀπολλώνιος. A.

205. ἰδνωθείς: ψιλωτέον τὸ ῑ. οὕτως καὶ Ἀλεξίων καὶ οἱ ἄλλοι. προείρηται δὲ ἡμῖν ἐν τῇ A. A.

213. δῆμον: βαρυτονητέον πρὸς ἀντιδιαστολὴν τοῦ δημόν ὀξυνομένου ἐν τῇ Θ ῥαψῳδίᾳ (240). ὁ Ἡρωδιανός. A.

260. ἔχματα: ψιλωτέον· πᾶν φωνῆεν πρὸ τοῦ χ̄ ψιλοῦται. περὶ δὲ τοῦ ἦχι δασυνομένου εἴπομεν. A.

276. τὸ δίεσθαι ἡ παράδοσις προπαροξύνει, καὶ ἔχομεν ἐκεῖνο λέγειν, ὅτι εἰ οἶδεν ὁ ποιητὴς τὸ «δίενται» (Il. Ψ 475) ὡς τίθενται καὶ «ἐνδίεσαν» (Il. Σ 584) ὡς ἐτίθεσαν, δῆλον ὅτι εἴσεται καὶ τὸ δίεσθαι προπαροξυνόμενον· ὡς γὰρ ἀπὸ τοῦ τίθενται καὶ ἐτίθεσαν τὸ ἀπαρέμφατον τίθεσθαι, οὕτως καὶ ἀπὸ τοῦ «ἵπποι ἀερσίποδες πολέος πεδίοιο δίενται» καὶ «αὔτως ἐνδίεσαν» γένοιτ' ἂν τὸ ἀπαρέμφατον δίεσθαι, ὥστε καὶ ἀπὸ τῶν εἰς μι ἐσχημάτισται· καὶ δέον ἐστὶ τὸ δίω βαρυνόμενον πολὺ πρότερον περισπᾶσθαι, ἵνα ἀποτελέσῃ τὸ δίημι, ἐξ οὗ τὸ ἐνδίεσαν καὶ δίεσθαι. A.

286. εἴλυται: προπερισπῶσιν, ἵνα ἐκ τοῦ εἰλύαται συναλοιφὴ ὑπάρχῃ ἢ τοῦ εἰλύεται· δύναται γὰρ καὶ ἑνικῶς συντάσσεσθαι καὶ πληθυντικῶς. οὐκ ἀήθης δὲ ἡ τοιαύτη συναλοιφή, εἴγε καὶ τὸ ἐρύεσθαι ῥῦσθαι ἔφη· «πάντων ἀνθρώπων ῥῦσθαι γενεήν τε τόκον τε» (Il. O 141), καὶ τὸ «ἄρχετε νῦν νέκυας φορέειν» (Od. χ 437) ἐν τοῖς ἑξῆς ἔφη «ἐκ δὲ νέκυς οἴκων φόρεον» (Od. ω 417). τινὲς δὲ προπαροξύνουσιν ὡς ἀπὸ τοῦ εἴλυμι. A. Addiderat Herodianus δ καὶ μᾶλλον. δύναται γὰρ ἐκ τοῦ εἴλυται ἐκτετάσθαι v. Π 542.

295. ἐξήλατον: Ἀρίσταρχός φησιν ὡς δεῖ δασύνοντας προφέρεσθαι. σημαίνει γὰρ κατὰ ἀριθμὸν ἐκ τοσούτων ἐλασμάτων συγκειμένην

193 in E. M. transiisse monet L. 201 post ἐτόλμησαν adiecit L. ὡς. 286 οἴκων pro οἶκον in versu Hom. correxit L.

αὐτήν. ὁ δὲ Ζηνόδοτος, φησίν, ἔοικε ψιλῶς προφέρεσθαι, ἐκδεχόμενος τὴν ἐξηλασμένην, οὐκ εὖ. οὐκ ἀπιθάνως δὲ ὁ Ἀρίσταρχος, εἴγε καὶ ἑπταβόειον σάκος που λέγει καὶ ἐπὶ τῆς Ἀχιλλέως ἀσπίδος «πέντε δ' ἄρ' αὐτοῦ ἔσαν σάκεος πτύχες» (Il. Σ 481) καὶ «ἐπεὶ πέντε πτύχας ἤλασε κυλλοποδίων» (Il. Υ 270). A.

297. τὸ περικυκλον ἄμεινον δύο ποιεῖν περί καὶ κύκλον, ἵνα ᾖ περὶ τὸν τῆς ἀσπίδος κύκλον. οὕτως καὶ ὁ Ἀσκαλωνίτης. A.

337. γεγωνεῖν: ὁ Ἀσκαλωνίτης βαρύνει ὡς ἀνύειν, Ἀρίσταρχος δὲ περισπᾷ ὡς φιλεῖν, καὶ ἔοικε μᾶλλον περισπώμενον εἶναι παρὰ τῷ ποιητῇ· ὡς γὰρ ἐνόεον καὶ ἐφίλεον, οὕτως καὶ ἐγεγώνεον ἔφη· «ἠμὲν ὅς' ἐφρασάμην καὶ Τηλεμάχῳ ἐγεγώνεον» (Od. ρ 161). ἀπαρέμφατόν τε προηνέγκατο τὸ γεγωνέμεν· «ἤ ῥ' ἐν μεσσάτῳ ἔσκε γεγωνέμεν» (Il. Θ 223). προσέθηκα δὲ παρὰ τῷ ποιητῇ, ἐπεὶ οἱ μετ' αὐτὸν καὶ ὡς βαρύτονον αὐτὸ ἔκλιναν καὶ ὡς περισπώμενον. A.

360. ζαχρηεῖς: περισπαστέον ὡς εὐγενεῖς. A.

379. Σαρπήδοντος: τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα, ὡς Χαλκώδοντος. οὐ γὰρ δύναται ἔτι φυλάσσεσθαι ὁ τόνος τῆς Σαρπηδόνος γενικῆς διὰ τὸ μηδέποτε τὰ εἰς ων ὀνόματα ὀξύτονα ἐπιδέχεσθαι τὴν διὰ τοῦ τ̄ κλίσιν. ἔνθεν γὰρ καὶ τὸ ἑκών μετοχή. A.

391. ἀθρήσειε: ψιλωτέον. πᾶν γὰρ φωνῆεν πρὸ δασέος καὶ τοῦ ρ̄ ψιλοῦται, ἴθρις, Ὄθρυς, ἄχρις, ἀφρός, ὄφρα, ὑπεσταλμένου τοῦ ἄθρους πρὸς διάφορον σημαινόμενον. πρόδηλον δὲ κἀκ τῆς συναλοιφῆς ὅτι ψιλοῦται «ἡ δ' οὔτ' ἀθρῆσαι δύνατο» (Od. τ 478). A.

430. πάντῃ δή: ὁ μὲν Ἀρίσταρχος τὸν δή σύνδεσμον παρέλαβεν· Τυραννίων δὲ ἐκδέχεται τὸ ᾗ ἐπίρρημα τοπικόν, ἵνα δύο μέρη λόγου ὑπάρχῃ, δέ καὶ ᾗ, καὶ προστίθησι τὸ ι̅ καὶ δασύνει ὁμοίως τῷ «ᾗ ῥ' ὅ γ' ὁ λυσσώδης» (Il. Ν 53)· οὐκ ἀναγκαῖον δέ· ἤδη γὰρ πρόκειται τὸ πάντῃ τοπικόν. A.

462. λᾶος: προπερισπαστέον ὡς κλῆρος· ἀπὸ γὰρ εὐθείας πέπτωκε δισυλλάβου κατὰ τὴν τοῦ ποιητοῦ χρῆσιν. καὶ ὤφειλε τρισυλλαβεῖν ἡ γενική, συναλοιφὴν δὲ λαβοῦσα βαρύνεται. τὴν δὲ πρόθεσιν Τυραννίων ἀναστρέφει, ἵνα τὸ ἑξῆς ὑπάρχῃ ὕπο λίθου ῥιπῆς. οὐκ ἀναγκαῖον δέ· τί γὰρ κωλύει φυλάσσεσθαι τὸν τόνον τῆς προθέσεως καὶ εἶναι ὑπὸ ῥιπῆς λίθου. A.

471. τὸ μὲν ὅμαδος δασυντέον· ἔχει γὰρ τὸ ὁμοῦ ἐγκείμενον. τὸ δὲ ἀλίαστος ψιλωτέον· ἔστι γὰρ στέρησις ἀπὸ τοῦ λιαστός, ὅπερ πέπτωκεν ἀπὸ τοῦ λιάζω· «ἠγεῖτ', ἀμφὶ δ' ἄρα σφι λιάζετο κῦμα» (Il. Ω 96). A.

ΕΙΣ ΤΗΝ Ν.

15. ἔνθ' ἄρ' ὅγ': τρεῖς παράλληλοι ὀξεῖαι, μία μὲν ἡ ἄρχουσα, δευτέρα ἡ τοῦ ἄρα, τρίτη δὲ ἡ τοῦ ὅγε. A.

337 pro μεσάτῳ correxit μεσσάτῳ L.

29. γηθοσύνη: Ἡρόδικος τὴν θος συλλαβὴν ὀξύνει, ἵνα ᾖ τὸ πλῆρες γηθόσυνα, εἶτα ἡ δὲ θάλασσα· ὁ δὲ Ἀρίσταρχος γηθοσύνη δὲ θάλασσα, ἀντὶ τοῦ γηθόσυνος, χαίρουσα. εἰσὶ μέντοι οἱ ἀναγινώσκουσι γηθοσύνῃ καὶ δοτικὴν πτῶσιν ἐκδέχονται, ὥσπερ καὶ Ἀριστοφάνης, οἷς ἐγὼ συγκατατίθεμαι, ἵν' ᾖ τὸ ἀκόλουθον τοιοῦτον, τῇ χαρᾷ ἡ θάλασσα διΐστατο, ἵνα καὶ ἔθει Ὁμηρικῷ δοτικὴ ἀντὶ γενικῆς παρειλημμένη ὑπάρχοι, ὑπὸ χαρᾶς ἡ θάλασσα διΐστατο ὁμοίως τῷ «ὃς δὴ γήραϊ κυφὸς ἔην» (Cod. ἔη) (Od. β 16). τί δέ ἐστι τὸ κινοῦν με ἐκθήσομαι. ὁρῶ τὰ διὰ τοῦ συνη θηλυκὰ μὴ κατὰ θηλειῶν ἐπιθετικῶς τιθέμενα, πραγμάτων δὲ ὄντα κατηγορικά. πρόδηλος δὲ ἡ παρ' αὐτῷ τῷ ποιητῇ χρῆσις· ἔστι γάρ τι κερδοσύνη πρᾶγμα, οὐχὶ κερδοσύνη γυνή· «ὡς φαμένη καὶ κερδοσύνῃ ἡγεῖτο» (Il. Χ 247)· «ἀρχὴν ξεινοσύνης» (Od. φ 35)· «πλαγκτοσύνης δ' οὐκ ἔστι κακώτερον» (Od. ο 343)· «τὴν δ' ἥνης' ἥ οἱ πόρε μαχλοσύνην» (Il. Ω 30)· «δρηστοσύνῃ δ' οὐκ ἄν μοι» (Od. ο 321)· «ταρβοσύνῃ, φὰν γάρ μιν» (Od. ς 342). εἴπερ οὖν ταῦτα πάντα εὑρέθη οὐκ ἐπιθετικῶς κατά τινος θηλείας, κατηγορικὰ δὲ πράγματος, πῶς ἂν γένοιτο γηθοσύνη θάλασσα; οὐ γὰρ ἀγαθοφροσύνη γυνή. ἄμεινον οὖν ἐπὶ πράγματος παραλαμβάνειν καὶ δοτικὴν πτῶσιν ἐκδέχεσθαι. εἰκός τινα φήσειν ὑπὲρ Ἀριστάρχου καὶ τῶν ἄλλων ὡς ὅτι αὐτὸς ἤδη ὁ ποιητὴς ἀρσενικῶς τοῦτο ἀπεφήνατο «γηθόσυνος δ' οὔρῳ» (Od. ε 269)· οὕτως ἀκόλουθον θηλυκὸν γένοιτ' ἂν τὸ γηθοσύνη. ὃν διδάξομεν ὡς ὅτι τὰ διὰ τοῦ συνος εἰ παράγοιτο ἐπιθετικῶς ἀρσενικὰ ὑπάρχοντα μηκέτι ποιεῖ κατὰ τὸ πλεῖον θηλυκοῦ γένους παρασχηματισμόν. τὸ οὖν δικαιόσυνος Ζεὺς οὐκ ἔχει τὸ δικαιοσύνη θηλυκὸν ἔτι ἐπιθετικῶς κατά τινος θεοῦ τασσόμενον. Α.

52. τῇ δὲ δὴ αἰνότατον περιδείδια (περὶ δείδια) μήτι πάθωμεν: ἔφαμεν ὅτι ἡ περί οὐκ ἀναστρέφεται, ὅτε σημαντικὴ ὑπάρχει τοῦ περισσῶς. Α.

63. περιμήκεος: ὡς Διομήδεος. τὰ γὰρ εἰς ης σύνθετα, παρ' οὐδέτερα γενόμενα τὰ εἰς ος, τῷ η παραληγόμενα βαρύνεσθαι θέλει, ὥσπερ ἔχει παρὰ τὸ κῆτος τὸ μεγακήτης, ἦθος κακοήθης. διὸ τὰ λαθικηδής, οἰνοπληθής ὀξυνόμενα παρὰ ῥήματά φαμεν συντεθεῖσθαι τὸ κήδω καὶ τὸ πλήθω. Α.

71. ἴχνια: τὸ ἴχνιον προπαροξυτονητέον, ὁμοιοτόνως τῷ ἀράχνιον· οὐ γάρ ἐστιν ὑποκοριστικόν, ἀλλ' ἀπὸ ῥήματος ἐσχημάτισται. ὅτι δὲ ὁ ποιητὴς οὐδὲ ὑποκοριστικοῖς χρῆται, ἐδηλώσαμεν ἐν τῇ Α. Α.

96. ἁμάς: ἡμετέρας. τὸ ἁμάς ἐκτείνεται κατὰ τὸ τέλος, καίτοι Δώριον ἔχον τὴν πρὸ τέλους συλλαβήν, ἐπεὶ ἐνικῷ παράκειται τῷ διὰ τοῦ η λεγομένῳ, ἁμήν, ὅπερ ὁλόκληρον ἂν ἦν Δωρικόν, εἴπερ εἰς αν κατέληγεν. Α.

N 29 in Od. ο 343 pro κακόν scripsi κακώτερον, in Od. ο 321 δρηστοσύνῃ pro δρηστοσύνη. 71 in E. M. transiisse monet L. 96 L. citat Apoll. de pron. 142.

102. φυζακινῆς: ὁμοίως ἀναγνωστέον τῷ ἐαρινῆς. πῶς δ' ἐσχημάτισται, δεδήλωται ἐν τῷ περὶ παρωνύμων. Α.

103. θώων: Ἀρίσταρχος βαρύνει τὸ θώων, καὶ ἐπείσθη ἡ παράδοσις· ὁ δὲ Πάμφιλος περισπᾷ, ἐπεὶ τὰ εἰς ες λήγοντα δισύλλαβα ὀνόματα ἐπ' εὐθείας πληθυντικῆς ἔχει γενικὴν περισπωμένην. διὸ καὶ τὸ Τρώων καὶ δμώων καὶ παίδων ἀνεγίνωσκε περισπῶν, ἔτι δὲ καὶ τὸ πάντων καὶ λάων καὶ τίνων, περὶ ὧν λόγον ἔδωκαν καὶ οἱ πρὸ ἡμῶν καὶ ἡμεῖς. Α.

132. προπαροξυτονητέον τὸ ἱππόκομοι· ἡ γὰρ κόμη ἔγκειται, οὐ τὸ κομῶ· οὕτως οὖν ἀναγνωστέον, ὡς κυπαρισσόκομος, καλλίκομος. τὰ δὲ ἀπὸ τῶν εἰς η ληγόντων θηλυκῶν συντιθέμενα καὶ μεταβάλλοντα τὸ τέλος εἰς τὴν ος κατάληξιν προπαροξύνεται, ἄφωνος, ἄναυδος· οὕτως ἱππόκομος. τότε μέντοι παροξυτονητέον τὸ ἱπποκόμος, ὅτε τὸ κομεῖν ἔγκειται· «Νεστορέας μὲν ἔπειθ' ἵππους θεράποντε κομείτην» (Il. Θ 113). Α.

140. ὕψι: ὡς οἴκοθι καὶ ἄγχι, ὥς φησι Πτολεμαῖος. τινὲς δὲ τοῦτο ὀξύνουσιν, ὑψί. Α.

191. ἀλλ' οὔ πῃ χροὸς εἴσατο: Ἀλεξίων φησὶν ὡς Ἀρίσταρχος ὡς σοφός προηνέγκατο, Τυραννίων δὲ ὡς πόλος, καὶ ἔχει λόγον ἑκατέρα ἡ ἀνάγνωσις. ἐὰν μὲν χρόος ὡς πόλος κατ' εὐθεῖαν πτῶσιν ἀναγνῶμεν, ἔσται τὸ λεγόμενον, ἀλλ' οὐδαμῶς ὁ χρὼς ἐφάνη. ἐὰν δὲ χροός ὡς σοφός κατὰ γενικὴν πτῶσιν, ἔσται, ἀλλ' οὐδαμῶς τοῦ χρωτὸς διῆλθε· τὸ γὰρ εἴσομαι καὶ τὸ φανῆναι σημαίνει καὶ τὸ διελθεῖν. ἐπικρίνομεν δὲ ἡμεῖς περὶ τῆς ἀναγνώσεως ἐκεῖνο, ὡς ὅτι πιθανόν ἐστι μᾶλλον τὴν γενικὴν ἐκδέχεσθαι ἤπερ τὴν εὐθεῖαν· ἦν γὰρ αὐτῷ ἔθος εὐθεῖαν μὲν ἐπίστασθαι εἰς ως περατουμένην «ἐπεὶ οὔ σφι λίθος χρὼς οὐδὲ σίδηρος» (Il. Δ 510)· καὶ ἀκόλουθος αἰτιατικὴ «χρῶτ' ἀπονιψαμένη» (Od. ς 172)· τὰς δὲ ἄλλας πλαγίους οἶδεν ἀπὸ τῆς ους εὐθείας· «χροῒ δ' ἔντε' ἐδύσετο παμφανόωντα» (Il. Ι 596)· καὶ τὴν αἰτιατικὴν «μηκέτι νῦν χρόα καλόν» (τ 263). ὥστε εἰ οὐ κεκώλυται τῆς γενικῆς ἡ σύνταξις, τί ἐστι τὸ κατεπεῖγον μὴ τῇ συνήθει κλίσει τὴν ἀνάγνωσιν ποιεῖσθαι; Α.

246. θεράπων ἐΰς: ὁ Ἀσκαλωνίτης φησὶν ὅτι ὁ Ἀρίσταρχος δύο ποιεῖ θεράπων καὶ ἐΰς· τινὲς δὲ ὑφ' ἓν ἀνέγνωσαν ὡς Ἐτεωνεύς. ὅτι δὲ δεῖ κατὰ διάλυσιν ἀναγινώσκειν καὶ οὐ παρωνύμῳ τύπῳ, διδαχθησόμεθα ἐξ αὐτῆς τῆς φωνῆς. ἐγίνετο γὰρ ἂν θεραποντεύς· ἀπὸ γὰρ γενικῶν φιλεῖ ὁ τοιοῦτος τύπος παράγεσθαι, εἴγε καὶ παρὰ τὴν λέοντος ὁ λεοντεύς, οὐχὶ λεωνεύς, παρά τε τὴν Αἰθίοπος Αἰθιοπεύς. Α.

308. ἢ ἐπὶ δεξιόφιν παντὸς στρατοῦ, ἢ ἀνὰ μέσσους, ἢ ἐπ' ἀριστερόφιν: τινὲς τὸν ἤ δεύτερον καὶ τρίτον ˙περιέσπασαν˙ διαπορητικὸς γάρ ἐστιν. Α.

---

191 pro οὐ γὰρ scripsit L. ἦν γάρ addens fortasse δεῖ γάρ ponendum esse, idem εἰς ως περατουμένην pro εἰς ος περατουμένην, in Od. τ 263 pro μή τις scripsi μηκέτι νῦν. 308 δεύτερον καὶ inseruit L.

377. τὸ ταῦτα περισπαστέον κατὰ τὴν πρὸ τέλους συλλαβήν, ἵνα ᾖ ἡ φράσις δεικτική. τινὲς μὲν ὤξυναν, ἵνα τοῦ τὰ αὐτὰ ὑπάρχῃ συναλοιφή· ὅπερ οὐ πιθανόν. AV.

381. συνώμεθα: τοῦτο Ἀρίσταρχος δασύνει, ὑγιῶς· ταὐτὸν γὰρ τῷ συνθώμεθα. ἐσχημάτισται οὖν ἀπὸ τοῦ ἵημι. δηλοῖ οὖν τὸ κατὰ τὸ αὐτὸ ἀφῶμεν τὰ τῆς διανοίας (v. X 261). εἰσὶ μέντοι οἳ ἐψίλωσαν, οὐκ εὖ. A.

382. ἐεδνωταί: ὡς χρυσωταὶ καὶ ποιηταί. οὕτως πάντες. Τυραννίων δὲ προπερισπᾷ, οὐχ ὑγιῶς· προείρηται δὲ ἡμῖν (Ε 158) τὰ τῆς προσῳδίας ὡς τὰ εἰς $\overline{\text{της}}$ ῥηματικὰ ὑπὲρ δύο συλλαβὰς φύσει μακρᾷ παραληγόμενα ὀξύνεσθαι θέλει, αὐλητής, πειρατής, χρηστής, βραβευτής. οὕτως οὖν καὶ τὸ ἑεδνωτής, σχηματισθὲν παρὰ τὸ «ἐεδνώσαιτο θύγατρα» (Od. β 53). περὶ δὲ τῶν ἀήτης καὶ κυβερνήτης βαρυνομένων λόγον δίδομεν (v. l. l.). A.

388. διὰ πρὸ δὲ χαλκὸν ἔλασσεν: τινὲς περισσεύειν φασὶ τὴν πρό, ἵν' ᾖ διήλασεν, ὁ δὲ Ἡρωδιανός φησιν ὅτι εἰς τὸ πρόσθεν διήλασεν. BL.

390. οὔρεσι τέκτονες: Νικίας ὑφ' ἕν, κακῶς· ἔδει γὰρ καὶ τὸ οὔρεσι βουκόλοι (571) συνάπτειν. ἄλλως τε ἔσονται οἱ ὄρη κατασκευάζοντες. δύο οὖν μέρη λόγου ἐστὶ καὶ λείπει τὸ οὖσαν. BL.

391. νεήκεσι: ὡς εὐμήκεσιν ἀνεγνώσθη. οὕτως δὲ καὶ Ἀλεξίων. ὁ δὲ Ἀσκαλωνίτης ὡς εὐγενέσιν, ὅπερ καὶ ἐχρῆν· παρὰ γὰρ τὴν ἀκὴν ἡ σύνθεσις. τὰ δὲ παρὰ τὰ εἰς $\overline{\text{η}}$ λήγοντα θηλυκὰ συντιθέμενα καὶ εἰς $\overline{\text{ης}}$ περατούμενα ἐπιθετικὰ τότε ὀξύνεσθαι θέλει, ὅταν ἔχῃ οὐδετέρου παρασχηματισμὸν καὶ τὴν γενικὴν εἰς $\overline{\text{ους}}$ περατουμένην. εὐτυχοῦς, εὐτυχές, εὐτυχεῖς, εὐρυπυλοῦς, εὐρυπυλές, εὐρυπυλεῖς. οὕτως οὖν ἐχρῆν καὶ τὸ προκείμενον. ὅμως μέντοι ἡ παράδοσις τὸ νεήκης καὶ ταναήκης (v. Π 768) βαρύνει κατὰ συνεκδρομὴν τοῦ εὐμήκης, μεγακήτης. AB.

424. Ἰδομενεύς: τινὲς περισπῶσιν Ἰδομενεῦς ἀντὶ τοῦ Ἰδομένους, οἱ δὲ ὡς «μέθυ χίλια μέτρα» (Il. H 471). οἱ δὲ μέγα ἵετο μεγάλως ἐπεθύμει. ἄμεινον δὲ τὸ εὐθεῖαν εἶναι ὡς τὸ «οὐδὲ Σκάμανδρος ἔληγε τὸ ὃν μένος» (Il. Φ 305). V.

441. τὸ αὖον δασυντέον· σημαίνει δὲ τὸ ξηρόν. A.

450. Κρήτῃ ἐπιουρον: τοῦτο τριχῶς ἀνεγνώσθη. Ζηνόδοτος γὰρ ὡς ἐπίκουρον, ἐκδεχόμενος βασιλέα καὶ φύλακα. καὶ Ἀρίσταρχος δὲ οὕτως, ἐκδεχόμενος τὸν φύλακα, μέμνηται δὲ καὶ ὁ Δίδυμος τῆς ἀποδόσεως καὶ Τρύφων. ἐκεῖνο δὲ προστίθησιν ὁ Τρύφων, ὅτι ὁ ἐπίουρος ὡς ἐπίσκοπος οὐ πάντως ἔχει ἐγκείμενον τὸν οὖρον τὸν φύλακα κατὰ ταύτην τὴν ἀπόδοσιν· τί γὰρ κεκώλυκε παρὰ τὸ ὁρῶ εἶναι

388 coll. Π 669 dubitat Lehrsius, an recte relatum sit. 390 L. confert Π 483. 391 cf. Pros. Cath. 82, 9. 424 verba codicis corrupta τινὲς περισπῶσιν, οἱ δὲ μένευς ἀντὶ τοῦ μένους, ὡς μέθυ χίλια μέτρα — emendavit L., pro τεὸν scripsi τὸ ὅν.

ἐπίορον καὶ ἐπίουρον τὸν ἐπιορῶντα, ἐψιλῶcθαι δὲ διὰ τὴν ἐπένθεcιν τοῦ υ; καὶ ἡμεῖc δὲ cυγκατατιθέμεθα τούτοιc. εἰcὶ δὲ οἳ ἀνέcτρεψαν τὴν πρόθεcιν, Κρήτῃ ἔπι. ὁ δὲ Ἀcκαλωνίτηc παρέλκειν ἡγεῖται τὴν ἐπί· διὸ καὶ τὸν τόνον φυλάccει τῆc προθέcεωc, ὁμοίωc τῷ «βοῶν ἐπιβουκόλοc ἀνήρ» (Od. γ 422). A.

510. ἔτ' ἄλλα: οἱ μὲν τὸ πλῆρεc ἐκδέχονται τὰ ἄλλα, ἐν cυναλοιφῇ δὲ γενέcθαι τἄλλα, ὡc τὰ ἆθλα τἆθλα. προείρηται δὲ περὶ τῆc τοιαύτηc πάρ' αὐτῷ cυναλοιφῆc τε καὶ cυντάξεωc τῶν ἄρθρων (Λ 636). ἄμεινον οὖν ἐκδέχεcθαι ἔτι καὶ ἄλλα. A.

542. τὴν οἵ ὀρθοτονητέον· μεταλαμβάνεται γὰρ εἰc cύνθετον. A.

543. ἐάφθη: Ἀρίcταρχοc δαcύνει, ἀπὸ τοῦ ἕπεcθαι· φηcὶ γὰρ ὅτι ἐπηκολούθηcεν αὐτῷ· καὶ δῆλον ὅτι παρὰ τὸ ἕπω ἥφθη ἢ εἵφθη ὤφειλεν εἶναι ὁ ἀόριcτοc, καὶ κατὰ διαίρεcιν ἐγίνετο ἑάφθη, ὡc τὸ ἧγη ἑάγη, ἧλη ἑάλη, ἥλω ἑάλω, τῆc δαcείαc ἐπὶ τὴν ἀρχὴν χωρούcηc, ὡc ἔθοc. ταῦτα ὁ Τρύφων ἀπεφαίνετο ὑπὲρ τοῦ Ἀριcτάρχου, πιθανῶc πάνυ. ἡμεῖc δ' ἔχομεν περὶ τὸν cχηματιcμόν τι ἐξαίρετον cυμβεβηκὸc ἐπιcτῆcαι. πρὸc τὸ πρῶτον· ἡ ει δίφθογγοc ἐν τοῖc παρῳχημένοιc ἄρχουcα εἰ διαιροῖτο, εἰc δύο εε διαιρεῖται, εἶρτο ἔερτο «ἀτὰρ ἠλέκτροιcιν ἔερτο» (Od. ο 460), εἴργνυ ἐέργνυ «κατὰ cυφεοῖcιν ἐέργνυ» (Od. κ 238). οὐκ ἄρα ἐκ τοῦ εἵφθη ἐγένετο ἡ διαίρεcιc. δῶμεν δὲ ἀπὸ τοῦ ῆ ἄρχεcθαι τὸ ἥφθη, ἐπεὶ ἀδιαφόρωc τὰ ἀπὸ τοῦ ε̄ ἀρχόμενα ῥήματα εἴωθε κλίνεcθαι καὶ διὰ τῆc ει διφθόγγου κατ' ἀρχὴν καὶ διὰ τοῦ η̄· ἀπὸ γοῦν τοῦ ἑλκῶ περιcπωμένου εἵλκεον (Ρ 395): φήcαc τὸν παρατατικὸν διὰ τοῦ η̄ τὸν ἀόριcτον ἐξήνεγκεν ἐν τῷ «Λητὼ γὰρ ἥλκηcε Διόc» (Od. λ 580). ἀλλ' οὐ θέλει πάλιν τὸ η̄ τὸ κατ' ἀρχὴν τῶν παρῳχημένων εἰc ε̄ καὶ ᾱ διαλύεcθαι, ὁπότε ὁ ἐνεcτὼc ἄρχει ἀπὸ τοῦ ε̄, ἀπὸ μέντοι τοῦ ᾱ καὶ η̄, ὡc δῆλον ἐκ τῶν τοιούτων· ἧλη ἑάλη (ἀλῶ γὰρ τὸ θέμα· πρόδηλον κάκ τῆc ἀλεὶc μετοχῆc), ἧγη ἑάγη, ἧδον ἕαδον. πῶc οὖν παρὰ τὸ ἕπω καὶ ἥφθη τὸ ἑάφθη δύναται διαιρεῖcθαι; διὸ ὁ Τυραννίων ἐκδέχεται ἀπὸ τοῦ ἅπτω, οὗ γίνεται ἀόριcτοc, φηcίν, ἥφθη καὶ ποιητικῶc ἄφθη, προcόδῳ δὲ τοῦ ε̄ ἑάφθη. ὅτι δὲ τὸ προcερχόμενον ε̄ ταῖc δαcυνομέναιc λέξεcι μεταληπτικὸν γίνεται τῆc ἐκείνων δαcύτητοc, πρόδηλον κάκ τοῦ ἕερcα, ἕεδνα, ἑήνδανε, ἑώρων. οὕτωc οὖν καὶ τὸ ἑάφθη ἔχει· cημαίνει δὲ τὸ οἱονεὶ cυνήφθη αὐτῷ. ταῦτα μὲν ὁ Τυραννίων. εἰ δὲ ἠβούλετο καὶ διαίρεcιν παραλαμβάνειν ὁ ἀνήρ, οὐδὲν ἦν τὸ κωλῦον. A.

693. Φθίων ὡc Χίων βαρυτόνωc· καὶ γὰρ Φθῖοι ὡc Χῖοι: «Λοκροὶ καὶ Φθῖοι» (686). A.

707. τέλcοc ὡc χέρcοc· γέγονε δὲ κατὰ μεταβολήν, παρὰ τὸ τέλοc πλεονάcαντοc τοῦ c̄. A.

---

543 ἧδον ἕαδον addidit L. coll. Ξ 340, idem spiritum mutavit in ἧλη, ἑάλη ἀλῶ, ἀλεὶc, ἑάγη. 707 propter C 547 dubitat L. an Herodiani.

727. οὕνεκά τοι περὶ δῶκε θεὸς πολεμήϊα ἔργα: τὸ περὶ ἀντὶ τοῦ περιccῶc· τὸ δὲ δῶκε προπεριcπαcτέον. A.

734. περιcπαcτέον τὸ πολεῖc ὡc ταχεῖc, ὁμοίωc τῷ «πολεῖc ὀλέcαντ' αἰζηούc» (Il. O 66). τοῦτο δέ φημι, ἐπεί τινεc βούλονται ἕνεκα ἐμφάcεωc μείζονοc βαρυτόνωc ἀναγινώcκειν, οἷc μάχεται καὶ ἡ ὀρθογραφία ἡ κατ' Ἴωναc. A.

759. Ὑρτάκου ὡc θυλάκου. τὰ γὰρ εἰc κοc λήγοντα τριcύλλαβα, τὴν πρώτην cυλλαβὴν εἰc ἀμετάβολον καταλήγουcαν ἔχοντα, προπαροξύνεται, Λάμψακοc, Ῥύνδακοc· «Ῥύνδακον ἀμφὶ βαθύcχοινον». οὕτωc οὖν καὶ Ὕρτακοc. A.

791. Ὀρθαῖοc: ὡc Ἀλκαῖοc. ἐπεί, φηcί, τὰ διὰ τοῦ αιοc τριcύλλαβα, ἔχοντα τὴν πρώτην cυλλαβὴν εἰc cύμφωνον καταλήγουcαν, προπεριcπᾶcθαι θέλει, χερcαῖοc, ὀρφναῖοc, ἑρcαῖοc, ἀρχαῖοc, Ἀρναῖοc, Τρικκαῖοc, Ἑρμαῖοc· ὅθεν τὸ Ἑρμαῖον κάρα παρὰ Cοφοκλεῖ. τὸ δὲ «ὅθι θ' Ἕρμαιοc λόφοc ἐcτίν» (Od. π 471) ὡc εἰc ἰδιότητα καὶ τὸ ἐπὶ τοῦ κυρίου πρὸc ἀντιδιαcτολὴν διάφορον τόνον ἀνεδέξατο, ὡc Ἀθηναῖοc καὶ Ἀθήναιοc, ἀγοραῖοc καὶ ἀγόραιοc (cf. Λ 301). οὕτωc οὖν καὶ Ὀρθαῖοc προπεριcπωμένωc ἀναγνωcτέον· οὐδεμία γὰρ ἀντιδιαcτολὴ ἐπὶ τοῦ ὀνόματοc κεχώρηκεν. A.

803. πρὸ ἔθεν: ὁμοίωc τῷ ἀπὸ ἕθεν (Il. Z 62) ἀναγνωcτέον κατ' ὀρθὴν τάcιν. προείρηται δὲ περὶ τῆc ἀντωνυμίαc (Γ 128). A.

809. βιβάcθων: Τυραννίων περιcπᾷ, οὐχ ὑγιῶc· ὁ γὰρ χαρακτὴρ βαρεῖαν τάcιν ἀπαιτεῖ, εἴτε ἀπὸ τοῦ βιβῶ βιβάθω γενομένου τοῦ ῥήματοc, περιπλεονάcαντοc τοῦ c, ὥc φηcι Φιλόξενοc, εἴτε ἀπὸ ὀνόματοc τοῦ βιβαcτόc βιβάcθων ὡc ἀϊcτόc ἀΐcθων· γίνεται γάρ τινα ἀπὸ τῶν εἰc τοc κατὰ μεταβολὴν τοῦ τέλουc εἰc θω βαρύτονα ῥήματα, ἐγερτόc ἐγέρθω, ἐρεκτόc ἐρέχθω, ἀϊcτόc ἀΐcθων· οὕτωc καὶ παρὰ τὸ βιβαcτόc βιβάcθων. παραιτητέον δὲ καὶ τοὺc ὀξύνονταc ὡc δεύτερον ἀόριcτον. A.

ΕΙC ΤΗΝ Ξ.

7. θερμήνῃ καὶ λούcῃ ἄπο βρότον αἱματόεντα: τὴν πρόθεcιν ἀναcτρεπτέον· τὸ γὰρ ἑξῆc ἐcτὶν ἀπολούcῃ. A.

21. διχθάδι': τὸ πλῆρέc ἐcτι διχθάδια, ὥcπερ καὶ Ἀρίcταρχοc βούλεται. διὸ τὴν χθα cυλλαβὴν ὀξυτονητέον. παραιτητέον δὲ τοὺc βουλομένουc εἶναι «διχθαδίῃ μεθ' ὅμιλον» καὶ τὴν δι cυλλαβὴν ὀξύνονταc. A.

32. προπαροξυτονητέον τὸ πρύμνηcιν· Κράτηc μέντοι προπεριcπᾷ, ἀκούων ἐπὶ ταῖc ἐcχάταιc, πλανηθεὶc ἐκ τοῦ «τὰc γὰρ πρώταc πεδίον δὲ εἴρυcαν». ἀγνοεῖ δὲ ὅτι ὁ ποιητὴc ὡc ἐπὶ τὸ πολὺ τὸ πρυ-

791 ἐρcαῖοc pro ἑρcαῖοc scr. L. 803 L. conferri iubet qu. ep. 120.
Ξ 21 pro διχθαδίῃ ἢ μεθ' scr. L. διχθαδίῃ μεθ' Idem conferri iubet Φ 279, unde intellegatur hic etiam de ἔτραφ' dictum fuisse. 32 πεδίον δὲ L. scripsit pro πεδίονδε Bekk., πεδιον δε Villois.

μνὸν οὐ τίθηcιν ἐπὶ διεcτῶτος cώματος ἀλλ' ἐπὶ ἡνωμένου «πρυμνὸν ὑπὲρ θέναρος» (Il. Ε 339)· «τοῦ δ' ἀπὸ μὲν γλῶccαν πρυμνήν τάμε» (ib. 292)· «πρυμνὴν ἐκτάμνοντες» (Il. Μ 149). Α.

48. κεῖνος τώς: ἄμεινον, ὡς καὶ ὁ 'Αcκαλωνίτης φηcί, τό τὼς εἶναι ὁμοίως τῷ «τὼς δέ c' ἀπεχθήρω» (Il. Γ 415). Α.

60. ἐπιμίξ: 'Αρίcταρχος ὡς κουρίξ. καὶ εἴπομεν ὅτι τὰ εἰς ιξ ἐπιρρήματα ὀξύνεται, cημειωcάμενοι τὸ πέριξ βαρυνόμενον. Α.

73. κυδάνει: βαρυτονητέον ὁμοίως τῷ «οἰδάνει ἐν cτήθεccι νόον» (Il. Ι 554). Α.

164. τό ἧ δαcυντέον καὶ περιcπαcτέον· ἔcτι γὰρ δοτικὴ πτῶcις κτητικῆς ἀντωνυμίας. Α.

168. ἀνῷγεν: προπεριcπαcτέον· πρόcκειται δέ τῷ ω τό ῑ· ἀπὸ γὰρ θέματος τοῦ ἀνοίγω πέπτωκεν. Α.

171. κάθηρε: τρίτην ἀπὸ τέλους ἔχει τὴν ὀξεῖαν, ἀπὸ θέματος τοῦ καθαίρω. ὡς οὖν ἀπὸ τοῦ μεγαίρω ἐμέγηρε καὶ ποιητικῶς «μέγηρε γάρ οἱ τότ' 'Απόλλων» (Il. Ψ 865), οὕτως ἐκάθηρε κάθηρε. Α.

172. δαcυντέον τὸ ἑδανῷ· τὸ γὰρ ἡδύ βούλεται cημᾶναι. γίνεται δέ τινα ἀπὸ ῥημάτων διὰ τοῦ ανος παραγόμενα ὀξύτονα, ἅπερ τὴν τρίτην ἀπὸ τέλους ἔχει βραχεῖαν, ἢ αὐτόθεν ἀπὸ τῶν ῥημάτων μετειληφότα, ὡς ἀπὸ τοῦ ἄγω ἀγανός, cτέγω cτεγανός, ἢ ἐκ τῆς μακρᾶς τῆς κατὰ τὰ ῥήματα εἰς βραχεῖαν μεθιcτάμενα, ὡς παρὰ τὸ ἵκω ἱκανός καὶ παρὰ τό πείθω πιθανός, τρώγω τραγανός, εἴδω ἰδανός». «τὰς (vel potius cὰς v. μον. λ. 7) ἰδανὰς χάριτας» ὁ Καλλίμαχος. οὕτως οὖν καὶ παρὰ τὸ ἥδω τὸ ἑδανός γένοιτ' ἄν, τοῦ η̄ εἰς τὸ ε̄ τραπέντος· διὸ δαcυντέον τὴν λέξιν. μὴ ἄρα ἐπιζητείτωcαν πόθεν τὸ ε ἐγένετο. ὁ γὰρ χαρακτήρ, ὡς ἔφαμεν, τὴν βραχεῖαν ἀcπάζεται. Α.

183. μορόεντα: οὕτως 'Αρίcταρχος ἀπὸ τοῦ μ ποιεῖται τὴν διαcτολὴν καὶ ὁ 'Αcκαλωνίτης. καὶ οὕτως ὁ λόγος ἔχει. τὰ γάρ μετά πολλοῦ μόρου καὶ κακοπαθείας γινόμενα δηλοῖ. παραιτητέον δὲ τοὺς ἀπὸ τοῦ α τήν διαcτολὴν ποιουμένους, ἵνα τὸ ᾱ ἐπιτατικὸν ὑπάρχῃ μηδενός κατεπείγοντος. Α.

209. ὁμωθῆναι: δαcυντέον τὸ ο. ὡς χρυcωθῆναι δὲ ἀναγνωcτέον. Α.

221. ἄπρηκτόν γε νέεcθαι: τουτέcτι πορεύεcθαι. οὕτως 'Αρίcταρχος. Δημήτριος δὲ γενέεcθαι ἀντὶ τοῦ γενήcεcθαι, βιαίως πάνυ· οὐδὲ γὰρ τό πυθέcθαι πυθέεcθαι γίνεται οὐδὲ τὸ λαβέcθαι λαβέεcθαι, ἵνα καὶ τὸ γενέcθαι γενέεcθαι γένηται. Α.

249. ἤδη γάρ με καὶ ἄλλο τεὴ ἐπίνυccεν ἐφετμή: 'Αρίcταρχος ἐλλείπειν φηcί τήν κατά, καὶ ἐκδέχεται τὴν ἀντωνυμίαν εὐθείας πτώcεως, καὶ κατ' ἄλλο ἡ cὴ ἐcωφρόνιcεν ἐντολή, ὥcτε εἶναι ἡ τεή. Παρμενίcκος δὲ ἐκδέχεται ἐπίρρημα τὸ ἄλλοτε καὶ δαcύνει τὸ η̄, καὶ

48 L. confert B 330.

περιcπᾷ ἐπὶ δοτικῆc πτώcεωc, ἵνα ὑπάρχῃ ὁ Ζεὺc τῇ ᾗ με ἐcωφρόνιcεν ἐντολῇ. Ἀλεξίων δὲ προκρίνει τὴν Ἀριcτάρχου· φηcὶ γὰρ ἀπὸ τοῦ $\bar{\text{ι}}$ ἀρκτέον· καὶ ἡμῖν δὲ δοκεῖ· πρὸc γὰρ τὴν Ἥραν ἡ ἀπόταcίc ἐcτιν. αὐτὸc γοῦν ἐπεξηγεῖται αὐτό· «νῦν αὖ τοῦτό μ' ἄνωγαc ἀμήχανον ἄλλο τελέccαι» (262). A.

265. ἧ φῇc ὦc Τρώεccιν ἀρηξέμεν εὐρύοπα Ζῆν' ὡc Ἡρακλῆοc περιχώcατο: ὁ Ἀcκαλωνίτηc βαρύνει τὸν $\bar{\text{η}}$· ἄμεινον δὲ περιcπᾶν. καὶ γὰρ εἰ διαπορεῖ, οὐκ ἀναγκαῖον ἐγκλίνειν αὐτόν. οὐ γὰρ ἕτεροc αὐτῷ ἐπιφέρεται περιcπώμενοc, ὡc ἐπὶ τοῦ «ἦ δολιχὴ νοῦcοc ἢ Ἄρτεμιc ἰοχέαιρα» (Od. λ 172). A.

309. τὴν cεῦ περιcπαcτέον: ἔcτι γὰρ ἀντιδιαcτολή. A.

328. cέο: ὀρθοτονητέον· ἀντιδιαcτολὴ γὰρ πρὸc ἄλλα πρόcωπα. A.

340. τὸ εὔαδεν ὁ Ἀcκαλωνίτηc ψιλοῖ, λέγων ὡc ὅτι τὰ δαcυνόμενα ἐν τῇ ἐπενθέcει τοῦ $\bar{\text{υ}}$ ψιλοῦται, ὡc ὅλοc οὖλοc· οὕτωc οὖν καὶ τὸ ἕαδεν εὔαδεν γένοιτο ψιλούμενον. ἐγὼ δὲ (opinor ἐρείδει δὲ) πρὸc τὴν cυνήθη ἀνάγνωcιν δαcύνουcαν τὸ α, ψιλοῦcαν δὲ τὴν $\overline{\text{ευ}}$ δίφθογγον. καὶ ἔχομεν ἐκεῖνο εἰπεῖν ὡc εἰ ἴδιον cυνθέτων λέξεων τὸ καὶ κατὰ μέcον δαcύνεcθαι, οἴδαμεν δὲ καὶ τὸ ἅδε ῥῆμα cυνεχῶc παρὰ τῷ ποιητῇ, «ἅδε δ' Ἕκτορι μῦθοc ἀπήμων» (Il. M 80), εἰκότωc ἂν φήcαιμεν ὅτι τὸ εὖ ἐπίρρημα προcῆλθε καὶ οὕτωc ἐφυλάχθη τοῦ ῥήματοc ἡ δαcεῖα ὡc ἐν λέξει cυνθέτῳ· τὸ μέντοι ἕαδε διαίρεcίc ἐcτι τοῦ ἧδε. A.

351. cτιλπναί: ὁμοίωc τῷ ἰcχναί. τὰ γὰρ εἰc $\overline{\text{νοc}}$ διcύλλαβα μετ' ἐπιπλοκῆc cυμφώνου τριγενῆ ὀξύνεcθαι θέλει, πρυμνόc, ἰcχνόc, πυκνόc. ἐναντιοῦται τὸ λίχνοc. τὸ γὰρ λάγνοc ἔννοιαν ἔχει cυνθέcεωc. A.

351. ὁ Ἀcκαλωνίτηc ἀξιοῖ παροξύνειν τὸ ἕέρcαι ὁμοίωc τῷ Εὐτέρπαι. καὶ γὰρ τὸ ἑνικὸν ἐέρcη ἐcτί «μή μ' ἄμυδιc cτίβη τε κακὴ καὶ θῆλυc ἐέρcη» (Od. ε 467), τὰ δὲ εἰc $\bar{\text{η}}$ λήγοντα θηλυκὰ μονογενῆ ὁμότονα ἔχει τὰ πληθυντικά, Ἑλένη Ἑλέναι· οὕτωc εἰ ἐέρcη, καὶ ἐέρcαι. ἠλιθίωc πάνυ. οὐ γὰρ ἐνόηcεν ὅτι τὸ ἑνικὸν διὰ τὴν μετάληψιν τοῦ $\bar{\text{α}}$ εἰc $\bar{\text{η}}$ πρὸ τέλουc ἔcχε τὸν τόνον, ὁμοίωc τῷ ἄελλα ἀέλλη, οὕτωc ἕερcα καὶ ἐέρcη. εἰ δὲ τὸ πληθυντικὸν οὐκέτι ἀντιθέcεωc ἔχεται, ἀπολήψεται τοῦ ἕερcα προπαροξυνομένου τὸν τόνον. A.

372. τὸ παναίθηcιν οἱ πλείουc προπεριcπῶcιν, Εὐφράνωρ δὲ βαρύνει. φιλεῖ δὲ τὰ εἰc $\bar{\text{η}}$ λήγοντα θηλυκὰ διcύλλαβα ὀξυνόμενα cυντιθέμενα καὶ μὴ γινόμενα κύρια τότε μὲν φυλάccειν τὸν τόνον ὅτε μετὰ προθέcεωc cυντίθεται, τότε δὲ ἀναβιβάζειν ὅτε οὐ μετὰ προθέcεωc. ἐπιτομή, ἀνοχή, ἱcτοδόκη δὲ καὶ καπνοδόκη, λατύπη, οἰνοχόη. εἴπερ

---

340 Lehrsius verissime adnotat aut in medio Scholio lacunam esse aut sequentem ἀναcκεύαcιν, qua εὔαδε verum esse demonstratum fuit, intercidisse.
351 spiritum lenem, qui in Codice vocabulo ἕερcα quotiescunque hic occurrit, appictus est, in asperum mutavit L., contra pro ἄμυδιc scripsit ἀμυδιc.

οὖν καὶ τὸ παναίθη οὐ μετὰ προθέσεώς ἐστι βαρυτονηθήσεται. τάχα δὲ καὶ παρώνυμόν ἐστι, καὶ πάλιν ὀφείλει βαρύνεσθαι. ὡς γὰρ παρὰ τὸ καλός ἐγένετο πάγκαλος καὶ παγκάλη, οὕτως καὶ παρὰ τὸ αἰθός πάναιθος, ᾧ ἀκόλουθον τὸ παναίθη. A.

387. δαΐ: ὁ Ἀσκαλωνίτης βαρύνει ὡς Θέτι, οἱ δὲ πλείους ὡς φλεβί ὀξύνουσιν, οἷς συγκατατίθεμαι. εἰ μὲν γὰρ ἦν ἡ εὐθεῖα, ὡς οἴεται ὁ Ἀσκαλωνίτης, δάϊς ὡς Θέτις βαρυνομένη καὶ ὡς «πάντα Θέτι καλλιπλοκάμῳ» (Il. Σ 407) οὕτως δάϊ, πρῶτον ἐκτείνεσθαι δεήσει τὸ ῑ. δεύτερον ἐκεῖνο ὁρῶμεν ἐναντιούμενον. τὰ γὰρ εἰς ις λήγοντα καθαρὸν θηλυκά, εἴτ' ἄλλῳ εἴτε καὶ τῷ ᾱ παραληγόμενα, οὐ φιλεῖ βαρύνεσθαι, τοὐναντίον δὲ ὀξύνεσθαι — ὁ δὲ λόγος ἐπὶ τῶν Ἑλληνικῶν, ἵνα μή τις τὸ Ξόϊς ἢ Σάϊς ἀντιθῇ κείμενα παρ' Ἡροδότῳ — οἷον Θηβαΐς, Δαναΐς, Λαΐς, Θαΐς. οὕτως ἄρα δαΐς· χωρὶς εἰ μὴ λέγοι τις τοῦτο βεβαρυτονῆσθαι πρὸς ἀντιδιαστολὴν τοῦ ὀξυνομένου. ὥσπερ καὶ τὸ ἀκρίς. ἄμεινόν ἐστιν ἐκεῖνο λέγειν ὡς ὅτι εἴτε ἀπὸ τῆς δάϊς βαρυνομένης εἴτε ὀξυνομένης ἡ προκειμένη ἐστὶ δοτική, ὀφείλει ὀξύνεσθαι τῷ τὰς εἰς ῑ συνεσταλμένον ληγούσας δοτικὰς καὶ μὴ συναλειφθείσας ἐπ' ὀνομάτων ἀρσενικάς τε καὶ θηλυκὰς ὀξύνεσθαι, μηνί, χηνί· ταύτῃ καὶ λιτί. οὕτως καὶ ἡ δαΐ, εἴτε ἀποκέκοπται εἴτε συγκέκοπται, ὀξυτονηθήσεται. A.

396. τόσσος γε: Ἀρίσταρχος φυλάσσει τὴν ὀξεῖαν ἐπὶ τῆς τος συλλαβῆς, ὁ δὲ Τυραννίων τοσσόςγε ἀνέγνω τὴν σος συλλαβὴν ὀξύνων. οὐκ εὖ. ὁ γὰρ γέ οὐκ ἀλλάσσει τὸν τόνον τῶν πρὸ ἑαυτοῦ λέξεων. εἰ δέ τις λέγοι ἐπέκτασιν εἶναι, μὴ σύνδεσμον, ἴστω ὅτι τὸ ἐναντίον χωρήσει. ἡ γὰρ διὰ τοῦ γέ ἐπέκτασις τρίτην ἀπὸ τέλους ἐποίει τὴν ὀξεῖαν, ἔγωγε, ἔμοιγε. A.

463. λικριφίς: Ἀρίσταρχος ὀξύνει ὁμοίως τῷ «ἀλλήλοισιν ἔφυν ἐπαμοιβαδίς» (Od. ε 481). (Cf. ad Σ 506). καὶ οὕτως ἐπεκράτησεν ἡ ἀνάγνωσις. A.

509. ἀνδράγρια: ὡς ἀντάξια. καὶ γὰρ σύνηθες αὐτῷ τὸ τοιοῦτον εἶδος· καὶ γὰρ ζωάγρια εἶπε καὶ βοάγρια καὶ μοιχάγρια. A.

521. τὸ μὲν ὁμοῖος ὡς ἀλλοῖος ἀναγνωστέον· τὸ γὰρ προπαροξύνειν μεταγενεστέρων ἐστὶν Ἀττικῶν. Τὸ δὲ ἐπισπέσθαι παροξυτονητέον ὁμοίως τῷ ἀποθέσθαι· ἔστι γὰρ τὸ ἁπλοῦν σπέσθαι. προείρηται δὲ ἐπὶ τῶν τοιούτων ἀπαρεμφάτων. A.

ΕΙΣ ΤΗΝ Ο.

2. δάμεν: ὁμοίως τῷ «πολλοὶ δ' Ἀργείων οἱ μὲν δάμεν, οἱ δ' ἐλίποντο» (Il. Μ 14) καὶ τῷ «φάνεν δέ οἱ εὐρέες ὦμοι» (Od. σ 68)

372 pro αἶθος scripsit αἰθός L. coll. Arcad. 49, 13. 387 pro φλεαὶ cum Lob. Parall. 90 φλεβί scr. L., idem inseruit εἴτ' ἄλλῳ εἴτε καί et monuit Ξόϊς apud Herodotum non occurrere, sed eum esse Herodiani errorem. 521 L. confert Δ 126.

ἀνεγνώσθη κατὰ ἀφαίρεσιν τοῦ ἄρχοντος χρόνου· ἔφαμεν δὲ τὰ τοιαῦτα ἀδιαφόρως εὑρεθῆναι παρὰ τῷ ποιητῇ (Δ 3, Β 808). Α.

4. ὑπαὶ δείους: ἡ ὑπό πρόθεσις ὑπαί ἐγένετο ὁμοίως τῇ «ὑπαὶ πόδα νείατον Ἴδης» (Il. Β 824)· καὶ ἔστι τὸ ἑξῆς ὑπὸ δέους. οὕτω καὶ Ἀρίσταρχος. διὸ παραιτητέον τὸν Τυραννίωνα βαρύνοντα τὴν ὑπαί, καὶ ἡγούμενον ἀπὸ τοῦ ὕπαιθα εἶναι πάθος τὸ τῆς ἀποκοπῆς. Α.

10. εἵαθ': ἔνιοι τὸ εἵαθ' ψιλῶς· «ἔνθ' ἄρα οἱ μύλαι εἵατο» (Od. υ 106). ἀντὶ τοῦ ἦσαν. καὶ Ἀρίσταρχος δὲ ψιλοῖ τὸ εἵατο. ὁμοίως καὶ ἐπὶ τοῦ «εὗρε δ' ἐνὶ σπῆϊ γλαφυρῷ Θέτιν, ἀμφὶ δέ τ' ἄλλαι εἵαθ' ὁμηγερέες» (Il. Ω 83)· ἐκδέχεταί τε κλίσιν τὴν ἀπὸ τοῦ εἰμί εἰς παθητικοῦ ὑπερσυντελίκου χρόνον, καὶ μεταλαμβάνει εἰς τὸ ὑπῆρχον. ἔχει δὲ ἐπίστασιν εἰ τοῦ εἰμί τὰ παθητικὰ δύναται συστῆναι κατὰ σημαινόμενον ἢ χρῆσιν Ἑλληνικήν (cf. Ζ 336). διὸ ἄμεινον δασύνειν καὶ ἐκδέχεσθαι ἐνδιέτριβον καὶ ἐκάθηντο· καὶ γὰρ ἁρμόζον τοῖς ὑποκειμένοις κεῖσθαι μὲν τὸν Ἕκτορα, περικαθέζεσθαι δὲ αὐτὸν τοὺς ἑταίρους συγκάμνοντας. αὐτός τε ὁ ποιητὴς ἔκλινε τὸ ῥῆμα τοῦτο τριχῶς, πῇ μὲν κοινῶς εἰπών «τοῖσι δ' ἄρα Τρώων ἡγήτορες ἧντ' ἐπὶ πύργων» (Il. Γ 153), πῇ δὲ Ἰωνικῶς «οἱ δὲ ἕατ' εἰν ἀγορῇ» (Il. Η 414), πῇ δὲ ἐπενθέσει τοῦ ῑ πάλιν χρησάμενος Ἰωνικῶς «εἵατο καὶ προὔχοντες» (Od. γ 8), ὡς καὶ τὸ προκείμενον. Α.

κῆρ ἀπινύσσων: Ἀρίσταρχος τὸ κῆρ οὐδετέρως ἐκδέχεται καὶ μετοχὴν τὴν ἀπὸ τοῦ ᾰ ἀρχομένην, ἵνα τοιοῦτόν τι σημαίνῃ τὸ κῆρ ἀσύνετος ὤν, διδασκόμενος καὶ ἐξ ἐκείνου «δοκέεις δέ μοι οὐκ ἀπινύσσειν» (Od. ε 342). τούτῳ συγκατατίθεται καὶ ὁ Ἀσκαλωνίτης καὶ Ἀλεξίων καὶ σχεδὸν πάντες, καὶ ἡμεῖς. εἰσὶ μέντοι οἳ ἄλλως διέστειλαν, οὓς ἐλέγχει ὁ Ἡρωδιανός. Α.

17. προπαροξυτονητέον τὸ ἐπαύρηαι, ὁμοίως τῷ «εἰσόκε τοὺς ἀφίκηαι» (Od. λ 122)· ἔστι γὰρ μέσος δεύτερος ἀόριστος. ταὐτὸν δὲ λέγομεν καὶ περὶ τοῦ «σὺ δέ κεν κακὸν οἶτον ὄληαι» (Il. Γ 417)· καὶ γὰρ οὗτος μέσος δεύτερος ἀόριστος. Α.

26. πεπιθοῦσα: ὡς δραμοῦσα· ἔστι γὰρ δεύτερος ἀόριστος δεδιπλασιασμένος, ὥσπερ ἤδη καὶ ἐπὶ τοῦ ῥήματος ἔθος αὐτῷ ποιεῖν. «ῥηϊδίως πεπιθεῖν» (Il. Ι 184). Α.

105. 106. ἔφαμεν τὸν ῆ κατ' ἀρχὴν ὄντα διαπορητικὸν περισπᾶσθαι, ὥσπερ καὶ ἐνθάδε. τοὺς μέντοι ἑξῆς ἐγκλιτέον ἐν τῇ συντάξει· εἰσὶ γὰρ ἤτοι διαζευκτικοὶ ἢ παραδιαζευκτικοί, ὡς τὸ «ἦ ἔπει ἠὲ βίῃ» (puto ἢ ἔπει ἢ ἔργῳ Α 504). Α.

127. ἡ δ' ἐπέεσσι καθάπτετο: δασυντέον τὸ ἡ ἄρθρον. δύναται μέντοι καὶ σύνδεσμος ἐξακούεσθαι, ἵνα γένηται καὶ ἐπέεσσι καθάπτετο. καὶ ἔστιν ὅμοιον τοῖς τοιούτοις «βεβλήκει γλουτὸν κατὰ δεξιόν,

---

O 10 l. 23 τὸ post ἐκείνου delevit L. 17 σὺ δὲ pro οὐδὲ in versu Hom. correxit L.

ἡ δὲ διὰ πρό» (Il. Ε 66)· «ἡ δὲ χιτῶν' ἐνδῦσα» (ib. 736)· καὶ γὰρ ἐπὶ τούτων διχῶς ἀνέγνωσαν, ὥσπερ καὶ ἐπὶ τοῦ ἐν τῇ Ὀδυσσείᾳ (ε 391) «αὐτίκ' ἔπειτ' ἄνεμος μὲν ἐπαύσατο, ἡ δὲ γαλήνη». ἄμεινον δὲ ἐπὶ πάντων ἄρθρον ἐκδέχεσθαι, ὥσπερ καὶ Ἀριστάρχῳ ἐδόκει. A.

128. τὸ ἠλέ ὡς καλέ ἐπιθετικῶς. εἴτε δὲ ἀπεκόπη εἴτε συνεκόπη ἐκ τοῦ ἠλεέ, ἔρρωται τὰ τοῦ τόνου. A.

138. προπερισπαστέον τὴν υἷος γενικήν. προείρηται δὲ πῶς γέγονεν (Ε 266). A.

142. θρόνῳ ἔνι: ἀναστρεπτέον τὴν πρόθεσιν· τὸ γὰρ ἑξῆς ἐστὶν ἐν θρόνῳ, ὁμοίως τῷ «υἱὸς γάρ οἱ ὄλωλε μάχῃ ἔνι» (111). A.

146. καὶ τὸ Ζεὺς καὶ τὸ σφώ ἐγκλιτέον, τουτέστι βαρυτονητέον, ἐπεὶ δευτέρου προσώπου ἐστὶ καὶ μεταλαμβάνεται εἰς τὸ ὑμᾶς. A.

159. προπερισπαστέον τὸ ἀγγεῖλαι· ἔστι γὰρ ἀπαρέμφατον ἀντὶ προστακτικοῦ κείμενον, διὰ τὸ ἐπιφερόμενον «μηδὲ ψευδάγγελος εἶναι». οὐκ ἀναγκαῖον γὰρ διὰ τὸ ἄνωχθι προστακτικῶς ἀναγινώσκειν. καὶ ἔστιν ὅμοιον τῷ «τῇ δὲ τόδε κρήδεμνον ὑπὸ στέρνοισι τανύσσαι» (Od. ε 346)· καὶ ἐνθάδε γὰρ ἀπαρέμφατόν ἐστιν. A.

162. εἰ δέ μοι: τὸν δέ ὀξυτονητέον· ἔστι γὰρ νῦν ἡ μοί ἐγκλιτικὴ καὶ ἀπόλυτος. A.

165. καὶ ἐπὶ τούτου ἐγκλιτική ἐστιν ἡ ἀντωνυμία καὶ ἀπόλυτος· διὸ τὸν ἐπεί σύνδεσμον ὀξυτονητέον ὁμοφώνως τῷ «καί εὐ κράτος ἐστὶ μέγιστον» (Il. Ω 293). A.

187. Ῥέα: οἱ μὲν ἐκτείνουσι τὸ α, ἐπὶ δὲ τοῦ ἐπιρρήματος συστέλλουσιν· οἱ δέ φασι δεῖν συστέλλειν, ἵνα δάκτυλος γένηται, ὡς τὸ «πὺξ ἀγαθὸν Πολυδεύκεα» (Il. Γ 237) «ἀνδρόμεα κρέα» (Od. ι 347) «εἵσατο τεύχεα». A.

199. οἵ ἔθεν ὀτρύνοντος: ἡ ἔθεν νῦν ἀπολυτός ἐστι καὶ ἐγκλιτική. διὸ τὸ οἱ ἄρθρον ὀξυτονοῦμεν. A.

209. ὁμῇ: περισπαστέον κατὰ δοτικὴν πτῶσιν, ὁμοίως ἐπιθετικῷ τῷ θερμῇ· καὶ γὰρ τὸ ὁμός αὐτοῦ τὸ ἀρσενικὸν ὁμοίως κατ' ὀξεῖαν τάσιν «οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος» (Il. Δ 437)· καὶ τὸ οὐδέτερον «ἢ μὰν ἀμφοτέροισιν ὁμὸν γένος» (Il. Ν 354). παράκειταί τε τὸ ἐπίρρημα τὸ εἰς ως λῆγον περισπώμενον ὡς θερμῶς· «ὁμῶς δέ τοι ἤπια οἶδεν» (Od. ν 405). A.

226. ἀλλὰ τόδ' ἡμὲν ἐμοὶ πολὺ κέρδιον ἠδὲ οἷ αὐτῷ ἔπλετο: οἷ αὐτῷ: ὁ Ἀσκαλωνίτης ἀξιοῖ ἐγκλιτικῶς ἀναγινώσκειν, ἐπεὶ ἀπὸ προσώπου ἐπὶ πρόσωπον ἡ ἀναφορὰ καὶ εἰς ἁπλῆν ἡ μετάληψις· ἀντὶ γὰρ τῆς αὐτῷ δισυλλάβου. ἄμεινον δὲ πείθεσθαι τοῖς περισπῶσι διὰ τὸ ἤδη διαστολὴν γεγενῆσθαι διὰ τῆς ἐμοί· τὸ γὰρ ἑξῆς τοιοῦτόν ἐστιν ἐμοὶ καὶ αὐτῷ ἔπλετο, ὥστε ἀπὸ κοινοῦ λαμβάνεσθαι τὸ ἔπλετο ῥῆμα. ὁμοίως δὲ καὶ ἐπ' ἐκείνου κατ' ὀρθὸν τόνον ἀνέ-

142 pro ὀλώλη L. correxit ὄλωλε.

γνωμεν τὴν οἱ· «Μέντορ μή c᾽ ἐπέεςςι παραιπεπίθηςιν Ὀδυςςεὺς μνηςτήρεςςι μάχεςθαι, ἀμυνέμεναι δὲ οἱ αὐτῷ» (Od. χ 213)· καὶ τὸ ἑξῆς ἐςτὶ τοιοῦτον, μὴ πειςάτω ςε Ὀδυςςεὺς ἡμῖν μάχεςθαι, αὐτῷ δὲ ἀμύνειν. καὶ καθόλου ἡ οἱ ὁπότε προηγεῖται τῆς αὐτός ἀντωνυμίας κατὰ δοτικὴν πτῶςιν, ὀρθοτονεῖςθαι θέλει, εἴτε εἰς ἁπλῆν εἴη ἡ μετάληψις εἴτε καὶ εἰς ςύνθετον. διὸ μεμπτέον ἐκείνην τὴν ἀνάγνωςιν «ἀλλά οἱ αὐτῷ Ζεὺς ὀλέςςῃ» (Od. δ 667)· ἐχρῆν γὰρ διὰ τὴν ἐπιφερομένην ἀντιδιαςτολὴν κατ᾽ ὀρθὸν τόνον ἀναγινώςκεςθαι. A.

241. κατ᾽ ὀρθὸν τόνον ἀναγνωςτέον, ἀμφὶ ε̄ γινώςκων· ἔςτι γὰρ εἰς ἑκάτερον ἑαυτοῦ μέρος ςκοπῶν. A.

245. δαςυντέον τὸ ἧςαι· προείρηται δὲ περὶ τούτου (v. Z 336, O 10). τὸ δὲ ὀλιγηπελέων ἕν ἐςτιν, ὅμοιον τῷ ὀλιγοδρανέων. τὸ δὲ ἤ που τί ςε, ὁ ἤ διαπορητικός ἐςτι· διὸ περιςπαςτέον. A.

288. ἦ: διαβεβαιωτικός ἐςτι· διὸ περιςπαςτέον αὐτόν. A.

302. Μέγην: Ἀρίςταρχος βαρύνει ὡς «Μέςθλην τε Γλαῦκόν τε» (Il. P 216)· καὶ ἐπείςθη ἡ παράδοςις. ὁ δὲ Ἀςκαλωνίτης καὶ ἄλλοι περιςπῶςιν ὡς Ἑρμῆν καὶ Ποδῆν· τὰ γὰρ εἰς η̅c̅ λήγοντα, φαςί, βαρύτονα διςύλλαβα, ἀπὸ βραχείας ἀρχόμενα, περιςςοςυλλάβως κλίνεται, λέβητα, Λάχητα· εἰ δ᾽ οὐχ οὕτως ἐκλίθη, δῆλον ὅτι περιςπαςθήςεται· ἄλλως τε εἰ εὑρέθη αὐτοῦ ἡ αἰτιατικὴ ὡς ἀπὸ βαρυτόνου «Φυλλείδην τε Μέγητα» (Il. T 239), ὅτε μὴ οὕτως ἔχῃ, περιςπαςθήςεται, ὡς Θαλῆν καὶ Θάλητα καὶ Φαλῆν καὶ Φάλητα. ἔςτι δὲ ὑπὲρ τοῦ Ἀριςτάρχου πρὸς αὐτοὺς πρῶτον μὲν ἐκεῖνο εἰπεῖν, ὅτι οὐχ ἁπλῶς τὰ εἰς η̅c̅ ἀλλὰ τὰ ῥηματικὰ μὴ εἰς τ̅η̅c̅ λήγοντα τὴν προειρημένην ἀναδέχεται κλίςιν, ἐπεὶ τὰ (an κλίςιν. ἔπειτα?) πολλά ἐςτι διχῶς κεκλιμένα. τὸ γοῦν Μύνης ὁ μὲν ποιητὴς περιττοςυλλάβως ἔκλινεν «πέρςεν δὲ πόλιν θείοιο Μύνητος» (Il. T 296). ὁ δὲ Σοφοκλῆς ἰςοςυλλάβως «Μύνου τ᾽ Ἐπιςτρόφου τε», μύκητά τε καὶ μύκην, εἰ καὶ πολλὰ ςημαίνει ἡ λέξις. καὶ ὅτι οὐ τὸ μέτρον αἴτιόν ἐςτι, δῆλός ἐςτιν Ἑκαταῖος οὕτως κλίνας· φηςὶ γὰρ «καὶ ἐπαφήςας τὸν κολεὸν τοῦ ξίφεος, τὸν μύκην εὗρεν ἀποπεπτωκότα». ὁ δὲ Ἄρατος (Dios. 244) περιττοςυλλάβως ἔκλινεν· «ἢ λύχνοιο μύκητες ἀγείρονται περὶ μύξαν». καὶ μή ποτε ταῦτα ςυναγωνίζεται τῷ Ἀριςτάρχῳ· καὶ γὰρ ταῦτα διχῶς κλιθέντα οὐ μετέβαλε τὸν τόνον, οἷς ὅμοιον δύναται εἶναι καὶ τὸ Μέγης. A.

309. ἀμφιδάςειαν: τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα ὁμοίως τῷ χαλκοβάρεια. ὅτι δὲ οὐχ, ὡς οἴεται ὁ Ἀςκαλωνίτης καὶ Ἀλεξίων, ςύνθετόν ἐςτιν ἀλλὰ παραςύνθετον, εἴρηται ἡμῖν ἐν τῷ περὶ τοῦ ἠριγένεια. A.

320. κατένωπα: Ἀρίςταρχος προπεριςπᾷ κατενῶπα ὡς κατὰ

---

241 in cod. V haec exstant: Χρύςιππος δὲ ψιλοῖ τὸ ε̄ ὡς περιςςεῦον καί φηςιν ἀμφιγνοῶν ἀντὶ τοῦ ἀμφιβάλλων. cf. Ep. Cr. I 66, 33, ubi pro Chrysippo Ἀπολλόδωρος nominatur. 302 pro τὰ εἰς τ̅η̅c̅ λήγοντα suspicatus est Lehrsius τὰ ῥηματικὰ μὴ εἰς τ̅η̅c̅ λήγοντα, pro Ἐπιςτρόφου γε scripsit L. cum aliis τε coll. B 692, idem τὸν μύκην pro μυκῆν et περὶ μύξαν pro μοῖραν. 320 post Ἀρίςταρχος addidi προπεριςπᾷ κατενῶπα, quae in A exstare testatur la Roche

δῶμα, ἀπ' εὐθείας τῆς ὤψ, ἥτις αἰτιατικὴν ἔχει τὴν ὦπα· ὁ δὲ Ἀλεξίων καὶ οἱ πλείους ὡς κατέναντα, οἷς καὶ βέλτιον πείθεσθαι, ἵνα ᾖ ἀπὸ τοῦ κατενώπια κατὰ συγκοπὴν κατένωπα, ὡς μηρία μῆρα, σιτία σῖτα. ἔνεστι μέντοι βοηθῆσαι καὶ τῷ Ἀριστάρχῳ οὕτως, ὡς ἐνωπή ἡ πρόσοψις «ὡσεί τι κακὸν ῥέζουσαν ἐνωπῇ» (Il. Ε 374), παρ' ἣν ἐστιν αἰτιατικὴ ἐνωπήν. ὃν οὖν τρόπον τὴν ἰωκὴν ἰῶκα εἶπε μεταπλάσας, οὕτως καὶ τὴν ἐνωπὴν ἐνῶπα προπερισπωμένως. A.

335. Φυλάκη πόλις Θεσσαλίας. βαρυτόνως δὲ ἀναγνωστέον ὡς Ἰθάκη, ὡς πρὸς ἀντιδιαστολὴν τοῦ δεσμωτηρίου. AD.

338. Σφήλοιο: ὡς φίλοιο. ἔστι δὲ καὶ κανὼν ὡς τὰ εἰς λος δισύλλαβα, τῷ η παραληγόμενα, κύρια ὄντα βαρύνεσθαι θέλει, Τῆλος, Μῆλος, Βῆλος· οὕτως οὖν καὶ Σφῆλος. τὰ μέντοι προσηγορικὰ καὶ ὀξυτονεῖται, πηλός χηλός, καὶ βαρύνεται, ὡς δῆλος τὸ ἐπιθετικὸν καὶ ἧλος καὶ ζῆλος, περὶ ὧν εἰρήσεται ἡμῖν ἐν τοῖς περὶ καθολικῆς προσῳδίας. A.

339. Μηκιστῆ: ὁμοίως τῷ «ἔνθ' αὖτ' ἀγγελίην ἔπι Τυδῆ στεῖλαν Ἀχαιοί» (Il. Δ 384). καὶ ἤτοι ἀπεκόπη ἡ Μηκιστῆα αἰτιατική, ἢ Δωρικῶς κέκλιται, ὅπερ μοι δοκεῖ καὶ ἄμεινον. A.

351. τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα ἐπὶ τὸ ἐρύουσι. εἴρηται δὲ περὶ τῆς προσῳδίας ἐν τῇ Λ (454). AB.

359. ἐπεκτέταται τὸ ᾖσιν· ἀντὶ γὰρ τοῦ ᾖ ἐστὶν ὑποτακτικοῦ, ὅπερ ἡ συνήθεια λέγει μετὰ προθέσεως ἀφῇ. διὸ καὶ μετὰ τοῦ ι γράφεται καὶ δασύνεται· ἀπὸ γὰρ τοῦ ἵημι δασυνομένου κέκλιται. A.

365. ἤϊε: Ἀρίσταρχος δασύνει, ἀπὸ τῆς ἕσεως τῶν βελῶν. οἱ δὲ περὶ τὸν Κράτητα ψιλῶς, ἀπὸ τῆς ἰάσεως. καὶ οὕτως ἐπείσθησαν οἱ γραμματικοὶ πρὸς διάφορον ἐτυμολογίαν διαφόρως ἀναγινώσκειν. ἀγνοοῦσι δὲ ὅτι ὁ χαρακτὴρ μάχεται· ἀεὶ γὰρ τὸ η πρὸ φωνήεντος ψιλοῦται, ἠώς, ἠΐα. ταύτῃ καὶ τὸ «ἧτε ξείνων θέμις ἐστί» (Od. ι 268) δασύνεται, τὸ δὲ ἠΰτε ψιλοῦται· καὶ τὸ ἕως δασύνεται, τὸ δὲ ἠώς ψιλοῦται· καὶ τὸ ἥλιος δασύνεται, τὸ δὲ ἠέλιος ἐψιλώθη. ὥστε εἴτε ἐκ τοῦ ἧϊος δασυνομένου ἐστὶν εἴτε ἐκ τοῦ ψιλουμένου, μόνως ψιλωτέον. A.

382. νηὸς ὑπὲρ τοίχων καταβήσεται: οὐκ ἀναγκαῖόν ἐστιν ἀναστρέφειν τὴν πρόθεσιν, ἀλλὰ συντάσσειν τῇ τοίχων γενικῇ. A.

389. ναύμαχα: οὕτως ὡς θαύματα. ἐξαιρέτως δὲ τὰ παρὰ ῥῆμα οὐδέτερα σύνθετα μονογενῆ, εἰς ον περατούμενα, προπαροξύνεται, χαρτότομον, χειρόγραφον, ἀκρατόφορον· οὕτως «ναύμαχον ἐν παλάμῃσιν» (677), ἵνα εἶδος δόρατος νοηθῇ ἐν διαφόρῳ μεγέθει. A.

394. φάρμακ' ἀκήματα: τὸ πλῆρες, φάρμακα, εἶτα ἀκήματα·

Text Zeichen etc. L. monet in E. M. transiisse. 335 in E. M. transiisse monet L. 338 ἧλος pro ἦλος scr. L., qui confert Arcad. 198, 16, Eustath. 155, 39 seqq., quibus addere licet Eustath. 1018 extr. 365 pro ἠώς scripsit ἠΰτε L., qui conferri iubet Apoll. de adv. 559 et Schol. Β 87.

παρὰ γὰρ τὸ ἀκέcαcθαι τὸ ἀκήματα ἐcχημάτιcται. εἴρηται δὲ ἡμῖν ἐν ἑτέροιc διότι καὶ ἡ ἄκεcιc καὶ τὸ «ἀκεcταί τοι φρένεc ἐcθλῶν» (Il. N 115) τὸ ε̄ ἔχει κατὰ τὴν παραλήγουcαν. A.

444. ἰοδόκον: πιθανώτερον Ἀλεξίων παροξύνει, ὡc ξεινοδόκον, ἐπεὶ αὐτὴ ἡ φαρέτρα δέχεται καὶ ἔcτιν ἐνεργητικόν. A.

445. Κλειτόc ὄνομα κύριον· ὀξυντέον δὲ ὁμοίωc τῷ ἐπιθέτῳ, ἐπειδὴ κόcμου ἐcτὶ τὸ ἐπίθετον. A.

463. ἐϋcτρεφέα: οὐκ ἀναγκαῖον ἐκτείνειν τὸ ᾱ· ἀπήρτιcε γὰρ εἰc μέροc λόγου ὁμοίωc τῷ «ἀμφηρεφέα τε φαρέτρην» (Il. A 45). A.

491. τὸ ὅτοιcι τριcύλλαβον ἐπὶ τὴν πρώτην ἔχει cυλλαβὴν τὴν ὀξεῖαν, τὸ μέντοι ὀτέοιcιν οὐκέτι, ἐπεὶ ἤμελλε τετάρτη ἀπὸ τέλουc πίπτειν ἡ ὀξεῖα· διὸ ἐπὶ τὴν δευτέραν ἀπὸ τῆc ἀρχούcηc μετέcτη. A.

494. τὸ ὕμεων ἀντωνυμία ἀπόλυτόc ἐcτι καὶ οὐκ ἔχουcα ἀντιδιαcτολήν· διὸ τρίτην ἀπὸ τέλουc ἔχει τὴν ὀξεῖαν. A.

548. ἐν Περκώτῃ: ὁμοίωc τῷ [ἐν] Οἰνώνῃ. τὴν δὲ ἀπό πρόθεcιν οὐκ ἀναcτρεπτέον· πρὸc γὰρ τὴν ἐόντων μετοχὴν cυντέτακται. A.

554. ἀνεψιοῦ: τὴν ψι cυλλαβὴν ἐκτατέον διὰ τὸ μέτρον. (cf. B 731.) A.

555. οὐχ ὁράᾳc οἷον Δόλοποc περὶ τεύχε' ἕπουcιν: ὁ Ἀcκαλωνίτηc οὐκ ἀναcτρέφει τὴν περί· εἶναι γὰρ τὸ ἑξῆc περιέπουcι. κἀγὼ δὲ αὐτῷ cυγκατατίθεμαι, ἐπεὶ καὶ τὸ ῥῆμα τοῦτο τὸ ἕπω παρὰ τῷ ποιητῇ ἐν τοῖc ἐνεργητικοῖc κινήμαcιν ὡc ἐπὶ τὸ πλεῖcτον θέλει ἔχειν πρόθεcιν cυντεταγμένην. A.

606. τάρφεcιν ὡc βέλεcιν οἱ πλείουc· καὶ ἡμεῖc δὲ cυγκατατιθέμεθα· οὐ γάρ ἐcτιν ἐπιθετικόν, ὡc ἀξιοῖ Τυραννίων. ὁ μέντοι Ἀριcτοφάνηc ἐκεῖνό φηcιν, ὅτι ἐὰν μὲν τοῖc δάcεcιν, ὡc βέλεcι τάρφεcιν· ἐὰν δὲ τὸ ἐπιθετικόν, ταρφέcιν ὡc ὀξέcιν. A.

607. ἀφλοιcμόc: ὀξυτόνωc ἀναγνωcτέον: τὰ γὰρ εἰc μοc λήγοντα ὑπὲρ δύο cυλλαβάc, ἔχοντα πρὸ τοῦ μ̄ τὸ c̄, ὀξύνεcθαι θέλει, μεριcμόc, ὁπλιcμόc. ἔνιοι δὲ αὐτὸ παρὰ τὸ ἀφριcμόc, μεταβολῆc γενομένηc τοῦ ρ̄ εἰc τὸ λ̄ καὶ πλεονάcαντοc τοῦ ō. οἱ δὲ παρὰ τὸ φλέω καὶ φλύω, φλοιcμόc καὶ ἀφλοιcμόc ἐν πλεοναcμῷ τοῦ ᾱ. διὸ οὐ δεόντωc ὁ Τυραννίων προπαροξύνει. A.

619. ἠλίβατοc: ψιλῶc· ἀπὸ γὰρ τοῦ ἀλιτεῖν ἐcχημάτιcται· καὶ ὤφειλεν ὅμοιον εἶναι τῷ ἠλιτόμηνοc, cυγκοπὴν δὲ ἔπαθεν. διδάcκει δὲ καὶ τὸ τῆc cυναλοιφῆc ὅτι ψιλοῦται· «τὸν μέν τ' ἠλίβατοc πέτρη» (273). οἱ μέντοι δαcύνοντεc ἐτυμολογοῦcι παρὰ τὸν ἥλιον, τὴν ἡλίῳ βατὴν οὖcαν μόνῳ· οὐκ ἐπείcθη δὲ ἡ παράδοcιc, ὡc πρόδηλον ἐγένετο ἐκ τῆc cυναλοιφῆc. A.

631. εἱαμενή: δαcυντέον, ἀπὸ τῆc ἕcεωc τῶν ὑδάτων (cf. Δ 483). A.

491 τετάρτη pro τρίτη «cr. L adnotans initium usque ad ὀξεῖαν transiisse in E. M. 636, 34.

665. τῶν ὕπερ: ἀναστρεπτέον τὴν πρόθεσιν. A.

676. ἴκρια ὡς δέμνια· ἔστι γὰρ ῥηματικόν, ὡς ἐν ἑτέροις εἴρηται. A.

βιβάσθων: βαρυτονητέον· γέγονε δὲ ἤτοι, ὥς φησι Φιλόξενος, κατὰ πλεονασμὸν τοῦ σ (v. N 809) ἤ, ὅπερ καὶ βέλτιον, παρὰ τὸ βιβαστὸς βιβάσθω, ὡς καὶ ἀϊστός, κατ' ὀξεῖαν τάσιν, ἄϊσθων· «ὁ δ' ἔβραχε θυμὸν ἄϊσθων» (Il. Π 468). A.

678. τὸ μὲν βλῆτρον βαρυτονητέον, ἐπεὶ πάντα τὰ εἰς τρον λήγοντα μονογενῆ οὐδέτερα βαρύνεται, σεσημειωμένου τοῦ λουτρόν. τὸ δὲ δυωκαιεικοσίπηχυ ὑφ' ἓν ἀναγνωστέον. τοὺς γὰρ ἀριθμοὺς οὕτω προφέρει, διὰ τοῦ ι, ὡς «εἰκοσινήριτα» (X 349). τινὲς δὲ καὶ κατὰ παράθεσιν, ὡς τὸ τρεῖς καὶ δέκατος, ὥστε καὶ τὸ θηλυκὸν τρεῖς καὶ δεκάτη. AV.

679. κελητίζειν: παραγωγόν ἐστι τὸ ῥῆμα παρὰ τὴν κέλητος γενικήν· ἀντὶ γὰρ τοῦ ἱππεύειν. κακῶς οὖν ὅσοι διαστέλλουσι· καὶ γὰρ ἐλέγχονται ἐκ τῆς τοῦ τ ψιλότητος. A.

698. ἄντεσθ': Τυραννίων παροξύνει, ὡς λαβέσθαι, πυθέσθαι, ἐκδεχόμενος μέσον δεύτερον ἀόριστον, οὐχ ὑγιῶς. σημαίνει γὰρ παρατατικόν. καὶ ἔστι τὸ ῥῆμα παρ' αὐτῷ καὶ περισπώμενον καὶ βαρυνόμενον. τὸ γὰρ «ἤντης' οὐδὲ ἴδον» (Od. δ 201) καὶ «ἀντήσω γὰρ ἐγὼ τοῦδ' ἀνέρος» (Il. Π 423) ἀπὸ περισπωμένου κέκλιται. τὸ δὲ «ὥς ἔν τίς σε συναντόμενος» (Od. ρ 165) ὡς ἁπτόμενος καὶ «ἤντετο γάρ τοι Φοῖβος» (Il. Π 788) ὡς ἥπτετο ὁμολογεῖ τὴν βαρεῖαν τάσιν. οἷς ἀκόλουθον καὶ τὸ ἄντεσθαι. A.

705. ὠκυάλου: ἐψίλωσαν τὸ α, παραγωγὴν δεξάμενοι καὶ οὐ σύνθεσιν· καὶ οὕτως ἡ παράδοσις ἐπείσθη. καὶ τάχα ἐπεὶ μηδὲν ἄλλο ἢ τὸ ὠκὺ ἐκ τῆς λέξεως σημαίνεται. ἡ δὲ ἁλὸς γενικὴ ἐν τῇ συνθέσει ἐπὶ μὲν κυρίων ψιλὸν ἀποφέρεται τὸ πνεῦμα, Εὐρύαλος, Ἀμφίαλος, Ἀστύαλος· ἐπὶ δὲ ἐπιθετικῶν τὸ ἴδιον τηρεῖ πνεῦμα «πολλαὶ ἐν ἀμφιάλῳ Ἰθάκῃ» (Od. α 395) «ἀγχίαλόν τ' Ἀντρῶνα» (Il. B 697), ὕφαλος, ὥστε καὶ κατὰ τοῦτο ἐλέγχεται τὸ ὠκύαλος ψιλούμενον. A.

709. ἀϊκάς: ὡς παλλακάς· καὶ ἐγένετο παρὰ τὸ ἀΐσσω ἀϊκὴ ὡς φυλάσσω φυλακή, ὑλάσσω ὑλακή. ἔστι μέντοι καὶ ἑτέρα εὐθεῖα ἡ ἄϊξ, ἥτις ἐν συνθέσει ἐστὶ καὶ παρ' αὐτῷ «πολυᾶϊξ γυῖα δ' ἔθηκεν» (Il. Ε 811) καὶ «πολυάϊκος πολέμοιο» (Il. A 165) καὶ «κορυθάϊκι πολεμιστῇ» (Il. X 132). καὶ δῆλον ὅτι εἰ παρὰ ταύτην τὴν ἄϊξ εὐθεῖαν τὴν πληθυντικὴν αἰτιατικὴν σχηματίζοιμεν, ὀφείλομεν κατὰ συστολὴν ἀναγινώσκειν (scil. ultimam κας), ὅπερ οὐχ οὕτως ἔχει· δῆλον γὰρ ἐκ τοῦ μέτρου. χρὴ μέντοι ἐκεῖνο ἐπιστῆσαι, ὡς τὰ εἰς κη λήγοντα ὑπὲρ δύο συλλαβάς, τῷ ι παραληγόμενα, φιλεῖ βαρύνεσθαι, ὡς ἔχει τὸ ἑλίκη,

678 pro τρισκαίδεκατος et τρισκαιδεκάτη L. exhibuit τρεῖς καὶ δέκατος et τρεῖς καὶ δεκάτη. 698 καὶ περισπώμενον inseruit L. 709 ἀϊξ pro ἄϊξ scripsi monente Lehrsio.

ἐρίκη, μυρίκη, φοινίκη. τὸ μέντοι ἀϊκή ὠξυτονήθη, ἴcωc ὅτι ῥηματικὸν ὑπῆρχε, τῶν ἄλλων οὐχ οὕτωc ἐχόντων. A.

725. ἀνώγει: βαρυτόνωc ἀναγνωcτέον. εἰ δὲ καὶ ὡc ἀπὸ περιcπωμένου δείκνυταί τινα ἔχων κινήματα, ὥcπερ ἐπὶ τοῦ «καὶ δὲ τόδ' ἠνώγεον εἰπεῖν ἔποc» (Il. H 394), οὐκ ἀναγκαῖον ξενίζειν τὴν ἀνάγνωcιν καὶ περιcπᾶν· κλίνεται γὰρ καὶ ὡc βαρύτονον, ὥcπερ ἐπὶ τοῦ «ὅc ποτ' ἐνὶ Τρώων ἀγορῇ Μενέλαον ἄνωγεν» (Λ 139). πρόδηλον κἀκ τῶν προcτακτικῶν ἀνώγετον, ἀνωγέτω. «ἄνωχθι δέ μιν γαμέεcθαι» (Od. β 113). διὸ καὶ βαρυτόνωc ἀναγνωcτέον. A.

735. τὸ φαμέν ἐντελέc ἐcτι καὶ ἐνεcτῶτα χρόνον cημαίνει· διὸ τὰc δύο cυλλαβὰc βαρυτονητέον. εἰ μέντοι παρατατικὸc γένοιτο, δῆλον ὅτι ἀποβολὴν χρόνου τοῦ κατ' ἀρχὴν πάcχει, καὶ ἐπὶ τὴν φα cυλλαβὴν ἡ ὀξεῖα τάcιc ἔcται, ὅμοιον ὡc τὸ ἔφαμεν ἐντελέc, ὥcπερ ἐπ' ἐκείνου «φάμεν δέ οἱ οὐ τελέεcθαι» (Od. δ 664), ὅπερ οὐκ ἐπιζητεῖ νῦν ἡ διάνοια. A.

ΕΙC ΤΗΝ Π.

12. ἦ: πάντεc περιεcπάcθηcαν οἱ cύνδεcμοι κατὰ λόγον τῶν ἐρωτηματικῶν. A.

24. οὐτάμενοι: ὡc ἱcτάμενοι. προείρηται δέ (Λ 659). A.

41. ἴcκοντεc: ὁ Ἀcκαλωνίτηc κατὰ ἀφαίρεcίν φηcιν εἶναι τοῦ ε τὸ ἴcκοντεc. Ἀρίcταρχοc δὲ ἐκτεταμένωc ἀναγινώcκει παρὰ τὸ εἴcκω ἐκδεξάμενοc. ἄμεινον δὲ ἡ τοῦ Πτολεμαίου ἀνάγνωcιc· πρὸ γὰρ τῆc διὰ τοῦ cκω παραγωγῆc cπάνιόν ἐcτι δίφθογγον εὑρεθῆναι, ὅτι μὴ τὴν αυ. ταύτῃ οὖν μοι δοκεῖ ἀπὸ τοῦ εἴδω εἶναι ὁ μέλλων εἴcω· καὶ ἅμα τῇ ἐπενθέcει τοῦ κ εἴcκω γεγενῆcθαι κατὰ τὴν διαίρεcιν, ἵνα μὴ δίφθογγοc γένηται, καὶ ἀποβολῇ τοῦ ε ἴcκω. οὕτωc οὖν καὶ τὸ ἴcκοντεc ὀφείλομεν κατὰ ἀποβολὴν τοῦ ε ἀναγινώcκειν· οὐ γὰρ μέτρον κωλύει. A.

44. ἀκμῆτεc: ὡc ἀδμῆτεc· καὶ καθόλου, ὅcα ἀπὸ παρακειμένου cυντέθειται ὀνόματα εἰc ηc λήγοντα, ὧν τὸ τέλοc μίαν cυλλαβὴν ἀποφέρεται τοῦ ῥήματοc μετὰ δύο cυμφώνων, ὀξύνεται, οἷον ἰθυτμήc, μία cυλλαβὴ ἐπὶ τέλουc ἀπὸ παρακειμένου, καὶ δύο cύμφωνα πρὸ τοῦ η. φλεβοτμήc, ἀβλήc, προβλήc. οὕτωc ἀκμήc. A.

47. λιτέcθαι: ὁ Ἀcκαλωνίτηc ἀξιοῖ ὁμοίωc τῷ λίccεcθαι, ἐπεὶ ἐνεcτῶτοc χρόνου ἀπὸ ὁριcτικοῦ τοῦ λίτομαι (Cod. λίττομαι). εἰcὶ δὲ οἳ παροξύνουcιν ὁμοίωc τῷ λαβέcθαι. ἐγὼ δ' ἐπαινῶ τὸν Ἀcκαλωνίτην προπαροξύνοντα ἐπὶ ἐνεcτῶτοc. τοῦτο γάρ ἐcτι καὶ τὸ δηλούμενον·

---

725 in Il. Λ 139 ὅc ποτ' scripsi pro ὁππότ'. Π 41 pro ἔῖcκω exhibui εἴcκω, cum Lehrsio, qui etiam πλῆρεc τὸ εἴcκω proposuit. — De re Lehrsius conferri iubet Λ 799. 44 ὅcα ἀπὸ παρακειμένου Lehrsius cum Lob. Parall. 237 pro ὅcα παρακείμενα et ἰθυτμήc pro ἰθυτνήc. 47 hinc esse E. M. λιτέcθαι monuit L.

ἔμελλε γὰρ αὐτῷ θάνατον λίccεcθαι. δοκεῖ δέ μοι ἡ πλείων παράδοcιc παροξύνειν οὐκ ἀπιθάνωc. ὅνπερ γὰρ τρόπον ἐν ἑτέροιc διαλαμβάνων περὶ τοῦ «μεταλλῆcαι καὶ ἔρεcθαι» (Od. γ 69), ἀξιούντων πάντων τὸ (Cod. τῷ) ἐρέcθαι ὁμοίωc τῷ πυθέcθαι, ἐπειδήπερ μέcoc δεύτεροc ἀόριcτόc ἐcτιν, ἀπεφηνάμην ὡc ἡ παράδοcιc τρίτην ἀπὸ τέλουc ἐποίηcε τὴν ὀξεῖαν οὐ τῷ cημαινομένῳ πειcθεῖcα ἀλλὰ τῷ χαρακτῆρι τῆc φωνῆc, ἐπεὶ τὰ τοιαῦτα τῶν ἀπαρεμφάτων προπαρωξύνετο, ὄντα ἐνεcτῶτοc, οἷον φέρεcθαι δέρεcθαι, ἃ (Cod. καὶ) εἶχε τὴν $\overline{ρε}$ cυλλαβὴν πρὸ τέλουc, τῆc ἀρχούcηc cυλλαβῆc εἰc τὸ $\overline{ε}$ ληγούcηc, — οὕτωc καὶ τὸ ἔρεcθαι ἀναδεξάμενον τὸν αὐτὸν χαρακτῆρα προπαρωξύνετο, οὐ τῷ λόγῳ τοῦ ἀορίcτου, τῇ δὲ ὁμοιότητι τῆc φωνῆc, — τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τοῦ προκειμένου. ὀφείλει γὰρ τὸ λιτεcθαι προπαροξύνεcθαι. τοῦτο γὰρ αἰτεῖ καὶ τὸ νοητὸν καὶ ὁ cχηματιcμόc, παρὰ τὸ λίτομαι. ἀλλ' ἐπεὶ τὰ εἰc $\overline{cθαι}$ ἀπαρέμφατα τῷ $\overline{ε}$ παραληγόμενα, οὐκ ὄντα ἀπὸ τῶν εἰc $\overline{μι}$, ἔχοντα ἐν τῇ τρίτῃ ἀπὸ τέλουc cυλλαβῇ τὸ $\overline{ι}$ cυνεcταλμένον, μὴ ἐπιφερομένων αὐτῷ μήτε δύο cυμφώνων μήτε διπλοῦ, παρωξύνετο, ὥcπερ ἔχει τὸ λιπέcθαι, πιθέcθαι, ἰδέcθαι, ἱκέcθαι, οὕτωc καὶ τὸ λιτέcθαι παρώξυνεν ἡ παράδοcιc, οὐ τῷ λόγῳ τοῦ ἐνεcτῶτοc πειcθεῖcα, τῷ δὲ τοῦ χαρακτῆροc. παρεκτέταται τὸ κεφάλαιον τῷ Ἡρωδιανῷ. A.

57. ἡ τετριμμένη ἀνάγνωcιc προπαροξύνει τὸ ε ὐ τ ε ί χ ε α, τοῦ λόγου ἀξιοῦντοc παροξύνειν, εἴγε τὸ εὐτειχήc ὀφείλει ὀξύνεcθαι. τὰ γὰρ παρ' οὐδέτερα διcύλλαβα εἰc $\overline{οc}$ λήγοντα, μὴ τῷ $\overline{η}$ παραληγόμενα, cυντιθέμενα, εἰc $\overline{ηc}$ λήγοντα, ἀρcενικὰ ὀνόματα ὀξύνεται ἐπιθετικὰ ὄντα, εἶδοc εὐειδήc, βάθοc «ἀγχιβαθὴc δὲ θάλαccα» (Od. ε 413). τὸ $\overline{η}$ παρῃτηcάμην διὰ τὸ εὐμήκηc, τὴν διcυλλαβίαν διὰ τὸ εὐμεγέθηc, τῶν παρὰ τὸ ἔτοc ὑπεξαιρουμένων· «ὄτριχαc» γὰρ «οἰέτεαc» ἀνέγνωμεν (Il. B 765)· μόνωc οὖν εὐτειχήc καὶ εὐτειχέα. δευτέρῳ λόγῳ, ὅcοιc κυρίοιc εἰc $\overline{ηc}$ λήγουcι βαρυτόνοιc cυνθέτοιc παράκειται ἐπιθετικὰ ὀξυνόμενα, Διογένηc — αὐτὰρ ὁ διογενήc, Πολυνείκηc — ἀλλὰ πολυνεικὴc δῖ' Ἑλένα, Παγκράτηc — παγκρατὴc ἀλήθεια (Bacchyl. fr. 20), Εὐρυcθένηc — ὁ πλοῦτοc εὐρυcθενήc (Pind. Pyth. V 1). εἰ δὴ Εὐτείχηc ὄνομα κύριον παρὰ Ἀλκμᾶνι, ὀξύνεται τὸ ἐπιθετικόν. πόθεν οὖν ἡ τετριμμένη βαρεῖα τάcιc; δώcομεν ἀφορμήν. τὰ εἰc $\overline{οc}$ λήγοντα οὐδέτερα cυντιθέμενα ἀπ' εὐθείαc cυντίθεται, ξίφοc ἄξιφοc· μόνον τὸ τεῖχοc καὶ ἀπὸ γενικῆc, τείχεοc εὐτείχεοc, ἀφ' οὗ τὸ «δῷcι πόλιν Τροΐην εὐτείχεον ἐξαλαπάξαι» (Il. A 129). μεταπλαcμὸc εὐτείχεα, ὡc πυργοκέρατον πυργοκέρατα. πάθοc παρέλαβον, ἵνα βοηθήcω τῇ τετριμμένῃ τάcει. A.

75. ἀ π ὸ λ ο ι γ ὸ ν ἀ μ ῦ ν α ι: τὸ ἑξῆc ἐcτιν ἀπαμῦναι· διὸ οὐκ ἀναcτρεπτέον τὴν πρόθεcιν. A.

---

57 pro Πολυνίκηc — ἀλλὰ πολυνικὴc διελένα Lehrsius Πολυνείκηc — ἀλλὰ πολυνεικὴc δῖ' Ἑλένα (hoc cum Hermanno, Lobeck Parall. p. 180 Δυcελένα) scripsit. et δῷcι πόλιν Τροΐην pro δῶcι πόλιν Τροίην.

85. τὸ οἱ ἄρθρον ἐστὶ πληθυντικόν· διὸ ἐν τῇ συντάξει ἐγκλιτέον. A.

87. τὸ αὖ περισπαστέον· δύο γάρ ἐστιν, αὖ καὶ τοί. A.

88. ἀρέσθαι: παροξυτονητέον· ἔστι γὰρ μέσος δεύτερος ἀόριστος. A.

90. ὁ Ἀσκαλωνίτης ἀπόλυτον καὶ μονοσύλλαβον ἐξεδέξατο τὴν μέ ἀντωνυμίαν· διὸ καὶ ἐγκλιτικῶς ἀνέγνω· οὐ γὰρ πρὸς ἕτερον πρόσωπόν ἐστιν αὐτῷ ἡ διαστολή. καὶ οὕτως ἔχει ἡ ἀμείνων ἀνάγνωσις· κεῖται γὰρ καὶ ὁ δέ ἀντὶ τοῦ γάρ. A.

95. Νικίας ὑφ' ἓν ἀνέγνω παλιντροπάασθαι, Ἀπολλόδωρος δὲ κατὰ διάλυσιν. ἔφαμεν δὲ περὶ τῆς τοῦ πάλιν συνθέσεως, ὁπότε καὶ περὶ τοῦ παλιμπλαγχθέντας διελαμβάνομεν (Il. A 59), ὡς ὅτι τὸ πάλιν ἀεὶ θέλει τοῖς ῥήμασι κατὰ διάλυσιν προσγίνεσθαι. A.

99. ἐκδύμεν: παροξυτονητέον· τὸ γὰρ πλῆρές ἐστιν ἐκδύμεναι, ὁμοίως τῷ «θοῶς ζευγνύμεν ἄνωγεν» (145). καὶ δῆλον ὅτι λείπει τὸ γένοιτο. A.

117. κόλον: οὕτως ὡς λόγον ὁ Ἀσκαλωνίτης. κἀγὼ δὲ συγκατατίθεμαι. A.

123. τῆς δ' αἶψα κατ' ἀσβέστη κέχυται φλόξ. Ἀρίσταρχος κατὰ βαρεῖαν τάσιν ἀσβέστη, παρώνυμον ἐκδεχόμενος τοῦ «ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως» (Od. θ 326), ὑγιῶς πάνυ· οὕτως γὰρ ἔχει τὸ ἀνάλογον ἤ τε ἔμφασις τοῦ δηλουμένου, καὶ πολὺς ὁ τοιοῦτος σχηματισμὸς Ὁμηρικός. A.

149. παροξυτονητέον τὸ Βαλίον. καὶ εἴρηται περὶ τῶν τοιούτων (B 495). A.

150. Ποδάργη: εἴτε σύνθετόν ἐστιν εἴτε παρασύνθετον, παροξυτονητέον εἰς ἰδιότητα. A.

173. στιχός ὡς τριχός, ἀπ' εὐθείας τῆς στίξ. τὸ δὲ ἰῆς περισπῶσιν, καὶ τὸ «ἰῇ ἐν νυκτὶ γένοντο» (Il. C 251), οὐκ ἀκολούθως εὐθείᾳ τῇ ἴα βαρυνομένῃ· «οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος οὐδ' ἴα γῆρυς» (Il. Δ 437). εἴπομεν δὲ ἤδη περὶ αὐτοῦ (Z 422). A.

177. υἷι: διὰ τοῦ ῑ μόνου γράφεται ἡ τελευταία συλλαβή. διὸ προπερισπαστέον ὁμοίως τῷ «Νηληΐῳ υἷι ἐοικώς» (Il. B 20). εἰ μέντοι διὰ τῆς ει διφθόγγου ἐγράφετο ὁ τελευταία, περιεσπᾶτο, ἀπ' εὐθείας οὖσα τῆς υἱεύς, ὁμοίως τῷ «υἱεῖ ἐμ' ὠκυμόρῳ» (imo ἐμωκυμόρῳ. Il. C 458). A.

185. Ἀρίσταρχος προπαροξύνει ἀκάκητα· οἱ δὲ ἄλλοι ἀναλογίᾳ πειθόμενοι προπερισπῶσιν. ἐπείσθη δὲ ἡ παράδοσις. A.

207. ταῦτα μ' ἀγειράμενοι θάμ' ἐβάζετε: ἐπὶ τὴν τα συλλαβὴν ὀξεῖα· ἐγκλιτική γάρ ἐστιν ἡ μέ· ταῦτά με ἀγειρόμενοι. οὕτω

85 pro ἐστὶν ἐγκλιτικόν L. scr. ἐστὶ πληθυντικόν. 123 οὕτως pro οὐ scr. L.

καὶ Ἀρίσταρχος. ὁ μέντοι Κρατήτειος Ἑρμείας τὸ ἅμα λέγει ἐγκεῖσθαι. οὕτω δὲ δώσει καὶ διὰ τοῦ θ τὴν γραφήν, οὐκ ἔχουσαν οὕτως. Α.

211. ἄρθεν: Ἀρίσταρχος δασύνει. δεῖ δὲ ψιλοῦν, ὡς ἐπεδείξαμεν ἐν τῇ Α ῥαψῳδίᾳ (136), διαλαμβάνοντες περὶ τοῦ «ἄρσαντες κατὰ θυμόν». Α.

224. οὔλων ὡς δούλων· προείρηται δὲ ἡμῖν τὰ τῆς ἀναλογίας (Κ 134). Α.

234. ὀξύνεται τὸ ὄνομα· τὰ γὰρ εἰς λος ἑτέρῳ λ παραληγόμενα, οὗ τὸ α μὴ προηγεῖται, ὀξύνεται. κιλλός εἶδος χρώματος, ἐν Στεφανοπώλισιν Εὐβούλου «εὔχρων τι κιλλὸν μανθάνεις θερίστριον», πολλός, κυλλός, Ἑλλός ἢ Σελλός, «ἀμφὶ δὲ Σελλοί», σκελλός, φελλὸς τὸ προσηγορικόν (cf. περὶ μον. 11, 23). τὸ δὲ Γάλλος καὶ ἄλλος τὸ α ἔχει πρὸ τοῦ λ. ἔτι δὲ τὸ ἄλλος καὶ ὡς ἐπιμεριζόμενον βαρύνεται. Α.

245. ἐγώ περ ἴω: βαρέως τὸ ἴω ῥῆμα δισύλλαβον· ὁ γὰρ πέρ σύνδεσμος. Α.

248. τεύχεσί τε ξὺν πᾶσι καὶ ἀγχεμάχοις ἑτάροισιν· κατὰ παράθεσιν ἐδεξάμεθα ἐνθάδε τὴν σύν πρόθεσιν διὰ τὴν διαστολὴν τὴν πρὸς τοὺς ἑταίρους. διὸ προπερισπᾶται τὸ πᾶσι, σὺν τεύχεσι πᾶσι καὶ τοῖς ἑταίροις. ἔστι μέντοι καὶ σύνθετόν ποτε, καὶ τρίτη ἀπὸ τέλους ἔσται ἡ ὀξεῖα ἀπ' εὐθείας τῆς σύμπαντες καὶ αἰτιατικῆς τῆς «σύμπαντας, τοῖς δ' οὔτι δυνήσεαι ἀχνύμενος» (Α 241). καὶ οὕτως ἀνεγνώσθη τὸ «σύμπασι Πυλίοισι» (Od. γ 59), καὶ δῆλον ὅτι ἐνθάδε μὲν ἡ γραφὴ διὰ τοῦ μ ἐστί, ἐπεὶ κατὰ σύνθεσιν, ἐν δὲ τῷ «τεύχεσί τε ξὺν πᾶσι» φυλάξει τὸ ν ἑαυτῆς ἡ πρόθεσις διὰ τὴν παράθεσιν. Α.

299. πρώονες: ὡς σώφρονες. προείρηται (ad Θ 557). Α.

305. ἕν ἐστι τὸ ἀνθίσταντο, οὐχὶ ἄντα ἐπίρρημα καὶ ἵσταντο, ὥς τινες. Α.

Ζητῶ περὶ τοῦ τόνου τοῦ ὑποεῖκον, πῶς δεῖ ἀναγινώσκειν. Α.

324. ἄχρις: Ἀρίσταρχος ὡς μέχρις ἀνεγίνωσκε, παρ' ὃ καὶ ἐγένετο. ἐκεῖνο δὲ ἔχομεν λέγειν, ὡς τὰ εἰς ις ἐπιρρήματα δισύλλαβα βαρύνεται, ὡς ἔχει τὸ ἄνις, ἅλις, μόγις, ἄχρις, αὖθις. ὀξύνεται δὲ τὸ χωρίς καὶ ἀμφίς, διότι μακρὰν ἔσχεν ἤτοι φύσει ἢ θέσει. τὰ μέντοι βαρυνόμενα ἤτοι βραχεῖαν εἶχεν ἢ τὴν κοινὴν καλουμένην, ἥτις ἐδύνατο σχεδὸν βραχεῖα εἶναι. διὸ ἐμάχετο τὸ αὖθις βαρυνόμενον. δοκεῖ δέ μοι ἀποφυγεῖν τὴν ὀξεῖαν, ἐπεὶ καὶ τριχῶς ἐλέγετο κατὰ τὸ τέλος, αὖθις, αὖθι, αὖθιν. τὸ δὲ τοιοῦτον ἑωρᾶτο καὶ ἐπὶ τοῦ πέρυσι βαρυνομένου. Α.

372. σφεδανόν: οὕτως ὡς σφοδρόν. προείρηται. Α.

390. ἐχρῆν μὲν διὰ τὸ κλιτύας οὐρῆας (οὐρείας?) περισπᾶσθαι τὸ κλιτῦς, ἀνεγνώσθη δὲ κατ' ὀξεῖαν τάσιν ἐν ἐγκλίσει, ὁμοίως τῷ «κνημῖδας ῥαπτὰς δέδετο, γραπτὺς ἀλεείνων» (Od. ω 229). Α. σχόλιον. ἐν μέντοι τῇ Ὀδυσσειακῇ προσῳδίᾳ φανερῶς τὸ γραπτῦς περισπᾷ, καί φησιν ὅτι εἴη εἰρηκὼς ὡς καὶ τὸ κλιτῦς δεῖ περισπᾶσθαι. ἀμφίβολος

οὖν ἐφ' ἑκατέρων ὁ τόνος· εἰ γὰρ τοῖς ἐνταῦθα εἰρημένοις πειcθείημεν, ἐκεῖνο ἀνθέλκει, εἰ δὲ ἐκείνοις, τοῦτο πάλιν ἀντίκειται. Α.

χαράδραι: πρὸ τέλους ἡ ὀξεῖα, ὡς φαρέτραι. προείρηται δὲ τὰ τῆς ἀναλογίας, οὕτως δὲ καὶ Ἀρίσταρχος. Α.

415. Ἀμφοτερὸν: εἰς διαστολὴν τὸ κύριον ὀξυτόνως ἀνέγνω ὁ Ἀρίσταρχος ὡς δεξιτερόν· καὶ ἐπείσθησαν οἱ γραμματικοί. περὶ δὲ τῆς τοιαύτης ἀνωμαλίας τοῦ ἀνδρὸς ἐν ἑτέροις ἡμῖν εἴρηται. Α.

436. τὸν μὲν πρῶτον ῆ ὀξυτονητέον, τὸν δὲ δεύτερον περισπαστέον «ῆ ἤδη χείρεσσιν» (Κ 310). Α.

445. τὸ ὂν δέ εἴτε ἔχει παρέλκοντα τὸν δέ σύνδεσμον, εἴτε ὅμοιόν ἐστι τῷ οἶκον δέ ἀντὶ τοῦ εἰς οἶκον, πάλιν ἐν τῇ συντάξει βαρυτονηθήσεται, ὡς ἐν τῷ «ἀγρὸν δὲ προΐαλλε» (Od. ο 370), ὥστε περισσὴ ἡ ὀξεῖα ἐν τῇ ὂν αἰτιατικῇ κατὰ τὴν σύνταξιν. Α.

468. ἀῖσθων: βαρυτονητέον ὡς ἔσθων. καὶ εἴρηται ὡς ὁμοίως ἐγένετο τῷ βιβάσθων (Ο 676). Α.

483. Ἀρίσταρχος κατ' ἰδίαν τὸ οὔρεσι καὶ τὸ τέκτονες. Νικίας δὲ συνθέτως ἀνέγνω· οὐκ ἀναγκαῖον δέ (cf. Ν 390). Α.

497. ἐμεῦ περὶ μάρναο: δύναται ἀναστρέφεσθαι ἡ περί, ἵνα τοιοῦτό τι ῇ, περὶ ἐμοῦ μάχου· δύναται δὲ καὶ ὡς ὁ Ἀσκαλωνίτης ἀξιοῖ φυλάσσειν τὸν τόνον, ἀντὶ τῆς ὑπέρ κειμένη, ἀντὶ τοῦ ὑπερμάχει. εἴρηται δὲ περὶ τῶν ἐναλλασσόντων προθέσεων ὡς φυλάσσουσι τοὺς αὐτοὺς τόνους (cf. Α 258). Α.

508. ἀΐοντι: ὡς λέγοντι. οὕτως καὶ Ἀρίσταρχος. Α.

542. εἴρυτο: Ἀρίσταρχος τρίτην ἀπὸ τέλους τὴν ὀξεῖαν ποιεῖ, ὑγιῶς πάνυ· ὁ δὲ Τυραννίων προπερισπᾷ, ἐκ τοῦ εἰρύετο φάσκων αὐτὸ συνηλεῖφθαι. δύναται δὲ τὸ εἴρυτο κλιθὲν ἀπὸ τῶν εἰς μι ὁμοίως τῷ ἐζεύγνυτο, ἤνυτο «θοῶς δέ οἱ ἤνυτο ἔργον» (Od. ε 243) ἐκτετάσθαι. οὕτως ἀξιοῦμεν καὶ ἐπὶ τοῦ εἴλυτο (v. Μ 286) καὶ εἴρυτο (cf. Δ 138). Α.

548. κατὰ κρῆθεν: Ἀρίσταρχος δισύλλαβον ἐκδέχεται τὴν λέξιν καὶ προπερισπᾷ, ὑγιῶς πάνυ· καὶ οὐκ ἐπίσταται ὁ ποιητὴς τὸ καρή ὀξυνόμενον θηλυκόν, ἀλλ' οἱ ἄλλοι πάντες. καὶ οὐδὲν θαυμαστὸν. καὶ γὰρ ἄλλας παραλόγους φωνὰς ἐπίσταται, ἀγνοῶν τὰς πρωτοθέτους αὐτῶν λέξεις. τί οὖν θαυμαστὸν εἰ παρὰ τὸ καρή ὀξυνόμενον καρῆθεν ἐστὶ καὶ κρῆθεν ἐν συγκοπῇ; τοῦτο δέ φημι, ἐπεὶ καὶ Ἡσίοδος (Scut. 7) οὕτως ἐξεδέξατο εἰπὼν τὸ «τῆς καὶ ἀπὸ κρῆθεν βλεφάρων». AV.

558. ἐσήλατο: Ἀρίσταρχος καὶ οἱ ἀπ' αὐτοῦ δασύνουσι, Λυσανίας (Πορφύριος V. v. Aristarch. stud. p. 307[2]) δὲ ψιλοῖ, προσνέμων τὸ σ̄ τῷ η̄. σήλασθαι (Cod. σάλασθαι) γάρ φησι σημαίνειν τὸ ἀποσπᾶν καὶ σαλεύειν. ὁ δὲ σαλεύσας πρῶτος τὸ τεῖχος Σαρπηδών ἐστιν, ὁ δὲ εἰσπηδήσας Ἕκτωρ. φησὶ γοῦν «Σαρπηδὼν δ' ἄρ' ἔπαλξιν ἑλὼν χερσὶ στι-

---

415 cf. Pros. Cath. p. 196, 5. 497 cf. Pros. Cath. 484, 15. 548 pro κάρη et κάρηθεν scr. L. καρή et καρῆθεν.

βαρῆσιν ἕλχ', ἡ δ' ἕσπετο πᾶσα» (Il. M 397)· ἐπὶ δὲ τοῦ Ἕκτορος «ῥῆξε δ' ἀπ' ἀμφοτέρους θαιρούς», εἶτα ἐπιφέρει «ὁ δ' ἄρ' ἔσθορε φαίδιμος Ἕκτωρ» (ibid. 462). ἄμεινον δὲ πείθεσθαι Ἀριστάρχῳ δασύνοντι, ἐκδέχεσθαι δὲ ἡμᾶς οὕτως τὸ ἐσῆλατο, ὅτι πρῶτος ἐφήλατο καὶ ἐπεπήδησε τῷ τείχει. Α.

604. Λαόγονον: τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα· κύριον γάρ. Α.

635. εὐρυοδείης: παραγωγὸν ἡγοῦνται τὴν λέξιν, τουτέστι παρολκὴν τῆς ἐπὶ τέλους λέξεως· διὸ ἐψίλωσαν. Α.

636. τὸ εὖ οὐ θέλουσι κατ' ἰδίαν προφέρεσθαι, ἀλλ' ἓν ποιεῖν εὐποιητάων, ἐπεὶ καὶ ἐν ἑτέροις φησὶ τὴν δοτικὴν «εὐποιήτῃσι» (Il. E 466) παρωνύμως. κἀγὼ δὲ συγκατατίθεμαι. Α.

669. πολλὸν ἀπὸ πρὸ φέρων: τινὲς τὴν ἀπὸ ἀναστρέφουσιν, ἵνα σημαίνῃ τὸ ἄπωθεν, ὥσπερ καὶ ὁ Ἀσκαλωνίτης. εἰσὶ μέντοι οἳ παρολκὴν ἐδέξαντο τῆς πρὸ, καὶ ἐφύλαξαν τῆς ἀπὸ τὴν προσῳδίαν, ἵνα ᾖ τὸ ἑξῆς ἀποφέρων. οὕτως δὲ καὶ Φιλόξενος ἠξίου, ἐπεὶ πολλή ἐστι παρέλκουσα ἡ πρὸ· «νώτου ἀπὸ πρὸ ταμών» (Od. θ 475)· «ἡ δὲ διὰ πρὸ Πηλιὰς ἤϊξε» (Il. Y 276)· «περὶ πρὸ γὰρ ἔγχεϊ θῦεν» (699). οὕτως δὲ καὶ ἐγὼ συγκατατίθεμαι. Α.

697. φύγαδε μνώοντο: τοῦτο οὐκ ἰσοδυναμεῖ τῷ εἰς φυγήν, ὡς τὸ «ὁ μὲν φύγαδ' αὖθις ὑποστρέψας» (Il. Λ 446)· ἀντὶ γὰρ αἰτιατικῆς οὐ μετὰ τῆς εἰς. διὸ καί τινες ὑπέλαβον μὴ καὶ δύο μέρη λόγου ἐστίν, ἤτοι κατὰ μεταπλασμὸν γενομένης τῆς αἰτιατικῆς ποιητικῶς, ὡς σκέπην σκέπα, φυγήν φύγα, ἢ ὡς οἴεται ὁ Ἀσκαλωνίτης ἀπ' εὐθείας τῆς φύξ, ὡς Στύξ Στύγα, τοῦ δε ἐνθάδε παρέλκοντος. ἢ ἐπίρρημά ἐστι ταὐτὸ σημαῖνον τῇ αἰτιατικῇ, ὡς καὶ ἄλλα παραγωγὰ ἐπιρρήματα ἰσοδυναμοῦντα τοῖς πρωτοτύποις· «Ἴδηθεν μεδέων» (Il. Γ 276) «δόρυ δ' ἔκβαλεν ἔκτοσε χειρός» (Od. ξ 277). ἀλλ' οὖν γε ὡς ἂν ἔχῃ, οὐκ ἐναντιοῦται τὸ τοῦ τόνου· ἤτοι γὰρ δύο τόνοι ἔσονται φύγα δέ, ὡς Οὔλυμπον δέ, ἢ εἷς, ὡς ἄγραδε. τὸ γοῦν «ἅλαδ' ἑλκομενάων» (Il. Ξ 100) δύναται καὶ δύο μέρη λόγου εἶναι, ὡς οἶκον δέ, ἐντελοῦς οὔσης τῆς αἰτιατικῆς, ἢ πάλιν κατὰ παραγωγήν, ὡς ἄγραδε, ἅλαδε. ταῦτα ὁ Ἡρωδιανὸς ἐν τῷ ιθ' τῆς καθόλου. Α.

768. τὸ τανυήκεας ὡς εὐμήκεας οὕτως ἀνεγνώσθη. εἴπομεν δὲ ἐν ἑτέροις καὶ τὴν ἀφορμήν (N 391). Α.

797. ἱππόκομον: τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα ἐνθάδε· ὅταν δὲ ἐπὶ τοῦ κομοῦντος τὸν ἵππον, τότε πρὸ τέλους ἡ ὀξεῖα. προείρηται δὲ περὶ τῶν τοιούτων, καὶ ὡς ἐν τῷ κυπαρισσόκομος καὶ οὐλόκομος προπαροξυνομένοις ἡ κόμη ἔγκειται (N 132). Α.

827. πέφνοντα: ὡς τέμνοντα· οὕτως καὶ Ἀρίσταρχος. ὁ δὲ Τυραννίων παροξύνει ὡς λαβόντα, δεύτερον ἀόριστον ἐκδεχόμενος. οὔ-

---

697 pro ἄγραδε priore loco in codice erat ἀγρόνδε, quod L. correxit, de re cf. Pros. Cath. 498, 6.

τως δὲ καὶ τὴν εὐθεῖαν ὀξύνει «κῆρ ἄχεος μεθέηκα, χερείονά περ καταπέφνων» (Il. P 539), τοῦ Ἀριστάρχου βαρύνοντος. καί μοι δοκεῖ ὁ Τυραννίων λόγῳ ὑγιεῖ χρῆσθαι. εἰ γὰρ πέφνω, πέφνεις, πέφνει οὐ λέγομεν, ὑποτακτικῶς δὲ πέφνω, πέφνῃς, πέφνῃ, καὶ «πέφνε γὰρ Ὀθρυονῆα» (Il. N 363) καὶ ἔστι δεύτερος ἀόριστος ὡς ἔλαβε λάβω, λάβῃς, λάβῃ, δῆλον ὅτι ὀφείλομεν καὶ τὴν μετοχὴν ὀξύνειν. ὁ μέντοι Ἀρίσταρχος καὶ τῷ χαρακτῆρι τῆς φωνῆς ἐπείσθη, καὶ οὕτως ἐβάρυνεν. ἐπεὶ γὰρ αἱ εἰς ων λήγουσαι μετοχαί, ἔχουσαι πρὸ τοῦ ν̄ σύμφωνον κατ' ἐπιπλοκήν, ἤτοι ἐβαρύνοντο ἢ περιεσπῶντο, οὐδέποτε δὲ ὠξύνοντο, ὥσπερ ἔχει ἡ τέμνων, κάμνων, πιτνῶν, ἐδοκίμαζε καὶ τὴν πέφνων βαρύνειν, οὐχὶ ὀξύνειν. εἰ δέ τις λέγοι διὰ τί γὰρ οὐ περισπᾷ; διδαχθήσεται ἐκ τῆς κλίσεως· οὐ γὰρ πεφνοῦντα ἐροῦμεν ἢ πεφνῶντα ὡς νοοῦντα. οὕτως δὲ καὶ ἡ ἴσας μετοχὴ ἐβαρύνετο τῷ χαρακτῆρι καὶ τῇ ποιότητι τοῦ στοιχείου, οὐ τῇ κλίσει τῇ τοῦ ἐνεστῶτος, ὥσπερ ἀπεδείξαμεν. A.

ΕΙϹ ΤΗΝ P.

5. τὸ πρωτοτόκος, πρὸ τέλους ἡ ὀξεῖα· ἔστι γὰρ δραστικὸν καὶ μὴ ὑποπῖπτον τοῖς τρόποις τοῖς προπαροξύνουσιν. τὸ δὲ προπαροξυνόμενον δηλοῖ τὴν πρώτως τεχθεῖσαν. A.

9. ἐϋμμελίαι: καὶ ἐπὶ τούτου πρὸ τέλους ἡ ὀξεῖα. ὁμοτονεῖ γὰρ τοῖς ἑνικοῖς τὰ εἰς αι λήγοντα πληθυντικὰ ἐπὶ τῶν εἰς ας καὶ εἰς ης ἰσοσυλλάβως κλινομένων καὶ βραχείᾳ παραληγομένων. A.

37. ἀρητόν: τὰ εἰς τος ῥηματικά, παραληγόμενα τῷ η̄, ὑπὲρ δύο συλλαβάς, ὀξύνεσθαι θέλει. A.

38. περισπαστέον τὸν ἦ βεβαιωτικόν. A.

40. Φρόντιδι ὡς Ἤλιδι. οὕτως Τυραννίων, καὶ ἐπείσθη ἡ παράδοσις. ὁ μέντοι κανὼν ὀξυτονεῖ τὸ φροντίς· τὰ γὰρ εἰς τις λήγοντα θηλυκὰ δισύλλαβα, μὴ ὄντα ἐπιθετικά, παραληγόμενα δὲ τῷ ο ἤτοι μόνῳ ἢ σὺν ἑτέρῳ φωνήεντι, ὀξύνεσθαι θέλει, κοιτίς, Προιτίς, φροντίς, οὐτίς τὸ ζῷον παρ' Ἀλκμᾶνι. οὕτως οὖν καὶ φροντίς, εἰ μὴ ἄρα, ἐπεὶ κύριον τοῦτο, καὶ βαρυτονηθήσεται. οὐ μάχεται τὸ πόρτις· καὶ γὰρ χωρὶς τοῦ τ̄ «πόριες περὶ βοῦς ἀγελαίας» (Od. κ 410). μὴ ὄντα ἐπιθετικὰ πρόσκειται διὰ τὸ πότις, ᾧ παράκειται τὸ πότης. A.

65. δηῶν: περισπαστέον, ἐπεὶ καὶ ἐν ἑτέροις λέγει κατὰ διαίρεσιν σὺν τῷ ο̄ «ἔγχεϊ δηϊόων» (Il. C 195). γέγονε δὲ παρὰ τὸ δήϊος· διὸ καὶ σὺν τῷ ῑ γράφεται τὸ δηῶν. A.

91. τὸ ἑξῆς ἔστι καταλίπω. διὸ ἀναστρεπτέον τὴν πρόθεσιν. AB.

110. δίωνται: ὡς λέγωνται. ἔστι δὲ καὶ ἀπὸ τοῦ δίημι ἡ κλίσις παρ' αὐτῷ (v. M 276, C 162, Ψ 475). A.

---

827 pro πίτνων Lehrsius cum Lob. πιτνῶν, idem pro ἡ ῑ ἡ ἴσας proposuit coll. Apoll. de adv. 587. cf. Pros. Cath. 470, 9 et 20.

P 110 in altero Scholio cod. A exstant οὕτως δίενται (scr. δίωνται) ὡς τίθενται (scr. τίθωνται). μέμνηται ὁ Ἡρωδιανὸς ἐν τῷ M (v. 276).

143. περισπαστέον τὸν ἦ, εἴτε θαυμαστικῶς εἴτε βεβαιωτικῶς κεῖται. A.

174. ὅς τέ με φῄς: ἀξιοῖ ὁ Ἀσκαλωνίτης ἀναγιγνώσκειν δισυλλάβως ἐπὶ ἀορίστου χρόνου, ὁ μέντοι Ἀλεξίων μονοσυλλάβως ἐπὶ ἐνεστῶτος χρόνου· διὸ καὶ σὺν τῷ ῑ γράφεσθαι. τοῦτο δὲ ἀπαιτεῖ καὶ ἡ διάνοια. κἀγὼ δὲ συγκατατίθεμαι. διὸ ἐν τῇ συντάξει ἐγκλιτέον· ὀξύνεται γὰρ ἐπὶ ἐνεστῶτος χρόνου. A.

190. μεταςπών: ὡς καταλαβών· ἔστι γὰρ δεύτερος ἀόριστος. οὐδεμία δὲ μετοχὴ ἐν τῇ συνθέσει ἀναβιβάζει τὸν τόνον, ὅτι μὴ μόνη ἡ ἀέκων, περὶ ἧς ζητοῦμεν. A.

201. ζητεῖ ὁ Ἡρωδιανὸς ἐν τῷ αʹ ὑπομνήματι τοῦ περὶ παθῶν Διδύμου (cf. Λ 160) περὶ τοῦ ἆ δειλ', πῶς δεῖ τονίζειν αὐτὸ καί φησι· πολὺ δὲ πρότερον παρὰ τῷ ποιητῇ ἐστι τὸ τῆς ἀναγνώσεως, ἆ δείλ' οὐδέ τί τοι θάνατος, ἢ ἆ δεῖλ' οὐδέ τί τοι θάνατος. τὸ γὰρ πλῆρές ἐστιν ἆ δειλέ· οὐ γάρ, ὡς οἱ ἐξηγησάμενοι, τοῦ δείλαιε ἀποκοπή· ἐν ἑτέροις* γὰρ αὐτὸς λέγει «ἆ δειλώ, τί νυ δάκρυ κατείβετον» (φ 86). περιγέγραπται οὖν ἡ ὀξεῖα, εἶτα καὶ ἀνάπαυσις γέγονεν. ἆρά γε οὖν φυλαχθήσεται ἡ ὀξεῖα, ἢ ἐπεὶ περιγέγραπται τὸ φωνῆεν τῆς ὀξείας περιγέγραπται καὶ ὁ τόνος; τὸ κρινόμενον ἐκεῖνο, ἵνα ἐπιστάμενοι ἀναγνῶμεν· ἕν ἐστιν εἰπεῖν, εἰ ἅπαξ περιγέγραπται τὸ φωνῆεν τὸ ἔχον τὴν ὀξεῖαν, ὁ τόνος γενέσθω τῆς προτέρας συλλαβῆς, οὐχὶ τῆς ἐπὶ τέλους. A.

218. Φόρκυν ὡς βότρυν, ἀπ' εὐθείας τῆς εἰς ς̄ ληγούσης, ἡ μέντοι Φόρκυνα (312) αἰτιατικὴ ἀπ' εὐθείας τῆς εἰς ν̄. τὸ δὲ τοιοῦτον ἴδιον ποιητικῆς. οὐχ ὑγιῶς δὲ ὁ Τυραννίων ἐκτείνει τὸ υ, ἐπεὶ εὑρέθη, φησί, καὶ ἡ εὐθεῖα ἐκτεινομένη· «Φόρκυς αὖ Φρύγας ἦγε» (Il. B 862)· ἐκεῖ γὰρ τὸ μέτρον κατήπειγεν, ἐνθάδε δὲ οὐδὲν κατεπείγει. A.

324. κήρυκι: διὰ μέτρον συσταλτέον τὸ ρυ (v. K 258). BV.

465. οἱ περὶ Ἀρίσταρχον ἐπίσχειν κατὰ παρατατικόν, οἱ δὲ περὶ τὸν Ἀσκαλωνίτην κατὰ ἀόριστον ὡς λαβεῖν. καὶ ὁ Ἡρωδιανὸς δὲ ἐπίσχειν παροξυτόνως, εἰ μή τις λέγοι ὅτι ἔθος ἐστὶ τῷ ἀορίστῳ συντάττεσθαι τὴν ἐπί. V.

539. καταπέφνων: Ἀρίσταρχος ὡς τέμνων. A.

688. κυλίνδει: Ἀρίσταρχος βαρύνει, ὑγιῶς πάνυ διὰ τὰ κινήματα· «κυλίνδετο» γοῦν φησιν (Od. θ 81. λ 598) οὐχὶ ἐκυλινδεῖτο, καὶ «ἡ δὲ κυλινδομένη καναχὴν ἔχε» (Il. Π 794). διὸ καὶ βαρέως τὴν κυλίνδων ἀναγινώσκομεν· «μέγα κῦμα κυλίνδων» (Od. ε 296). A.

ΕΙΣ ΤΗΝ Σ.

7. νηυσὶν ἔπι κλονέονται: ἐπὶ τὰς ναῦς. ἀναστρεπτέον τὴν πρόθεσιν, ὁμοίως καὶ ἐπὶ τοῦ «νηυσὶν ἔπι προέηκα» (439). ABV.

201 pro δειλοί et δάκρυα κατείβεται in versu Hom. correxit L. δειλώ et δάκρυ κατείβετον. Idem conferri iubet Λ 441.

39. ἐνθάδε ἐβάρυνεν ὁ Ἀρίσταρχος τὸ Γλαύκη, εἰς ἀποφυγὴν τοῦ ἐπιθετικοῦ τοῦ «γλαυκὴ δέ σ' ἔτικτε θάλασσα» (Il. Π 34). ἐπὶ δὲ τοῦ Νημερτής τε καὶ Ἀψευδής οὐκ ἐποιήσατο μεταβολὴν τόνου. ἔφαμεν δὲ ἤδη περὶ τῶν τοιούτων (cf. Arist. stud. Hom. 265² sqq.). A.

64. ἀπό: Ἀρίσταρχος φυλάττει τὸν τόνον τῆς προθέσεως. ἔφαμεν δὲ ἐν ἑτέροις (Β 162) ὅτι ἡ ἀπό ἐὰν συντάσσηται τῇ γενικῇ μὴ μεταξὺ πιπτουσῶν λέξεων καὶ σημαίνῃ τὸ ἄποθεν φυλάσσει τὸν τόνον. οὕτως γοῦν ἀνέγνωμεν «ἀπὸ πατρίδος ἄνδρα κατακτάς» (Il. Ν 696) καὶ «οὐκ ἐθέλεσκε μάχην ἀπὸ τείχεος» (Il. Ι 353)· «καὶ γάρ τίς θ' ἕνα μῆνα μένων ἀπὸ ἧς ἀλόχοιο» (Il. Β 292). προσέθηκα δὲ μὴ μεταξὺ πιπτουσῶν λέξεων διὰ τὸ «ἄπο πλυνοί εἰσι πόληος» (Od. ζ 40)· οὐ γὰρ ἐπλησίασε τῇ γενικῇ, ἀλλὰ μεταξὺ ἀνεδέξατο λέξεις (cf. quaest. ep. p. 94). A.

68. ἐπισχερώ: ὀξύνεται καὶ σεσημείωται, ὥσπερ καὶ τὸ ἰώ· οὐδὲν γὰρ εἰς ω̄ λῆγον ἐπίρρημα θέλει ὀξύνεσθαι. A.

76. ἀλήμεναι: ὡς παρὰ τὸ βῆναι βήμεναι ἐγένετο, οὕτως καὶ παρὰ τὸ ἀλῆναι ἀλήμεναι· «λαοὺς ἐς τεῖχος ὁμοκλήσειεν ἀλῆναι» (Il. Π 714). ψιλοῦται δὲ καὶ τὸ ἐάλη (Il. Ν 408) καὶ πᾶς ὁ σχηματισμός, ἐπεὶ καὶ τὸ θέμα αὐτῶν ἐψιλοῦτο (cf. Λ 192). A.

77. ὁ Ἀσκαλωνίτης ἀέκήλια, οἷον οὐχ ἥσυχα οὐδὲ εἰρηνικά, ἐπεὶ ἕκηλος ὁ ἥσυχος, ὥστε στέρησιν αὐτὸν ἐκδέχεσθαι. οὕτως δὲ καὶ Ἀρίσταρχος, οἷον ταραχώδη. ἢ ἀκούσια, ἃ οὐκ ἄν τις ἑκὼν πάθοι. ὁμοίως δὲ καὶ Ἀλεξίων· καὶ ἔχονται τοῦ δηλουμένου. A.

92. πρῶτος ἐμῷ ὕπο δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσῃ: τὸ ἑξῆς ἐστιν ἀπολέσῃ. διὸ οὐκ ἀναστρεπτέον τὴν ἀπό. τὴν μέντοι ὑπό, ἐπεὶ τὸ ἀκόλουθόν ἐστιν ὑπ' ἐμῷ. εἰσὶ μέντοι οἳ οὐκ ἀνέστρεψαν, ἀλλὰ συνέταξαν τῇ δοτικῇ, δουρὶ ἐμῷ· ἐν ἑτέροις γὰρ οὕτως αὐτὸν εἰρηκέναι «δουρὶ δ' ἐμῷ κτεάτισσα» (Il. Π 57). A.

100. ἐμεῖο δὲ δῆσεν ἀρῆς ἀλκτῆρα γενέσθαι: τινὲς περιέσπασαν τὸ ἀρῆς, ἵνα σημαίνῃ τὸ βλάβης. οὕτως καὶ ὁ Ἀσκαλωνίτης καὶ ἡμεῖς. τὸ δὲ δῆσεν δισύλλαβον ἐκδεκτέον ποιητικόν, καὶ τὸ ε̄ τοῦ προκειμένου ἐστὶ συνδέσμου. A.

162. δίεσθαι: ὡς τίθεσθαι: τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα· ἔστι γάρ τι δίημι ῥῆμα, παρ' οὗ (sic) καὶ τὸ δίεσαν πληθυντικὸν ὡς ἐτίθεσαν· «αὔτως ἐνδίεσαν ταχέας κύνας ὀτρύνοντες» (584) παραιτητέον γὰρ τοὺς οἰομένους πλεονασμὸν εἶναι τοῦ δ καὶ δασύνοντας· διδάσκει γὰρ ἡμᾶς

C 76 ὁμοκλήσειεν scripsi pro ὁμοκλήσας. 77 αὐτόν pro αὐτῶν scr. L., qui adnotat omnes hos, quos Herodianus commemorat, non τὰ ἐκήλια, sed τ' ἀέκήλια protulisse collato Aristonico ad h. l. ἡ διπλῆ πρός τὴν συναλοιφὴν ὅτι ἀεκήλια ἐκληπτέον κατὰ ἀπόφασιν τοῦ ἑκήλου, ἐφ' οἷς οὐχ οἷόν τε ἡσυχάζειν. 100 scripserunt scilicet alii δ' ἔδησεν Ἄρης ut patet ex Schol. AD Παρμενίσκος μὲν βαρυτόνως τὸ ἔδησεν ἀποδίδωσιν οὕτως· ὁ δέ πόλεμος τὴν ἐμὴν ἀφελόμενος πανοπλίαν ἔδησέ μου τὴν ἔξοδον, ὥστε ἀλκτῆρα μὴ γενέσθαι Πατρόκλου. Πτολεμαῖος δὲ ὁ Ἀσκαλωνίτης περισπαστέον (scr. pro περισσόν) τὸ δῆσέ φησιν.

ὁ ποιητὴϲ καὶ δι' ἄλληϲ κλίϲεωϲ τὸ ἀκόλουθον κίνημα. ὡϲ γὰρ τίθενται, οὕτωϲ δίενται· «ἵπποι ἀερϲίποδεϲ πολέοϲ πεδίοιο δίενται» (Il. Ψ 475). ὥϲπερ οὖν παρὰ τὸ τίθενταί ἐϲτιν ἀπαρέμφατον τίθεϲθαι, οὕτωϲ καὶ παρὰ τὸ δίενται τὸ δίεϲθαι. ἐπίϲταται δὲ καὶ ὑποτακτικὸν αὐτοῦ· «τόν ῥα κύνεϲ τε καὶ ἄνδρεϲ ἀπὸ ϲταθμοῖο δίωνται» (Il. P 110. ubi vide). A.

191. ϲτεῦτο γὰρ Ἡφαίϲτοιο ΠΑΡΟΙϹΕΜΕΝ ἔντεα καλά: Ἀρίϲταρχοϲ ἀναϲτρέφει τὴν πρόθεϲιν πρὸϲ τὸ μὴ ἀμφιβάλλεϲθαι τὸν λόγον, καίτοι τῶν ϲυναλειφομένων μὴ ἀναϲτρεφομένων, ὡϲ καὶ Ἀπολλώνιόϲ φηϲιν. ἐπείϲθη δὲ ἡ παράδοϲιϲ Ἀριϲτάρχῳ. ὅτι δὲ καὶ ἐν ἄλλοιϲ ἀναγνώϲμαϲιν ὁ ἀνὴρ τοιοῦτοϲ, προείπομεν ἤδη (B 153 v. quaest. ep. p. 76). A. (partim etiam) B.

211. ἐπήτριμοι: ὁ Ἀϲκαλωνίτηϲ ὀξύνει ὡϲ πολεμικοί, οὐκ εὖ· τὰ γὰρ διὰ τοῦ ιμοϲ ὑπὲρ δύο ϲυλλαβὰϲ τρίτην ἀπὸ τέλουϲ ἔχει τὴν ὀξεῖαν, νόμιμοϲ, ϲπόριμοϲ. οὕτωϲ καὶ ἐπήτριμοϲ. A.

244. ἔλυϲαν ὑφ' ἅρμαϲιν: ἀντὶ τοῦ ὑπέλυϲαν τῶν ἁρμάτων. πῶϲ οὖν οὐκ ἀναϲτρέφεται; ὅτι ϲυνήλειπται. A.

266. Τυραννίων παρώξυνε τὸ πίθεϲθε, ἀγνοῶν ὅτι μεταγενεϲτέρων Ἰώνων ἐϲτὶ τὰ τοιαῦτα, πιθέϲθε, λαβέϲθε. V.

319. ϲκύμνουϲ: ϲκύμνοϲ ὡϲ ὕμνοϲ εἰϲ ἰδιότηκα ἀνεγνώϲθη. τὸ μέντοι ἀνδρωνυμικὸν ὀξύνεϲθαι ἀξιοῖ ὁ Ἀϲκαλωνίτηϲ πρὸϲ διαφοράν. ὁ μέντοι λόγοϲ ϲυναγωνίζεται τῇ βαρείᾳ τάϲει· τὰ γὰρ εἰϲ νοϲ λήγοντα μετ' ἐπιπλοκῆϲ ϲυμφώνου διϲύλλαβα μονογενῆ, ἔχοντα ἐν τῇ πρὸ τέλουϲ ϲυλλαβῇ τὸ ῡ, βαρύνεϲθαι θέλει, ὕμνοϲ, κύκνοϲ, λύχνοϲ, Κύθνοϲ. οὕτωϲ ἄρα καὶ ϲκύμνοϲ. A.

352. δεῖ ὀξυτόνωϲ ἀναγινώϲκειν τὸ λιτί κατὰ τὸν κανόνα τοῦ Ἡρωδιανοῦ. πᾶϲα δοτικὴ διϲύλλαβοϲ ἐπὶ ὀνομάτων ὀξύνεϲθαι θέλει, φωτί, παντί, θητί. οὕτωϲ γὰρ καὶ ἐν τῇ Ἰλιακῇ προϲῳδίᾳ ἐν τῇ Ψ (254) (cf. Ξ 387) λέγει ὅτι δεῖ ὀξύνειν κατὰ τοῦτον τὸν κανόνα. οὕτωϲ γὰρ καὶ Ἀρίϲταρχοϲ. εἰϲὶ δὲ οἳ περιϲπῶϲιν, οὐ καλῶϲ. εἶτα ἐπάγει οὕτωϲ· παραιτητέον δὲ τὸν Ἀϲκαλωνίτην οἰόμενον ἀπὸ τῆϲ λίϲ (cod. λῖϲ) εὐθείαϲ κεκλίϲθαι τὴν λιτί δοτικὴν καὶ τὴν λῖτα αἰτιατικήν· οὐ γάρ ποτε ἐμελέτηϲε τὰ εἰϲ ιϲ μονοϲύλλαβα διὰ τοῦ τ κλίνεϲθαι. μεταπλαϲμὸϲ οὖν ἐϲτι τῆϲ λιτῷ δοτικῆϲ, ὡϲ ἡ κλαδὶ τῆϲ κλάδῳ· καὶ ἡ αἰτιατικὴ λῖτα μεταπέπλαϲται ἐκ τῆϲ λιτόν ὡϲ κρόκα ἐκ τῆϲ κρόκην. τὸ δὲ παρὰ τῷ ποιητῇ «κάθηράν τε ῥύπα πάντα» (Od. Ζ 93), εἰ μή ἐϲτι πληθυντικὸν οὐδέτερον, τοῦ προκειμένου μεταπλαϲμοῦ ἔχεται. οὐχ ὁμότονοϲ δὲ ἐγένετο ἡ λῖτα τῇ λιτόν, ἐπεὶ πᾶϲα αἰτιατικὴ εἰϲ ᾰ λήγουϲα ἐβαρύνετο, ὑπεϲταλμένηϲ τῆϲ τινὰ κατὰ ἀόριϲτον προφοράν. (Hanc ultimam regulam de accusativo, alibi saepius item prolatam, Θ 441

162 pro πόλεωϲ in versu Hom correxit L. πολέοϲ. 352 transiisse in E. M. adnotat L.

dedit cum additamento, ut diceret «nullus accusativus ἀπαθής, propter εὐφυᾶ et simil.»). A.

375. χρύσεα δέ σφ' ὑπὸ κύκλα ἑκάστῳ πυθμένι θῆκεν: τινὲς ὑπόκυκλα, ὡς ὑπότροχα· τὸ μέντοι ἐν τῇ Ὀδυσσείᾳ (δ 131) «τάλαρόν θ' ὑπόκυκλον» κατὰ σύνθεσιν ἀνεγνωσμένον ἑτέρου ἔχεται σημαινομένου. A.

400. τῇσι παρ': ἔστι μὲν τὸ ἑξῆς παρὰ τῇσι, οὐκ ἀναστρεπτέον δὲ διὰ τὴν συναλοιφήν. A.

410. αἴητον: ὁ Ἀσκαλωνίτης προπαροξύνει ἐκδεχόμενος πλεονασμὸν τοῦ ῑ, παρὰ τὸ «θάρσος ἄητον ἔχουσα» (Φ 395), οἷον ταχὺ καὶ κινητικόν, Πρωτέας δὲ ἐν ἴσῳ τῷ ὡρμημένῳ, παρὰ τὸ ἄω. ἄλλοι δὲ ἐκ παραλλήλου τὸ μέγα, παρὰ τὴν αἶαν τὴν γῆν. ἐγὼ δὲ ἐπιζητῶ τὸ ἄητον πῶς δυνατὸν τρίτην ἀπὸ τέλους ἔχειν τὴν ὀξεῖαν, ἐπιθετικῶς κείμενον. μήποτε οὖν ὀφείλομεν πείθεσθαι τῷ Φιλοξένῳ· φησὶ γὰρ αὐτὸ σύνθετον εἶναι παρὰ τὸ ἐτός, ὡς θετός, ὃ σημαίνει τὴν ὕπαρξιν, ἐξ οὗ τὸ ἀληθές, ὃ καὶ γίνεται ἐτεός. ἐγένετο δὲ καὶ τὸ πληθυντικὸν οὐδέτερον ἐν ἐπιρρηματικῇ τάξει, καὶ τὸ παρὰ τοῖς Ἀττικοῖς οὐκ ἐτὸς ἀντὶ μεσότητος τῆς ἐτῶς. τὸ παρὰ μηδενὶ οὖν ὑπαρκτόν, τουτέστι μέγα, ἄετον καὶ ἄητον. καὶ δῆλον ὅτι ἀπολέλυται ὁ τόνος· ὁρᾶται γὰρ σύνθετα τοιαῦτα βαρυνόμενα, ἄρρητον, ἄκλητον, ἄκμητον· οὕτως ἄητον. A.

411. δασύνεται τὸ ἁραιαί. A.

458. ἔξω τοῦ ῑ τὸ ἐμωκυμόρῳ. συνεκτέθλιπται γὰρ τῷ ω τὸ ῑ. A.

485. τείρεα: ὡς τείχεα. A.

487. εἰς ἰδιότητα ἅμαξαν ἐψίλωσαν οἱ πρὸ ἡμῶν, ἐπεὶ ἡ συναλοιφὴ οὕτως εὑρέθη «τιλλέσθην ἐπ' ἅμαξαν» (Ω 711, cod. ἅμαξαι) καὶ «οἱ δ' ὑπ' ἀμάξῃσιν (Ω 782, cod. αἱ), ὥσπερ καὶ τὸ ἄλυσις ἐκ τοῦ ἐναντίου ἐδασύνθη εἰς ἰδιότητα. Ἀττικοὶ μέντοι οἱ νεώτεροι τὴν ἅμαξαν δασύνουσιν, ἴσως διὰ τὸν σχηματισμὸν καὶ διὰ τὸ φιληδεῖν τῇ δασείᾳ· ἔνθεν παρ' αὐτοῖς καὶ ἡ συναλοιφὴ διὰ δασέος, καθημαξευμένα. AD.

501. ἵστωρ: ἀπὸ τοῦ εἴδω εἴσω ἵστωρ, ἐλλείψαντος τοῦ ε̄, ἐπεὶ τῷ ῑ τὸ στ ἐπεφέρετο, ὡς ἐν τῷ ἱστῶ ἱστίον ἵστημι. ὅθεν καὶ δασύνεται, ἐπεὶ τὸ ῑ πρὸ τοῦ στ μόνου δασύνεται. πρόσκειται τὸ μόνου, ἐπεὶ τὸ Ἴστρος ψιλοῦται. A.

506. τὸ ἀμοιβηδὶς κατ' ὀξεῖαν τάσιν· εἴρηται δὲ περὶ τῶν εἰς δις ληγόντων ἐπιρρημάτων (puto ad Ξ 463). A.

519. ὑπολίζονες: προπαροξυτονητέον. πρόδηλον κἀκ τοῦ παρακειμένου οὐδετέρου «οὐδὲν ὀλίζον ἕξομεν» (Cod. -μαι), εἴ γε ὁμοτονεῖ τοῖς οὐδετέροις ἀεὶ τὰ ἀρσενικὰ κατὰ τὸ τέλος κατὰ τὴν ἡμετέραν διά-

410 verba ἐν ἴσῳ addidit L. 458 pro ἔξω τοῦ ῑ, quod iure Lehrsium offendit, in B est ἄνευ τοῦ ῑ, quod fortasse substituendum est. 501 pro ἵστωρ scr. L. ἴστωρ.

λεκτον, ἑνὸϲ ἀντικειμένου τοῦ ἕν διὰ τὸ μὴ δύναϲθαι περιϲπωμένην ἐπὶ βραχείαϲ εἶναι. τὰ δὲ παραδείγματα ἄφθονα ἐπὶ πάϲηϲ καταλήξεωϲ ἐχούϲηϲ παραϲχηματιϲμὸν οὐδετέρου, μέλαϲ μέλαν, τάλαϲ τάλαν, πᾶϲ πᾶν, εὐμήκηϲ εὔμηκεϲ, ταχύϲ ταχύ, φίλοϲ φίλον, ϲώφρων ϲῶφρον. ὅθεν εἰ οὕτωϲ ἀνέγνωμεν «οὐδὲν ὄλιζον ἕξομεν», καὶ τὸ ὀλίζων βαρύνειν ὀφείλομεν. καὶ γὰρ οὐδέποτε τοῖϲ εἰϲ ων ὀξυνομένοιϲ ὀνόμαϲι παράκειται οὐδετέρου παραϲχηματιϲμόϲ, τοῖϲ μέντοι βαρυνομένοιϲ, ϲῶφρον, τλῆμον. εἰ δὴ παράκειται τὸ ὄλιζον, δῆλον ὅτι καὶ τὸ ἀρϲενικὸν βαρύνεται. ἐϲχημάτιϲται δὲ ϲυγκριτικῶϲ κατὰ πάθοϲ. παρὰ γὰρ τὸ ὀλιγώτεροϲ κατὰ δεύτερον τύπον (v. E. Gud. s. κάρρων) τὸ ὀλιγίων μὴ εἰρημένον ϲυγκριτικῶϲ, ὑπερθετικῶϲ δὲ ἐν τῷ ὀλίγιϲτοϲ, ἐξέπιπτε. τρίτοϲ τύποϲ ὁ διὰ δύο ϲϲ, ὀλίϲϲων· τὰ δὲ δύο ϲϲ μετέπεϲεν εἰϲ τὸ ζ, καὶ ἀπετελέϲθη τὸ ὄλιζον. οὕτωϲ οὖν ἐϲχηματίϲαμεν καὶ τὸ μεῖζον, λέγω δὲ κατὰ τὴν αὐτὴν τροπὴν τῶν ϲτοιχείων. A.

521. ἐκτατέον τὴν πρώτην ϲυλλαβὴν τοῦ ἀρδμόϲ, ἐπεὶ καὶ τὸ ἄρδω ἔχει ἐκτεινόμενον τὸ α· «τὸν νοῦν ἵν' ἄρδω καὶ λέγω τι δεξιόν» (Ar. Eq. 96. 114). οὐχ ὅϲα μέντοι ἐν ῥήμαϲιν ἔκταϲιν ἔχει, καὶ ἐν ὀνόμαϲιν· παρὰ γὰρ τὸ ἄϲϲω καὶ κατάϲϲω (i. e. ἄγνυμι v. Hes. ἄϲϲει κατάϲϲει et ib. interprtt.) καὶ μέλλοντα τὸν ἄξω καὶ προϲτακτικὸν τὸ «ἆξον δὴ ἔγχοϲ Διομήδεοϲ» (Il. Z 306) ἡ ἀξίνη ϲυϲτέλλει τὸ α, παρά τε τὸ ἀρῶ καὶ ἀρῶμαι ἐκτεινόμενον ϲυϲτέλλομεν ὄνομα Ἄρην «πιϲϲοκωνίαϲ Ἄρην» Κρατῖνοϲ. A.

538. δαφοινεόν: ὀξύνεται· ἐπὶ γὰρ τῶν εἰϲ οϲ ὀνομάτων ὁ πλεοναϲμὸϲ τοῦ ε φυλάϲϲει τὴν ἐπὶ τέλουϲ ὀξεῖαν, κενὸϲ κενεόϲ, ἀδελφόϲ ἀδελφεόϲ. A.

547. τέλϲον: βαρυτόνωϲ ὡϲ μέτρον. ἐγένετο δὲ παρὰ τὸ τέλοϲ ἐν ὑπερθέϲει τοῦ ϲ καὶ προϲόδῳ τοῦ ν. A.

570. τὸ λίνον κατὰ βαρεῖαν τάϲιν προενεκτέον, ὅτι ἂν ϲημαίνῃ, εἴτε τὴν λινῆν ἐϲθῆτα, εἴτε καὶ ἐπὶ τῆϲ χορδῆϲ τάϲϲοιτο, εἴτε καὶ αὐτὸ τὸ λεπτὸν νῆμα, εἴτε ϲημαίνοι εἶδοϲ ὕμνου, ὥϲπερ καὶ ἐνθάδε, ὡϲ παιὰν καὶ διθύραμβοϲ. A.

580. ἐρύγμηλον: ὡϲ βέβηλον. τὰ γὰρ διὰ τοῦ ηλοϲ ὑπὲρ δύο ϲυλλαβὰϲ προϲηγορικὰ ἢ κύρια προπαροξύνεϲθαι θέλει, κάμηλοϲ καὶ φάϲηλοϲ, Ϲτύμφηλοϲ· τὰ μέντοι ἐπιθετικὰ ὀξύνεϲθαι μὲν θέλει, ὅτε παραϲχηματιϲμὸν ἔχει θηλυκοῦ, ϲιγηλόϲ, ὑψηλόϲ, ἀπατηλόϲ, μὴ οὕτωϲ δὲ ἔχοντα βαρύνεϲθαι, βέβηλοϲ, κίβδηλοϲ, κάπηλοϲ. εἰ δὴ καὶ τὸ ἐρύγμηλοϲ οὐκ ἔχει θηλυκόν, δῆλον ὅτι ὑγιῶϲ βαρυτονηθήϲεται καὶ οὐ

521 extrema verba in codice sic scripta sunt: παρά τε τὸ ἀρῶ καὶ ἀρῶμαι ἐκτείνομεν ὄνομα Ἄρην «πιϲϲοκονίαϲ Ἄρην» Κρατῖνοϲ; ἐκτεινόμενον ϲυϲτέλλομεν emendavit Lehrs, pro πιϲϲοκονίαϲ Bergkius comm. p. 255 et Meinek. Cratin. p. 228 (edit. min. p. 76) scripserunt πιϲϲοκωνίαϲ, sed quod iidem viri Ἄρηϲ pro Ἄρην substituunt, ut incertum non probat Lehrsius. 547. propter hoc adnotamentum Lehrsius dubitat an N 707 sit Herodiani. 580 in E. M. transiisse monet L. pro ἕλικι scripsi Ἑλικώνιον.

δεόντως αὐτὸ Τυραννίων ὀξύνει. ἐγένετο δὲ παρὰ τὸ ἐρύγω, ἔνθεν παρατατικὸς «ἤρυγεν ἑλκόμενος Ἑλικώνιον» (Il. Υ 404), ἐρύγηλος, καὶ ἐν πλεονασμῷ τοῦ μ̄ ἐρύγμηλος. Α.

584. τὸ ἐνδίεσαν παρὰ τὸ δίεσθαι, ὅ ἐστι διώκεσθαι· «τρὶς περὶ ἄστυ μέγα Πριάμου δίον» ἀντὶ τοῦ ἐδιώχθην (Il. Χ 251). σημαίνει δὲ τὸ ἐπώτρυνον. εἴρηται δὲ ὅτι κλίσις ἐστὶ τοῦ δίημι τὸ ἐνδίεσαν (C 162). καὶ οὐ προσεκτέον τῷ Ἀσκαλωνίτῃ δασύνοντι τὸ ῑ καὶ πλεονασμὸν τοῦ δ (Cod. ῑ) δεχομένῳ. AV.

ΕΙΣ ΤΗΝ Τ.

4. εὗρε δὲ Πατρόκλῳ περικείμενον: τινὲς ἀνέστρεψαν τὴν περί, ἵν' ᾖ περὶ Πατρόκλῳ κείμενον, ἐπεὶ καὶ ἐν ἑτέροις ἔφη (284) «ἀμφ' αὐτῷ χυμένη», τῇ δοτικῇ συντάξας τὴν πρόθεσιν, οὐ τῇ μετοχῇ· ἡμῖν δὲ δοκεῖ, ὥσπερ ἔτι καὶ τοῖς πλείοσι καὶ τῷ Ἀσκαλωνίτῃ, ἓν εἶναι τὸ περικείμενον· ἔμφασις γὰρ μείζων νοεῖται. Α.

10. τύνη δ' Ἡφαίστοιο πάρα κλυτὰ τεύχεα δέξο: ἀναστρεπτέον τὴν πρόθεσιν· ἔστι γὰρ παρ' Ἡφαίστου. Α.

26. εὐλάς: ὡς αὐλάς. εὐλὴ γὰρ ὡς αὐλή. τὰ γὰρ εἰς λη λήγοντα θηλυκὰ μονογενῆ, διφθόγγῳ παραληγόμενα, ὀξύνεσθαι θέλει, εἰ μὴ ἔχοι ἔννοιαν συνθέσεως· «αὐλὴν μὲν πρῶτον» (Od. ω 331), αὐλή, ἀπειλή, ὠτειλή. οὕτως καὶ εὐλή. τὸ μέντοι «ἑτέρη δ' ἔχεν οὔλας» (Od. γ 441), λέγω δὲ ἐπὶ τῶν κριθῶν, ἴσως βεβαρυτόνηται μονογενὲς ὂν πρὸς μονογενὲς ὀξυνόμενον τὸ οὐλή. προσέθηκα δὲ εἰ μὴ ἔχοι ἔννοιαν συνθέσεως διὰ τὸ δείλη βαρυνόμενον· ἐτυμολογεῖται γὰρ παρὰ τὸ ἐνδεῖν τῇ ἕλῃ δεέλη. Α.

56. Ἀτρείδη, ἦ ἄρ τι τόδ' ἀμφοτέροισιν ἄρειον ἔπλετο, σοὶ καὶ ἐμοί, ὅτε νῶϊ περ ἀχνυμένω κῆρ θυμοβόρῳ ἔριδι μενεήναμεν: τὸν ἢ σύνδεσμον περισπαστέον· ἔστι γὰρ διαστακτικός, ἀρκτικός, τῆς κλητικῆς ἀνάπαυσιν λαβούσης. εἰσὶ μέντοι οἳ ἐνέκλιναν αὐτὸν καθ' ὑπερβατὸν συντάσσοντες τῷ περ, ἵνα τὸ ὅλον τοιοῦτον ᾖ· ἄρτι τοῦτο ἀμφοτέροις ἔπλετο ἄρειον ἤπερ ὅτε ἡμεῖς ἀχνύμενοι μενεήναμεν. οὐκ ἔστι δέ, ἀλλὰ ὡς εἴπομεν, ἵνα ᾖ ἐρώτησις· Ἀτρείδη, ἆρά τι κρεῖσσον ἐκ τῆς ἔριδος ἐγένετο ἡμῖν; Α.

62. ἐμεῦ ἀπομηνίσαντος: ὁ μὲν Ἀσκαλωνίτης ὡς ἀποφοιβήσαντος. καὶ οὕτως ἔχει ἡ παράδοσις. Α.

Τ 26 in fine pro ἕλη δεείλη L. emendavit ἕλη δεέλη conferens schol. β 167, Κ 466. 56 ἀρκτικός post διαστακτικός addidit Lehrs propter Schol. B: ὁ Ἡρωδιανὸς τὸν ἢ σύνδεσμον περισπᾷ· ἔστι γάρ, φησίν, ἀρκτικὸς τῆς κλητικῆς ἀνάπαυσιν δεχομένης. τινὲς δὲ καθ' ὑπερβατὸν αὐτὸν ποιοῦντες συντάσσουσι τῷ ὅτε νῶϊ περ, ἵνα τὸ ὅλον τοιοῦτον ᾖ· ἄρτι τοῦτο ἀμφοτέροις ἔπλετο ἄρειον ἤπερ ὅτε ἡμεῖς ἀχνύμενοι μενεήναμεν; hinc sumpsit Lehrsius etiam verba ἄρτι — μενεήναμεν, ipse apposuit οὐκ ἔστι δέ, ἀλλὰ ὡς εἴπομεν; porro pro Ἀττική scripsit Ἀτρείδη et pro τις κρείσσων τι κρεῖσσον.

80. τὸ ὑββάλλειν ψιλωτέον· ἔςτι γὰρ Αἰολικόν (cf. I 6), ὥς φηςιν Ἡρωδιανὸς ἐν τῷ κ΄ τῆς καθόλου. A.

81. τὸ ἀκοῦςαι παροξυτονητέον· ἔςτι γὰρ εὐκτικόν. A.

87. ἠεροφοῖτις: προπεριςπαςτέον ὁμοίως τῷ πρωθῆβις καὶ πολῖτις. πειςτέον δὲ μᾶλλον τοῖς παρὰ τὸν ἀέρα ἐκδεξαμένοις τὴν cύνθεςιν γεγονέναι (non ab ἔρα ἡ ἐροφοῖτις, ut ex sch. BV intelligitur), ἐπεὶ ἀοράτως φοιτᾷ· ἀέρα γὰρ λέγει τὸ cκοτεινὸν κατάςτημα· «ἠέρι γὰρ κατέχοντο» (Il. P 368) καὶ «ἀὴρ παρὰ νηυςὶ βαθεῖ' ἦν» (Od. ι 144). A.

90. θεὸς διὰ πάντα τελευτᾷ πρέςβα Διὸς θυγάτηρ Ἄτη: ὁ μὲν Ἀςκαλωνίτης περιςςὴν ἡγεῖται τὴν διὰ πρόθεςιν· εἶναι γὰρ τὸ ἑξῆς θεὸς πάντα τελευτᾷ. Δίδυμος δὲ ἡγεῖτο cημαντικὴν αὐτὴν εἶναι τοῦ διόλου καὶ μὴ παρέλκειν ὥςπερ ἐπὶ τοῦ διηλίτης ὁ δι' ὅλου ἁμαρτάνων. οὐ προςεκτέον δὲ τοῖς ὑφ' ἓν ἀνεγνωκόςιν (sc. θεόςδια). B.

107. ψευςτήςεις ὡς κρατήςεις. A.

209. ἱείη ψιλῶς. καὶ παράκειται τὸ ἱέναι ἀπαρέμφατον. V. ?

270. διδοιςθα: οἱ μὲν βαρύνουςιν ὡς Αἰολικόν, ἀπὸ τοῦ δίδοιμι (cf. Ahrens. 137), δίδοις, δίδοιςθα ὡς τίθηςθα· οἱ δὲ περιςπῶςιν ἐπέκταςιν εἶναι οἰόμενοι ἀπὸ τοῦ διδοῖς. B. φηςὶ γοῦν «πολλὰ διδοῖ» (Il. I 519). V.

335. ἀκαχηςθαι: προπεριςπᾶται ὡς λελυπῆςθαι· οἱ δὲ προπαρώξυναν ὡς Αἰολικὸν ἐν παρατατικῇ cημαςίᾳ, ἐπεὶ οἶδε καὶ τὴν ἀκαχήμενος μετοχὴν τοιαύτην, οἷς καὶ ἐπείςθη ἡ παράδοςις. A.

355. ταρφειαί: Ἀρίςταρχος ἀνέγνω ὡς πυκναί. οὕτως δὲ καὶ ὁ Ἀςκαλωνίτης· καὶ ἐπείςθη ἡ παράδοςις. A.

384. πειρήθη δ' ἓο αὐτοῦ ἐν ἔντεςι δῖος Ἀχιλλεύς: τὴν οἷ ἀντωνυμίαν περιςπᾷ ὁ Ἀςκαλωνίτης, καί φηςι κεῖςθαι δοτικὴν ἀντὶ γενικῆς· οἱ δὲ βαρυτονοῦςιν (apparet legisse hos πειρήθη δὲ οἵ et δέ οἱ αὐτοῦ)· ἔςτι μὲν οὖν καὶ ἐγκλιτικὴν εὑρέςθαι τὴν οἷ ἀντὶ γενικῆς κειμένην, ὥςπερ ἐπὶ τοῦ «οἱ δέ οἱ ἐβλάφθηςαν» (Il. Ψ 387), ἔςτι δὲ καὶ ὀρθοτονουμένην ἀντὶ αἰτιατικῆς, ὥςπερ ἐπὶ τοῦ «νεῦς' ἐπὶ οἷ καλέςας» (Od. ρ 330), καὶ «προτὶ οἷ δὲ λαβὼν ἔντερα» (Il. Y 418)· οὐ μέντοι ποτὲ ἐν τῇ καλουμένῃ ἐπιταγματικῇ ςυντάξει. ἄλογον γὰρ τὸ τοιοῦτον ὥςτε ἐπιφέρεςθαι τὴν αὐτοῦ γενικὴν καὶ τὴν οἷ προκεῖςθαι δοτικὴν ὑπάρχουςαν, ὅπερ οὐχ ὑγιές· ἀεὶ γὰρ τοῖς πρωτοτύποις ὁμόπτωτος ςυντάςςεται ἡ αὐτοῦ ἀντωνυμία. πειςτέον οὖν Ἀριςτάρχῳ γράφοντι πειρήθη δ' ἓο αὐτοῦ. A.

---

90 non inconveniens est conferre ex altero Schol. B haec verba: Ἑλλάνικος θεόςδια τὰ θεόςδοτα γράφει (quibuscum componas ex V οὐδεμία λέξις ἁπλῆ κατὰ τὴν Ἰάδα καὶ τὴν Ἀτθίδα κατ' ἐπιπλοκὴν ἔχει τὸ cδ), Λεςβοκλῆς δὲ διαιρεῖ εἰς τὸν δὴ cύνδεςμον καὶ τὸ ἴα ὄνομα, ἵν' ᾖ μία δὴ θεὸς ἡ Ἄτη τὸ πάντων ἔχει τέλος.
270 Lehrsius confert I 164.

402. ἐπεί χ' ἕωμεν πολέμοιο: ὅτι (sic) δαϲυντέον τὸ ἕωμεν. ἔϲτι γὰρ ἄδην ἔχωμεν, κορεϲθῶμεν. Α.

ΕΙϹ ΤΗΝ Υ.

17. ἢ: ἐρωτηματικὸϲ ὁ ϲύνδεϲμοϲ καὶ ἅπαξ εἰλημμένοϲ κατὰ μίαν διάνοιαν. διὸ περιϲπαϲτέοϲ. τοῦτο δέ φημι πρὸϲ τὰ τοιαῦτα «ἢ δολιχὴ νοῦϲοϲ ἢ Ἄρτεμιϲ ἰοχέαιρα» (Od. λ 172), «ἠὲ νέον μεθέπειϲ ἢ καὶ πατρώϊόϲ ἐϲϲι» (Od. α 175). ἐν γὰρ ταῖϲ τοιαύταιϲ ϲυντάξεϲιν ὁ μὲν πρότεροϲ ἢ ἐγκλίνεται, ὁ δὲ δεύτεροϲ περιϲπᾶται. Α.

30. δείδω μὴ καὶ τεῖχοϲ ὑπέρμορον ἐξαλαπάξῃ: ὑπέρμορον: Ἀριϲτοφάνηϲ ὡϲ ὑπέρβιον, ἐν μέρει λόγου ποιῶν, καὶ ὁ Ἀϲκαλωνίτηϲ, ἐπεὶ ἀντὶ ἐπιρρήματοϲ τοῦ ὑπερμόρωϲ παρείληπται ὁμοίωϲ πληθυντικῷ τῷ «ἔνθα κεν Ἀργείοιϲιν ὑπέρμορα νόϲτοϲ» (Il. Β 155). καὶ ὃν τρόπον «οὐ μὲν καλὸν ἀτέμβειν» (Od. φ 312) ἀντὶ τοῦ καλῶϲ ἐϲτι καὶ τὸ πληθυντικὸν «οὐ μὲν καλὰ χολὸν τόνδ' ἔνθεο» (Il. Ζ 326), οὕτωϲ καὶ τὸ προκείμενον ἑνικῶϲ καὶ πληθυντικῶϲ εἰϲ ϲύνταξιν παρελεύϲεται ἐπιρρήματοϲ, «δείδω μὴ καὶ τεῖχοϲ ὑπέρμορον ἐξαλαπάξῃ» καὶ «ἔνθα κεν Ἀργείοιϲιν ὑπέρμορα νόϲτοϲ». ἐντελῶϲ δὲ ἐν τῇ Β (155) περὶ τῆϲ προϲῳδίαϲ διελάβομεν. διὸ νῦν παρίημι. ἐκεῖνο μέντοι ὑπομνήϲω, ὡϲ ὅτι δύναται καὶ τοῦτο καὶ τὸ ἐν τῇ Ὀδυϲϲείᾳ (α 35), λέγω δὲ τὸ «ὡϲ καὶ νῦν Αἴγιϲθοϲ ὑπέρμορον» κατὰ διάλυϲιν ἀναγινώϲκεϲθαι ὁμοίωϲ τῷ «μὴ καὶ ὑπὲρ μοῖραν δόμον Ἄϊδοϲ» (336), ὥϲπερ ἤδη ἀπεφηνάμην. Α.

53. θεῶν ἐπὶ Καλλικολώνῃ: Ἡρόδικοϲ βαρέωϲ ἀνεγίνωϲκεν ὡϲ τρέχων, μετοχὴν ποιῶν· ὁ μέντοι Ἀρίϲταρχοϲ περιέϲπα, λέγων οὕτωϲ καλεῖϲθαι τὸν τόπον θεῶν Καλλικολώνη, ὥϲπερ καὶ Ἀχαιῶν λιμήν. οὕτωϲ δὲ ἐχούϲηϲ τῆϲ ἱϲτορίαϲ περιϲϲὴ ἡ τοῦ Ἡροδίκου ἀνάγνωϲιϲ. ἡ μέντοι ἐπί πρόθεϲιϲ κατὰ ταύτην τὴν ἔννοιαν ὤφειλε προηγεῖϲθαι τοῦ λόγου, ὥϲτε εἶναι ἐπὶ θεῶν Καλλικολώνη· διὸ ἐτόλμηϲάν τινεϲ ἀναϲτρέψαι. οἱ μέντοι περὶ τὸν Ἀϲκαλωνίτην οὐκ ἀνέϲτρεψαν, ἀλλὰ ϲυνέταξαν τῇ ἑξῆϲ λέξει. καὶ οὕτωϲ ἐπείϲθη ἡ παράδοϲιϲ, λέγω δὲ τῇ ϲυντάξει τῆϲ δοτικῆϲ. καὶ γὰρ διὰ τῶν ἑξῆϲ (151) Καλλικολώνηϲ φηϲίν οὐ προϲνείμαϲ τὸ θεῶν «οἱ δ' ἑτέρωϲε κάθιζον ἐπ' ὀφρύϲι Καλλικολώνηϲ». Α.

70. Ἥρῃ δ' ἀντέϲτη: ὑφ' ἓν τὸ ἀντέϲτη προενεκτέον· δοτικῇ γὰρ ϲυντάϲϲεται ὡϲ «Λητοῖ δ' ἀντέϲτη» (72), τὸ δὲ ἄντα, ὅπερ ἐϲτὶν

---

402 propter ὅτι Lehrsius Aristonico potius tribuendum suspicatur, sed Herodianus etiam de hoc dixisse videtur, mentione fortasse facta scripturae χέομεν, ut ex Schol. V coniectari potest: τινὲϲ χέομεν ἀντὶ τοῦ ὑποχωρήϲομεν, ἄλλοι δὲ ἀντὶ τοῦ ἀναμιχθῶμεν τοῖϲ πολεμίοιϲ.

Υ 17 Codex ubique ἥ habet, quod correxit L., item ἐϲϲί scripsit pro ἐϲτί.

30 in versu Hom. pro ὥϲ κε νῦν L. ὡϲ καὶ νῦν scripsit. 53 verba codicis οὐδ' ἑτέρωϲ ἐκάθιζον correxit L.

ἐξ ἐναντίας, γενικῇ· «ἄντα δ' Ἐνυαλίοιο», «ἄντα δ' ἄρ' Ἡφαίστοιο» (69. 73). A.

72. **ϲῶκοϲ ἐριούνιοϲ Ἑρμῆϲ**: Τυραννίων ἀξιοῖ ὀξύνειν, ἵνα ἀποφύγῃ τὸ κύριον βαρυνόμενον «ὦ Ϲῶχ' Ἱππάϲου υἱέ» (Il. Λ 450), ὥϲπερ ἐπὶ τοῦ Λεῦκοϲ, Γλαῦκοϲ (potius λευκόϲ, γλαυκόϲ). οὐκ ἔϲτι δὲ ὅμοιον τοῖϲ προκειμένοιϲ κοινοῖϲ ἐπίθετον, ἀλλὰ ἴδιον τοῦ Ἑρμοῦ, ὥϲπερ καὶ τοῦ Ἀπόλλων βαρυνόμενον τὸ Φοῖβοϲ. διὸ βαρυτονητέον ὁμοίωϲ καὶ αὐτῷ τῷ κυρίῳ. εἰϲὶ δὲ οἳ ἀξιοῦϲι καὶ καθότι ϲύνθετόν ἐϲτι βαρύνεϲθαι αὐτό. ἐκ γὰρ τοῦ ϲάοικοϲ γεγενῆϲθαι τὴν κρᾶϲιν· οὕτω δὲ δώϲουϲι καὶ προϲκείμενον τῷ ω̄ τὸ ι̅, τῆϲ παραδόϲεωϲ οὐχ οὕτωϲ ἐχούϲηϲ. τὰ μέντοι εἰϲ κοϲ λήγοντα διϲύλλαβα οὐ παρεϲχηματιϲμένα εἰϲ γένοϲ θηλυκόν, φύϲει μακρᾷ παραληγόμενα, βαρύνεϲθαι θέλει, οἷον φῶκοϲ, θῶκοϲ· οὕτωϲ ϲῶκοϲ. ϲεϲημείωται τὸ ϲηκόϲ. A.

105. **καὶ δὲ ϲέ φαϲι**: ὁ Ἀϲκαλωνίτηϲ ὤρθοτόνηϲε τὴν ἀντωνυμίαν, τὸν δέ ϲύνδεϲμον ἀντὶ τοῦ γάρ παραλαβών. καὶ οὕτωϲ ἔχει τὰ τῆϲ ἀναγνώϲεωϲ καὶ τῆϲ διανοίαϲ. AB.

114. τὸ **ἄμυδιϲ** ψιλωτέον καίτοι παρὰ τὸ ἅμα γενόμενον, ἐπεὶ Αἰολικὸν χαρακτῆρα ἀνεδέξατο. A.

152. **ἀμφὶ ϲέ**: ὀρθοτονητέον τὴν ἀντωνυμίαν ὁμοίωϲ τῷ «ἀμφὶ ϲέ, Πηλέοϲ υἱέ» (2). AB.

171. **ἕε**: ἡ ἕ τοῦ τρίτου προϲώπου ἀντωνυμία ἐπλεόναϲε κατ' ἀρχήν, ὥϲπερ ἐπὶ τοῦ ἑόν, ἑοῦ, ἑῷ. ἅμα δὲ τῷ πλεοναϲμῷ μετέβη καὶ τὸ πνεῦμα. A.

188. **ὅτε πέρ ϲε βοῶν ἄπο μοῦνον ἐόντα ϲεῦα**: ἀναϲτρεπτέον τὴν πρόθεϲιν. ἔϲτι γὰρ τὸ ἑξῆϲ ἀπὸ βοῶν. ἔνιοι δὲ ϲυντάϲϲουϲι τὴν ἀπὸ τῷ ϲεῦα. AB.

221. **ἕλοϲ κάτα βουκολέοντο**: τὸ ἑξῆϲ ἐϲτι καθ' ἕλοϲ. διὸ ἀναϲτρεπτέον τὴν πρόθεϲιν. A.

234. Ἀρίϲταρχοϲ μὲν ἓν ποιεῖ τὸ **ἀνηρείψαντο** τουτέϲτι τὸ ἀνήρπαϲαν. εἰϲὶ μέντοι οἳ τὸν ἄν ϲύνδεϲμον παρέλαβον, ὧν ἐϲτι καὶ Ἀπολλώνιοϲ ὁ τοῦ Θέωνοϲ, τοιοῦτόν τι ἐκδεχόμενοϲ· ἀνήρπαϲαν ἂν αὐτὸν οἱ θεοὶ τῷ Διὶ χάριν τοῦ κάλλουϲ, εἰ ἔζη. τοῦτο δέ φηϲιν ἐπεὶ οὐδαμοῦ παρειϲάγει αὐτὸν ὁ ποιητὴϲ τῷ Διὶ διακονούμενον· ἡ γὰρ Ἥβη

72 οὐ ante παρεϲχηματιϲμένα addidit L.

114 Schol. BV refert: ἐκδέχεται Ἡρωδιανὸϲ τὸ ἤ ὡϲ ἄρθρον, τὸν δὲ δή παραπληρωματικὸν ϲύνδεϲμον, ἵν' ἤ, οὐδ' ἔλαθε λευκώλενον Ἥρην, ἣ δή. τὸ δὲ ἄμυδιϲ ψιλοῦται καίτοι παρὰ τὸ ἅμα παρηγμένον· καὶ τάχα ἁμάδιϲ αὐτὸ ἔδει εἶναι ὡϲ χαμάδιϲ, ἀλλὰ τροπῆϲ γενομένηϲ Αἰολικῆϲ ἅπαξ τοῦ ᾱ εἰϲ ῡ ἐψιλώθη καὶ τὸ πνεῦμα. προπαροξύνεται δὲ ὁμοίωϲ τῷ ἄλλυδιϲ· καὶ ἔϲτι δύο ταῦτα προπαροξυνόμενα τῶν εἰϲ διϲ ἐπιρρημάτων τῷ ῡ παραληγόμενα. Prius adnotamentum, in quo Herodianum ἡ δ' pro ἣ δὴ accepisse dicitur, iure falsum esse Lehrsius pronunciat, quae tum de ἄμυδιϲ proferantur, referre quidem Herodianum, sed meliora tradi ad I 6 idem perhibet. Ex Herodiano vero fluxisse videtur haec observatio in V: ὅτι δὲ ψιλοῦται, δηλοῖ καὶ ἡ ϲυναλοιφή· «οἵ τ' ἄμυδιϲ κονίηϲ μεγάλην ἱϲτᾶϲιν ὁμίχλην» (N 336). 152 pro Πηλέωϲ correxit L. Πηλέοϲ.
171 L. confert Ω 134.

βλέπεται καὶ ὁ Ἥφαιστος. πρὸς δὲ ταῦτα ὑγιῶς ἀπεφήναντό τινες, καὶ ὁ Ἀσκαλωνίτης, ὡς ὅτι ὁ ποιητὴς τῷ ἠρείψαντο οὐδέποτε ἐχρήσατο ἄνευ τῆς προθέσεως. δεύτερον ὡς εἰ ἦν ὁ ἄν σύνδεσμος ἐχρῆν τινα αἰτίαν ἐπενεχθῆναι, ὥσπερ ἐπὶ τοῦ «οὐδ' ἄν πω χάζοντο κελεύθου δῖοι Ἀχαιοί, εἰ μὴ Ἀλέξανδρος Ἑλένης πόσις ἠϋκόμοιο παῦσεν ἀριστεύοντα μάχης» (Il. Λ 504). πῶς δὲ ἐν ἑτέροις περὶ τῆς ἁρπαγῆς τοῦ Γανυμήδους ὑπόμνησιν ποιεῖται, ὁπότε ὁ Διομήδης λέγει «τῆς γάρ τοι γενεῆς ἧς Τρωΐ περ εὐρύοπα Ζεὺς δῶχ' υἷος ποινὴν Γανυμήδεος» (Il. Ε 265); ἀλλά, φησίν, οὐ διακονεῖται εὐλόγως, πρῶτον μὲν ὅτι τὰ πάντα συμπόσια δύο ἐστίν, ἓν μὲν ἐν τῇ Α, ἐν ᾧ ὁ Ἥφαιστος παρεισάγεται διακονούμενος ἕνεκα γέλωτος, ἄλλο δὲ ἐν τῇ Δ, ὅπου ἡ Ἥβη κοινῶς οἰνοχοεῖ πᾶσι θεοῖς. ἔχομεν δὲ ἡμεῖς προσθεῖναι τό κυριώτατον, φημὶ δὴ τὸ τῆς συντάξεως. ὁ γὰρ καί σύνδεσμος ἐναντίος ἐστὶ τῷ ἄν. ὁ μὲν γάρ τίθησι, μᾶλλον δὲ συμπλέκει, ὥσπερ ἐπιζητῶν καὶ ἕτερα συμπλέξαι· ὁ δὲ ἄν σύνδεσμος ἀναιρεῖ τὰ παρῳχημένα. Α.

249. ἐπέων δὲ πολὺς νομός: ὀξυτόνως, ἵνα σημαίνηται ὡς ἐν τῇ συνηθείᾳ ἡ νέμησις· τοῦτο γὰρ ἐμφάσεως μείζονός ἐστι σημαντικόν. Α.

251. περὶ τοῦ ἡ τοῦ ὑποτασσομένου τῷ τί καὶ τῷ ἐπεί ἐδηλώσαμεν ἐν τοῖς πρό τούτων ὡς τῷ τί ὑποτασσόμενος μὲν ἐγκλίνεται, τῷ δὲ ἐπεί περισπᾶται. ΑΒ.

327. θεοῦ ἀπὸ χειρὸς ὀρούσας: δύναται ἡ ἀπό καὶ ἀναστρέφεσθαι, ἵνα ᾖ ἀπό θεοῦ, καὶ φυλάσσειν τὸν τόνον, ἵν' ᾖ ἀπορούσας. ὅπερ καὶ βέλτιον. Α. ?

356. δέ μοι: ἄμεινον ἐνθάδε ἀπόλυτον λαμβάνειν τὴν ἀντωνυμίαν, τουτέστιν (?) ἐγκλιτικήν. Α.

357. τοσσουσδ': ὁ Ἀσκαλωνίτης προπερισπᾷ, ἐπεί, φησί, κατὰ δεῖξιν λέγεται, καὶ τὸ «τοσσῆσδ' ὑσμίνης» (359). Ἀρίσταρχος μέντοι καὶ οἱ πλείους παρολκὴν ἐξεδέξαντο τοῦ δε, καὶ ἐπείσθη ταύτῃ τῇ ἀναγνώσει ἡ παράδοσις. οὐκ ἀδόκιμος δὲ καὶ ἡ τοῦ Ἀσκαλωνίτου. Α.

362. στιχός: ὡς τριχός, ἀπ' εὐθείας τῆς στίξ· καὶ γὰρ στίχες λέγει καὶ στίχας. τὸ δὲ εἶμι προπερισπαστέον. σημαίνει γὰρ τὸ πορεύσομαι. ΑΒ.

390. ἔν ἐστι τὸ ἐνθάδε, ὡς καὶ ὁ Ἀσκαλωνίτης. ἔστι γὰρ δεικτικόν τῆς ἐν τόπῳ σχέσεως, ὥσπερ καὶ τό «ἐνθάδε κ' αὖθι μένων» (Od. ε 208), ὥστε πρὸ τῆς δε συλλαβῆς ἡ ὀξεῖα. Α.

406. ἐρυγόντα: ὡς φυγόντα· ἔστι γὰρ δευτέρου ἀορίστου, καὶ ὡς ἔφυγε φυγόντα, οὕτως ἤρυγεν (404) ἐρυγόντα. Α. ?

418. προτὶ οἷ δ' ἔλαβε: περισπαστέον τὴν οἷ. ἔστι γὰρ πρὸς ἑαυτόν. Α.

---

234 κέλοντες in versu Hom. in κελεύθου mutavit L., idem pro ὡς δὲ ἐν ἑτέροις scripsit πῶς δὲ ἐν ἑτέροις. 251 in B ὀξύνεται pro ἐγκλίνεται. 362 πορεύσομαι pro πορεύομαι scr. L. 406 pro φαγόντα recepi, quod Lehrsius commendavit, φυγόντα.

452. περισπαστέον τὸν ἤ. ἔστι γὰρ βεβαιωτικός, ἴσος τῷ δή. τὸ δὲ ἀνύω βαρυτόνως ἀναγνωστέον. ἔστι γὰρ ἐνεστὼς ἀντὶ μέλλοντος. A.

464. εἴ πώς εὐ πεφίδοιτο: ἡ εὐ ἀντωνυμία ἐν τῇ συντάξει ἐνέκλινε τὸν τόνον· ἔστι γὰρ ἀπόλυτος. οὐχ ὃν τρόπον δ' οἴεται ὁ Ἀσκαλωνίτης τὸ πῶς πάντως ὀξυτονηθήσεται, ἐπεὶ ἤδη ἐμελέτησε καὶ ἄλλων ἐγκλιτικῶν ἐπιφερομένων τὸ πῶ καὶ τὸ πῶς τοῦτο μὴ πάσχειν. «οὔ πώς ἐστ' Ἀγέλαε διοτρεφές» (Od. χ 136), «μή πώς με προϊδὼν» (Od. δ 396), «μή πώ μ' ἐς θρόνον ἵζε διοτρεφές» (Il. Ω 553), «οὔ πώ μίν φασι φαγέμεν» (Od. π 143). οὕτως οὖν καὶ τὸ «εἴ πώς εὐ πεφίδοιτο» οὐκ ἀναγκαστικὴν ἕξει τὴν ἐπὶ τοῦ πως ὀξεῖαν. ὁ μέντοι Ἀρίσταρχος γενόμενος κατὰ ταύτην τὴν προσῳδίαν τοῦτο μόνον ἀπεφήνατο, ἐγκλίνοντα δεῖν τῷ τόνῳ καὶ δασύνοντα λέγειν τὴν τρίτην συλλαβήν· σημαίνει γὰρ εἴ πως αὐτοῦ. A.

485. Ῥίγμον: ὡς ὅρμον, εἰς ἰδιότητα· τὰ γὰρ εἰς γμος λήγοντα πάντα ὠξύνετο, ἀγμός, ψυγμός, λυγμός. δοκεῖ δὲ τὸ ὄγμος ἀντικεῖσθαι. A.

497. βοῶν ὑπὸ ποςς' ἐριμύκων: οὐκ ἀναστρεπτέον τὴν πρόθεσιν· ἔχει γὰρ σύνταξιν πρὸς τὴν ἐπιφερομένην δοτικὴν τὴν ποσσίν, ὁμοίως τῷ «ὡς ἄρα τῶν ὑπὸ ποσσὶ κονίσαλος ὤρνυτ' ἀελλής» (Il. Γ 13). A.

ΕΙΣ ΤΗΝ Φ.

16. κελάδων: βαρυτονητέον τὴν μετοχήν· κελάδοντος γὰρ ἡ γενική, καὶ ἡ αἰτιατικὴ κελάδοντα «πὰρ ποταμὸν κελάδοντα» (Il. Σ 576), οὐ κελαδοῦντα. περὶ δὲ τοῦ ὀξύνεσθαι τὸ ἐπιμίξ εἴπομεν ἤδη πολλάκις (v. Ξ 60). AB.

38. ὁ Ἀσκαλωνίτης ἐνθάδε γενόμενος ἀξιοῖ ψιλοῦσθαι τοὺς ὄρπηκας, ἐπεί, φησί, παρὰ τὸ ὀρούειν ἐγένετο, ἐπιλαθόμενος ἑαυτοῦ· ἐν γὰρ ταῖς Ὀδυσσειακαῖς προσῳδίαις φησίν, ὅσα ὀνοματικῶς σχηματίζεται ἀπὸ ψιλῶν ῥημάτων, ταῦτα δασυνθήσεται, ὡς ἀπὸ τοῦ ὀρούει ὄρπηξ. γελοῖον δὲ τὸ τοιοῦτον. ἄμεινον οὖν ἐστιν ἐκεῖνο λέγειν, ὡς ἐπεὶ τὸ ᾰ καὶ τὸ ε̄ καταλήγοντα εἰς τὸ ρ̄ ἑπομένου τοῦ π̄ δασύνεσθαι ἤθελεν, ὡς ἔχει τὸ ἅρπη, ἁρπάζω, ἁρπαλέος, ἑρπετόν, ἑρπύζω, Ἅρπυια, καὶ τὸ ὄρπηξ τούτοις ἐξομοιοῦντές τινες ἠθέλησαν δασύνειν, οἷς οὐκ ἐπείσθη ἡ παράδοσις, ἀλλὰ τῇ ἐτυμολογίᾳ· παρὰ γὰρ τὸ ὄρω ἐν πλεονασμῷ φησι (sc. Herodianus) τοῦ π̄ γεγενῆσθαι τὸ ὄνομα. A.

57. φυγὼν ὑπὸ νηλεὲς ἦμαρ: ἔφαμεν ὅτι ἐὰν πρόθεσις ἀντὶ ἑτέρας προθέσεως κέηται μὴ γίνεσθαι ἀναστροφήν, ὥσπερ ἐνθάδε. A.

464 οὔ πώς ἐστ' pro οὔπως ἔτ' correxit L., qui quaest. ep. p. 129 conferri iubet. 485 ὄγμον Herodianum canoni includere ad Λ 68 monuit Lehrsius, E. Hillerus quaest. Herod. p. 14 ex V huc pertinere putat: ἔνιοι δὲ Ῥίγμονα λέγουσιν εἶναι τὸ τέλειον (sc. Ῥίγμον').

92. μοι: ἄμεινον ἀπολύτως ἀναγινώςκειν. πρὸς γὰρ τίνα ἡ διαςτολή; A.

101. παροξυτονητέον τὸ πεφιδέςθαι ὁμοίως τῷ «εὖ δ' οἴκαδ' ἱκέςθαι» (Il. A 19)· ἔςτι γὰρ μέςος δεύτερος ἀόριςτος. AB.

110. ἀλλ' ἐπί τοι καὶ ἐμοὶ θάνατος καὶ μοῖρα κραταιή: Ἀρίςταρχός φηςι τὴν ἐπί ἀναςτρέψαι, ἵνα ςημαίνῃ τὸ ἔπεςτιν, ὁμοίως τῷ «ςοὶ (Cod. ςῷ) δ' ἔπι μὲν μορφὴ ἐπέων» (Od. λ 367). οἱ δ' ἐφύλαξαν τὸν τόνον τῇ ἐμοί ἀντωνυμίᾳ ςυντάςςοντες αὐτήν, ὥςτε τὸ ἑξῆς εἶναι ἀλλὰ καὶ ἐπ' ἐμοί. καὶ οὕτως ἔχει τὰ τῆς ἀναγνώςεως. A.

123. ἀκηδέες: ὡς εὐςεβέες, ἵνα αὐτοὶ οἱ ἰχθύες ἔχωςι τὸ ἐπίθετον, τουτέςτι μηδεμίαν φροντίδα ἔχοντες. A.

141. Πηλεγόνος: ὡς Ϲαρπηδόνος. οὕτως καὶ ὁ Ἀςκαλωνίτης, ἐπεί, φηςίν, ἡ εὐθεῖα ὀξύνεται, Πηλεγών. τὸ δὲ τοιοῦτον οὔπω ἰςχυρόν, ἐπεί τοι ἐπιζητήςει τις διὰ τί γὰρ ἡ εὐθεῖα οὐ βαρύνεται; ἄμεινον οὖν οὕτως λέγειν, ὡς ἐκ τῆς κλίςεως πολλάκις καταλαμβανόμεθα τοὺς τόνους τῶν εὐθειῶν. τὰ δὲ εἰς γων λήγοντα ἀρςενικὰ ὑπὲρ δύο ςυλλαβὰς τότε μὲν θέλει ὀξύνεςθαι ὁπότε διὰ τοῦ ο κλίνεται, τότε δὲ βαρύνεςθαι ὁπότε διὰ τοῦ ω ἢ διὰ τοῦ ντ. τοῦ μὲν οὖν προτέρου Παφλαγόνος, Λαιςτρυγόνος, Πηλαγόνος «Πηλαγόνων ἐλατῆρα» (Callimachi, v. Et. M. s. v. cl. Steph. Byz. s. Πηλαγονία), ἀρηγών, λέγω δὲ ἐπὶ τοῦ ςυμμάχου ἀρςενικῶς, «ἀρηγόνος ἡμετέροιο» («ignoti poetae» Lob. Ai. p. 166). οὕτως οὖν καὶ τὸ Πηλεγών ὀξυτονηθήςεται· Πηλεγόνος γάρ, καὶ Πηλεγόνα ἡ αἰτιατική, «ὃς τέκε Πηλεγόνα» (v. 159). τὰ δὲ ἄλλως κλιθέντα βαρύνεται, Οὐκαλέγων, Πελάγων (e. g. Δ 295), Ϲαλάγγων, «μέςφα Ϲαλάγγωνος ποταμοῦ» (Apollon. Rhod. IV 337). τὸ δὲ καταπύγων βαρυνόμενον καὶ διὰ τοῦ ο κλιθὲν εἶχεν ἀφορμὴν τὸ παρώνυμον εἶναι τοῦ κατάπυγος, ὡς καὶ τοῦ ἄπειρος τὸ ἀπείρων. A.

142. ὀξυτονητέον τὸ Ἀκεςςαμενός, ἵνα ὄνομα γένηται· οὕτως δὲ ἔχει καὶ Δεξαμενός, Τιςαμενός. B.

155. δολιχεγχέας: ὡς εὐειδέας· παραιτητέον γὰρ τοὺς ἄλλως ἀναγινώςκοντας. A.

159. τὸν δέ μέ φαςι γείναςθαι: ὁ Ἀςκαλωνίτης ἐκ πλήρους λαμβάνει τὴν ἀντωνυμίαν καὶ ὀρθοτονεῖ. εἰςὶ μέντοι οἳ ἀπολύτως ἀνέγνωςαν. ὅμοιον δέ ἐςτι τὸ ἐν Ὀδυςςείᾳ (α 215) «μήτηρ μέν τέ μέ φηςι τοῦ ἔμμεναι». καὶ οὐδέν ἐςτι τὸ κωλῦον. A.

162. ἁμαρτῇ: περιςπαςτέον καὶ ςὺν τῷ ι γραπτέον κατὰ τὸν

Φ 92 Lehrsius animadvertit ad quaestionem πρὸς γὰρ τίνα ἡ διαςτολή; ita hoc loco ad manum esse responsionem, ut putes observationem non ad hunc versum portinere. 123 ad h. l. Lehrsius adnotat: «Sc. alii ἀκηδεές pro ἀκηδές adverbiali putes potestate vel si Victoriano fides ('οὐ κηδόμενοι, οἱ δὲ ὡς νηλεές ἐπὶ τοῦ Λυκάονος') pro vocativo». 141 ἀρςενικὰ post λήγοντα addidit et scripsit Πηλαγόνος Πηλαγόνων ἐλατῆρα pro Πηλεγόνος Πηλεγόνων ἐλατῆρα Lehrsius. 162 Lehrsius conferri iubet Ε 656.

χαρακτῆρα τῶν εἰς τη ληγόντων ἐπιρρημάτων. καὶ διελέγχει ἡ παράδοσις τὸν Ἀρίσταρχον ἔχουσα τὸ ῑ. A.

163. ἐπεὶ περιδέξιος ἦεν: ἄμεινον συνθέτως ἀναγινώσκειν ὡς ἐπιδέξιος καὶ ἀμφιδέξιος. A.

174. ἀλτ' ἐπὶ οἱ μεμαώς: ἡ οἱ ἀντωνυμία ἀπόλυτός ἐστι καὶ ἐγκλιτική· διὸ τῆς ἐπὶ προθέσεως τὸ τέλος ὀξύνουσιν. A.

186. φῆσθα: εἴτε ἐνεστῶτα σημαίνει, προπερισπασθήσεται, εἴτε δεύτερον ἀόριστον (v. Δ 222, P 174) ὁμοίως. τούτῳ δὲ μόνῳ διαλλάξει τῷ σὺν τῷ ῑ γράφεσθαι τὸ ῆ ἐπὶ τοῦ ἐνεστῶτος. A.

221. ἔασον: ψιλῶς· ἔστι γὰρ ἄφες, ἀπὸ τοῦ ἐῶ περισπωμένου κείμενον. A.

232. τὸ ὀψὲ δύων ἐν δυσὶ μέρεσι λόγου. εἰ γὰρ ἦν σύνθετον, διὰ τοῦ ῑ ἐγράφετο ὀψιδύων, ὡς ὀψιμαθής, ὀψιτέλεστον. οὕτως δὲ καὶ τὸ ὀψὲ δύοντα Βοώτην (Od. ε 272). ταῦτα ὁ Ἡρωδιανὸς ἐν τῷ ιθ' τῆς καθόλου. A.

244. διῶσεν: προπερισπαστέον. ἤδη δὲ προείπομεν περὶ τῶν τοιούτων ῥημάτων, λέγω δὲ τῶν κατὰ τοὺς παρῳχημένους, τίνα τε τῶν συντεθειμένων φυλάσσει τὸν τόνον καὶ τίνα ἀναδίδωσιν (c. g. A 611, Γ 426). A.

262. τινὲς ἐδάσυναν τὸ προαλεῖ, παρὰ τὸ ἅλλεσθαι ἐκδεχόμενοι τὸν σχηματισμόν. ἄμεινον δὲ ψιλοῦν, ὡς καὶ ὁ Ἀσκαλωνίτης, φάσκων ἀπὸ τοῦ ἀλίζεσθαι γεγενῆσθαι, τουτέστιν ἀθροίζεσθαι, ὥστε σημαίνεσθαι τὸ κατωφερῆ. καὶ γὰρ τοῦ χωρίου ἐστὶ τὸ ἐπίθετον. τοῦ δὲ φθάνει ἐκτατέον τὸ ᾱ διὰ τὸ μέτρον ὥσπερ καὶ Ἀρίσταρχος ἠξίου. A.

276. ἤ με ψεύδεσσιν ἔθελγεν: ὡς βέλεσσιν· οὐ γὰρ ἐπίκειται τινι ἐπιθετικῶς. ἔστι δὲ αὐτοῦ τὸ ἑνικὸν «ψεῦδος δ' οὐκ ἐρέει» (Od. γ 20). A.

279. ὃς ἐνθάδε γ' ἔτραφ' ἄριστος: παροξυτονητέον. τὸ γὰρ τέλειόν ἐστιν ἐτράφη. καὶ μέμνηται αὐτοῦ ὁ Ἡρωδιανὸς ἐν τῇ ἀρχῇ τῆς Ξ (21), ὅπου διαλαμβάνει περὶ τοῦ «διχθάδι' ἢ μεθ' ὅμιλον». καὶ λέγει ὅτι συναλοιφὴν πέπονθε διὰ τοῦ ῆ. δεῖ οὖν διὰ τοῦ γ̄ γράφειν, ὃς ἐνθάδε, εἶτα ἐτράφ' ἄριστος, οὐχ ὡς οἱ πολλοὶ τέτραφ' ἄριστος, ἀπὸ τοῦ τ̄ ποιοῦντες τὴν ἀρχὴν τοῦ ῥήματος καὶ προπαροξύνοντες. A.

301. δαϊκταμένων: ἄμεινον κατὰ διάλυσιν ὡς ἄρηϊ κταμένων (—ψ X 72), οὐδὲν γὰρ πλέον ἐκ τῆς συνθέσεως. AB.

318. ἰλύος: τὸ ῡ ἐκτέταται διὰ τὸ μέτρον· τὸ γὰρ ἀκόλουθόν ἐστιν ἰλύος ὡς ἰσχύος. A.

232 ὀψιτέλεστον pro ὀψιτέλευτον dedit Lehrs. ex Mon. p. 26. 262 Lehrsius aut lacunam in hoc loco esse post κατωφερῆ vel ante ὥστε (quam sic fere explendam suspicatur μᾶλλον δὲ προαλίζοντι ὥστε collato Apollon. Soph. προαλεῖ τῷ κατωφερεῖ καὶ προαλίζοντι τὸ ὕδωρ) aut plura periisse opinatur, in quibus fortasse dictum fuerit, certe hic non derivari posse ab illo χειμέριον ἀλὲν ὕδωρ (Ψ 420), nunc enim non de aqua dictum esse, sed de loco. Scholion B προαλεῖ: κατάντει, καθ' ὃν τὸ ὕδωρ ἔρχεται ἅλις nihil ad difficultatem expediendam conferre patet.
276 ἐρέει scripsi pro ἐρέω.

323. τυμβοχοῆϲ᾽: τὸ πλῆρεϲ τυμβοχοῆϲαί ἐϲτι [χυτοὺϲ γὰρ τοὺϲ τάφουϲ]. οὕτωϲ καὶ Ἀρίϲταρχοϲ (καὶ ὁ Ἀϲκαλωνίτηϲ καὶ οἱ πλείουϲ D) [τοιοῦτον δέ ἐϲτιν, οὐκ ἔϲται αὐτῷ χρεία χώϲεωϲ τάφου]. Κράτηϲ μέντοι γενικὴν πτῶϲιν ἐξεδέξατο. καὶ δῆλον ὅτι ἐβάρυνεν ὁμοίωϲ τῷ οἰνοχόηϲ. ἄμεινον δὲ ἐν τῷ ῥήματι τὸ πρᾶγμα παραλαμβάνειν ἢ ἐν τῷ ὀνόματι. A.

327. τὸ αἱρῶ περιϲπώμενον δαϲύνεται ϲημαῖνον τὸ καταλαμβάνω· διὸ καὶ ἐνθάδε δαϲυντέον. A.

331. τὸ κυλλοπόδιον Ἀρίϲταρχοϲ προπαροξύνει, ᾧ καὶ ἐπείϲθημεν ὥϲπερ ἤδη προείπομεν ἐπὶ τοῦ ὀλβιόδαιμον (Il. Γ 182) γενόμενοι. A.

336. προπεριϲπαϲτέον τὸ κῆαι· ἔϲτι γὰρ ἀπαρέμφατον. A.

341. ἰάχουϲα ὡϲ φέρουϲα. V.

428. εἴρηται (v. Γ 97, A 421, K 105) ὅτι τὸ νῦν ἀεὶ παρὰ τῷ ποιητῇ περιϲπᾶται, κἂν παρέλκῃ, χωρὶϲ εἰ μὴ μέτρον κωλύοι, ὡϲ ἐπὶ τοῦ «δεῦρό νυν ἢ τρίποδοϲ» (Il. Ψ 485) καὶ «ἐκτελέει ὅϲα πού νυν ἐέλπεται» (Il. K 105). A.

446. ἡ περί τῷ ῥήματι ϲυντάϲϲεται· διὸ φυλακτέον τὸν τόνον. A.

467. δηριαάϲθων: τὸ δεύτερον ᾱ ἐκτατέον· τοῦτο γὰρ ὁ χαρακτὴρ βούλεται. A.

471. ὀνείδειον: ὡϲ τέλειον καὶ ὄρειον. οὕτωϲ γὰρ ἐκπίπτει καὶ τὰ τῆϲ παραγωγῆϲ καὶ τὰ τοῦ τόνου, εἰ μὴ τὸ ᾱ παραλήγοι ἐν τῷ ειϲ οϲ λήγοντι οὐδετέρῳ ἢ δύο ϲύμφωνα, ὧν τὸ μὲν ληκτικὸν εἴη τῆϲ πρώτηϲ ϲυλλαβῆϲ, τὸ δὲ ἀρκτικὸν τῆϲ δευτέραϲ. οἷον ἔλοϲ ἔλειοϲ· διὰ τῆϲ ει διφθόγγου ἡ παραγωγὴ καὶ προπαροξύνεται· οὐ γὰρ ἦν ἐν τῷ οὐδετέρῳ τὸ ᾱ· τέλοϲ τέλειοϲ, ὄροϲ ὄρειοϲ. οὕτωϲ ὄνειδοϲ ὀνείδειοϲ. παρεφυλάξατο (sic A) δὲ τὰ δύο ϲύμφωνα διὰ τὸ Ἀργεῖοϲ καὶ τὸ ἑρκεῖοϲ, καὶ τὸ ᾱ, ἐπεὶ φιλεῖ διὰ τοῦ ῑ γράφεϲθαι ἡ παραγωγή, πελάγιοϲ, ἅγιοϲ, Θάλπιοϲ. AV.

493. πέλεια: ὡϲ Μάλεια καὶ Θάλεια· τρίτη ἀπὸ τέλουϲ ἡ ὀξεῖα. ἔϲτι δὲ καὶ πελειάϲ ὀξυτόνωϲ, ἔνθεν τὸ «αἱ δὲ βάτην τρήρωϲι πελειάϲι» (Il. Ε 778). καὶ ἔϲτιν ὅμοιον τῷ μαῖα καὶ μαιάϲ. A.

507. προτὶ οἷ: τὴν ἀντωνυμίαν ὀρθοτονοῦϲιν, οὐ διὰ τὴν πρόθεϲιν ἀλλ᾽ ὅτι εἰϲ ϲύνθετον παρελαμβάνετο. V.

539. [προ]παροξυτονητέον τὸ ἀμύναι, ἔϲτι γὰρ εὐκτικόν, ὅπωϲ ἀμύνειεν. οἶδα δὲ καὶ τὴν ἀλάλκοι γραφήν. A.

575. Ἀρίϲταρχόϲ τιναϲ φηϲι γράφειν κυνυλαγμόν. οὕτω καὶ Ζηνό-

---

446 quum nunc versus sit ἤτοι ἐγὼ Τρώεϲϲι πόλιν περὶ τεῖχοϲ ἔδειμα, Lehrsius suspicatur Herodianum dativum habuisse, cuius memoria in A sic servata sit: γράφεται πόλει ὡϲ Ἀριϲτοφάνηϲ. 471 extrema pars Scholii in V sic profertur: παρῃτηϲάμεθα δύο ϲύμφωνα διὰ τὸ ἕρκοϲ ἕρκιοϲ, τὸ ᾱ διὰ τὸ πέλαγοϲ πελάγιοϲ, ἅγοϲ ἅγιοϲ. τὸ γὰρ Ἀργεῖοϲ οὐκ ἀπὸ οὐδετέρου παρῆκται, ἄλλωϲ τε καὶ ἔχει δύο ϲύμφωνα, in quo quod de Ἀργεῖοϲ dicitur, male additum esse monuit L., qui hinc pro πάγιοϲ] in A recepit ἅγιοϲ probatum a Lob. ad Ai. p. 119. In initio inseruit Lehrsius verba καὶ τὰ τοῦ τόνου.

δοτος. καὶ Στησίχορος δὲ ἔοικεν οὕτως ἀνεγνωκέναι· φησὶ γοῦν «ἀπειρεσίοιο κυνυλαγμοῖο». οὐχ ὁρῶ δέ τι πλέον ἐκ τῆς συνθέσεως. ὁ γὰρ ὑλαγμὸς καὶ χωρὶς τοῦ προσκεῖσθαι τὸ ὄνομα ἰδίως ἐπὶ κυνῶν ἀκούεται, ὡς ὁ χρεμετισμὸς ἐπὶ τῶν ἵππων. ἄλλως τε τὰ εἰς γμος ῥηματικὰ μετὰ προθέσεως πέφυκε συντίθεσθαι τῆς αὐτῆς τάσεως μενούσης, μετ' ἄλλου δὲ οὐδενός, παιγμός ἐμπαιγμός, κηρυγμός ἐκκηρυγμός, καὶ τὸ ὑλαγμὸς οὖν παρὰ τὸ ὑλάσσειν γεγονὸς οὐ συντεθήσεται μετ' ἄλλου μέρους λόγου. σύνδεσμος οὖν ἐστιν ὁ κέν. BV.

583. τινὲς τὸ ἤδη χρονικὸν ἐκδέχονται καὶ παροξύνουσιν, οὐκ εὖ. ἄμεινον γὰρ περισπᾶν ἐκ παραλλήλου τοῦ συνδέσμου κειμένου. A.

588. σὺ δ' ἐνθάδε πότμον ἐφ' ἕψεις: Νικίας ἀναστρέφει τὴν πρόθεσιν, οὐκ εὖ. προείπομεν δὲ περὶ τῶν τοιούτων προθέσεων ὡς οὐ θέλουσιν ἀναστρέφεσθαι· καὶ σημειούμεθα ἀναγκαίως ἀναστραφεῖσαν τὴν «στεῦτο γὰρ Ἡφαίστοιο πάρ' οἰσέμεν» (Il. Σ 191).

ΕΙΣ ΤΗΝ Χ.

28. ἄστρασιν: Ἀρίσταρχος ὡς πατράσιν. ἄμεινον δὲ προπαροξύνειν, ὥσπερ καὶ τοῖς πλείοσιν ἔδοξε καὶ Φιλοξένῳ, ἵν' αὐτῆς τῆς πτώσεως, λέγω δὲ τῆς δοτικῆς, μεταπλασμὸν λάβωμεν. ὅτι γὰρ κατὰ πτῶσιν γίνονται μεταπλασμοὶ ἐξουσίᾳ ποιητικῇ δεδήλωταί μοι ἐν ἑτέροις. ὃν οὖν τρόπον ἡ ἐγκάτοις ἔγκασιν ἐγένετο «ἔγκασι φωτός» (Λ 438) καὶ οὐκ ἀναγκαζόμεθα ἑνικὴν εὐθεῖαν ἀκόλουθον ἐπιζητεῖν, ἥ τε προβάτοις πρόβασιν ἥ τε πετάλοις πέταλσιν, οὕτως ἄστροις ἄστρασιν, ἐπεισελθόντος τοῦ α ἵνα συστῇ ἡ λέξις. A.

41. τοσσόνδε: πρὸ τέλους ἡ ὀξεῖα. ἓν γάρ ἐστι μέρος λόγου. A.

51. τὸ ὀνομάκλυτος ὡς τοξόκλυτος· οὕτως δὲ καὶ Ἀρίσταρχος. ἐν μέντοι τῇ Ὀδυσσείᾳ (τ 183) κατὰ παράθεσιν ἀναγνωστέον «ἐμοὶ δ' ὄνομα κλυτὸς Αἴθων». ἰδίᾳ συστῆσαι γὰρ αὐτοῦ βούλεται τὸ ὄνομα, ἐπεί τοι ἔσται κρεμάμενος λόγος. εἴπομεν δὲ ἐν τοῖς πρὸ τούτου βιβλίοις (Il. Κ 109), πότε τὸ κλυτός κατὰ τὸ τέλος συντιθέμενον φυλάσσει τὸν τόνον καὶ πότε ἀναδίδωσιν. A.

59. πρὸς δ' ἐμέ: οὕτως ὀρθοτονητέον. A.

67. τὸ ὠμησταὶ Ἀρίσταρχος ὡς ἀθληταί, Τυραννίων δὲ ὡς κομῆται. ἔφαμεν δὲ ἐν τῇ Λ (454) ἐντελῶς περὶ τῆς προσῳδίας ὡς ἐπεκράτησεν ἡ Ἀριστάρχου. A.

123. ἵκωμαι: τινὲς ὡς φιλῶμαι ἀναγινώσκουσιν, ἵνα τὸ ἱκετεύσω σημαίνῃ. οὐκ ἀναγκαῖον δὲ ἐναλλάσσειν τὸν τόνον· καὶ γὰρ βαρυνόμενον ταὐτὸν ὑπισχνεῖται καὶ ἀκόλουθόν ἐστι μέσῳ δευτέρῳ ἀορίστῳ ὁριστικῷ τῷ «τὴν ἱκόμην φεύγων» (Il. Ξ 260). ὡς οὖν ἐλιπόμην λίπωμαι οὕτως ἱκόμην ἵκωμαι. A.

246. περισπαστέον τὸν ἦ σύνδεσμον· ἀδύνατον γὰρ τῷ ἤ συνδέσμῳ ἑπόμενον αὐτὸν ὀξύνεσθαι. A.

261. συνήμοσύνας: δασυντέον. σημαίνει δὲ τὰς συνθήκας ἀπὸ τοῦ εἰς ταὐτὸν ἀφεῖναι τὰ τῆς διανοίας· παρὰ τὸν ἥσω οὖν ἥμων τί ἐστι καὶ ἥμονος ἡ γενική (cf. Ψ 886), παρ' ἣν τὸ ἡμοσύνη. οὕτως δὲ εἶχε καὶ μεθημοσύνη (Ν 108. 121). Α.

285. ἄλευαι: προστακτικῶς ἀναγινώσκειν δεῖ· διὸ τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα. εἰρωνείᾳ δὲ τοῦτό φησιν. Α.

347. κατὰ συστολὴν τὸ κρέα ἀνεγνώσθη ὥσπερ καὶ ἐν τῇ συνηθείᾳ. ἐκτείνει δὲ ὁ Τυραννίων. ἀλλ' οὐδέποτε ὁ ποιητὴς κρέα εἶπεν. V.

356. τὸν ἢ σύνδεσμον περισπαστέον. ἔστι γὰρ βεβαιωτικός. Α.

410. τῷ δὲ μάλιστ' ἄρ' ἔην ἐναλίγκιον ὡς εἰ ἅπασα Ἴλιος ὀφρυόεσσα πυρὶ σμύχοιτο κατ' ἄκρης: τινὲς περιέργως διὰ μόνου τοῦ ῑ γράφοντες ἀποδιδόασιν ὡς αὐτὴ ἅπασα (cf. Apollon. pron. 70). οὐκ οἶδε δὲ ὁ ποιητὴς οὔτε τὴν ῑ (ἵ) οὔτε τὴν σφεῖς. ἔστιν οὖν ὅμοιον τῷ ἐν Ὀδυσσείᾳ (κ 419) «σοὶ μὲν νοστήσαντι, διοτρεφές, ὣς ἐχάρημεν ὡς εἴ τ' εἰς Ἰθάκην ἀφικοίμεθα». Α.

473. γαλόῳ τε καὶ εἰνατέρες: πρὸ τέλους ἡ ὀξεῖα ὁμοίως τῷ «εἰδομένη γαλόῳ Ἀντηνορίδαο δάμαρτι» (Γ 122: ubi vid.). αἱ γὰρ εἰς ῳ λήγουσαι δοτικαὶ βαρύτονοι συνεμπίπτουσαι πληθυντικαῖς εὐθείαις συνεμπίπτουσι καὶ κατὰ τὸν τόνον, τῷ λιπόνεῳ οἱ λιπόνεῳ. Α.

εἰνατέρες ὡς Δημητέρες· οὕτως πάντες· καὶ τὰ τῆς ἀναλογίας ἐπικρατεῖ οὕτως ἔχοντα. ὡς ἐδείχθη. Α.

474. ὀρθοτονητέον τὴν σφίσιν· εἰς γὰρ σύνθετον ἡ μετάληψις. ἔφαμεν δὲ ὡς οὐκ ἀναστρέφει τὰ τοῦ λόγου. Α.

ΕΙΣ ΤΗΝ Ψ.

37. τὸ παρπεπιθόντες ὡς καταλαβόντες. Α.

70. ἀκήδεις: ἄμεινον βαρύνειν ὡς ἐνόεις τῆς ἀρχούσης συσταλείσης ποιητικῶς. ὡς γὰρ τὸ ἤκουσα ἄκουσα οὕτως καὶ τὸ ἠκήδεις ἀκήδεις. Α.

73. οὐδέ με: ἀπόλυτος ἡ ἀντωνυμία, διὸ ἐγκλιτικῶς ἀναγνωστέον. Α.

135. δασέως τὸ εἵνυον (in καταεῖνυον)· ἀπὸ γὰρ τοῦ εἱνύω ἐστὶ θέματος, ὃ παρῆκται παρὰ τὸ ἕω δασυνόμενον. (ἔν τισι δὲ καταείλυον τουτέστιν εἴλουν. Ἀρίσταρχος δὲ καταείνυσαν. cf. schol. Ξ 522). Α. ?

137. οὕτως Ἄϊδος δέ, οὐκ Ἄϊδος δῶ, ὁ Ἡρωδιανός φησιν ἐν τῷ ιθ' τῆς καθόλου. Α.

X 261 pro ἐφεῖναι recepit Lehrsius ἀφεῖναι ex Etym. Orion. 150, 24, ubi prior pars ex Ἡρωδιανοῦ Ἰλιακῇ προσῳδίᾳ citatur, comparato adnotamento Ν 381.
410 pro ὧδε χωρῆσαι et ἀφίκοιτο restituit L. ὣς ἐχάρημεν et ἀφικοίμεθα.
473 ὁμοίως — δάμαρτι inseruit L. 474 L. conferri iubet quaest. ep. p. 115 c. 119.

160. οἴϲι μάλιϲτα κήδεόϲ ἐϲτι νέκυϲ: τινὲϲ ἐβάρυναν ὥϲτε εἶναι γενικήν. ἄμεινον δὲ ὀξύνειν, ἵνα ᾖ ῥηματικὸν ἀπὸ τοῦ κηδεύω. τὰ γὰρ εἰϲ ο̄ϲ λήγοντα ὀνόματα, παρὰ ῥῆμα γινόμενα, καθαρεύοντα καὶ τῷ ε̄ παραληγόμενα ὀξύνεϲθαι θέλει, φωλεύω φωλεόϲ, ὀχεύω ὀχεόϲ καὶ ἐν πλεοναϲμῷ τοῦ ϲ̄ ὀϲχεόϲ. καὶ παρὰ τὸ ϲωρεύω δὲ ὁ ϲωρεόϲ. τὸ δὲ ϲωρόϲ κατὰ ϲυγκοπὴν ἀπετελεῖτο. καὶ παρὰ τὸ λοχεύω δὲ ὁ λοχεόϲ ἔϲται κατ' ὀξεῖαν τάϲιν, «ὁ δ' ἐκ λοχεοῖο πάϊϲ» (Hes. Theogn. 178). ἀλλ' οὖν γε βαρυτόνωϲ οἱ πλείουϲ ἀνέγνωϲαν, πλεοναϲμὸν ἐκδεξάμενοι τοῦ ε̄, ὥϲτε παρὰ τὴν λόχου γενικὴν «ἐκ λόχου ἀμπήδηϲε» (Il. Λ 379) λόχοιο γενέϲθαι καὶ λοχέοιο. οὕτωϲ δὲ κατὰ τὸν προειρημένον κανόνα ῥήματοϲ ὄντοϲ τοῦ κηδεύω τὸ παρ' αὐτὸ ὄνομα, λέγω δὲ τὸ κηδεόϲ, ὀξυτονηθήϲεται. A.

παρὰ δ' οἱ ταγοὶ ἄμμι μενόντων: τὸ ἑξῆϲ παραμενέτωϲαν· διὸ φυλακτέον τὸν τόνον τῆϲ προθέϲεωϲ. Διονύϲιοϲ δ' ἡγεῖτο πλεονάζειν τόν τέ ϲύνδεϲμον καὶ ἀγούϲ ἡγεῖτο τοὺϲ ἡγεμόναϲ. ὁ μέντοι Ἀρίϲταρχοϲ ταγοὺϲ ἐξεδέξατο καὶ ϲχεδὸν ἅπαντεϲ, παρὰ τὸ τάϲϲω ῥῆμα τοῦ ϲχηματιϲμοῦ γενομένου. διὸ καὶ ἐγὼ ϲυγκατατίθεμαι. A.

254. ἑανῷ λιτί: ὡϲ φωτί. οὕτωϲ καὶ Ἀρίϲταρχοϲ. πᾶϲα γὰρ δοτικὴ διϲύλλαβοϲ ἐπ' ὀνομάτων εἰϲ τι λήγουϲα ὀξύνεται, χρωτί, δαιτί, Κρητί. οὕτωϲ οὖν καὶ λιτί. τούτῳ γὰρ τῷ λόγῳ καὶ βλητί ὀφείλομεν κατ' ὀξεῖαν τάϲιν ἀναγινώϲκειν, «νύμφα φίλη, καὶ βλητὶ λίθῳ ἐνὶ δάκρυον ἧκαϲ». οὕτωϲ οὖν καὶ λιτί, ἵνα ᾖ μεταπλαϲμὸϲ τῆϲ λιτῷ δοτικῆϲ, ὡϲ ἡ κλαδί τῆϲ κλάδῳ. ὁμοίωϲ δὲ καὶ ἡ αἰτιατικὴ ἡ λῖτα μεταπέπλαϲται ἐκ τῆϲ λιτόν, ὡϲ καὶ ἡ κρόκα ἐκ τῆϲ κρόκην. τὸ δὲ παρὰ τῷ ποιητῇ «καθήραντεϲ ῥύπα πάντα» (Od. Ζ 93), εἰ μή ἐϲτι πληθυντικὸν οὐδέτερον, τοῦ προκειμένου μεταπλαϲμοῦ ἔχεται. οὐχ ὁμότονοϲ δὲ ἐγένετο τῇ λιτόν αἰτιατικῇ ἡ λῖτα, ἐπεὶ πᾶϲα αἰτιατικὴ εἰϲ ᾱ λήγουϲα ἐβαρύνετο ὑπεϲταλμένηϲ τῆϲ τινά κατ' ἀόριϲτον προφοράν. A.

262. ποδώκεϲιν: βαρύνειν δεῖ τὸ ποδώκηϲ· καὶ εἴρηται περὶ αὐτοῦ (B 764). A.

266. ἐξετέ': ὁ Ἀϲκαλωνίτηϲ ἐνθάδε προπαροξύνει ὁμοίωϲ τῷ «ὄτριχαϲ οἰέτεαϲ» (B 765). εἰϲὶ δὲ οἳ παροξύνουϲιν ὁμοίωϲ τῷ εὐγενέα, καὶ οὕτωϲ ἐπείϲθη ἡ παράδοϲιϲ. προείρηται δὲ περὶ τῆϲ προϲῳδίαϲ (B 765). A.

281. ἐγκλιτικῶϲ τὴν ϲφωῖν ἀντωνυμίαν ἀναγνωϲτέον. ἔϲτι γὰρ τρίτου προϲώπου. A.

Ψ 254 βλητί in versu ignoti poetae sententiae non convenire animadvertit Lob. Parall. 82, 541; sed quum βλήϲ etiam ap. Theogn. 135, 23 exstet, de ipso vocabulo dubitari non potest; quare Lehrsius retento βλητί priore in versu τλητί substituendum suadet et sic fortasse locum constituendum opinatur: καὶ βλητί — ἀναγινώϲκειν καὶ τλητί «νύμφα —», δάκρυον posuit Lehrsius pro δάκρυ, porro pro ἐκ τῆϲ λιτήν correxit ἐκ τῆϲ λιτόν. Idem adnotat ex C 352 intellegi quaedam hic nunc excidisse ut de Ascalonita.

291. Τρῳούς ὡς πολλούς ἀνεγνώσθη· προείπομεν δέ περὶ τῆς προσῳδίας. Α.

319. ἀλλ' ὅς: δασυντέον τὸ ὅς. ἔστι γὰρ ἄρθρον. οὕτως ὁ Ἀσκαλωνίτης. Ἀντίγονος μέντοι ἄλλος ἀνεγίνωσκεν, οὐ παραδεχόμενος τὸ ἄρθρον. Α.

327. δασυντέον καὶ προπερισπαστέον τό αὖον· προείπομεν δὲ καὶ περὶ τούτου (Ν 441. cl. Λ 461). Α.

361. προπαροξυτονητέον τὸ μεμνέῳτο· γράφεται δὲ καὶ σὺν τῷ ῑ τὸ ῳ̄. οὕτω δὲ καί ὁ Ἀσκαλωνίτης, ἐκ τοῦ μεμνέοιτο ἡγούμενος αὐτὸ εἶναι. παρὰ μέντοι Ξενοφῶντι ἄνευ τοῦ ε̄ ἐστὶν ὁ σχηματισμὸς καὶ προπερισπᾶται, ἐν Κύρου παιδείας πρώτῳ (6, 3) «ἀλλ' ὅτε τὰ ἄριστα πράττοι, τότε μάλιστα τὸν θεὸν μεμνῷτο». τὸ δὲ ἀνάλογον διὰ τοῦ η̄ προσκειμένου τοῦ ῑ παρ' Ἀριστοφάνει ἐν Πλούτῳ δευτέρῳ (992) «ἵνα τοὐμὸν ἱμάτιον φορῶν μεμνῇτό μου». καὶ πάλιν προπερισπαστέον. ἐν ἑτέροις μέντοι ἐντελῶς περὶ τοῦ σχηματισμοῦ διέλαβον καὶ περὶ γραφῆς τῆς κατὰ γενικήν, λέγω δὲ τῆς δρόμου ἢ αἰτιατικῆς πληθυντικῆς τῆς δρόμους. Α.

377. τὰς δὲ μετ' οὐκ ἀναστρεπτέον τὴν μετά· πέπτωκε γὰρ μέσος ὁ δέ. Α.

387. οἱ δέ οἱ ἐβλάφθησαν: ὁ Ἀσκαλωνίτης ἐκδέχεται τὸ πλῆρες εἶναι ἑοί καὶ μεταλαμβάνει εἰς τὸ ἴδιοι, καὶ μήποτε ὑγιῶς. ὡς γάρ φαμεν οἱ ἐμοὶ ἐβλάφθησαν ἵπποι, οἱ σοὶ ἐβλάφθησαν, οὕτως οἱ οἳ ἐβλάφθησαν τουτέστιν οἱ αὐτοῦ. τινὲς μέντοι εὐλαβηθέντες, ὧν ἐστι καί Ἀρίσταρχος, τῷ τὴν ὅς [ὀρθοτονουμένην] ἀντωνυμίαν πολλάκις εἰς σύνθετον μεταλαμβάνεσθαι ἐγκλιτικῶς ἀνέγνωσαν, οὐκ ἔτι ἐκδεχόμενοι πληθυντικὴν κτητικὴν εὐθεῖαν, ἀλλ' ἑνικὴν δοτικὴν μονοσύλλαβον ὁμοίως τῷ «οἱ δέ οἱ ἵπποι ὑψός' ἀειρέσθην» (500), καὶ δῆλον ὅτι δοτικὴν ἀντὶ γενικῆς. καὶ οὕτως τὰ τῆς ἀναγνώσεως. Α.

419. βαρυτονητέον τὸ στεῖνος, ἐπεὶ οὐδὲν οὐδέτερον ὄνομα εἰς ο̄ς̄ λῆγον ὀξύνεται· οὕτως εἶχε καὶ τὸ μάκρος παρ' Ἀριστοφάνει (Av. 1131) «ὦ Πόσειδον τοῦ μάκρους» βαρυνόμενον καὶ μὴ ὁμοτονοῦν τῷ ὀξυνομένῳ ἀρσενικῷ. ἐπίσταται δὲ ὁ ποιητὴς καὶ τὴν δοτικήν· «στείνει ἐν αἰνοτάτῳ» (Il. Θ 476). Α.

420. ὁ Ἡρωδιανὸς ἐν τῇ ἀρχῇ τοῦ ζ' (sc. catholicae) διὰ τοῦ γ̄ φησὶ ῥωγμός. Α.

422. ἁματροχιάς: δασέως τὴν ἄρχουσαν· ὀξύνεται δὲ ὁμοίως τῷ φυταλιάς. Α.

440. φάμεν παρατατικός ἐστιν ἀντὶ τοῦ ἔφαμεν. Ἰωνικῶς οὖν ἀναγνωστέον τὴν φα συλλαβὴν ὀξύνοντας. Α.

475. πολέος πεδίοιο δίενται: εἴπομεν δὲ δὴ (ἤδη?) ὥς ἐστι

---

291 Τρῳούς cum ῑ scripsit L. 319 ἄλλος pro ἄλλως substituendum censuit L. 361 cf. Schol. ad Aristoph. l. c., ubi: μεμνῇτο ὡς Ἡρωδιανός φησι ἐν τῇ Ὁμηρικῇ προσῳδίᾳ. 387 τῷ τὴν ὅς scripsit L. pro τῷ τὴν οἷ.

καὶ δίω βαρυνόμενον, ὃ cημαίνοι ἂν τὸ διώκω, ἔνθεν τὸ «τρὶc περὶ ἄcτυ μέγα Πριάμου δίον» (Il. X 251) καὶ τὸ «κνώδαλον ὅττι δίοιτο» (Od. ρ 317), καὶ περιcπώμενον, ἔνθεν τὸ δίημι ἐγένετο, παρ' ὃ τὸ «ἵπποι ἀερcίποδεc πολέοc πεδίοιο δίενται» καὶ τὸ «αὔτωc ἐνδίεcαν» (Il. Ϲ 584). Cf. P 110 et locos ibi citatos. A.

479. πάρα γὰρ καὶ ἀμείνονεc ἄλλοι: τὸ πάρα ἀντὶ τοῦ πάρειcι. διὸ τὴν πρώτην ὀξυτονητέον ὁμοίωc τῷ «πάρα δ' ἀνὴρ ὃc καταθήcει» (Od. π 45). A.

485. ἐνθάδε τὸ νυν cυcταλτέον διὰ τὸ μέτρον· τὸ δὲ περιδώμεθον ἐcτὶν ἕν, ἐπεὶ δηλοῖ τὸ cυνθήκαc ποιηcώμεθα. A.

523. Πτολεμαῖοc καὶ οἱ πλείουc δίcκουρα ὡc λίπουρα. καὶ Ἀρίcταρχοc δέ φηcιν· «ὅπερ ἄνω κατὰ διάλυcιν εἶπεν ὅccα δὲ δίcκου οὖρα (431), τοῦτο νῦν κατὰ cύνθεcιν ἐξήνεγκεν». κἀγὼ δὲ cυγκατατίθεμαι. A.

561. ᾧ περι χεῦμα φαεινοῦ καccιτέροιο ἀμφιδεδίνηται: εἰcὶν οἳ ἀνέcτρεψαν τὴν περί· ὁ μέντοι Ἀcκαλωνίτηc καὶ οἱ πλείουc κατὰ παρολκὴν ἐξεδέξαντο κεῖcθαι, διὰ τὸ ἀμφιδεδίνηται· διὸ οὐκ ἀναcτρέφουcιν. A.

604. νεοίη: ὡc ὁμοίη. οἱ μέντοι μετ' αὐτὸν ὡc ἐπὶ πλεῖcτον νεοείαν λέγουcι. περὶ δὲ τῆc λέξεωc εἰ ὑγιῶc ἐcχημάτιcται ἐν τῷ προτατικῷ ἐζήτηcα. ἅπαξ δὲ ἐχρήcατο τῇ λέξει. A.

698. ἀλλοφρονέοντα: ὡc cωφρονέοντα· τὴν δὲ cφίcιν ὀρθοτονητέον· εἰc γὰρ cύνθετον ἡ μετάληψιc. A.

703. cφίcι: καὶ ταύτην τὴν ἀντωνυμίαν ὀρθοτονητέον ὁμοίωc τῇ προκειμένῃ. A.

718. τρίποδοc πέρι ποιητοῖο: ἔφαμεν περὶ τῶν τοιούτων (e. g. B 839), πότερον δεῖ ἀναcτρέφειν τὰc προθέcειc μεταξὺ κειμέναc δύο ὀνομάτων ἢ οὔ, ὡc ἐπὶ τοῦ «μάχῃ ἔνι κυδιανείρῃ» (Il. Z 124), καὶ ὡc οἱ πλείουc θέλουcι τοῖc ἐπιθετικοῖc cυντάccειν αὐτάc· διὸ καὶ ὁ Ἀcκαλωνίτηc ἐνθάδε οὐκ ἀναcτρέφει. A.

731. ἐν δὲ γόνυ γνάμψεν: Λεπτίνηc δαcύνει ὡc ἐπ' ἀριθμοῦ τὸ ἓν γόνυ ἔκαμψεν, ὡc ἐπὶ τοῦ «ἓν δέπαc ἐμπλήcαc» (Od. ι 209). οἱ δὲ ἄλλοι πάντεc πρόθεcιν ἐξεδέξαντο διὰ τὸ ἀεὶ ἕτερον λέγειν τὸν ποιητὴν ἐπὶ δύο, ἓν δὲ οὐδέποτε· «χωλὸc δ' ἕτερον πόδα» (Il. B 217), «τὸν δ' ἕτερον cκόπελον» (Od. μ 101). A.

765. τὸ ἀϋτμένα ὡc ποιμένα τῷ τόνῳ· καὶ καθόλου τὰ εἰc μην λήγοντα ἁπλᾶ ὀξύνεcθαι θέλει. A.

806. ἐνδίνων: ὡc cελίνων· παρῆκται δὲ παρὰ τὸ ἔνδον τὸ ἔνδινον· καὶ γὰρ παρὰ τὸ ἔντοcθεν ἐντοcθίδια λέγεται. οὕτωc δὲ ἔχει καὶ τὰ ἔντερα καὶ τὰ ἔγκατα παρὰ τὴν αὐτὴν ἔννοιαν. A.

---

475 pro Πριάμοιο correxit Πριάμου L. 604 Lehrsius collato Hesych.: νεοίη νεότηc· νέοιαι ἀφροcύναι scribendum suspicatur. νεοίη ὡc ὁμοίη, λέγει δὲ τὴν νεότητα. οἱ μέντοι μετ' αὐτὸν ὡc ἐπὶ τὸ πλεῖcτον τὴν ἄνοιαν λέγουcι
698 καὶ διὰ τὴν cύνταξιν excidisse opinatur L. coll. quaest. ep. 119.

886. τὸ ἥμονες δαcυντέον· παρὰ γὰρ τὸν ἥcω μέλλοντα ἐcχημάτιcται ἡ λέξιc· «ἥcω γὰρ καὶ ἐγώ» (Il. P 515). (Cf. X 261). παρὰ δὲ τοῦτο καὶ τὸ ἧμα ἐγεγόνει πάλιν δαcυνόμενον· «καὶ ἥμαcιν ἔπλευ ἄριcτοc» (891). A.

891. ἥμαcιν: δαcυντέον πάλιν. A.

ΕΙϹ ΤΗΝ Ω.

1. λυτο: εἰ μὲν μέcοc δεύτεροc ἀόρcτόc ἐcτιν ἀπὸ τῶν εἰc μι, ὥcπερ ἤδη ἐπίcταται λέγων «νῦν δὲ λύμην τρὶc τόccα πορών» (Il. Φ 80) καὶ «τῆc δ' ἄρα κλαιούcηc λύτο γούνατα», ἔκταcιc ἐγένετο διὰ τὸ μέτρον· εἰ δὲ παρατατικόν τινεc ἐκδέχονται, δύναται κρᾶcιc τοῦ ἐλύετο γεγενῆcθαι ὥcπερ ἐπὶ τοῦ ἰχθύεc ἰχθῦc, μύεc μῦc, ῥύεcθαι ῥῦcθαι «πάντων ἀνθρώπων ῥῦcθαι γενεήν τε τόκον τε» (O 141). ἢ ἀπὸ τοῦ λέλυτο λύτο ὡc βέβλητο βλῆτο. A.

8. πείρων: Πάμφιλοc περιcπᾷ, λέγων τὴν πρόcθεcιν τοῦ ῑ μὴ ἐξαλλάccειν τὸν τόνον· εἰ δὲ περῶ οἶδεν ὁ ποιητὴc τὸ ῥῆμα καὶ περόωcι (Od. ζ 272) καὶ «περάαν μέγα λαῖτμα» (Od. ε 174) δῆλον ὅτι καὶ πειρῶν. ὁ μέντοι Ἀρίcταρχοc βαρύνων ἀναγινώcκει ὡc κείρων. φηcὶ γοῦν οὕτω γενόμενοc ἐπὶ τοῦ «παννυχίη μὲν (Cod. μὴν) ῥ' ἥ γε καὶ ἠῶ πεῖρε κέλευθον» (Od. β 434)· «τὸ πεῖρε διδάcκει ἡμᾶc καὶ τὴν πείρων μετοχὴν βαρύνειν· ὡc γὰρ ἔκειρε κείρων οὕτωc ἔπειρε πείρων. εἰ γὰρ περιεcπᾶτο ἦν ἂν ὁ παρατατικὸc ἐπείρα». ἔcτιν οὖν διττὸν τὸ ῥῆμα, καὶ τὸ μὲν cὺν τῷ ῑ οὐ περιcπαcθήcεται. A.

12. δινεύεcκ' ἀλύων: ψιλῶc τὸ ἀλύων· δῆλον κἀκ τῆc cυναλοιφῆc. A.

17. τόνδε δ' ἔcκεν: ὁμοίωc ἀναγνωcτέον τὸ τόνδε τῷ «τόνδε δ' ἐγὼν ἐπιόντα» (Il. Ε 238) καὶ «τόνδε δ' ἐγὼ κομιῶ» (Od. ο 546), λέγω δὲ ὀξύνοντα τὴν πρώτην, ἵν' ᾖ ἐπέκταcιc ἡ διὰ τοῦ δε. A.

33. ἐγκλιτικῶc τὴν ὔμιν ἀναγνωcτέον· ἔcτι γὰρ ἀπόλυτοc. A.

45. οὐδέ οἱ αἰδὼc γίγνεται, ἥτ' ἄνδραc μέγα cίνεται ἠδ' ὀδύνηcεν: τινὲc ἐδάcυναν τὸ ἡ δέ, ἵνα ἡ αἰδὼc διττὴ ὑπάρχῃ, ἡ μὲν βλάπτουcα ἡ δὲ ὠφελοῦcα. οὕτωc δὲ καὶ Εὐριπίδηc (Hippol. 385) ἐξεδέξατο εἰπὼν διττὰc εἶναι αἰδούc· δύναιτο δ' ἂν ἡ αὐτὴ οὖcα πῇ μὲν ὠφέλιμοc εἶναι πῇ δὲ βλαβερά. A.

72. ἢ γάρ οἱ αἰεὶ μήτηρ παρμέμβλωκεν: οὐκ ἀναγκαῖον τὸ ῆ ἄρθρον ἐκδέχεcθαι καὶ δαcύνειν. ἔθοc γὰρ αὐτῷ ἔcθ' ὅτε παραλεί-

---

Ω 1 verba τῆc δ' ἄρα κλαιούcηc λύτο γούνατα memoriae lapsu confusa esse ex τῆc δ' αὐτοῦ λύτο γούνατα δ 703 et τῆc δ' ἄρα κλαιούcηc ὄπα cύνθετο δῖοc Ὀδυccεύc υ 92 videntur Lehrsio, qui in E. M. transiisse monet. 8 περάαν scripsi pro περάᾳ, οὐ περιcπαcθήcεται cum Lehrsio pro περιcπαcθήcεται, qui in E. M., quo transiit, esse καὶ τὸ μὲν cὺν τῷ ῑ βαρύνεται, τὸ δὲ χωρὶc περιcπᾶται adnotat. 17 ὀξύνοντα pro ὀξύνων scr. L.

πειν τὰ ἄρθρα· «ἀλλὰ φίλη μήτηρ» (Il. Φ 276), «μήτηρ μέν τέ μέ φηςι» (Od. α 215). ςύνδεςμος οὖν ἐςτι βεβαιωτικός· διὸ περιςπαςτέον. A.

74. ἀλλ' εἴ τις καλέςειε θεῶν Θέτιν ἇςςον ἐμεῖο: τινὲς τὸ θέων ἐπὶ τοῦ τρέχων ἐξεδέξαντο, μετοχὴν παραλαμβάνοντες, καὶ ἐβάρυναν. ἀπίθανον δέ· διὸ περιςπαςτέον· γενικὴ γάρ ἐςτι πληθυντικὴ ὀνόματος τοῦ θεός. A.

80. βυςςόν: ἐπεκράτηςε τὸ ὀξύνεςθαι τῷ τὰ εἰς $\overline{\text{οc}}$ λήγοντα ὀνόματα διςύλλαβα, ἀρχόμενα ἀπὸ ςυμφώνου ἢ ςυμφώνων, δεδιπλαςιαςμένον ἔχοντα τὸ $\overline{\text{c}}$, ὀξύνεςθαι θέλειν, κιςςός, πεςςός. ἀντιπίπτει τὸ μέςςος. A.

82. τὸ ὠμηςτῇςιν ὡς ὀρχηςτῇςιν. προείρηται δέ (Λ 454). A.

84. Ἀριςτοφάνης τὸ εἷατο δαςέως, Ἀρίςταρχος δὲ ψιλοῖ. προείπομεν δὲ περὶ τῆς λέξεως (Ο 10). A.

94. ψιλῶς τὸ ἔςθος καὶ ἐςθής οὐ μόνον διὰ τὴν ςυναλοιφήν (e. g. ἔν τ' ἐςθῆτι ω 67), ἀλλὰ καὶ καθ' ὃν λόγον ἡμεῖς προείπομεν ἀναςκευάςαντες τοὺς ὑπὸ τῶν πρὸ ἐμοῦ εἰρημένους. τὰ γὰρ φωνήεντα ψιλοῦςθαι θέλει ἐπιφερομένου τοῦ $\overline{\text{c}}$ ἔχοντος ἓν τῶν δαςέων, ὀςφῦς, ὀςφραίνεςθαι, ἀςφόδελος, ἀςφάραγος, ἀςχάλλω, ὀςχεός, ἴςχω, ἰςχύς, ἀςθενής, ἐςθλός, ἆςθμα, ἔςθω· οὕτως ἄρα καὶ ἔςθος καὶ ἐςθής. A.

134. ἕέ: Καλλίςτρατος (cf. v. 213) καὶ Ἀρίςταρχος δαςύνουςι τὸ πρῶτον $\overline{\text{ε}}$ τῆς ἀντωνυμίας. τῷ δὲ τόνῳ ὡς ἐμέ. A.

202. ἔκλε': τὴν $\overline{\text{κλε}}$ ςυλλαβὴν ὀξυτονεῖ ὁ Ἀςκαλωνίτης, ἡγούμενος τὸ πλῆρες εἶναι ἐκλέου. οὐκ ἔςτι δέ, ἀλλ' ἐκλέεο τετραςυλλάβως. καὶ δῆλον ὅτι εἴτε ςυγκέκοπται ἡ ὀξεῖα εἴτε ἡ βαρεῖα ἡ μετὰ τὴν ὀξεῖαν, ὀφείλει πάλιν τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα φυλάττεςθαι· οὐδὲ γὰρ χαρακτὴρ κωλύει. τὸ μέντοι «ςὺ δ' αἴδεο καὶ μ' ἐλέηςον» (Il. Φ 74) καὶ τὰ τοιαῦτα, πρώτης ὄντα ςυζυγίας τῶν περιςπωμένων, ἄλλης ἀναλογίας ἔχεται, ὡς ἐν ἑτέροις εἴρηται. A.

213. τότ' ἄντιτα ἔργα γένοιτο: Ἀπολλόδωρος καὶ Καλλίςτρατος τιτά, ὥςτε τρία εἶναι, ἐπίρρημα τὸ τότε καὶ ςύνδεςμον τὸν ἄν καὶ ὄνομα τὸ τιτά. ὁ δὲ Ἀςκαλωνίτης ἄντιτα παραλαμβάνει, μεταλαμβάνων εἰς τὸ ἀντέκτιτα· οὕτω καὶ οἱ πλείους, ὁμοίως τῷ ἄτιτα (Il. Ξ 484). ἔχεται μὲν οὖν ἡ κατὰ ςύνθεςιν ἀνάγνωςις ἐμφάςεως καὶ μᾶλλον τοῦ νοητοῦ. μελλήςει δὲ λείπειν τὸ ἄν ἐν τῇ ςυντάξει ἐπιζητοῦντος τοῦ γένοιτο εὐκτικοῦ τὸ τοιοῦτο· παραφυλακτέον δὲ ὅτι καὶ ςυλλαβὴ λείπει ἤ τι, τοῦ ἐντελοῦς ὄντος ἀντίτιτα. A.

228. φωριαμῶν: Ἀρίςταρχος ὡς κιβωτῶν. καὶ ἔχομεν τῶν διὰ τοῦ $\overline{\text{αμοc}}$ παρηγμένων ὀνομάτων κανόνας τοιοῦςδε, πρῶτον μὲν ὡς τὰ τριβράχεα μὴ ὄντα ἐπιθετικὰ βαρύνεςθαι θέλει, κάλαμος, Πρίαμος.

---

80 de hoc canone cf. Pros. Cathol. p. 208, 3. 94 καὶ καθ' ὃν λόγον emendavit Bekkerus pro καὶ ἄλογον, L. inseruit ἔχοντος ἓν τῶν δαςέων et pro ὀςφύς, ὀςχεος, ἆςθμα veros accentus restituit. 134 L. οἷς καὶ ἐγὼ ςυγκατατίθεμαι addenda censet coll. Υ 171. 213 pro ἀντέκτιςτα correxit L. ἀντέκτιτα.

τὸ ποταμός ἐγένετο παρὰ τὸ ποτασμός καθ' ὑφαίρεσιν τοῦ ϲ, τὸ δὲ ἰταμός ἐπιθετικόν ἐστι. δεύτερον δὲ ὡς τὰ ἔχοντα τὴν ἄρχουσαν μακράν, εἰ μὲν θέσει ᾖ, βαρύνεται, ὄρχαμος, Τύρταμος, Πέργαμος· εἰ δὲ φύσει, κύρια μὲν ὄντα βαρύνεται πάλιν, ὡς ἔχει τὸ Πύραμος, Τεύταμος, οὐχ οὕτως δὲ ἔχοντα ὀξύνεται, ὡς ἔχει τὸ οὐλαμός, χηραμός. τούτῳ οὖν τῷ λόγῳ, εἴτε παρὰ τὸ τοὺς φῶρας ἀπείργειν ἢ ἀπὸ τοῦ τὰ φάρη φυλάσσειν ἡ προκειμένη λέξις παρῆκται, ἔσται κατ' ὀξεῖαν τάσιν φωραμός καὶ πλεονασμῷ τοῦ ῑ φωριαμός. A.

235. ἐξεσίην: Ἀρίσταρχος δασύνει τὴν δευτέραν συλλαβήν· «παρὰ γὰρ τὸ ἵημι, φησίν, ἐγένετο. ἐπιφέρει γοῦν πρὸ γὰρ ἧκε πατὴρ ἄλλοι τε γέροντες. παρὰ δὲ τὸν ἥσω μέλλοντα ἡ ἑσία ἐγένετο, ὡς καὶ παρὰ τὸ θήσω θεσία, «πῇ δὴ συνθεσίαι τε» (Il. B 339)· τὸ αὐτὸ καὶ ἐπὶ τοῦ «τῶν ἕνεκ' ἐξεσίην» (Od. φ 20)». οὕτως δὲ καὶ Νικίας. Νεοπτόλεμος δὲ ὁ Παριανὸς λέγων παρὰ τὸ ἐξιέναι πεποιῆσθαι τὴν λέξιν [οἷον τὴν ἔκπεμψιν] ἀξιοῖ ψιλοῦν. ἄμεινον δὲ τῷ Ἀριστάρχῳ πείθεσθαι. ἠπίστατο γὰρ ὁ ποιητὴς καὶ τὸν ἥσω μέλλοντα δασυνόμενον «ἥσω γὰρ καὶ ἐγώ» (Il. P 515)· παρὰ δὲ τοὺς μέλλοντας ὁριστικοὺς ἐγένετο τὰ τοιαῦτα ὀνόματα, οὐ παρ' ἐνεστῶτας ἀπαρεμφάτου ἐγκλίσεως. θύσω γοῦν θυσία, ἄξω ἀξία, δώσω δοσία, προδώσω προδοσία. οὕτως οὖν καὶ παρὰ τὸν ἥσω ἑσία καὶ ἐξεσία. A.

247. δασέως διέπ' παρὰ τὸ ἕπω δασυνόμενον. οὕτως καὶ Ἀρίσταρχος καὶ οἱ πλείους. οἷον διὰ τῶν ἀνδρῶν ἐπορεύετο καὶ διίστα αὐτούς. καὶ οὕτως ἔχει τὰ τῆς ἀναγνώσεως. A.

253. κατηφόνες ὡς Μακεδόνες. A.

272. ἕστορι: δασέως, ἀπὸ τῆς ἕσεως. τὸν γὰρ βαλλόμενον πάσσαλον ἐπ' ἄκρου τοῦ ζυγοῦ νοητέον. A.

292. ὅς τε οἱ αὐτῷ: ἐγκλιτικῶς ἀναγινώσκουσι τὴν οἱ ἐπεὶ εἰς ἁπλῆν ἡ μετάληψίς ἐστιν, ὁμοίως τῷ «ἀλλά οἱ αὐτῷ Ζεύς» (Od. δ 667). A.

316. μόρφνον: ὡς ὕπνον. καὶ οὕτως ἔχει ἡ ἀνάγνωσις. εἴτε μορόφονός ἐστιν (sic accentus eduntur), εἴτε παρὰ τὴν ὄρφνην ἐσχημάτισται, πλεονάσαντος τοῦ μ̄ κατ' ἀρχήν, ἵνα σημαίνηται ὁ μέλας, εἴτε παρὰ τὸ μάρπτω μάρφνος ἐστὶ καὶ μόρφνος ὁ συλλαμβάνων, ἐξ οὗ σημαίνεται ὁ ταχύς, κατὰ πάντα τρόπον ὀφείλει βαρύνεσθαι διά τε τοὺς σχηματισμοὺς καὶ τὸν χαρακτῆρα. τὰ γὰρ εἰς ος λήγοντα δισύλλαβα, μὴ ἔχοντα παρασχηματισμὸν θηλυκοῦ γένους, ἔχοντα πρὸ τέλους τὴν ορ συλλαβὴν πάντα βαρύνεται, ὑπεσταλμένων τῶν εἰς μος ληγόντων, οἷον χόρτος, φόρτος, ὅρκος, Ὄρθος τὸ μονογενές, πόρνος. οὐ γὰρ θηλυκὸν αὐτοῦ τὸ πόρνη. οὕτως δὲ θέλει καὶ τὸ πτόρθος. οὕτως μόρφνος. παρεφύλαξα δὲ τὰ εἰς μος διὰ τὸ κορμός, φορμός. τὸ μέντοι

235 verba ἀπαρεμφάτου κλίσεως Lehrsio suspecta sunt, quem etiam tenor orationis in ultimis verbis offendit. cf. Prosod. Cathol. p. 292, 13. 292 Lehrsius adnotat reliquam partem, ubi contrarium defenderet Herod., excidisse, coll. O 226 quaest. ep. 117. 316 in E. M. 519, 25—30 transiisse monet L.

περκνός ὀξύνεται ὁμοίως τῷ πυκνός. οὕτως καὶ ὁ Ἀσκαλωνίτης, μεταλαμβάνων εἰς τὸν μέλανα. καὶ ἐμοὶ δὲ δοκεῖ οὕτως ἔχειν ὑγιῶς, ἐπεὶ οὐδὲ παραλήγεται τῇ ορ συλλαβῇ ὡς καὶ τὰ προκείμενα. ὁ μέντοι Ἀρίσταρχος ἀετοῦ εἶδος καὶ βαρύνει, ἀλλ' ἐπείσθη ἡ παράδοσις τοῖς ὀξύνουσιν. A.

318. ἐϋκλῆις ἀραρυῖα: Ἀρίσταρχος ἐϋκλῆϊς ὡς ἐϋκνήμις, σύνθετον ποιῶν τὴν λέξιν, οὕτως καὶ ὁ Ἀσκαλωνίτης. εἰσὶ δὲ οἳ διεῖλον «ἐῢ κληῖς' ἀραρυῖα», οἷς συγκατατίθεται καὶ Τρύφων, οὐκ εὖ· ἄμεινον γὰρ ἐπιθετικῶς ἀκούειν καὶ μὴ πάθος ἐκδέχεσθαι πληθυντικῆς δοτικῆς, λέγω δὲ τὸ τῆς ἐκθλίψεως. ὃ δέ φημι, τοιοῦτόν ἐστιν, ὡς ὅτι ἐκθλίβεται μὲν τὸ ῑ τῆς δοτικῆς παρὰ τῷ ποιητῇ καὶ ἑνικῆς ὑπαρχούσης καὶ πληθυντικῆς, «κέρκιδ' ὕφαινε» (Od. ε 62) «χέρς' ἐρετάων» (Od. ν 115) «καὶ νήεσς' ἡγήσατ' Ἀχαιῶν» (Il. A 71), οὐ γε μὴν τὸ ἀπὸ τῶν εἰς ις ἐκτεταμένον θηλυκῶν. εἰ δ' ἡ προκειμένη λέξις κρίσεως δεῖται κατὰ τὴν ἀνάγνωσιν, δῆλον ὅτι συνθέτως ἀναγνωσόμεθα, ὅπως μὴ πληθυντικοῦ δῶμεν τὴν χρῆσιν παρὰ τὴν συνήθειαν τοῦ ποιητοῦ καὶ ἔκθλιψιν σημειώσῃ. εἰ δὴ σύνθετόν ἐστι τὸ εὐκλῆϊς, καὶ παροξύνειν δεῖ αὐτό, μακρὸν γὰρ τὸ ῑ καὶ ἐν τῇ συνθέσει, ὡς ἐν τῷ κ' τῆς καθόλου φησὶν ὁ αὐτός· ἀπὸ γὰρ τοῦ χρόνου τὸν τόνον ἐστήσαμεν. καὶ ἐν τῷ τρίτῳ δὲ τῶν ὀνοματικῶν περὶ τῆς ἐκτάσεως αὐτῶν ταὐτά φησιν· «ἄλλως τε εἰ ἐπιζητοῦσιν ἐκτεταμένον τὸ ῑ, ἔχουσιν ἐν τῷ ἐϋκνήμις, μελαμψήφις· καὶ εἰ τοῦτο, φησί, δῆλον ὅτι παροξύνεται». A.

343. τὴν ῥάβδον συσταλτέον κατὰ τὴν πρώτην συλλαβήν, οὐχ ὅτι παρὰ τὸ ῥάπτω ἐγένετο, ἔνθεν καὶ τὸ ῥαπίζω, ἀλλ' ὅτι καὶ τὸ α πρὸ τοῦ β̄ συστέλλεσθαι θέλει, ἀβρός, Ἄβδηρος, Ἀβαρβαρέη, ἐπιγράβδην. οὕτως οὖν ἐχέτω καὶ ἡ ῥάβδος. διὸ τὸ ἄβαλε καὶ κατὰ τοῦτο ἐσημειοῦτο. A.

388. ἔνισπες: ὡς ἔδραμες. ἔστι γὰρ ὁριστικὸν ἐκ τοῦ ἤνισπες τὴν ἄρχουσαν συστείλαντος. τὸ μέντοι προστακτικὸν πρὸ τέλους ἔχει τὴν ὀξεῖαν «σὺ δ' ἀληθὲς ἐνίσπες» (Od. γ 247) ὁμοίως τῷ ἐπίσχες. καὶ δῆλον ὅτι ὅπου μὲν τὸ ῑ ἐστὶ τῆς προθέσεως, ὅπου δὲ τοῦ ῥήματος. τὸ μέντοι ἄνευ τοῦ σ̄ προστακτικὸν προπαροξύνεται. λέγω δὲ τὸ «νημερτές μοι ἔνισπε» (Od. δ 642). V.

540. παναώριον: οἱ μὲν ἐδάσυναν, ἵνα ἐκδέξωνται τὸν κατὰ πάντα ἄωρον, οἱ δὲ ἐψίλωσαν ἐκδεχόμενοι τὸν εἰς πάντα πεφροντισμένον. ἄμεινον δὲ τὸ πρότερον. τοῦτο γὰρ ἐθέλει σημαίνειν. A.

557. ἐπεί με πρῶτον ἔασας: δασύνει Δίδυμος τὸ ἕασας ἐν πρώτῳ διορθωτικῶν, ὁμοίως καὶ Ἑρμαππίας, μεταλαμβάνοντες εἰς τὸ ἤδυνας. ὁ δὲ Σιδώνιος γράφει ἐπεί με πρῶτ' ἐλέησας. Ἀρίσταρχος δὲ οὐδὲν ἀποφαίνεται ἢ μόνον ἀθετεῖ τοὺς στίχους. δύναται δὲ

318 pro ἐρέται scr. ἐρετάων. 343 de ἄβαλε cf. Dichr. 297, 1 et Pros. Cath. p. 521, 29. 388 ἀληθές pro ἀληθῶς correxit L., qui ὅπου μὲν — ὅπου δὲ ex Herodiano sic se meminisse negat.

καὶ τὸ ψιλούμενον, ὥϲ φηϲι Τρύφων· καὶ ϲυμφωνεῖ (sc. Herodianus), εἰ μὴ πλήρέϲ ἐϲτι κατὰ τὴν φράϲιν, ἔχειν ἀφορμήν, ὡϲ ἔτι φθεγγομένου καὶ ἔτι λαλοῦντοϲ τοῦ Πριάμου τὸν Ἀχιλλέα ἀνθυπαντῆϲαι ὑπὸ ὀργῆϲ κεκινημένον καὶ μεϲολαβῆϲαι τὴν διάλεξιν «ἀλλὰ τάχιϲτα λῦϲον ἵν' ὀφθαλμοῖϲιν ἴδω, ϲὺ δὲ δέξαι ἄποινα πολλὰ τά τοι φέρομεν· ϲὺ δὲ τῶνδ' ἀπόναιο καὶ ἔλθοιϲ ϲὴν ἐϲ πατρίδα γαῖαν, ἐπεί με πρῶτον ἔαϲαϲ. τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν . . μηκέτι νῦν μ' ἐρέθιζε γέρον». τὸ δὲ ἐντελὲϲ τοῦ λόγου τοιοῦτόν τι ἔϲται· εἴαϲαϲ εἰϲ λόγουϲ ϲοὶ ἥκειν. A.

566. φυλακούϲ: Ἀρίϲταρχοϲ κατ' ὀξεῖαν τάϲιν προεφέρετο ὡϲ φρουρούϲ. ἔϲτι δὲ καὶ ὁ λόγοϲ ϲυναγωνιζόμενοϲ τῇ ὀξείᾳ τάϲει οὕτωϲ, ὡϲ τὰ εἰϲ κοϲ καθαρὸν λήγοντα ὑπὲρ δύο ϲυλλαβάϲ, παραληγόμενα τῷ α, προϲηγορικὰ ἢ ἐπίθετα ὀξύνεται, ἀνακόϲ, φαρμακόϲ, φυλακόϲ· τὰ γὰρ κύρια βαρύνεται, Φύλακοϲ, Αὔλακοϲ. AV.

579. ἤρεον: δαϲυντέον. ἔφαμεν γὰρ τὸ περιϲπώμενον αἱρῶ δαϲύνεϲθαι. A.

657. ποϲϲῆμαρ: ὑφ' ἕν, περιϲπωμένηϲ οὔϲηϲ πρὸ τέλουϲ, ὡϲ καὶ ἐν τῷ αὐτῆμαρ καὶ ἐννῆμαρ (v. A 53 cl. 81), ἑξῆμαρ. προείρηται δὲ ἤδη περὶ τῆϲ λέξεωϲ, ἀλλὰ καὶ ἐζήτητο ἐν ταῖϲ προτάϲεϲι. παραιτητέον οὖν τοὺϲ κατὰ διάλυϲιν ἀναγινώϲκονταϲ. A.

665. τῇ δεκάτῃ δέ κε θάπτοιμεν δαινῦτό τε λαόϲ: προπεριϲπαϲτέον, ὡϲ καὶ Φιλοξένῳ δοκεῖ, ἵνα ᾖ ἐκ τοῦ δαινύατο (ϲ 248) [τοῦ ἑνικοῦ] ϲυναλοιφή, ὡϲ πυθοίατο (A 257). ὡϲ οὖν τοὺϲ νέκυαϲ νέκυϲ ἔφη, καὶ τὸ δαινύατο δαινῦτο, οὕτωϲ ἔχει καὶ τὸ «λελῦτο δὲ γυῖα ἑκάϲτου» (Od. ϲ 238)· οὐδὲν δὲ θαυμαϲτὸν εἰ πληθυντικόν ἐϲτι τὸ δαινῦτο καὶ τὸ λαὸϲ ἑνικόν. τῷ γὰρ ϲημαινομένῳ ἡ ϲύνταξιϲ ἐγένετο, ὁμοίωϲ τῷ «ἀγρόμενοι πᾶϲ δῆμοϲ» (Il. Υ 166)· Φιλοξένῳ δὲ ἀρέϲκει ἐν τοῖϲ εἰϲ μι λήγουϲι καὶ ἑνικὸν αὐτὸ εὐκτικὸν εἶναι ἀκολούθωϲ κεκλιμένον. A.

793. τινὲϲ ὄϲτεα προπαροξυτόνωϲ ὡϲ χάλκεα. ἄμεινον δὲ παροξύνειν. A.

---

557 pro φέρομαι correxit φέρομεν L., qui monet versum 558 αὐτόν τε ζώειν καὶ ὁρᾶν φάοϲ ἠελίοιο Herodiano prorsus ignotum esse. 566 pro Αὔλακοϲ Lob. Proll. 307 Ὕλακοϲ coniicit cf. Pros. Cath. p. 149, 3.

ΕΚ ΤΩΝ ΗΡΩΔΙΑΝΟΥ
ΠΕΡΙ ΟΔΥΣΣΕΙΑΚΗΣ ΠΡΟΣΩιΔΙΑΣ.

ΕΙϹ ΤΗΝ Α.

1. ἄνδρα μοι: ἔδει μὲν ἐν τῷ ἄνδρα δύο εἶναι ὀξείας ὡς τὸ «ἄνδρά τε καὶ οἶκον» (ζ 181), ἀλλ' ἐφυλάξατο ὁ Ἀρίσταρχος διὰ τὸ μὴ ἐν τῇ εἰσβολῇ τῶν λέξεων κακοφωνίαν ποιῆσαι. M.

†8. νήπιοι οἳ κατὰ βοῦς Ὑπερίονος Ἠελίοιο ἤσθιον: ἡ κατά τὸν ἴδιον τόνον φυλάξει· πᾶσα γὰρ πρόθεσις ἔχουσα σύνταξιν πρὸς ἐπιφερόμενόν τι τὸν ἴδιον τόνον φυλάσσει. Il. Pros. A 258, Γ 440, Θ 4.

†15. ἐν σπέσσι: ἀπορεῖ ὁ Ἡρωδιανὸς ἐν τῇ A τῆς Ὀδυσσειακῆς προσῳδίας λέγων οὕτως, ὅτι ὥσπερ τὸ ἀνδρός καὶ πατρός καὶ μητρός ὠξύνθησαν πρὸς τὸν χαρακτῆρα, φημὶ δὲ ὁμοίως τοῦ μηνός, χηνός, γραός, διὰ τί μὴ τὸν αὐτὸν τρόπον ὠξύνθη τὸ σπέσσιν, ἀπὸ τοῦ σπέεσσι γενόμενον κατὰ συγκοπὴν πρὸς τὸν χαρακτῆρα τοῦ μησί, Τρωσί, βουσί; καὶ ἐπιλύεται λέγων, ὅτι ὁ διπλασιασμὸς τοῦ σ̄ ἴδιός ἐστι τῶν ὑπὲρ δύο συλλαβὰς δοτικῶν πληθυντικῶν, αἵ τινες καὶ μόνως βαρύνονται οἷον κύνεσσι, θήρεσσιν. · οὕτως οὖν καὶ σπέεσσι· τοῦτο τοίνυν συγκοπὲν καὶ γενόμενον σπέσσι διὰ μὲν τὴν δισυλλαβίαν ὤφειλεν ὀξύνεσθαι, διὰ δὲ τὸν διπλασιασμὸν τοῦ σ̄, ὅστις ἀεὶ ἐν βαρυνομέναις δοτικαῖς θεωρεῖται, κατὰ τοῦτο ἐβαρύνθη. τὸ «ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο» (Il. Ξ 186) ἔχει διπλασιασμὸν τοῦ σ̄ καὶ οὐ βαρύνεται, ἀλλ' οὐ παραλήγοντος τοῦ ε̄, ὥσπερ ἐπὶ τῶν προλεχθέντων παραδειγμάτων οἷον τοῦ κύνεσσι, θήρεσσι καὶ τῶν τοιούτων. Choer. Gaisf. 462, 30, Bekk. An. 1266.

A 1 cf. Charac. ap. Choer. Gaisf. 20, 10, Bekk. An. 1149: καὶ εὐλόγως εἰς τὴν ἀρχὴν τῆς Ὀδυσσείας ὁ Ἀρίσταρχος οὐκ ἐβουλήθη δοῦναι εἰς τό ἄνδρα μοι δύο ὀξείας, ἀλλὰ μίαν εἰς αν, φάσκων «ἐν ἀρχῇ ποιήσεως παράλογον οὐ μὴ ποιήσω». Haec tamen causa, inqnit Lehrsins quaest. ep. 105, ineptior videtur qnam pro Aristarcho. Si quidem maluit hoc loco ἄνδρα μοι scribere praeter morem, quod tamen hoc solo auctore incertum manet, alia ratione ducebatur». Licet hoc Codicis Marciani scholio aliquid fidei Characi accesserit, tamen causa, qna Aristarchns movebatnr, parum perspicua est. cf. Friedlaenderum in Iahnii Anal. 1858 p. 3. 15 pro ῥαψῳδίας scripsi προσῳδίας. Io. Alex. breviter sic refert p. 11, 21: τὸ σπέσσι γλαφυροῖσιν ὅσον ἐπὶ τῇ δισυλλαβίᾳ ὀξύνεσθαι ὤφειλεν, νῦν δὲ τῷ τύπῳ βεβαρυτόνηται.

27. ἀθρόοι: δαςυντέον τὸ ᾱ. καὶ πρὸ τέλους ἡ ὀξεῖα, ἐπειδὴ σημαίνει ὁμοῦ. H.

30. τηλεκλυτός: ὀξυτονητέον τὸ τηλεκλυτός ὡς ἀγακλυτός. εἰ μὲν πτωτικὸν κατ' ἀρχὴν συντεθείη, βαρύνεται ὡς τοξόκλυτος. εἰ δὲ ἄλλο τι τῶν ὑπὲρ μίαν συλλαβήν, ὀξύνεται. διὸ σημειούμεθα τὸ ναυσικλυτός ὀξυνόμενον. τὸ δὲ δουρὶ κλυτός ἐν παραθέσει ἐστίν. HQ.

34. ὑπὲρ μόρον: οὐ σύνθετον τὸ ὑπὲρ μόρον. MQ.

49. φίλων ἀπὸ πήματα πάσχει: ἀντὶ τοῦ ἄποθεν. διὸ ἐγκλίνεται. H.

52. ὀλοόφρονος: Κλεάνθης δασύνει τοῦ περὶ τῶν ὅλων φρονοῦντος ἴδιον οὕτως νοήσας. ἄμεινον δὲ ψιλοῦντας ἀκούειν τοῦ τὰ ὀλέθρια καὶ δεινὰ φρονήσαντος· εἷς γὰρ τῶν Τιτάνων ὁ Ἄτλας ἱστορεῖται. H.

†66. περὶ μὲν νόον: τὸ περί φυλάσσει τὸν τόνον, ὅτε σημαίνει τὸ περισσῶς. Il. Pr. Δ 46, Β 831.

70. ὅου: παροξυτονητέον τὸ ὅου· τὸ γὰρ οὗ διήρηται, ὡς τὸ «ἕης τὸ πρίν γ' ἐράασθε» (Π 208). καὶ καθόλου τὰ μὲν ἄρθρα διαιροῦνται, αἱ δὲ ἀντωνυμίαι πλεονάζουσιν. καὶ τὰ μὲν βαρύνονται, αἱ δὲ ἐπὶ τέλους ἔχουσι τὸν τόνον, οἷον ὅου ἄρθρον, ἑοῦ ἀντωνυμία, ἕης ἄρθρον, ἑῆς ἀντωνυμία. HM.

109. αὐτοῖσι: Νικίας δύο μέρη λόγου ποιεῖ αὖ καὶ τοῖσι. Ἀρίσταρχος δὲ ἕν, ὃ καὶ ἄμεινον. EMQ.

112. νίζον καὶ προτίθεντο, ἰδέ: ἄμεινόν φησιν Ἡρωδιανὸς ἀναγινώσκειν «καὶ πρότιθεν, τοὶ δὲ» καὶ γὰρ ὁ λόγος οὕτως μᾶλλον ἀκόλουθος. οἱ μὲν οἶνον ἔμισγον, οἱ δὲ σπόγγοισι νίζον, οἱ δὲ κρέα ἐμέριζον· καὶ ἄλλως τὸν παρατατικὸν τοῦ τίθημι ἐνεργητικῶς οἶδε λεγόμενον ὁ ποιητής, οὐ παθητικῶς· «παρὰ δέ σφι τίθει» (Od. α 142). ἀκόλουθον πληθυντικὸν «νίζον καὶ πρότιθεν». EM.

†118. τὰ φρονέων μνηστῆρσι μεθήμενος εἴσιδ' Ἀθήνην

---

27 cf. Il. Pros. Μ 391. 30 cf. Il. Pros. Κ 109. 34 Aristarchum ὑφ' ἕν protulisse, Heliodorum vero ὡς δύο μέρη λόγου pronunciasse comperimus ex Apoll. Soph. s. v. In Il. Pr. Β 155 Herodianus ὑπέρμορον neutrum adiectivi ὑπέρμορος esse affirmat, in Υ 30 ὑπὲρ μόρον etiam disiunctim scribi passe concedit: δύναται τὸ ἐν Ὀδυσσείᾳ (h. l.) κατὰ διάλυσιν ἀναγινώσκεσθαι, ὁμοίως τῷ «μὴ καὶ ὑπὲρ μοῖραν Ἄιδος» (Υ 336). cf. Kayser Philol. XXI, 34 qui laudat Ep. Cr. I 422. 49 haec pars Scholii ab Herodiano profecta est, nam ἐγκλίνεται hic idem significat quod οὐκ ἀναστρέφεται atque Herodianum eam sententiam amplexum esse, ut voculam ἀπό denotantem ἄποθεν, ubi cum genetivo coniuncta sit, accentum non retrahere existimaret, dilucide exposuit Lehrs. qu. ep. 95. Sed sequentia ὡς τὸ «ἄπο πλυνοί εἰσι πόληος» (Ζ 40) ab Herodiano aliena sunt, nam is hoc Odysseae loco accentum retraxit, quia praepositio a casu suo seiuncta esset. — In lemmate secundum Herodiani sententiam pro ἄπο scripsi ἀπό.
52 νοήσας coniicit Dindorfius pro vocabulo obscuro, in quo literae ἧσθ' apparent. cf. Eustath. 1389, 55. 70 locus geminus desumptus ex libro περὶ παθῶν exstat in E. M. 614. 34. 109 cf. Il. Pr. Π 87, Κ 25. 112 licet Herodianus Aristarchi scripturam et sententiam secutus sit, tamen non dubium est, quin hac adnotamentum ab ea profectum sit, quippe quod in syllabarum distinctione versetur.

προπαροξυτόνως ἀνέγνωμεν τὸ εἴcιδε, πᾶc γὰρ παρῳχημένος διcύλλαβος παθὼν κατὰ τὴν ἀρχὴν καὶ βραχεῖαν ἀναδεξάμενος ἀναδίδωcι τὸν τόνον· εἰcεῖδε (Il. Ξ 158) εἴcιδε. Il. Pr. Ζ 244.

130. ὑπὸ λῖτα: προπεριcπαcτέον· ἑνικόν γάρ ἐcτι μεταπλαcθὲν ἀπὸ τοῦ λιτόν. PQ.

134. ἀδήcειεν: ψιλωτέον ἀδήcειεν· ὅταν γὰρ ἐν cυναλοιφῇ τὸ ψιλούμενον ἐν ἀρχῇ φωνῆεν ἐπικρατήcῃ, καὶ τὸ πνεῦμα αὐτοῦ κρατεῖ, οἷον ὦ ἑταῖρε, ὦταιρε. Q. ?

162. κυλίνδει: παρὰ τῷ ποιητῇ βαρύνεται ἀεί· δῆλον ἐκ τοῦ «προπροκυλινδόμενος» (Od. ρ 525) καὶ «ἥ τε κυλινδομένη» (Il. Π 794). M.

165. ἢ ἀφνειότεροι: κοιμιcτέον τὸν ἤ· διαcαφητικὸc γάρ ἐcτιν ἀντὶ τοῦ ἤπερ, οὐ διαζευκτικόc. εὔξονται μᾶλλον ταχεῖc εἶναι ἤπερ πλούcιοι. HQ.

168. φῆcιν: τὸ φῆcιν cὺν τῷ ῑ ὡc τὸ «δῷcι πόλιν Τροΐην» (Α 129). προπεριcπαcτέον. ἐν παρολκῇ γάρ ἐcτιν ἡ cιν. HMQ.

170. πόθεν εἰc: ἐγκλιτέον τὴν εἰc. ἀλλ' οὐκ ἐγείρει τὴν θεν cυλλαβήν. πυρριχιακὴ γάρ ἐcτι. M.

174. εὖ εἰδῶ: τὸ εἰδῶ Τυραννίων μὲν βαρύνει, Ἀρίcταρχος δὲ περιcπᾷ, ᾧ καὶ πειcτέον. MQ.

175. ἠὲ νέον μεθέπειc ἦ καὶ πατρώϊόc ἐccι: ὁ δεύτερος ἦ περιcπᾶται. ἐρωτηματικὸc γάρ ἐcτι. — καὶ τὸ ἐccὶ ἐγκλιτέον. EM.

185. νηῦc δέ μοι ἥδ': προπεριcπαcτέον τὸ ἦδε· ἔcτι γὰρ ἀντωνυμία ἀναφορική. HMQR.

*186. ὑπὸ Νηΐῳ ὑλήεντι: ὁ Ἀπίων cυνθέτωc ἀνέγνω, ὁ δὲ Ἡλιόδωροc διαιρεῖ, ἵν' ᾖ ὑπὸ τῷ Νηΐῳ. Bekk. An. 1158, Cr. An. Ox. IV 310.

---

130 cf. Il. Pr. C 352. 134 his verbis reprobata ab Herodiano sententia contineri videtur, ipse Herodianus (cf. Il. Pr. Є 203 et Λ 88) Aristarchi aspirationem amplexus esse videtur. Quare sic adnotamentum restituendum foret: τινὲc νομίζουcι ψιλωτέον τὸ ἀδήcειεν· ὅταν γάρ, φαcίν κτλ. et in fine: Ἀρίcταρχοc δὲ δαcέωc· ἔcτι γὰρ ἀπὸ τοῦ ἥδω. cf. Pneumatol. El. p. 725 seqq. et Lobeckium, quem ibi citavi, Rhem. 306 et adnot. ad Buttm. 99, El. II 71. 162 cf. Il. Pros. Ρ 688, ubi praeterea κυλίνδετο (Od. θ 81, λ 598) et κυλίνδων (Od. ε 296) proferuntur. Pro προκυλινδόμενος Codicis iam Friedlaenderus l. c. p. 4 scribendum esse προπροκυλινδόμενος vidit; Hindis locum Herod. in Il. Pr. l. c. ἡ δὲ κυλινδομένη scriptum exhibet. 165 cf. Ep. Cr. I 189, 26. — ἡ cύνδεcμος διαζευκτικὸc sententia differt a διαcαφητικῷ, accentu tamen congruunt et διαπορητικόc tantum ἦ diversum accentum et circumflexum quidem flagitat. Quare ad accentum quod attinet, clarius verba sic procederent: κοιμιcτέον τὸν ἤ· οὐ γάρ ἐcτι διαπορητικόc, ἀλλὰ διαcαφητικὸc ἀντὶ τοῦ ἤπερ, οὐ διαζευκτικόc. De re cf. Apoll. de coni. 489, Io. Al. 41, 12, E. M. 415, 15, Lehrs qu. ep. 51 seqq. — Pro τὸ ἡ scripsi τὸν ἤ. 168 cf. Il. Pr. Α 129. 170 cf. Mon. 44, 23. 174 cf. Il. Pr. Ζ 150. 175 de ἦ cf. Il. Pr. Υ 17, Io. Al. 41, 20, de ἐccί Mon. 44, 16. 177 ἐπεὶ καὶ κεῖνοc: ἐκ πλήρουc ὁ καί. τῇ γὰρ ἐκεῖνοc οὐ χρῆται, εἰ μὴ ἀναγκαcθῇ ὑπὸ μέτρου. οὕτωc Ἀρίcταρχοc. EHMQ. Hoc Aristonici videtur, sed si conferas Il. Pros. Α 177 et γ 255 simile quid Herodianum etiam praecepisse verisimile est. 185 cf. Lehrs qu. ep. 134. 186 pro Ἡλιόδωροc Lob. El. I 543 Ἡρωδιανόc substituit, sed si conferas Steph. Byz. 473, 13 (τὸ Ὑπονήϊον cύνθετον ὡc τὸ Ἐπικνημίδιοι) Herodianum potius Apioni adstipulatum esse exi-

192. παρτιθεῖ: ἐνεστὼς χρόνος ἀπὸ τοῦ τιθῶ, διὸ περισπᾶται. P.

212. οὔτ' ἐμὲ κεῖνος: πλήρης ἡ ἐμέ ἀντωνυμία. πρὸς γὰρ ἀντιδιαστολὴν παρείληπται. M.

214. τοιγὰρ ἐγώ τοι: τὸ πρῶτον τοί οὐκ ἔστιν ἀντωνυμία· οὐδέποτε γὰρ ἀρκτικὸν τὸ τοί· ἀλλ' ἔστιν ἀντὶ τοῦ δή. BM.

215. μήτηρ μέν τέ μέ φησι: ἡ μὲν μέ ἀπόλυτος, ἡ δὲ ἐγώ ἀντιδιαστολὴν ἔχει πρὸς τὴν μητέρα. HM.

218. ὃν κτεάτεσσιν ἑοῖς ἐπὶ γῆρας ἔτετμεν: οὐκ ἀναστρεπτέον τὴν ἐπί. BE.

†247. Ἰθάκην κατακοιρανέουσαν: εἰ μὲν πρὸς Ἰθάκην συντάττοις τὴν κατά, ἵνα τοπικὴν δηλώσῃς σχέσιν κατὰ Ἰθάκην, ἀναστρέψεις τὴν πρόθεσιν· εἰ δὲ πρὸς τὸ κοιρανέουσιν, ἵνα ἔμφασιν δηλώσῃς τῆς τῶν μνηστήρων ἐπικρατείας, ὅπερ καὶ μᾶλλον δοκεῖ, ὀρθοτονήσεις τὴν πρόθεσιν. Herod. ap. Io. Al. 26, 15.

†251. τάχα δή με διαρραίσουσι καὶ αὐτόν: ἐχρῆν ὀρθοτονεῖσθαι τὴν ἀντωνυμίαν. ἀλλὰ τῷ μὴ ὁρᾶσθαι κατ' ἀρχὴν τὸ ε̄ οὕτως ἀνέγνωσαν. τοῦτο γὰρ ἐπακολουθεῖ τοῖς πρωτοτύποις. ἐχρῆν δὲ αὐτοὺς ἐπιγνῶναι ὅτι κρᾶσις δύναται ἐπακολουθεῖν (sc. δὴ 'μέ) καὶ οὕτως ῥῶσαι τὴν ὑγιῆ ἀνάγνωσιν. Il. Pr. I 614.

252. τὸν δ' ἐπαλαστήσασα: τὸ ἐπαλαστήσασα δηλοῖ τὸ ἐπὶ τοῖς λεχθεῖσιν ὡς ἀλάστοις καὶ δεινοῖς οὖσι δεινοπαθήσασα. ἐὰν δὲ ᾖ χωρὶς τοῦ ε̄ παλαστήσασα, ἔσται τῷ παλαιστῇ, ὅ ἐστι τῷ ἀγκῶνι τῆς χειρός, νύξασα. EVQ.

272. αὔριον: ψιλωτέον τὸ αὔριον. ἡ μὲν γὰρ αυ δίφθογγος πρὸ συμφώνου ψιλοῦται αὐλός αὔρα, αὔω τὸ φωνῶ. αὔω δὲ τὸ ξηραίνω δασύνεται. E.

276. ἕεδνα: δασύνεται τὸ ἕεδνα ὡς τὸ ἕερσα. M.

300. ἔκτα: πολλοὶ συστέλλουσι τὸ α τοῦ ἔκτα νομίζοντες ἀποκοπὴν εἶναι τοῦ ἔκτανε. ὁ δὲ Ἀρίσταρχος ἐκτείνει. MQ.

313. διδοῦσι: ἀπὸ τοῦ διδῶ. οἶδε δὲ αὐτοῦ τὴν κλίσιν ὁ ποιητής «δῶρα μὲν οὐκέτ' ὀνοστὰ διδοῖς» (Il. I 164)· οἶδε δὲ καὶ τὸ δίδωμι. EQ.

---

stimes et Heliodori nomen, quod etiam in Mon. 34, 15 occurrit, rectum esse. 214 cf. Il. Pros. A 294. 215 cf. Il. Pros. Φ 159. 218 in fine excidisse videntur λαμβάνεται γὰρ πρόθεσις ἀντὶ προθέσεως ἡ ἐπί ἀντὶ τῆς παρά. cf. Lehrs qu. ep. 87 et 91, Aristonic. ad Z 92. 247 cf. Il. Pros. E 332. 252 similia habes in Il. Pros. O 10, Ξ 183, Λ 754 et aliis locis. 272 cf. Il. Pros. Λ 461, unde pro φλογίζω scripsi φωνῶ. Ep. Cr. I 88, 23. 276 collat. Il. Pros. N 543 pro ἕεργον codicis ἕερσα coniicit Friedlaender l. c. 300 Herodiani sententiam a Scholiastis perversam esse apparet ex Il. Pros. B 662, ubi ἔκτα in fine positum ut h. l. Aristarchum κατὰ συστολὴν pronunciasse traditur, quod cum propter quosdam non dubios Homeri locos (Il. O 432, Od. λ 409) fecisse testatur Aristonicus O 432 monente Lehrsio. Herodianus sic fere scripturus fuit: πολλοὶ τῷ Ἀριστάρχῳ συγκατατιθέμενοι συστέλλουσι τὸ ᾱ τοῦ ἔκτα νομίζοντες ἀποκοπὴν εἶναι τοῦ ἔκτανε (cf. Il. Pros. Z 205)· ὁ δὲ Τυραννίων ἐκτείνει. 313 cf. Il. Pros. I 164, unde διδοῦσι ὡς ὀρθοῦσι scribendum esse concludas.

320. ὄρνις δ' ὡς ἀνόπαια: ὁ μὲν Ἀρίσταρχος ἀνόπαια προπαροξυτόνως ἀναγινώσκει ὄνομα ὄρνιθος λέγων· ὁ δὲ Ἡρωδιανὸς ἀνοπαῖα ἀντὶ τοῦ ἀοράτως, ἵν' ᾖ οὐδέτερον πληθυντικὸν ὡς τὸ «πυκνὰ μάλα στενάχων» (Il. Σ 318). διὸ καὶ προπερισπαστέον φησίν. EHQR.

326. εἵατ' ἀκούοντες: δασυντέον τὸ εἵατο. ἕατο γάρ ἐστι. τὸ δὲ ῑ προσελθὸν τηρεῖ τὸ αὐτὸ πνεῦμα ἕως εἵως, ἕνεκα εἵνεκα. EHMQ.

379. δῶσι: ὡς τὸ «δῶσι πόλιν Τροΐην» (Α 129). M. τὸ σι κατ' ἐπέκτασιν. B.

†395. πολλαὶ ἐν ἀμφιάλῳ Ἰθάκῃ: ἡ ἁλὸς γενικὴ ἐν τῇ συνθέσει ἐπὶ μὲν κυρίων ψιλὸν ἀποφέρεται τὸ πνεῦμα Εὐρύαλος, Ἀμφίαλος, Ἀστύαλος· ἐπὶ δὲ ἐπιθετικῶν τὸ ἴδιον τηρεῖ πνεῦμα «πολλαὶ ἐν ἀμφιάλῳ Ἰθάκῃ» «ἀγχίαλόν τ' Ἀντρῶνα» (Β 697), ὕφαλος. Il. Pros. Ο 705.

415. ἥντινα μήτηρ: τινὲς ψιλοῦσι τὸ «ἥντινα μήτηρ», ἵν' ᾖ εἴ τινα. ἄμεινον δέ ἐστι δασύνειν. EQS.

428. δαΐδας: δαῖς ὀξυτόνως ἡ λαμπάς, δάϊς δὲ βαρυτόνως ἡ μάχη. S.

429. Εὐρύκλει' Ὦπος θυγάτηρ: Ὦπος προπερισπαστέον διὰ τὴν ἀντέκφρασιν πρὸς τὸν ὀφθαλμόν. V.

443. †οἰὸς ἀώτῳ: δισυλλάβως τὸ οἰός ἕνεκα μέτρου. H. Pr. Γ 198.

ΕΙϹ ΤΗΝ Β.

1. ἦμος: τὸ ἦμος τροχαϊκόν ἐστι καὶ διὰ τοῦτο ψιλοῦται. E.

23. ἀλλ' οὐδ' ὧς: περισπαστέον τὸ ὧς. H.

28. νῦν δὲ τίς ὧδ' ἤγειρε: τὸ τίς πυσματικὸν ἐνθάδε τυγχάνον φυλάσσει τὸν ἴδιον τόνον. HMQS.

29. ἠὲ νέων ἀνδρῶν ἢ οἳ προγενέστεροί εἰσιν;

30. ἦέ τιν' ἀγγελίην στρατοῦ ἔκλυεν ἐρχομένοιο;

32. ἦέ τι δήμιον ἄλλο πιφαύσκεται ἠδ' ἀγορεύει;

οὗτοι (sc. v. 29) μὲν ἐγκλίνονται διαζευκτικοὶ ὄντες, οἱ δὲ ἑξῆς (v. 30 et 32) περισπῶνται· ἐρωτηματικοὶ γάρ. HS.

31. ἥν χ' ἡμῖν σάφα εἴποι: ἀπολύτως ἡ ἀντωνυμία, διὸ τὴν προτέραν ὀξυντέον. HS.

33. εἴθε οἱ αὐτῷ: ἀπολύτως ἡ οἱ. H.

---

326 reliqua a Scholiastis assuta sunt. Caeterum hoc adnotamentum contra eos, qui εἵατο scribebant, propositum esse recte Dindorfius indicat. cf. Il. Pros. Ο 10, Ω 84. 379 ex Il. Pros. Α 129 in fine addi potest: διὸ καὶ τὸ ῑ ἔχει. 428 caute de discriminandis accentu his vocibus agit Pros. Il. Λ 677, Ξ 387. 429 cf. Io. Al. 10, 9.

Β 1 cf. Arcad. 198, 14, Herod. in E. M. 420, 30. 23 cf. Il. Pros. Λ 720, Α 116, Γ 159. 28 cf. Arcad. 140, 10. 29—32 cf. Lehrs quaest. ep. 51 seqq. 31 cf. Lehrs qu. ep. 123. 33 Herodiani notam detruncatam esse patet ex Il. Pros. Ο 226 cf. Lehrs. qu. ep. 117 seqq., qui docet Herodianum in Homerica Prosodia οἷ αὐτῷ ἁπλῶς sive συνθέτως positum recto accentu insignivisse, sed in Catholica, ubi pro simplici αὐτῷ esset, inclinasse.

†58. οὐ γὰρ ἔπ' ἀνὴρ οἷος Ὀδυσσεύς: τὴν ἐπὶ πρόθεσιν κατὰ τὴν ἄρχουσαν ὀξυτονητέον. ἔστι γὰρ σημαντικὴ ῥήματος ἡ πρόθεσις. Il. Pros. A 174.

60. ἢ καὶ ἔπειτα: οἱ μὲν γράφουσι περισπωμένως· οἱ δὲ ὀξυτόνως. καλῶς δὲ ἔχουσι καὶ τὰ δύο. H.

88. ἦ τοι περὶ κέρδεα οἶδεν: οὐκ ἀναστρεπτέον τὴν περί. ἔστι γὰρ περίοιδεν. M.

89. ἤδη γὰρ τρίτον ἐστὶν ἔτος, τάχα δ' εἶσι τέταρτον: προπερισπαστέον τὸ εἶσι· σημαίνει γὰρ τὸ διελεύσεται. M.

106. τρίετες: προπαροξυτόνως. H.

114. τῷ ὅτεῳ: ὅτεῳ ὡς Πηνέλεῳ. τὸ γὰρ τῷ μετὰ τὸ γενέσθαι ὅτῳ διῃρέθη ὡς τὸ ὅτου ὅτεο καὶ ἐν πλεονασμῷ τοῦ τ̄ «εἰρήσεται ὅττεό σε χρή» (α 124). EM.

†119. ἐϋπλοκαμῖδες Ἀχαιαί: τὰ εἰς ις λήγοντα θηλυκὰ ὀξυνόμενα, εἰ ἐν τῇ συνθέσει φυλάσσοι μόνον τὸ θηλυκὸν γένος, καὶ τὸν αὐτὸν τόνον φυλάσσει, πλοκαμίς «ἐϋπλοκαμῖδες Ἀχαιαί». Il. Pr. B 175.

139. δαῖτας: ἀπὸ τοῦ δαίς δαιτός προπερισπωμένως, εἰ δὲ ἀπὸ τοῦ δαίτη δαίτης παροξυτόνως. S.

146. τῶ δ' αἰετώ: τινὲς τὸ τω̄ περισπῶσιν ἐπὶ τοῦ Τηλεμάχου ἀκούοντες. HQS.

†153. παρειάς: Ἡρωδιανὸς ἐν τῇ βίβλῳ φησὶ τῆς Ὀδυσσειακῆς προσῳδίας τὸ φορβειά διὰ τῆς ει διφθόγγου γράφεσθαι καὶ ὀξυτόνως. Schol. ad Aristoph. Av. 861.

157. Ἀλιθέρσης: τὸ Ἀλιθέρσης ψιλωτέον, εἰ καὶ παρὰ τὸ ἅλς ἐγένετο, εἰς ἰδιότητα τοῦ ὀνόματος. EM.

185. ἀνίείης: δασυντέον· ἔστι γὰρ ἀντὶ τοῦ ἀναπείθοις, ἀπὸ μεταφορᾶς τῶν κυνηγῶν τῶν ἐφιέντων τοὺς ἱμάντας τοῖς κυσί.' ψιλοῖ δὲ Ἑλλάνικος παρὰ τὴν ἀνίαν ἐκδεχόμενος τὸ λυποίης. εἰ δὲ τοῦτο, ἐχρῆν γράφειν ἀνιῴης· τοιαύτη γὰρ ἡ δευτέρα συζυγία. HMQRV.

210. ταῦτα μὲν οὐχ ὑμέας ἔτι λίσσομαι: παροξυτόνως ἡ ὑμέας ἀντωνυμία. ἔστι γὰρ ἀντιδιασταλτική. M.

---

88 hoc ipsum περίοιδεν etiam περισσῶς οἶδεν, ut explicat Eustath. 801, 41, significare posse dicit Herod. in Il. Pros. K 247 cf. Lehrs qu. ep. 97. 106 Eustath. 1437, 9: τὸ τρίετες ὥσπερ καὶ τὸ τετράετες καὶ τὰ ὅμοια προπαροξύτονα χρόνου εἰσὶ δηλωτικὰ ἐπιρρήματα. τὸ μέντοι τριετές οἷον παιδίον ἢ ἄλλο τι ὀξύνονται πρὸς διαφοράν. cf. Ammon. p. 131, Lehrs qu. ep. 135 seqq. 114 cf. Od. κ 39, Il. Pros. O 491, Lob. El. I 422 et II 97. 139 pro εἴτε scripsi εἰ δέ. de δαίτη cf. Arcad. 114, 18. 146 τῷ recepit Bekker. 153 adnotamentum de scriptura et accentu voc. φορβειά contentum fuisse videtur in praecepto eiusmodi, quale est Arcadii 98, 23. 157 cf. Il. Pros. A 264, ubi de Ἑξάδιον: χωρὶς εἰ μὴ λέγοι τις διὰ τὴν ἰδιότητα τὸ πνεῦμα μεταπεπτωκέναι. 185 cf. Lehrs de Aristarch. p. 312 ed. II. 210 ἡ inseruit Friedlaender l. c.

222. χεύω: Ἡρωδιανὸϲ χεύω, ἵν' ἡ ἐνεϲτὼϲ ἀντὶ τοῦ μέλλοντοϲ. HM.

237. ϲφὰϲ γὰρ παρθέμενοι: ὀξυτονητέον τὴν ϲφάϲ. κτητικὴ γὰρ ἀντὶ τοῦ ϲφετέραϲ. BMQS.

240. ἄνεῳ: ϲὺν τῷ ῑ τὸ ἄνεῳ· εὐθεῖά ἐϲτι πληθυντικὴ ἀπὸ τοῦ ἄνεωϲ. HM.

281. τῶ: γράφεται καὶ τώ μετὰ ὀξείαϲ. H.

300. ἀνιεμένουϲ: δαϲέωϲ ἀπὸ τοῦ ἵημι. QER.

325. ἢ μάλα Τηλέμαχοϲ φόνον ἥμιν μερμηρίζει.
ἤ τιναϲ ἐκ Πύλυ ἄξει ἀμύντοραϲ ἠμαθόεντοϲ,
ἢ ὅγε καὶ Cπάρτηθεν, ἐπεί νύ περ ἵεται αἰνῶϲ·
ἠὲ καὶ εἰϲ Ἐφύρην ἐθέλει.

Ὁ μὲν πρῶτοϲ ἢ περιϲπᾶται, οἱ δὲ ἑξῆϲ ἅπαντεϲ ἐγκλίνονται πλὴν τοῦ δευτέρου, ὃϲ ὀξύνεται διὰ τὸ τινάϲ. M.

370. οὐδ' ἀλάληϲθαι: προπαροξυτόνωϲ. δηλοῖ γὰρ τὸ πλανᾶϲθαι. MS.

434. πεῖρε κέλευθον: τὸ πεῖρε ἀντὶ τοῦ ἐπέρα. ἔνθεν καὶ τὸ «ἀλεγεινά τε κύματα πείρων» (Od. θ 183). EBQ.

ΕΙϹ ΤΗΝ Γ.

7. πεντακόϲιοι: οὕτω διὰ τοῦ ᾱ πεντακόϲιοι Ἀρίϲταρχοϲ καὶ Ἡρωδιανόϲ. HMQS.

8. ἑκάϲτοθι: ἐν ἑκάϲτῳ τόπῳ Ἀρίϲταρχοϲ καὶ Ἡρωδιανόϲ. τινὲϲ δὲ ἑκάϲτοθεν, ὅ ἐϲτιν ἐξ ἑκάϲτηϲ πεντηκοϲτύοϲ. προπαροξύνεται δὲ ἀμφότερα. HMQS.

10. οἱ δ' ἰθὺϲ καταγοντο ἰδ' ἱϲτία: Ἀρίϲταρχοϲ κάταγον, εἶτα τοὶ δ' ἱϲτία. ὁ δὲ Ἡρωδιανὸϲ κατάγοντο· τὸ ὅμοιον καὶ ἐπὶ τοῦ «νίζον καὶ προτίθεντο ἰδὲ κρέα πολλὰ δατεῦντο» (Od. α 112). HM.

---

222 plenum Scholion est: Πτολεμαῖοϲ ὁ Ὀροάνδου χείω γράφει καὶ Ἀρίϲταρχοϲ, Ἡρωδιανὸϲ δὲ χεύω etc. Schmidtius priorem partem Didymo tribuit atque pro Herodiano Zenodotum restituendum suspicatur, sed Herodianus de accentu egisse videtur sic fere ut in Il. Pros. Λ 365, Υ 452: τὸ χεύω φυλακτέον ἐπὶ τοῦ αὐτοῦ τόνου, λέγω δὲ τοῦ βαρέοϲ. ἐνεϲτὼϲ γάρ ἐϲτιν ἀντὶ μέλλοντοϲ. 240 cf. Apollon. de adv. 555 et 577, 10, cum quo Herodianus, ut in accentu ap. Io. Al. 37, 24, sic etiam in scriptura per ῑ congruisse videtur. 281 cf. Pros. Cathol. p. 492, 19.

370 recte iudicat Friedlaenderus l. c. intellegendum esse hunc locum sic, ut ἀλάληϲθαι propter significatum praesentis proparoxytonum esse dicatur; idem confert Il. Pros. Τ 335, ubi de accentu infinitivi ἀκαχῆϲθαι agitur, et μ 284, ubi accuratius Herodiani sententia exposita est. Conferas quae ad hunc locum dicemus. 434 cf. Il. Pros. Ω 8, ubi hic locus citatur et Aristarchi verba adiciuntur: «τὸ πεῖρε διδάϲκει ἡμᾶϲ καὶ τὴν πείρων μετοχὴν βαρύνειν· ὡϲ γὰρ ἔκειρε κείρων, οὕτωϲ ἔπειρε πείρων. εἰ γὰρ περιεϲπᾶτο ἦν ἂν ὁ παρατατικὸϲ ἐπείρα».

Γ 7 priorem partem usque ad Ἀρίϲταρχοϲ Schmidtius Didymo tribuit, Herodiani observatio non plena est, nam de ectasi vocalis ᾱ dixisse putandus est.

8 nomina Ἀρίϲταρχοϲ καὶ Ἡρωδιανὸϲ in Q exstant teste Buttmanno, cum quo pro πεντηκοντύοϲ scripsi πεντηκοϲτύοϲ. De accentu cf. Io. Al. 35, 3 et 8.

10 Herodianus, qui in Od. α 112 Aristarchi scripturam secutus videtur, hoc loco ab eo dissensisse existimandus est, ita ut Scholion ad Herodiani sententiam

14. οὐδηβαιόν: ἄδηλον πότερον ἐκ συναλοιφῆς ἐστι τὸ ἡ ἢ τοῦ ἠβαιόν τρισυλλάβου. οἱ δὲ νεώτεροι βαιόν φασι. HMQ.

28. γενέσθαί τε τραφέμεν τε: οὐκ ἔστιν ἀναδιπλασιασμὸς τὸ «τε τραφέμεν», ἀλλὰ σύνδεσμος. MQ.

34. αθροοι: ἀθρόοι Ἀρίσταρχος, τινὲς δὲ τὸ ἄθροοι ὡς ἄχροοι τῇ προσῳδίᾳ ἀναγινώσκουσιν. HM.

35. ἑδριάασθαι: τὸ δεύτερον συνέσταλται ᾱ ἐν τῷ ἑδριάασθαι. H.

†46. δέπᾳ μελιηδέος οἴνου: σὺν τῷ ῑ γράφεται. Il. Pr. Λ 385. μελιηδέος: δασυντέον τὸ μελιηδέος. H.

50. τοὔνεκά σοι: ἐχρῆν ὀρθοτονεῖν τὴν σοί. Ζηνόδοτος δέ «τοὔνεκά τοι» γράφει ἀγνοῶν ὅτι ἐπὶ τῆς διαστολῆς οὐ λαμβάνεται ἡ τοι. HMQ.

59. σύμπασιν: σύνθετον τὸ σύμπασι· διὸ προπαροξύνεται. H.

†69. μεταλλῆσαι καὶ ἔρεσθαι: ἐν ἑτέροις διαλαμβάνων περὶ τοῦ «μεταλλῆσαι καὶ ἔρεσθαι» ἀξιούντων πάντων τὸ ἐρέσθαι ὁμοίως τῷ πυθέσθαι, ἐπειδήπερ ὁ δεύτερος ἀόριστός ἐστιν, ἀπεφηνάμην ὡς ἡ παράδοσις τρίτην ἀπὸ τέλους ἐποίησε τὴν ὀξεῖαν οὐ τῷ σημαινομένῳ πεισθεῖσα ἀλλὰ τῷ χαρακτῆρι τῆς φωνῆς, ἐπεὶ τὰ τοιαῦτα τῶν ἀπαρεμφάτων προπαροξύνεται ὄντα ἐνεστῶτος οἷον φέρεσθαι δέρεσθαι, ἃ εἶχε τὴν ρε̄ συλλαβὴν πρὸ τέλους τῆς ἀρχούσης συλλαβῆς εἰς τὸ ε̄ ληγούσης — οὕτως καὶ τὸ ἔρεσθαι ἀναδεξάμενον τὸν αὐτὸν χαρακτῆρα προπαρωξύνετο οὐ τῷ λόγῳ τοῦ ἀορίστου, τῇ δὲ ὁμοιότητι τῆς φωνῆς. Il. Pr. Π 47.

72. ἤ τι κατὰ πρῆξιν ἤ: ὁ πρῶτος η̄ σύνδεσμος ὀξύνεται διὰ τὸ τι, ὁ δὲ δεύτερος περισπᾶται. ἐρωτηματικὸς γάρ. PM.

134. τῶ σφεων πολέες: ἐγκλιτικὴ μὲν ἡ σφέων. ὅμως τὸ τῶ πάλιν περισπασθήσεται.

137. ἀγορὴν ἐς πάντας Ἀχαιούς: βούλονται τῆς ἐς προθέσεως ῥωννύναι τὸν τόνον ἵνα δυνάμει ἀναστροφὴ γένηται κατὰ τὸ ὄρνιθες ὥς. EH.

149. ἔστασαν: δασύνεται· ἀντὶ γὰρ τοῦ εἱστήκεισαν ἐστί. M.

sic fere accommodandum sit: Ἀρίσταρχος κάταγον εἶτα τοὶ δ' ἱστία ὁμοίως τῷ «νίζον καὶ πρότιθεν τοὶ δὲ κρέα». ὁ δὲ Ἡρωδιανὸς κατάγοντο.

14 cf. Schol. A ad Il. Β 380, Lob. El. I 68. 28 cf. Il. Pros. Φ 279. 34 in codd. scriptum est τὸ ἀθρόοι Ἀρίσταρχος ὡς ἀχρόοι τῇ προσῳδίᾳ ἀναγινώσκει, quod collatis Schol. ad Il. Ξ 38 et Il. Pros. Μ 391 correxi. 35 cf. Il. Pros. Ζ 268, unde adiici potest: καὶ τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα. 46 nunc hoc Odysseae loco δέπας exhibetur. 50 correxit Lehrsius locum in quaest. ep. 123 pro νοῶν scribens ἀγνοῶν et οὐ ante λαμβάνεται addens. cf. Il. Pros. Α 294: ταύτης τῆς ἀναγνώσεως ἐντελέστερον διαληψόμεθα ἐν τῇ Γ τῆς Ὀδυσσείας, ὅταν περὶ τῆς Ζηνοδοτείου γραφῆς ἐπιζητῶμεν, πότερον τοῦ ἕνεκα σοὶ ἢ τοῦ ἕνεκά τοι. 59 cf. Il. Pros. Π 248. 69 verbis ἐν ἑτέροις praeter Pros. Cathol. (p. 466, 14) etiam hic Odyssiacae locus intellegi potest. 134 locus est obscurus, significari videtur τῶ περισπώμενον retinere accentum, licet bisyllaba enclitica sequatur diverse e. g. a πῶποτε πώποτε Lehrs qu. ep. 129 et Pros. Cathol. p. 492, 4 et 19. 137 cf. Lehrs qu. ep. 98. 149 pro οὐ scripsi ἀντὶ et pro ἐκεῖ ἐστί, similiter Friedlaender l. c., qui confert Il. Pros. Μ 55.

170. ἡ καθύπερθε: ὁ ἤ cύνδεcμοc δύο τόνω ἐπιδέχεται ἢ περιcπωμένην ἢ βαρεῖαν, ὅπερ κάλλιον. E.

179. μῆρ': μῆρα ὡc μῆλα. HQ.

195. ἐπιcμυγερῶc: περιccὴ ἡ ἐπί ὡc ἐν τῷ «βοῶν ἐπιβουκόλοc» (422). BEHQ.

214. εἰπέ μοι ἠὲ ἑκὼν ὑποδάμναcαι ἤ cέ γε λαοί: ὁ μὲν πρῶτοc ἢ ὀξύνεται, ὁ δὲ δεύτεροc περιcπᾶται. H.

219. περικήδετο: ὑφ' ἓν τὸ περικήδετο ἀντὶ τοῦ ὑπερεκήδετο· οὕτωc Ἀρίcταρχοc καὶ Ἡρωδιανόc. HM.

†247. cὺ δ' ἀληθὲc ἐνίcπεc: τὸ προcτακτικὸν πρὸ τέλουc ἔχει τὴν ὀξεῖαν, τὸ δὲ ὁριcτικὸν προπαροξύνεται. Il. Pr. Ω 388.

255. ἤτοι μὲν τάδε κ' αὐτὸc ὀΐεαι: τὸ πλῆρέc ἐcτι τῆc cυναλοιφῆc κέν ἀντὶ τοῦ δή. τὸ δὲ ὅμοιον ἐν Ἰλιάδι (Z 260) «ἔπειτα δέ κ' αὐτὸc ὀνήcεαι». HM.

268. εἴρυcθαι: ὥcπερ γίνεται ἀπὸ τοῦ εἱλίccω εἱλίξαc, οὕτωc καὶ ἀπὸ τοῦ εἰρύω εἴρυμι τὸ εἴρυcθαι. B.

272. τὴν δ' ἐθέλων: Ὅμηροc τριcυλλάβωc. H.

†296. ἐc Φαιcτόν: ὀξύνεται τὸ Φαιcτόν ἐπὶ τῆc πόλεωc, ἐπὶ δὲ τοῦ ἥρωοc προπεριcπᾶται. Il. Pr. E 43.

380. ἵληθι: ἀπὸ τοῦ ἵλημι. διὰ τὸ μέτρον ἐκτέταται ἡ παραλήγουcα ὡc ἐν τῷ «δίδωθι δέ μοι κλέοc ἐcθλόν». ὑγιῶc οὖν Καλλίμαχοc ἔκλινεν «ἴλαθί μοι, φαλαρῖτι πυλαιμάχε».

391. ενδεκάτῳ ἐνιαυτῷ: ἀμφίβολον κἂν τε δεκάτῳ κἂν τε ἐνδεκάτῳ. E.

392. ὤϊξεν: τὸ ῑ προcγεγραμμένον· ἐξεφωνήθη δὲ καὶ τὸ ῑ. E.

402. αὐτὸc δ' αὖτε καθεῦδε: γράφεται καὶ «αὐτὸc δ' αὖτ' ἐκάθευδε. H.

†411. Νέcτωρ δ' αὐτὸc ἔφιζε: cυcτέλλειν δεῖ τὸ ῑ καὶ προπαροξύνειν τὸ ἔφιζε. Il. Pr. Γ 426.

†422. ἐπιβουκόλοc ἀνήρ: παρέλκει ἡ ἐπί, διὸ φυλάccεται ὁ τόνοc ὁ αὐτόc. Il. Pr. I 456.

†441. ἑτέρῃ δ' ἔχεν οὐλαc: τὸ οὖλη τὸ ἐπὶ τῶν κριθῶν ἴcωc βεβαρυτόνηται μονογενὲc ὂν πρὸc μονογενὲc ὀξυνόμενον τὸ οὐλή (Od. ω 331). Il. Pr. T 26.

---

179 cf. Il. Pros. A 464, O 320. 195 citatur hoc vocabulum in Il. Pros. I 456 additis: ὅταν παρέλκῃ ἡ πρόθεcιc, οὐ ποιεῖται ἐξαλλαγὴν τοῦ τόνου cf. ibid. 516 et Ep. Cr. I 172, 27. 219 cf. Il. Pros. K 247. 255 ad Iliadis l. de hoc nostro loco sic refert Herodianus: τὸ ἐν τῇ Ὀδυccείᾳ «ἤτοι μὲν τόδε κ' αὐτὸc ὀΐεαι» ἀναγινώcκει ὁ Ἀcκαλωνίτηc, ἄλλοι δέ τὸν καὶ κατὰ κρᾶcιν καὶ ἔκθλιψιν καὶ αὐτὸc — καὐτόc. cf. praeterea Aristonic. ad h. l. 268 Buttmannus ad h. l.: «Cavet Scholion ne quis in syllaba ει augmentum agnoscat et εἰρύcθαι scribat, quod apte fit comparatione participii εἱλίξαc». cf. Il. Pros. Π 542.

380 cf. Choer. Dict. 893, 24. 391 cf. Il. Pros. Z 319, I 130. 402 in cod. exstat. γρ. αὐτὸc δ' ἐκάθευδε, quibus verbis Buttmannus et Dindorfius scripturae diversitatem δέ καθεῦδε et δ' ἐκάθευδε significari intellexerunt. Dindorfius verba restituit, ipse καὶ inserui. cf. Il. Pros. B 808 et Θ 161.

444. Περcεὺc δ' ἀμνίον εἶχε: ἀμνίον ὡc πηνίον. HM. Ζηνόδοτος δὲ ἐν ταῖc ἀπὸ τοῦ δ̄ γλώccαιc τίθηcι τὴν λέξιν. M. καὶ Νίκανδρος δὲ καὶ Θεοδωρίδαc ἀπὸ τοῦ δάμναcθαι προφέρονται ἀcυνδέτωc δαμνίον· Πορcίλοc (?) δὲ ὁ Ἱεραπύτνιοc παρὰ Ἱεραπυτνίοιc ἔτι cώζεcθαι τὴν φωνὴν αἱμνίον δαcέωc μετὰ τοῦ ῑ κατ' ἀρχὴν προφερομένην παρὰ τὸ αἷμα. καὶ Ἀπολλόδωρόc φηcιν ὡc εἰκὸc ἦν καὶ παρὰ τῷ ποιητῇ οὕτωc αὐτὸ προφέρεcθαι, ὑπὸ δέ τινων περιῃρῆcθαι τὸ ῑ. HMQR.

490. νύκτ' ἄεcαν: cυνέcταλται τὸ α· ἀλλαχοῦ δὲ «νύκτα μὲν ἀέcαμεν» (Od. γ 151). HQ.

ΕΙC ΤΗΝ Δ.

1. κητώεccαν: ὥcπερ τὸ ἡβώωcα ἐκτείνει διὰ τὸ εἶναι τὸ πρὸ αὐτῆc μακρὸν τὸ η̄ καὶ τὸ τηλεθόωcα cμικρύνει διὰ τὸ εἶναι τὴν πρὸ αὐτῆc cυλλαβὴν βραχεῖαν ἤτοι τὸ λε̄ — οὕτω κητώειc καὶ ὠτώειc καὶ κηώειc καὶ ὅcα τοιαῦτα ἐκτείνει, cυcτέλλει δὲ τὸ ἐρόειc κερόειc ἐρόεccα κερόεccα ἠερόεccα καὶ ὅcα τοιαῦτα. E.

3. ἔτηcιν: ψιλῶc ἔτηcιν εἴτε ἐπὶ τοῦ πολίτου εἴτε ἐπὶ τοῦ ἑταίρου. M.

10. υἱέϊ: τριcυλλάβωc· «υἱέϊ cῷ ἑπόμην» (Il. Γ 174). Q.

26. τῶδε: παροξυτονητέον, ἵνα νοηθῇ δυϊκόν. M.

28. ἀλλ' εἴπ' ἤ cφωϊν: ἐγκλιτέον τὸ cφωϊν, ἵνα τρίτον γένηται πρόcωπον. M.

29. ἢ ἄλλον: περιcπαcτέον τὸν ἢ ἐρωτηματικόν. B.

31. Βοηθοίδη: τετραcυλλάβωc· ὅμοιον δέ ἐcτι τοῦ «Πανθοίδηc Εὔφορβοc» (Π 808). HM.

62. οὐ γὰρ cφῶν γε γένοc: χωρὶc τοῦ ῑ ἡ cφῶν, ὡc Ἀρίcταρχοc καὶ Ἡρωδιανόc. Ἀπολλώνιοc δὲ ἐν τῷ περὶ ἀντωνυμιῶν (p. 110) γράφει αὐτὴν μετὰ τοῦ ῑ, ἵν' ᾖ δευτέρου προcώπου κατὰ cυναίρεcιν. ἀλλ' οὐκ ἔcτι ποτὲ παρὰ τῷ ποιητῇ γενικὴ καὶ δοτικὴ μὴ ἐκφωνοῦcα

---

144 καl ante Νίκανδροc addidi. Idem fere habet Eustath. 1476, 40 Zenodoti mentione non facta. Ab Herodiano adnotamentum profectum esse ex rebus, de quibus agitur, concluditur. Primo de accentu, tum de scriptura δ' αἱμνίον et δαμνίον, deinde de aspiratione et literae ῑ adiectione vel omissione disputatur.

Δ 1 quod ad h. v. de ἷξον in MQ traditur: ὁ ἵξω μέλλων εἰc ἐνεcτῶτα μεταβὰc ποιεῖ παρατατικὸν ἀντὶ τοῦ δευτέρου ἀορίcτου τὸ ἷξον ἐν cυντελείᾳ (sic collat. E. M. 472, 10 pro ἐν cυcτολῇ scripsi) ex Rhematico Herodiani huc translatum est. — Adnotamentum de κητώεccαν Herodiano dignum esse, quum vix unum repugnans exemplum reperiatur, ostendit Lob. Rhem. 181 coll. 212 cf. etiam Mon. 14, 20. Quae in initio et in fine addita sunt, ut ab epitomatore assuta omisi. 3 cf. Il. Pros. Z 239. 10 cf. Il. Pros. Π 177. 26 cf. Lehrs qu. ep. 133. 31 cf. Il Pros. Δ 228. 38 ἑοῖ αὐτῷ: αὐτῷ αὐτῷ· τὸ δὲ ε̄ πλεοναcμὸc Ἀττικόc B ad Herodianum referri possent, si scriptum esset: αὐτῷ ψιλῶc, quo significaretur ἑοῖ esse idem utque αὐτῷ et pronomini αὐτῷ ex abundantia appositum esse (cf. Lehrs qu. ep. 118). τὸ δὲ ε̄ πλεοναcμὸc ἀρκτικόc (cf. Il. Pr. Υ 171). 62 Collato E. M. 610, 5, qui locus ex Herodiano petitus videtur, intellegitur Apollonium cφῷν cum ι ut genetivum dualis secundae personae scripsisse, Aristarchum cφῶν sine ῑ ut genetivum pluralis tertiae personae pro duali

τὸ ī. τὸ γὰρ ὤμοιν καὶ ποδοῖν λέγει ὤμοιϊν καὶ ποδοῖϊν καὶ τὸ τοῖν μετὰ τοῦ ī λέγει τοΐιν διcυλλάβωc. HM.

70. ἵνα μὴ πευθοίαθ' οἱ ἄλλοι: οὕτωc Ζηνόδοτοc. ὁ δὲ Ἀρίcταρχοc πευθοίατο ἄλλοι χωρὶc τοῦ ἄρθρου ὡc Ἡρωδιανόc φηcιν. HM.

83. καὶ Αἰγυπτίουc ἐπαληθείc: ἐπαληθεὶc πλανηθείc. οἱ δὲ «ἐπ' ἀληθεῖc» ἐπὶ τοὺc ἀληθεῖc Αἰγυπτίουc ὅτι μαντικῆc ἔμπειροι. V.

94. ὔμμιν: Αἰολικῶc ψιλοῦται. E.

119. ἕκαcτα τε πειρήcαιτο: ἔνιοι γράφουcι κακῶc ἕκαcτα τ' ἐπειρήcαιτο ἀντὶ τοῦ ἐπερωτήcειεν. HMQ.

123. ἅμ' Ἀδρήcτη: τριcυλλάβωc τὸ Ἀδρήcτη ὡc Ἡρωδιανὸc καὶ Ἀρίcταρχοc καὶ κύριον ἀκουcτέον· τινὲc δὲ δρήcτη οἱονεὶ θεράπαινα (sc. ἅμα δρήcτη). HM.

†131. ὑπόκυκλον: κατὰ cύνθεcιν ἀναγνωcτέον. Il. Pr. C 375.

165. ἕωcιν: ὡc λέγωcι, τρίτη ἀπὸ τέλουc ἡ ὀξεῖα. cημαίνει γὰρ ὑπάρχωcιν· ὅτε δὲ ἀπὸ τοῦ ἑῶ ἐᾶc κέκλιται, προπεριcπαcτέον «οὐ μέν c' οὐδ' ἐῶcιν» (δ 805). HQR.

166. οὐδέ οἱ ἄλλοι: ἐγκλιτικὴ νῦν ἐcτιν ἡ οἱ. διὸ τοῦ cυνδέcμου φυλακτέον τὸν τόνον. H.

221. κακῶν ἐπίληθον ἁπάντων: ὁ Ἀcκαλωνίτηc προπεριcπᾷ μετοχὴν ἀκούων. Ἀρίcταρχοc δὲ προπαροξύνει ὄνομα ἐκδεχόμενοc. οὕτω δὲ καὶ ἡμῖν ἀρέcκει, ἐπεὶ καὶ τὰ προκείμενα ἐπίθετα ἦν «νηπενθέc τ' ἄχολόν τε». HQ.

228. Πολύδαμνα: εἴτε κύριόν ἐcτιν ὄνομα ἡ Πολύδαμνα ὡc Μήθυμνα, εἴτε ἐπιθετικὸν τῶν φαρμάκων, τρίτη ἀπὸ τέλουc ἡ ὀξεῖα. βέλτιον δὲ ὄνομα κύριον αὐτὸ δέχεcθαι, ἐπεὶ καὶ Εὐφορίων ἐν Διονύcῳ φηcὶ «βλαψίφρονα φάρμακα χεῦεν, ὅcc' ἐδάη Πολύδαμνα, Κυταϊὰc ἢ ὅcα Μήδη». HQ.

Θῶνοc παράκοιτιc: ἀπὸ τοῦ Θόωνοc (sc. κατὰ κρᾶcιν)· τὸν αὐτὸν δὲ λέγουcιν εἶναι τὸν Θῶνιν (sc. sic ut Θῶνοc per syncopen ex Θώνιοc factum esse sumatur). Q.

242. ἀλλ' οἷον τόδ' ἔρεξε: Παρμενίcκοc ἐψίλου τὸ οἷον, ἵν' ᾖ τοῦτο μόνον ἐρῶ. ἄμεινον δὲ θαυμαcτικῶc ἀναγινώcκειν. HPQ.

---

secundae personae usurpatum, cui adstipulatur Herodianus propterea, quod Homerus genetivos et dativos dualis nunquam per ī ineffabile proferat, sed dissolvat. — Initium in E. M. sic planius profertur: τὸ cφῶν Ἀρίcταρχοc χωρὶc τοῦ ī ἀξιοῖ γράφεcθαι λέγων, ὅτι τρίτου προcώπου ἐcτὶ τῶν πληθυντικῶν ἡμῶν ὑμῶν cφῶν ἀντὶ δευτέρου δυϊκοῦ. ἀντὶ γὰρ τοῦ cφῶϊν κεῖται. In fine consulto E. M. post ἐκφωνοῦcα addidi τὸ ī et verba τὸ γὰρ λέγειν καὶ ὤμοιϊν καὶ ποδοῖϊν μετὰ τοῦ ī λέγει διcυλλάβωc emendavi. 70 ὡc φηcιν Ἡρωδιανόc Dindorfius ex M. adiecit. 94 cf. Il. Pr. A 335. 119 verba, quae in codd. exstant, haec sunt οὕτωc ἐπειρήcατο ἀντὶ τοῦ ἐπερωτήcειεν. ἔνιοι δέ γράφουcι κακῶc μυθήcαιτο, quae secundum intellectum, quem bene perspexit Dindorfius, correxi. 221 pro περιcπᾷ scripsi προπεριcπᾷ. 228 de Πολύδαμνα praeterea exstant in Q: κύριον ὄνομα ἡ Πολύδαμνα κατὰ Ἀρίcταρχον. καὶ Ἡρωδιανὸc ἄμεινον εἶναί φηcιν, in E γρ. πολύδαμνα τὰ πολλοὺc δαμάζοντα. cχῆμα ἀμφιβολίαc. l. 28 de Θῶνοc cf. Lehrs Herod. p. 106 seqq., Io. Al. 10, 6. 242 cf. Il. Pr. Ε 638.

244. αὐτόν μιν: ψιλῶς. οὐκ οἶδε τὴν αὐτὸν σύνθετον ὁ ποιητής. H.

260. χαῖρ' ἐπεὶ ἤδη μοι: ἄμεινον τὸν ἤδη χρονικῶς δέχεσθαι κατὰ Ἀρίσταρχον. Κράτης δὲ δύο ποιεῖ ἤ καὶ δή, διὸ καὶ περισπᾷ τὸ η. οὐδέποτε δὲ ὁ ἦ ὢν βεβαιωτικὸς μεταξὺ τοῦ ἐπεί καὶ τοῦ δή εὑρέθη. HQ.

294. τράπεθ' ἥμεας: ἀπόλυτος ἡ ἥμεας. διὸ τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα. H.

304. καθεῦδε: προπερισπωμένως τὸ καθεῦδε. H.

311. Τηλεμάχῳ δὲ πάριζεν: ἐὰν ἓν μέρος λόγου ᾖ τὸ πάριζεν, προπαροξυνθήσεται ὡς «Νέστωρ αὖ τότ' ἔφιζεν» (γ 411). ἐὰν δὲ ἡ παρά πρὸς τῷ Τηλεμάχῳ συντάσσηται, προπερισπᾶται. οὐκ ἀναστρέφεται δὲ ἡ παρά, ἐπεὶ κατ' ἔκθλιψίν ἐστιν. ἄλλως τε καὶ μέσον πέπτωκεν ὁ δέ. Q.

371. νήπιός εἰς: ἐγκλιτικὸν τὸ εἰς. E.

372. ἠὲ ἑκὼν μεθίεις: ἄμεινον κοιμίζειν τοῦ ἠέ τὴν ἐπὶ τέλους ὀξεῖαν, ἵνα γένηται διαζευκτικός. ὅτε γάρ ἐστι διαπορητικὸς ὁ ῆ, περισπᾶται ὡς τὸ «ἦε χόλον παύσειεν ἐρητύσειέ τε θυμόν» (Α 192). EQ.

386. ὑποδμώς: παρέλκει ἡ ὑπό, διαφυλάττει δὲ τὴν ὀξεῖαν. EQ.

†396. μή πως με προϊδών: τὸ πῶ καὶ πῶς ἐμελέτησεν ἐγκλιτικῶν ἐπιφερομένων μὴ ὀξυτονεῖσθαι. Il. Pr. Υ 464.

419. πιέζειν: πιέζειν ὡς δικάζειν. φησὶ γοῦν «ἐπὶ μάστακα χειρὶ πίεζε» (287). Ἀπίων μέντοι περισπᾷ «χερσὶ στιβαρῇσι πιέζειν» (μ 174). Q.

423. εἴρεσθαι ὡς φθείρεσθαι, ἔστι γὰρ ἐνεστῶτος καὶ παρατατικοῦ. P.

†500. Γυρῆσίν μιν πρῶτα Ποσειδάων ἐπέλασσε: τὸ Γυρῆσιν εἰ καὶ ἰδίως λέγεται, ἀλλ' ὅμως ἔχει τάξιν ἐπιθετικήν. Mon. 17, 30.

527. μή ἑ: νῦν ἐγκλιτική ἐστιν ἡ ἑ. P.

545. πεῖρα: βαρυτόνως καὶ χωρὶς τοῦ ῑ. προστακτικὸν γάρ ἐστιν. PT.

546. ἤ γάρ μιν ζωόν γε κιχήσεαι ἤ κεν Ὀρέστης: διαζευκτικοί εἰσιν οἱ δύο σύνδεσμοι. διὸ ὁ μὲν πρῶτος βαρεῖαν δέχεται, ὁ δὲ δεύτερος διὰ τὸν κέ ἐγκλιτικὸν ὄντα τηρεῖ τὴν ὀξεῖαν. Q.

---

244 αὐτὸν σύνθετον scripsi pro αὐτῶν συνήθειαν secutus Herod. in Il. Pros. I 342 cf. Lehrs qu. ep. 115.

260 τὸν ἤδη Porson. pro τὸν δή, quod iniuria defendit Buttmannus et Dindorfius retinuit; pro περισπᾶται cum Dindorfio scripsi περισπᾷ. cf. Il. Pr. Φ 583, ubi contra quidam ἤδη pro ἦ δὴ scribere volebant. De ἐπεὶ ἦ cf. Il. Pr. Υ 251, Lehrs qu. ep. 62. 294 cf. Lehrs qu. ep. 123. 304 cf. Il. Pr. Α 611. 311 cf. Il. Pr. Γ 426, Lehrs qu. ep. 75 seqq. 372 perversa videtur Herodiani sententia, quum hoc loco coniunctio dubitativa aptior sit quam disiunctiva, quare initio sic fortasse scriptum fuit: τὸν ἦε προπερισπᾶν ἄμεινον ἢ etc. cf. Lehrs qu. ep. 57 seqq. 419 cf. Lehrs qu. ep. 28. 500 non peccat igitur contra canonem in ρα praecedente ῡ exeuntia nomina bisyllaba aut paroxytona aut properispomena esse iubentem. cf. Pros. Cath. p. 260, 30.

619. κεῖϲ' ἐμέ: ὀρθοτονητέον τὸ ἐμέ. HP.

642. καὶ τίνεϲ: οἱ μὲν τὸν καί ὀξύνουϲιν, ἵν' ᾖ καί τινεϲ αὐτῷ. κακῶϲ· ἐγράφετο γὰρ ἂν κ' εἴ τινεϲ. HP.

643. ᾗ ἑοί: ὁ μὲν ᾗ περιϲπᾶται. διαπορητικὸϲ γάρ. ἡ δὲ ἑοί ἀντωνυμία κτητική ἐϲτιν ἐν πλεοναϲμῷ τοῦ ε̄. P.

652. μεθ' ἡμέαϲ: πρὸ τέλουϲ ἡ ὀξεῖα. ὀρθοτονεῖται γὰρ διὰ τὴν πρόθεϲιν καὶ τὴν ἔμφαϲιν. P.

659. ἄμυδιϲ: ψιλωτέον τὸ ἄμυδιϲ. δῆλον κἀκ τῆϲ ϲυναλοιφῆϲ «οἵ τ' ἄμυδιϲ κονίηϲ» (Ν 336). PQ.

†664. φάμεν δέ οἱ οὐ τελέεϲθαι: τὸ ἔφαμεν ἐντελέϲ ἐϲτιν. Il. Pr. Ο 735.

665. ἐκ τοϲϲωνδε: οἱ πλείουϲ ὡϲ δύο μέρη τοῦ λόγου ἀνέγνωϲαν ἐν δυϲὶ ὀξείαιϲ ὡϲ τὸ «τοίῃ δ' ἀμφὶ γυναικί» (Γ 157). ὁ δὲ Ἀϲκαλωνίτηϲ περιϲπωμένωϲ κατ' ἐπέκταϲιν. PQ.

667. ἀλλὰ οἱ αὐτῷ: ἐχρῆν ὀρθοτονεῖν τὴν οἱ. ἔϲτι γὰρ ἀντιδιαϲταλτικὴ καὶ προηγεῖται τῆϲ αὐτόϲ. ἀλλ' ὅμωϲ ἐγκλιτικῶϲ ἀνεγνώϲθη. H.

†683. ϲφίϲι δ' αὐτοῖϲ δαῖτα πένεϲθαι: ἡ ϲφίϲι καίπερ εἰϲ ἁπλῆν μεταλαμβανομένη ὀρθοτονεῖται· οὐ γὰρ δὴ οἱ μνηϲτῆρεϲ τὴν δαῖτα ἑαυτοῖϲ παρεϲκεύαζον, ἕτεροι δὲ αὐτοῖϲ. Il. Pr. Δ 2.

686. οἳ θάμ' ἀγειρόμενοι: διχῶϲ οἵ θ' ἅμα καὶ οἳ θαμά, ὃ καὶ ἄμεινον ὡϲ καλά. HP.

†728. ἀκλέα ἐν μεγάρῳ (nunc ἐκ μεγάρων): ϲυϲταλτέον τὴν τελευταίαν τοῦ ἀκλέα ὁμοίωϲ τῷ «δυϲκλέα Ἄργοϲ ἱκέϲθαι» (Β 115). Il. Pr. Β 115.

744. ἣ ἕα ἐν μεγάρῳ: τινὲϲ δαϲύνουϲι τὸ ἡ ὡϲ ἄρθρον. τὸ δὲ ἕα ῥῆμα πρώτου προϲώπου φαϲίν, ἵν' ᾖ, ἥτιϲ ἤμην ἐν τῷ μεγάρῳ. PQ.

753. ἡ γάρ κέν μιν: δαϲυντέον τό ἡ. ἔϲτι γὰρ ἀντὶ ἀντωνυμίαϲ τῆϲ αὕτη. P.

ϲαῶϲαι: πρὸ τέλουϲ ἡ ὀξεῖα. ἔϲτι γὰρ εὐκτικόν. P.

782. τροποῖϲ: περιϲπωμένωϲ. δηλοῖ γὰρ τοὺϲ τροπωτῆραϲ, περὶ οὓϲ αἱ κῶπαι τρέπονται καὶ ϲτρέφονται ἐν ἱμᾶϲι τοῖϲ περιδεδεμένοιϲ ταῖϲ κώπαιϲ. V.

800. εἵωϲ: δαϲυντέον τὸ εἵωϲ. H.

806. ἀκάχηϲθαι: οἱ πλείουϲ ἀκάχηϲθαι ὡϲ λέγεϲθαι ὡϲ Αἰολικῆϲ τῆϲ κλίϲεωϲ οὔϲηϲ. ὁ δὲ Ἀϲκαλωνίτηϲ ὡϲ πεποιῆϲθαι. HP.

---

619 pro μέ scripsi ἐμέ, apparet alios pronunciasse κεῖϲέ με cf. Il. Pr. Χ 59, Κ 242, Φ 159. 659 cf. Il. Pros. Η 576, Ι 6, Υ 114. 665 pro ἐπίϲταϲιν scripsi ἐπέκταϲιν. cf. Il. Pr. Λ 409. 667 in fine excidit ὃ μεμπτέον vel simile quid, ut apparet ex Il. Pr. Ο 200, ubi de nostro loco dicitur: διὸ μεμπτέον ἐκείνην τὴν ἀνάγνωϲιν «ἀλλά οἱ αὐτῷ Ζεὺϲ ὀλέϲϲῃ». ἐχρῆν γὰρ διὰ τὴν ἐπιφερομένην ἀντιδιαϲτολὴν κατ' ὀρθὸν τόνον ἀναγινώϲκεϲθαι. cf. praeterea Ω 292 ubi ea pars, qua οἵ αὐτῷ contra οἱ αὐτῷ defenderat, item interiit. 782 cf. Arcad. 67, 2. 800 cf. supra ad α 326. 806 cf. Il. Pros. Ι 335.

807. ἀλιτήμενος: τὸ ἀλιτήμενος εἰ μὲν παροξύνεται, παρακείμενός ἐστι κατὰ cυcτολὴν τῆς ἀρχούσης· εἰ δὲ προπαροξύνεται, ἐνεστὼς ἐστιν Αἰολικὸς ὡς ἀλαλήμενος καὶ ἀκαχήμενος. T.

846. ἔνι: ἔνειcι. διὸ ἀναστρέφεται. P.

ЄΙС ΤΗΝ Є.

16. οὐ γάρ οἱ πάρα νῆες: ἀναστρεπτέον τὴν πάρα. ἀντὶ γὰρ τοῦ πάρειcι ἐστίν. P.

27. παλιμπετές: ἀντὶ τοῦ παλιμπετεῖς ὡς «ἐς δ' ἐρέτας ἐπιτηδὲς ἀγείρομεν» (Α 142). BP.

38. ἑcθῆτά τε δόντες: ψιλωτέον τὸ ἐcθῆτα. πᾶν γὰρ φωνῆεν τὸ ϲ̄ ἔχον ἐπιφερομένου δαcέος ψιλοῦται, ἀcχάλλων, ἄcθμα, ἐcθλός, ὄcχος. BHP.

39. Τροίης ἐξήρατο: Τροίης διcυλλάβως, ἵνα τὴν χώραν ἀκούcωμεν. P.

40. λαχὼν ἀπὸ ληΐδος αἶcαν: ἡ ἀπὸ παρέλκει. διὸ τηρεῖ τὸν τόνον. P.

47. εἵλετο δὲ ῥάβδον: βραχὺ τὸ α τοῦ ῥάβδον. P.

†51. λάρῳ ὄρνιθι ἐοικώς: τὸ λάρος βαρυνόμενον cυcτέλλειν θέλει τὸ α. Mon. 35, 16.

71. ἄλλυδις ἄλλη: τὸ ἄλλη εὐθεῖα, ὅθεν οὐδὲ τὸ ἰῶτα προcγραπτέον. P.

72. λειμῶνες μαλακοὶ ἴου: τινὲς περιcπῶcιν, ἵν' ᾖ κατὰ cυναλοιφὴν (sc. μαλακοῖ' ἴου), οὐκ εὖ. H.

83. ἐρέχθων: ὡς κατέcθων. δῆλον δὲ ἐκ τοῦ «νῆα θοὴν ἐρεχθομένην ἀνέμοιcι» (Ψ 317). P.

106. ἄcτυ πέρι: ἀναστρεπτέον. ἔστι γὰρ περὶ ἄcτυ ὡς «ἀμφὶ πόλιν Καλυδῶνα» (Ι 530). HP.

110. ἀπέφθιθεν: ὡς κόcμηθεν. HPQ.

123. ἐν Ὀρτυγίῃ χρυcόθρονος Ἄρτεμις ἁγνή: Ἀπίων τὸ ἁγνή περιcπᾷ κατὰ δοτικὴν ἀκούων ἐν Ὀρτυγίῃ ἁγνῇ. HPQ.

129. ἄγαcθε: ὡς δύναcθε τοῦ δευτέρου ᾱ cυcτελλομένου. δυνατὸν δὲ καὶ ὡς ἠγᾶcθε. οἶδε γὰρ αὐτοῦ καὶ τὸ κατὰ διαίρεcιν ὡς τὸ «θεαῖς ἀγάαcθε» (119) καὶ «τόφρα οἱ ἠγάαcθε θεοί» (122). P.

146. νῦν: τὸ νῦν ἔφαμεν ἐκτείνεcθαι παρὰ τῷ ποιητῇ, εἰ μὴ μέτρον κωλύοι. P.

---

807 cf. Herod. ap. Choer. Dict. 837, 19, Arc. 177.

Є 27 cf. Io. Al. 15, 24. 38 cf. Il. Pros. Ω 94. 39 cf. Il. Pros. Α 129. 40 cf. Lehrs qu. ep. 92. 47 cf. Dichr. 297, 2, Il. Pros. Ω 343. 72 sententiam recte perspexit Cobetus. cf. Il. Pr. Λ 35 λευκοί. 83 hoc dictum esse contra eos, qui ἐρεχθῶν scriberent ut ὀρεχθῶν monet Lob. Rhem. p. 98 adn. 40. cf. Il. Pr. Ν 809. 110 cf. Il. Pr. Δ 222. 129 pro δύναcθαι cum Lobeckio El. II 51 scripsi δύναcθε, post καὶ ὡς, quod in cod. sequitur ῆ et parva lacuna, posui ἠγᾶcθε, Buttm. voluit τιμᾶcθε. 146 cf. Il. Pr. Φ 428, Γ 97, Κ 105, Lehrs qu. ep. 130.

163. ἴκρια: ὡϲ ἴχνια. HP.

182. ἤ δή: περιϲπαϲτέον τὸν ῆ. ἔϲτι γὰρ βεβαιωτικόϲ. P.

196. ἐτίθει πάρα πᾶϲαν: ἀναϲτρεπτέον τὴν πρόθεϲιν. P.

†208. ἔνθα δέ κ' αὖθι μένων: ἔνθα δὲ δύο μέρη λόγου. Il. Pr. Ι 398. ἔϲτι δεικτικὸν τῆϲ ἐν τόπῳ ϲχέϲεωϲ, ὥϲτε πρὸ τῆϲ δε ϲυλλαβῆϲ ἡ ὀξεῖα. Il. Pr. Υ 390.

236. ϲτειλειόν: ὀξυτονητέον τὸ ϲτειλειόν. PQ.

240. περίκηλα: Ἀρίϲταρχοϲ ὥϲπερ ξηρὰ ἐκδεχόμενοϲ τὰ περικεκαυμένα ὑπὸ ἡλίου· Χρύϲιπποϲ δὲ διῄρει, περὶ κῆλα περιϲϲῶϲ ξηρά. P.

248. ἁρμονιῇϲιν: προπεριϲπωμένωϲ. ἔϲτι γὰρ Ἰώνων ὁ καταβιβαϲμόϲ. HP.

†272. ὀψὲ δύοντα Βοώτην: τὸ ὀψὲ δύοντα ἐν δυϲὶ μέρεϲι λόγου. εἰ γὰρ ἦν ϲύνθετον, διὰ τοῦ ῑ ἐγράφετο. Il. Pr. Φ 232.

281. εἴϲατο δ' ὡϲ ὅτε ῥινόν: οἱ μὲν ἀναγινώϲκουϲι ὡϲ ὅτε ῥινόν ἐκδεχόμενοι ὡϲανεὶ δέρμα βοὸϲ ἐφηπλωμένον τοῖϲ ὕδαϲι. ὁ δὲ Ἀρίϲταρχοϲ ὡϲ ὅτ' ἐρινόν ἐρινὸν παραλαμβανόμενοϲ αὐτὴν τὴν ϲυκῆν κατὰ μεταβολὴν γένουϲ ὡϲ ὁ δίφροϲ τὸ δίφρον. τὸν γὰρ καρπὸν μὴ νοεῖϲθαι, ἐπεὶ βραχύϲ ἐϲτι πάνυ. οὐ μέντοι Ἀριϲτάρχῳ ϲυγκατατίθεμαι. VPT.

290. ἅδην: δαϲέωϲ τὸ ἅδην. BPQ.

319. τὸν δ' ἄρ' ὑπόβρυχα θῆκε: εἴτε ἐπίρρημα εἴτε ἀπὸ τοῦ ὑπόβρυξ, προπαροξυνθήϲεται. BEPQ.

329. 330. καὶ τὸ ἀμπεδίον καὶ τὸ ἀμπέλαγοϲ διὰ τοῦ μ̄ γραπτέον. P.

335. θεῶν ἐξέμμορε τιμῆϲ: δύναται πρὸϲ ἀμφοτέραϲ χωρεῖν ἡ λέξιϲ.

---

163 cf. Arc. 199, 18. 182 hunc Odysseae locum citat Herod. in Il. Pr. Α 518. 208 duobus Iliacae Prosodiae notis comparatis patet Herodianum diverse de hoc loco iudicasse. 236 τὸ scripsi pro τὸν. cf. Arc. 118, 26. 272 cf. Mon. 26, 8. 281 sic fere Herodiani adnotamentum ex variis codicum frustulis, quae hic subiicio, concinnandum arbitror: εἴϲατο δ' ὡϲ ὅτι ῥινόν: ἀντὶ τοῦ βύρϲαν, ὡϲ καὶ ἐν Ἰλιάδι (Κ 155) «ὑπὸ δ' ἔϲτρωτο ῥινὸν βοὸϲ ἀγραύλοιο· αὐτὰρ ἐπὶ κράτεϲφι τάπηϲ τετάνυϲτο φαεινόϲ». ἢ ἐρινὸν τὴν ἐρινεὸν εἴρηκεν. ἄλλωϲ· ὡϲανεὶ δέρμα βοὸϲ ἐφηπλωμένον τοῖϲ ὕδαϲιν οὕτωϲ εἶδε τὰ ὄρη. τινὲϲ δὲ κακῶϲ ῥινὸν φαϲιν ἀντὶ τοῦ τὴν ἀϲπίδα. οἱ δὲ ἐρινὸν τὸν καρπὸν τῆϲ ἀγραίαϲ ϲυκῆϲ. ὁ μέντοι Ἀρίϲταρχοϲ ἐρινὸν αὐτὴν τὴν ϲυκην κατὰ μεταβολὴν γένουϲ ὡϲ ὁ δίφροϲ τὸ δίφρον. ἔνιοι δὲ ῥινὸν κατὰ Οἰνωτροὺϲ τὸ νέφοϲ. οὐ μέντοι Ἡρωδιανὸϲ Ἀριϲτάρχῳ ϲυγκατατίθεται. ἄλλωϲ. ἐρινὸν οὐδετέρωϲ ὁ καρπόϲ, τὸ δὲ ἀρϲενικῶϲ λεγόμενον ἐρινὸϲ τὸ δένδρον ϲημαίνει, ὥϲπερ ἡ κέδροϲ θηλυκῶϲ τὸ φυτὸν τὸ δὲ κέδρον οὐδετέρωϲ τὸν καρπόν. Ἀρίϲταρχοϲ δὲ ἐρινὸν αὐτὴν τὴν ϲυκην κατὰ μεταβολὴν γένουϲ. τὸν γὰρ καρπὸν μὴ νοεῖϲθαι, ἐπεὶ βραχύϲ ἐϲτι πάνυ. PQT. Certe id patet Herodianum ab Aristarcho non discessisse in interpretatione vocis ἐρινόν, sed in ipsa scriptura, nam ἐρινὸϲ eodem modo, quo Aristarchus, explicat in Et. Orion. 61. 24 coll. E. M. 373, 54 et Gud. 204, 53: ἐρινὸϲ ϲημαίνει τὴν ἀγρίαν ϲυκῆν. ἀπὸ τοῦ ἐρίζω γίνεται ἐρινόϲ καὶ κατὰ πλεοναϲμὸν τοῦ ῑ ἐρινεόϲ. οὕτωϲ Ἡρωδιανόϲ. 290 cf. Il. Pr. Ε 203. 319 scripsi ὑπόβρυξ pro βρύξ, sed hoc βρύξ significat h. l. haec fere praeterea extitisse: εἰϲὶ δὲ οἳ διέϲτειλαν ὑπὸ βρύχα ἀπὸ τοῦ βρύξ. 329. 330 cf. Il. Pr. Θ 441. 335 sc. ἐξ ἔμμορε et ἐξέμμορε.

346. τανύϲϲαι: τὸ τανύϲϲαι ἀπαρέμφατον διὰ τὸ βαλέειν. P.

357. ὅτε με ϲχεδίηϲ ἀποβῆναι ἀνώγει: χωρίζει Ἀριϲτοφάνηϲ ὅ τε ἀντὶ τοῦ διό τε. HP.

364. πάρα: ἀναϲτρεπτέον τὴν πάρα. δηλοῖ γὰρ τὸ πάρεϲτιν. HMT.

368. ὡϲ δ' ἄνεμοϲ ζαὴϲ ἤϊων: ὀξυτόνωϲ τὸ ζαήϲ. BHPT.

377. ἀλόω: διαίρεϲίϲ ἐϲτι τοῦ ἀλῶ, διὸ βαρυτόνωϲ ἀναγνωϲτέον. PT.

389. πλάζετο: ὁ μὲν Ἀρίϲταρχοϲ τὸ πλάζετο Αἰολικῶϲ ἐκτείνων τὸ ᾱ ἐπὶ τοῦ ἐπλήϲϲετο λαμβάνει, ἔνιοι δὲ ἐπὶ τοῦ ἐπλανᾶτο. PQ.

391. αὐτίκ' ἔπειτ' ἄνεμοϲ μὲν ἐπαύϲατο, ἡ δὲ γαλήνη: Ἀρίϲταρχοϲ ἡ δέ ἄρθρον δεχόμενοϲ τὸ η̄. οἱ δὲ ἀντὶ τοῦ καί. H.

402. ξερόν: ϲυϲτολὴ τοῦ η̄ εἰϲ ε̄. E.

418. ἠϊόναϲ τε παραπλῆγαϲ: ὀξυτόνωϲ τὸ παραπλήξ. EPQT.

430. καὶ τὸ μὲν ὧϲ ὑπάλυξε: τινὲϲ περιέϲπαϲαν τὸ ὧϲ, ἵνα ϲημαίνῃ τὸ ὅμωϲ, ἔνιοι δὲ ὤξυναν. BPT.

433. πρὸϲ κοτυληδονόφιν: ὡϲ χαλκόφιν. PQ.

436. ὑπὲρ μόρον: δύο εἰϲὶ μέρη λόγου.

439. νῆχε παρέξ: ὀξύτονον τὸ παρέξ. P.

478. τοὺϲ μέν: ϲυνέϲταλται Ἰακῶϲ. P.

481. ἔφυν: τὸ ἔφυν ϲυϲταλτέον. P.

†ἐπαμοιβαδίϲ: ὀξύνεται. Il. Pr. Ξ 463.

†484. ἠὲ δύω ἠὲ τρεῖϲ ἄνδραϲ ἔρυϲθαι: παραδιαζευκτικὸϲ ὁ ἤ. Il. Pr. Θ 290.

ἔρυϲθαι: προπαροξυτόνωϲ, ἵνα ϲημαίνῃ παρατατικόν. P.

ΕΙϹ ΤΗΝ Ζ.

6. οἵ ϲφεαϲ: ὀξυτονητέον τὸ οἱ ἄρθρον. ἐγκλιτικὸν γάρ ἐϲτι νῦν ἡ ϲφέαϲ. P.

†12. θεῶν ἄπο μήδεα εἰδώϲ: ἀναϲτρέφεται ἡ ἀπό. τὸ γὰρ ἑξῆϲ ἐϲτιν ἀπὸ θεῶν εἰδὼϲ μήδεα. Io. Al. 27, 10.

---

346 cf. Il. Pr. O 159, ubi de hoc loco καὶ ἐνθάδε ἀπαρέμφατόν ἐϲτι, quod propter accentum adnotavit. cf. Il. Pr. A 302. 357 bene Buttmannus pro διὰ τὸ ὅτε scripsit ὅτε διότε, equidem ἀντὶ τοῦ inserui. 368 cf. Arc. 23, 12; 25, 3.

377 cf. Il. Pr. P 65, Lob. Rhem. 187. 389 Aeolice producti πλάζω mentionem facit Herod. Mon. 23, 12; nostro simile paullo explicatius adnotamentum exstat in Ep. Cr. I 149, 8. Caeterum Lob. Rhem. 88 utrumque vocabulum idem esse putat et ab eodem primitivo πέλω derivatum. 391 cf. Il. Pr. O 127, ubi hic locus sic (nunc legitur καὶ τότ' ἔπειτ') citatur. 402 cf. Il. Pr. A 77, ubi ἠμέν Homerum semper per ε̄ proferre pro ἠμήν tradit et infra v. 478. 418 cf. Il. Pr. Z 135. 430 cf. Pros. Cath. p. 493. 436 cf. supra ad α 34. 439 cf. Il. Pr. I 7. 481 cf. Il. Pr. Λ 263 πληθυντικὸν γάρ ἐϲτιν ϲυγκοπὲν ἀπὸ τοῦ ἔφυϲαν. Δ 222. 484 ad ἔρυϲθαι cf. supra γ 268.

Z 12 scholiasta ad h. l. in BPQ: ἡ ἀπὸ ἀντὶ τῆϲ παρά· διὸ ὀξύνεται, quod ab Herodiano alienum est, qui quamvis praepositionem alteram pro altera poni saepius sumpserit, tamen non eo usque progressus est, quo recentiores. cf. Lehrs qu. ep. 89. Substitui notam veri Herodiani ex Io. Al.

15. ᾧ ἔνι κούρῃ: ἀναστρεπτέον τὴν ἔνι, ἔστι γὰρ ἐν ᾧ. P.

18. χαρίτων ἄπο κάλλος ἔχουσαι: ἀναστρέφεται ἡ ἀπό. τὸ γὰρ ἑξῆς ἐστιν ἀπὸ χαρίτων κάλλος ἔχουσαι. H.

22. εἰδομένη κούρῃ ναυσικλειτοῖο Δύμαντος: περισπωμένου τοῦ ναυσικλειτοῖο. τινὲς δὲ Ναυσικλειτοῖ ὡς Καλυψοῖ. ἔνιοι δὲ ναυσὶ κλειτεῖο ἐν δυσὶ μέρεσι λόγου. ἀμείνων δὲ ἡ πρώτη ναυσικλειτοῖο ἐν τοῖς κατὰ ναυτικὴν ἔργοις ἐνδόξου. PQ.

†32. καί τοι ἐγὼ συνέριθος: ἡ τοί ἐγκλιτική ἐστιν. Il. Pr. A 294.

33. ἐντύνεαι: συστολὴ. ἐγένετο ἢ μεταβολὴ ἐγκλίσεως ὡς καὶ ἐπὶ τοῦ «ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων» (I 409) καὶ «ὄφρα καὶ ἄλλος πτωχὸς ἀλεύεται ἠπεροπεύειν» (ξ 400). P.

40. ἄπο πλυνοί εἰσι πόληος: βαρυτονητέον τὴν ἀπό καίπερ σημαίνουσαν τὸ ἄποθεν. οὐ γὰρ ἐπλησίασε τῇ γενικῇ, ἀλλὰ μεταξὺ ἐδέξατο λέξεις. P.

89. ποταμὸν πάρα δινήεντα: Ἀρίσταρχος ἀναστρέφει τοῖς κυριωτέροις συντάσσων τὰς προθέσεις. P.

93. κάθηράν τε ῥύπα πάντα: κάθηραν ὡς ἤγειραν. τὸ δὲ ῥύπα οἱ μὲν αἰτιατικὴν ἐν μεταπλασμῷ φασιν, οἱ δὲ ἀπὸ τοῦ ῥύπον. βαρύνεται δὲ ὡς τὰ λύχνα καὶ τὰ δίφρα. BPQ.

106. ἀγρονόμοι: παροξυτόνως αἱ ἐν ἀγρῷ νέμουσαι. οὐ γὰρ νεμόμεναι. τινὲς δὲ ἀγρόνομοι λέγουσι. HPQ.

120. ἤ ῥ' οἵ γ': ὡς διαπορητικὸν περισπᾶται. P.

125. ἤ νύ που ἀνθρώπων εἰμὶ σχεδόν: ὁ ἢ περισπᾶται. τὸ δὲ εἰμί ἐγκλίνεται σημαῖνον τὸ ὑπάρχω. P.

138. ἄλλυδις ἄλλη: χωρὶς τοῦ ῑ τὸ ἄλλη. P.

149. θεός νύ τις ἦ βροτός ἐσσι: τὸν ῆ ὁ Ἀσκαλωνίτης περισπᾷ ἐρωτηματικὸν νομίζων, ὃ καὶ χαριέστερον. οἱ δὲ ἐνέκλιναν ὡς εἰ ἔλεγεν εἴτε θεὸς εἴτε ἄνθρωπος. P.

159. ὅς κέ σ' ἐέδνοισι βρίσας: ἄμεινον ἐγκλίνειν τὴν σε. H.

200. ἤ μή που: περισπᾶται τὸ ἤ, τὸ δὲ μή ὀξύνεται. PH.

δυσμενέων φάσθ' ἔμμεναι: Τυραννίων συστέλλει ἀπὸ τοῦ φημί ὁμοίως τῷ «καὶ ἀγγελίην ἀπόφασθε» (I 649). τινὲς δὲ ὁμοίως τῷ νικᾶσθε, ὡς καὶ ἐπεκράτησεν. HQ.

264. εἰσίθμη: τὸ εἰσίθμη βαρύνεται ὡς στάθμη. BHQ.

---

15 cf. Io. Al. 27, 34 ἡ ἐν πλεονάσασα τῷ ῑ ἀνεστράφη, ᾧ ἔνι κούρῃ. Lehrs qu. ep. 72. 18 in cod. H exstat: ὁμοίως ἀντὶ τῆς παρά, pro quibus substitui id, quod Herodianus dicturus fuit cf. Lehrs qu. ep. 92. 33 in cod. P sunt haec: διὰ τὸ μέτρον συνέσταλται τὸ ῡ καὶ ῆ. ἀντὶ ὑποτακτικοῦ τοῦ ἐντύνηαι ὡς καὶ ἐπὶ τοῦ etc., pro quibus posui, quae ipsum Herodianum scripsisse patet ex Il. Pr. Λ 192, ubi eadem exempla Homeri proponuntur, cf. etiam Θ 18. 40 in P scriptum est: βαρυτονητέον τὴν ἀπό. σημαίνει γὰρ τὸ ἄποθεν, quae in Herodiani sententiam converti ex Il. Pr. C 64. cf. Lehrs qu. ep. 94 et 97 et supra ad α 49. 89 cf. Lehrs qu. ep. 80. 93 de κάθηραν cf. Il. Pr. Ξ 171, de ῥύπα C 352: τὸ παρὰ τῷ ποιητῇ «κάθηράν τε ῥύπα πάντα», εἰ μή ἐστι πληθυντικὸν οὐδέτερον, μεταπλασμοῦ ἔχεται. Idem Ψ 254. 106 cf. Il. Pr. Γ 454. 138 cf. supra ε 71. 200 ad φάσθ' cf. supra ε 129.

265. ἐπίστιον: Ἰακὴ ἡ συναλοιφή. τῷ δὲ τόνῳ ὡς ἐπίκριον. Q.

278. ἤ: βεβαιωτικῶς ἀναγνωστέον. Η.

280. ἤ: οὗτος ὀξύνεται, ὁ δὲ ἑξῆς (v. 283) περισπᾶται. Η.

297. ἤμεας: ἀπόλυτος ἡ ἥμεας. Η.

330. Ζαφελῶς: Ἀρίσταρχος περισπᾷ τὸ ζαφελῶς καὶ οὕτως ἐπεκράτησεν. ἔδει δὲ βαρυτόνως. Ρ.

ΕΙϹ ΤΗΝ Η.

39. ναυσικλυτοί: ὡς ἀγακλυτοί ἐν συνθέσει καὶ κατ' ὀξεῖαν τάσιν. ἡ γὰρ ναυσὶ δοτικὴ παρὰ τῷ ποιητῇ, ὅταν κατ' ἰδίαν λέγηται, διὰ τοῦ ῑ γράφεται «ὡς οἱ μὲν παρὰ νηυσί» (Υ 1) «νηυσὶ θοῇσι τοίγε πεποιθότες» (η 34), διὰ τοῦ ᾱ, ὅτε ἐν συνθέσει Ναυσικάα Ναυσίθοος. HPQT.

40. διὰ σφέας: ὀρθοτονητέον τὴν ἀντωνυμίαν διὰ τὴν πρόθεσιν. Ρ.

†114. ἀμφὶ δὲ δένδρεα μακρὰ πεφύκασι: τὰ εἰς σι λήγοντα ῥήματα τὴν πρὸ τέλους ἔχει φύσει μακρὰν ἑστήκασι, βεβασιλεύκασι, τετύφασι, γεγράφασι, νενοήκασιν. οἱ μέντοι ποιηταὶ πολλάκις ἐπὶ τούτοις συστολὰς ποιοῦται. τοιοῦτον καὶ τὸ «ἀμφὶ δὲ δένδρεα μακρὰ πεφύκασι». Mon. 29, 6.

115. μηλέαι: τὸ μηλέαι ὡς ἰτέαι καὶ συκέαι, ὃ κατὰ κρᾶσιν γέγονε καὶ συκαῖ ὡς γαλαῖ. Ρ.

152. φίλων ἀπὸ πήματα πάσχω: οὐκ ἀναστρεπτέον τὴν ἀπό. δηλοῖ γὰρ τὸ ἄποθεν. Ρ.

197. κατὰ κλῶθές τε βαρεῖαι — νήσαντο: τὸ κατὰ πρὸς τὸ νήσαντο. τὸ δὲ κλῶθες μεταπλασμός ἐστι τοῦ κλωθοί ἀπ' εὐθείας τῆς κλωθὼ ὡς Σαπφώ, κλωθοί ὡς Σαπφοί. BHPQT.

200. ἄλλο τι: ἐχρῆν δύο εἶναι τὰς ὀξείας ἐν τῷ ἄλλο τι. Ρ.

204. ξύμβληται: προπαροξύτονον. Ρ.

217. ἕο: δασυντέον τὴν ἕο. πρωτότυπος γάρ ἐστι γενικῆς πτώσεως. Ρ.

221. ληθάνει: τὸ ληθάνει ὡς τὸ «μελάνει δὲ πόντος ὑπ' αὐτῆς» (Η 64). Ρ.

223. ὥς κ' ἐμέ: ἄμεινον ὀρθοτονεῖν τὴν ἐμέ. HP.

225. δμῶας: διχῶς δμῳάς καὶ δμῶας. Ρ.

239. οὐ δὴ φῄς: ἔνιοι γράφουσι οὐ δὴ φῆς ἀντὶ τοῦ οὐ δὴ ἔφης.

---

297 accentum in ἡμέας mutavi.

H 39 cf. supra α 30. — Adnotamentum ad v. 107 καιροσέων δ' ὀθονέων in BHMPT ab Herodiano profectum, sed ex libro περὶ παθῶν sumptum videtur. — etiam nota ad 110 τεχνῆσσαι: τεχνήεσσαι τεχνίτιδες collato Arcad. 95, 6 τεχνῆσσα ἀπὸ τοῦ τεχνήεσσα ad Herodianum referendum videtur neque tamen sic ut nunc est, in Odyssiaca Prosodia locum habuit. 152 οὐκ addidi. cf. Lehrs qu. ep. 97 et supra ad α 49. 200 cf. Lehrs qu. ep. 105. 221 cf. Il. Pr. ad h. l

225 δμῳάς cum ῑ scripsi. 239 ad utrumque Scholium connectendum γάρ inserui, potui etiam initio alterius περισπωμένως addere; pro ἀντὶ τοῦ οὐδὲ scripsi οὐ δή. Similis controversia saepius fuit de φαμέν et φάμεν Il. Pr. Θ 299 et de ipso φῄς Il. Pr. Ρ 174.

HP. τὸ γὰρ φης, ὅτε cὺν τῷ ῑ γράφεται, ἐνεςτῶτός ἐςτι καὶ ὀξύνεται· ὅτε δὲ ἄνευ τοῦ ῑ, παρατατικός ἐςτι ἰακῶς ἐκ τοῦ ἔφηc γεγονὼς καὶ περιςπᾶται. PQ.

251. ἀπέφθιθεν: ὡς κόςμηθεν. HP.

317. εἰδῆς: Ἀριστοφάνης περιςπᾷ τὸ εἰδῆς. P.

ΕΙC ΤΗΝ Θ.

35. πρωτόπλοον: τὸ πρωτόπλοος προπαροξύνεται, ὁπότερον ἂν σημαίνῃ, εἰς ἀποφυγὴν τῶν οὕτως παραγομένων διπλόος τριπλόος. Q.

88. κεφαλῆς ἀπὸ φᾶρος ἔλεσκεν: οὐκ ἀναστρεπτέον τὴν ἀπό. H.

114. Ἀμφίαλος: τινὲς ψιλοῦςι τὸ Ἀμφίαλος, δύναται μέντοι καὶ δαςύνεςθαι.

119. Ἄλιος: προπαροξύνει ἡ ςυνήθης ἀνάγνωςις Ἡρωδιανοῦ. M. τὸ Ἄλιος προπαροξύνεται ὡς τὸ Ἄνιος Ξένιος Κρόνιος. H.

†145. δεῦρ' ἄγε καὶ cὺ ξεῖνε πείρηςαι ἀέθλων: ἐνθάδε κατὰ λόγον δοκεῖ ἡ προςτακτικὴ ἀνάγνωςις (sc. προπαροξυτόνηςις) κεῖςθαι· εἰ γὰρ τὸ ἄγε παρακελευςτικὸν ἐπίρρημα, ὅπερ σημεῖόν ἐςτι προςτακτικῆς ἐγκλίςεως, οἰκείως καὶ τὰ τῆς ἀναγνώςεως ἐνεγένετο. Il. Pros. A 302.

161. ὅς θ' ἅμα νηῒ πολυκληῗδι θαμίζων: γράφεται θαμά. H.

183. πείρων: οὐκ ἔςτιν ἀπὸ τοῦ περῶ πλεοναςμῷ τοῦ ῑ. οἶδε γὰρ καὶ τὸ «πεῖρε κέλευθον» (β 242). Q.

188. ἢ οἴῳ Φαίηκες: ἤπερ ᾧ Φαίηκες. διαςαφητικὸς ὁ ἤ. BQ.

224. οὔθ' Ἡρακλῆϊ: οὐκ ἀναγκαῖον ἐκτείνειν τὸ ῑ. ἀπήρτιςε γὰρ εἰς μέρος λόγου καὶ ἐπέχει τόπον μακρᾶς. Q.

285. χρυςήνιος: δαςύνεται τὸ χρυςήνιος. H.

307. ἔργα γελαςτά: γελαςτὰ οὕτως ὀξυτόνως Ἀρίςταρχος καὶ Ἡρωδιανός. H.

†317. ἀλλά σφωε δόλος καὶ δεςμός: ἡ σφωέ τρίτου προςώπου ἐγκλιτική ἐςτι, σημαίνουςα τὸ αὐτούς· «τίς τ' ἄρ σφωε θεῶν» (A 8), «ἀλλά σφωε δόλος καὶ δεςμός». Il. Pr. K 546.

†318. ἀποδῷςιν: ἐνταῦθα ἀποδῷ, διὸ καὶ τὸ ῑ ἔχει προςκείμενον. Il. Pr. A 129.

---

251 cf. supra ε 110. 317 cf. supra α 174 et Il. Pr. Z 150.

Θ 35 in Q exstant: πρωτοπλόον ἐπὶ θηλυκοῦ· ἐπὶ δὲ ἀρcενικοῦ προπαροξύνεται, cui substitui adnotamentum ex Il. Pr. M 26 concinnatum. 88 adiici possunt: τὸ γὰρ ἑξῆς ἐςτι ἀφέλεςκε φᾶρος κεφαλῆς. 114 de hoc loco Lehrs Arist. p. 319 not. (ed. II): Scilicet legerat illud apud Herodianum, quandam in quibusdam inconstantiam apparere. cf. Il. Pr. O 705. 119 cf. Il. Pr. B 495.

161 cf. δ 686, Il. Pr. Π 207. 183 cf. ad β 434. 188 pro ἐν ᾧ scripsi ᾧ, pro ἤπερ codicis B habet Q παρό, sed ἤ διαςαφητικὸν ςύνδεςμον per ἤπερ explicat Herod. ap. Io. Al. 41, 10. 224 in Q sic scriptum est: ποιητικῶς ἐξέτεινε τὸ ῑ τοῦ Ἡρακλῆϊ, ὅτι εἰς μέρος λόγου λήγει καὶ κοινή ἐςτιν, quod collat. Il. Pr. E 887 et O 463 transformavi. 307 alii enim ἔργ' ἀγέλαςτα scripserunt.

329. οὐκ ἀρετᾷ κακὰ ἔργα: ἔστι ῥῆμα δευτέρας συζυγίας τῶν περισπωμένων ὡς ἀπατᾷς. ἀρετάω ἀρετῶ τὸ δεύτερον ἀρετάεις ἀρετᾷς, τὸ τρίτον ἀρετάει ἀρετᾷ. οἶδε δὲ αὐτὸ καὶ πληθυντικῶς «ἀρετῶσι δὲ λαοὶ ὑπ' αὐτοῦ» (τ 114). EQ.

370. Ἄλιον: προπαροξύτονον. H.

371. μουνάξ: ὀξυτόνως. H.

384. ἑτοῖμα: οὕτως ὁ τόνος, οὐ προπαροξυτόνως. H.

396. Εὐρύαλος δέ ἕ αὐτόν: Ἀρίσταρχος τὴν ἕ ἐγκλίνει καὶ Ἡρωδιανός. H.

491. ὥς τέ που ἢ αὐτὸς παρεὼν ἢ ἄλλου ἀκούσας: γράφεται καὶ ᾗ αὐτὸς ἀντὶ τοῦ καθά. H.

506. τρίχα: βαρυτόνως τὸ τρίχα. H.

531. εἶβεν: ψιλῶς τὸ εἶβεν. H.

ΕΙΣ ΤΗΝ Ι.

11. τοῦτό τι μοι κάλλιστον: ἐγκλιτέον τὸ τι. H.

21. Ἰθάκην εὐδείελον: εὐδείελος εἰ μὲν τὴν εὔδηλον ἢ εὐόρατον σημαίνει, ψιλοῦται (sc. εὐδείέλος), εἰ δὲ τὴν εὖ πρὸς δείλην κειμένην, δασύνεται. ἐτυμολογεῖται γὰρ τὸ δείλη παρὰ τὸ ἐνδεῖν τῇ ἕλῃ δεέλη.

*39. ἄνεμος Κικόνεσσι πέλασσεν: οὐ κανονικῶς γράφεται διὰ τοῦ ō οἱ Κίκονες. λέγει γὰρ Ἡρωδιανὸς διὰ τοῦ ω̄ κλίνονται Λάκωνος Κίκωνος. τὸ μέντοι «Κικόνεσσι πέλασσεν» διὰ τὸ μέτρον φησὶ οὕτω κλιθῆναι. Eustath. ad h. l. p. 1615, 12.

*116. νῆσος ἔπειτα λάχεια: τινὲς μὲν τὸ λάχεια ὄνομα τῆς νήσου ὑπώπτευσαν ὡς γνωσθὲν ἐκ Κίρκης Ὀδυσσεῖ, ἕτεροι δὲ λάχειαν τὴν εὔγεων φασὶ καὶ ἐπιτηδείαν λαχαίνεσθαι ἤτοι σκάπτεσθαι. εἰ δὲ γράφεται τετρασυλλάβως ἐλάχεια, εἴη ἂν ὥσπερ λιγύς λίγεια οὕτω καὶ ἐλαχύς ἐλάχεια ἡ ἐλαχίστη. Eustath. ad h. l. p. 1619, 13 coll. Scholio P ad h. l.

†135. εἰς ὥρας ἀμῷεν: σημειῶδες τὸ ἀμῶ ῥῆμα. οὐδέποτε γὰρ

---

329 scribebant enim quidam, ut apparet ex alio Scholio cod. Q: οὐκ εἰσὶν ἀρετὰ καὶ ἰσχυρὰ ποιοῦντα τοὺς ἀσθενεῖς τὰ κακὰ ἔργα, oxytonos ἀρετά.
370 cf. v. 119. 371 cf. Io. Al. 38, 5. 384 cf. Arc. 61, 22. 396 cf. Lehrs qu. ep. 114. — v. 477 quae de τῇ traduntur, ex Herodiano derivata videntur, sed sic ut hic proferuntur, non sunt ex Odyssiaca Prosodia, in qua si de τῇ sermo fuit, de diversa scriptura τῇ (imperativo) et τῇ, nam quidam cum ῑ scribebant teste Schol. ad Arist. Acharn. 204. 506 cf. Io. Al. 33, 8. 531 cf. Arc. 200, 3.

| 21 sic fere comparatis Scholiis ad h. l. et ad β 167 scripturus fuit Herodianus, ut ex Il. Pr. K 466 δέελον ταὐτόν ἐστι τῷ δῆλον. διὸ καὶ τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα καὶ ψιλοῦται τὸ δεύτερον et T 26, cuius adnotamenti particulam huc pertinentem ἐτυμολογεῖται γὰρ κτλ. huc recepi, coniectari licet. 116 cf. Arcad. p. 95, 20, Lehrs qu. ep. 169. Huiuscemodi adnotamentum in Odyssiaca Prosodia exstitisse satis certum est. 135 hinc factum est, ut ἀμμῷεν scriberetur: γράφεται ἀμμῷεν. H.

τὸ ᾱ πρὸ τοῦ μ̄ κατὰ τὴν κοινὴν διάλεκτον ἐκτεταμένον ἐϲτὶν ἐν ἀρχῇ οἷον ἅμα ἀμύϲϲω ἄμεινον ἅμιλλα ἀμίϲ ἀμύνω ἄμαθοϲ. Mon. 43, 4.

†184. μῆλ' ὄϊέϲ τε καὶ αἶγεϲ: ὄϊεϲ τριϲυλλάβωϲ. οὐδέποτε γὰρ ὁ ποιητὴϲ μονοϲυλλάβωϲ εἶπε τὴν εὐθεῖαν. Il. Pr. Γ 198.

221. ἕρχατο: ψιλωτέον τὸ ἕρχατο. ἀπὸ γὰρ τοῦ εἶρκτο ἐϲτὶ κατὰ Ἰωνικὸν ὑπερϲυντέλικον παθητικῶϲ γενόμενον. H.

223. γαυλοί τε: νῦν μὲν ὀξυτόνωϲ τὸ γαυλοί, ἐπὶ δὲ τοῦ πλοίου βαρυτόνωϲ. QV.

†268. ἥ τε ξείνων θέμιϲ ἐϲτίν: τὸ ῆ δαϲυντέον. ἔϲτι γὰρ ἰϲοδυναμοῦν τῷ ὥϲ, διὸ καὶ ὁ τέ προϲτίθεται ϲύνδεϲμοϲ πολλάκιϲ. ὡϲ γὰρ λέγομεν «ὥϲ τε γὰρ παῖδεϲ νεαροί» (Il. Β 289) οὕτωϲ «ἥ τε ξείνων θέμιϲ ἐϲτίν». Il. Pr. Ι 134.

273. νήπιόϲ εἰϲ, ὦ ξεῖν', ἢ τήλοθεν εἰλήλουθαϲ: βαρυντέον τὸν ῆ. διαζευκτικὸϲ γάρ ἐϲτι. οὐ γὰρ ἐρωτᾷ, ἀλλ' ἀποφαίνεται ὅτι δι' ἀφροϲύνην ἢ δι' ἀπορίαν ὡϲ ἂν μακρόθεν ἐληλυθὼϲ τὰ Κυκλώπων ἀγνοεῖ. HT.

280. ἤ που ἐπ' ἐϲχατιῆϲ ἢ καὶ ϲχεδόν: περιϲπαϲτέον τὸν δεύτερον ή. τινὲϲ δὲ ὤξυναν. H.

†347. ἀνδρόμεα κρέα: δεῖ ϲυϲτέλλειν τὸ κρέα, ἵνα δάκτυλοϲ γένηται ὡϲ τὸ «πὺξ ἀγαθὸν Πολυδεύκεα» (Il. Γ 237). Il. Pr. Ο 187.

353. ἥϲατο: δαϲύνεται τὸ ἥϲατο. ἔϲτι γὰρ ἀπὸ τοῦ ἥδω. Q.

366. Οὖτιϲ ἔμοιγ' ὄνομα: προπεριϲπαϲτέον νῦν τὸ ὄνομα. ἐπὶ τοῦ «οὔτιϲ με κτείνει» (408) παροξυντέον. ὡϲ γὰρ δύο μέρη λόγου παραλαμβάνεται. Q.

387. πυριήκεα ὡϲ τανυήκεα. HQ.

ΕΙϹ ΤΗΝ Κ.

39. ὅτεων: διχῶϲ ὅτεων καὶ ὀτέων. ἐκράτηϲε δὲ ὅτεων προπαροξυτόνωϲ. Q.

43. τάδ' ἔδωκεν: οὕτωϲ Ἀρίϲταρχοϲ· ἄλλοι δὲ τὰ δέδωκε καὶ τάγ' ἔδωκεν καὶ τάγε δῶκεν. Ἡρωδιανόϲ. H.

---

223 cf. Arcad. 53, 6, ubi tamen haec vox omissa est. 268 cf. Il. Pr. O 365. 347 in Il. Pr. l. c. comparatur hic locus cum Ῥέα in fine versus, quod quidam producere, alii ut nostrum corripere voluerunt. 366 cf. locum geminam ex libro περὶ παθῶν depromptum in E. M. 643, 13. 387 accentus in πυριηκέα τανυηκέα correxi. Herodiani sententia collata Il. Pr. N 391 sic fere explenda est: ἐχρῆν τὸ πυριηκηϲ ὀξύνεϲθαι. ὅμωϲ δὲ βαρυτόνωϲ γράφεται πυριήκηϲ καὶ ϲυνηγορεῖται ὑπὸ τανυήκουϲ ξίφουϲ καὶ τῶν ὁμοίων. cf. Lehrs qu. ep. 152 seqq. 445 λαχμῷ ϲτεινόμενοϲ: οἱ παλαιοί φαϲι κάλλιον ἐνταῦθα λάχνῳ κατὰ Ἡρωδιανόν. M a man. sec. «In E. M. 558, 24 haec scriptura Seleuco tribuitur atque valde dubium est, an Herodiani nomen verum sit», ait Friedlander l. c., cui adstipulor. Caeterum haec nota cum Prosodia nihil commune habet.

K 39 pro ὀτεῶν scripsi ὀτέων cf. supra β 114 et Il. Pr. O 491. 43 priorem partem Schmidtius Didymo assignat, sed Herodianus haec omnia proferre potuit, nam agitur de syllabarum distinctione τάδ' ἔδωκεν — τὰ δέδωκεν; τάγ' ἔδωκεν τάγε δῶκεν.

52. ἢ ἀκέων τλαίην: ὁ δεύτερος ἢ περισπασθήσεται. H.

69. δύναμις γὰρ ἐν ὑμῖν: ὀρθοτονητέον τὸ ὑμῖν. τὸ δὲ ἐν οὐ σημαίνει τὸ ἔνεστι. H.

169. καταλοφάδεια: ὑφ' ἓν ἀναγνωστέον ὡς τὸ κατωμάδεια καὶ τόνῳ καὶ σημαινομένῳ. BQ.

290. κυκεῷ: κυκεῶνα κατὰ συγκοπήν. V.

362. θυμῆρες: τὸ μὲν θυμῆρες προπερισπωμένως, τὸ δὲ θυμαρές ὀξυτόνως. γράφεται γὰρ ἀμφότερον. P.

379. βρώμης: ὡς ῥώμης· ὅμοιον δὲ αὐτῷ ἐστι καὶ τρώμη. καὶ Ἀρίσταρχος παροξύνει. H.

380. ἤ τινά που δόλον ἄλλον ὀΐεαι: περισπαστέον τὸ ἦ. διαπορητικὸν γάρ ἐστι. H.

417. ἵνα τε τράφεν ἠδὲ γένοντο:

ΕΙΣ ΤΗΝ Λ.

7. ἵκμενον οὖρον: ψιλωτέον τὸ ἵκμενον. H.

74. κακκεῖαι: προπερισπωμένως. ἀπαρέμφατον γάρ ἐστιν. HQ.

120. ἠὲ δόλῳ ἢ ἀμφαδόν· οὐ διστάζει, ἀλλ' ὁ ἢ ἀντὶ τοῦ καί. H.

128. ἀθηρολοιγόν: ὀξυτόνως. Q.

134. θάνατος δέ τοι ἔξαλος αὐτῷ: τὸ ἔξαλος ὡς ἔκβιος οἷον ἠπειρωτικὸς καὶ οὐ θαλάσσιος. ἔνιοι δὲ κατὰ παράθεσιν ἐξ ἁλός οἷον ἀπὸ θαλάσσης ὡς τὸ «ἐπισσεύῃ μέγα δαίμων ἐξ ἁλός» (ε 421) καί φασιν ὡς τὸ δόρυ, ὃ ἐντεύξει τῆς Κίρκης Ἥφαιστος κατεσκεύασε Τηλεγόνῳ ἐκ τρυγόνος θαλασσίας, ἣν Φόρκυς ἀνεῖλεν ἐσθίουσαν τοὺς ἐν τῇ Φορκίδι λίμνῃ ἰχθῦς, οὗ τὴν μὲν ἐπιδορατίδα ἀδαμαντίνην, τὸν δὲ στύρακα χρυσοῦν εἶναι, τὸν Ὀδυσσέα ἀνεῖλεν. ἀλλ' εἴγε καὶ ἐν παραθέσει εἴη ἡ ἐξ, δύναται τὸ ἔξω δηλοῦν ὡς τὸ «ἐκ τ' ἀνδροκτασίης» (Λ 164).

---

169 scripsi καταλοφάδεια pro -δια et κατωμάδεια pro -δια ex Herod. ap. Io. Al. 33, 19. Quamquam κατωμάδεια non legitur ap. Homerum, ut Buttmannus adnotat, neque ap. Io. Al. neque ab Theogn. 164, 26, tamen non addubitandum arbitror. 290 cf. Il. Pr. Λ 641, unde διό περισπαστέον supplenda sunt.
362 cf. Il. Pros. Γ 316, ubi hic locus citatur, Lehrs qu. ep. 156 seqq.
379 παροξύνει pro ὀξύνει emendavit la Roche die Homerische Texteskritik p. 217. 417 ex Schol. H ἵνα τέτραφεν. γρ. ἵν' ἔτραφον coniici potest, hic diversae scripturae τε τράφεν et τ' ἔτραφεν mentionem factam esse cf. Il. Pr. Φ 279.
Λ 7 ἵκμενον scripsi pro ἴγμενον. 120 adlici potest: διό ὀξύνεται ὁ ἤ. cf. Il. Pr. Π 105. 106. Io. Al. 41, 6. 128 cf. Arcad. 47, 17. 134 turbatam orationem καί φασι ὡς ἐντεύξει τῆς Κίρκης Ἥφαιστος κατεσκεύασε Τηλεγόνῳ δόρυ ἐκ τρυγόνος κτλ. Buttmannus restituit. — In V haec nota exstat: διπλῆ ἀνάγνωσις καὶ ἔξαλος προπαροξυτόνως ἀντὶ τοῦ ἔξω καὶ πόρρω τῆς θαλάσσης καὶ ἐξ ἁλός διῃρημένως διὰ τὸ τῆς τρυγόνος κέντρον, ᾧ ὁ Τηλέμαχος ἀντὶ αἰχμῆς ἐχρῆτο et in Q ἐξ ἁλός: ἔξω τῆς ἁλός. οὐ γὰρ οἶδεν ὁ ποιητὴς τὸ κατὰ τὸν Τηλέγονον καὶ τὰ κατὰ τὸ κέντρον τῆς τρυγόνος. Comparatione dignus est locus in Ep. Cr. I 378 et 379, ubi in adnotamento ex libro περὶ παθῶν, ut videtur, sumpto inter exempla, quibus demonstratur ex male intellectis verbis Homericis a posterioribus fabulas Homero ignotas fictas esse, etiam noster locus profertur: ὁμοίως δὲ κἀκεῖνο ἔπλασαν (sic scripsi pro κἀκείνῳ ἐπλεόνασε) «θάνατος δὲ

ὁ μέντοι Ἀσκαλωνίτης τὸ πλῆρες ἔξω ἡγεῖται, ἵν' ᾖ ἔκθλιψις τοῦ ω ὡς ἐν τῷ «βαθέης ἐξάλλεται αὐλῆς» (Ε 142). οὐκ ἀναγκαῖον δὲ τῆς ἐξ ἤδη τὸ ἔξω σημαινούσης. HQ.

†148. ὁ δέ τοι νημερτὲς ἐνίψει: ὁ δέ ἄμεινον δύο μέρη λόγου ποιεῖν. Il. Pr. A 239.

160. ἢ νῦν δὴ Τροίηθεν: τινὲς ὡς ἓν μέρος λόγου παροξύνουσιν ἀντὶ τοῦ ἀρτίως ὁμοίως τῷ «οὗτος ἀνὴρ νῦν δὴ ξυμβλήμενος» (ω 260). HQ.

†172. ἢ δολιχὴ νοῦσος ἢ Ἄρτημις ἰοχέαιρα: ἐν τοιαύταις συντάξεσι ὁ μὲν πρότερος ἢ ἐγκλίνεται, ὁ δὲ δεύτερος περισπᾶται. Il. Pr. Υ 17.

221. δαμνᾷ, ἐπεί κεν πρῶτα λίπῃ: δαμνᾷ ὡς κιρνᾷ. οἱ δὲ «δάμναται ὥς κεν πρῶτα λίπῃ» ὡς Κράτης. ὁ δὲ Ἀσκαλωνίτης βαρύνει δάμνα, ἵν' ᾖ τοῦ δάμναται ἀποκοπή. ἔξεστιν δὲ ἀναγινώσκειν περισπωμένως ἀπὸ τοῦ δαμνῶμαι ὡς πειρῶμαι «πειρᾷ ἐμεῖο γεραιέ» (Ω 390) μὴ ἐκφωνουμένου τοῦ ῑ ὡς τὸ δύνᾳ παρ' Ἀττικοῖς. H.

233. ἠδέ: τὸ ἠδέ Ἀρίσταρχος καὶ οἱ ἄλλοι. H.

274. ἀνάπυστα: προπαροξυτόνως φησὶν (sc. Ἡρωδιανὸς) ἐν τῇ καθόλου περιττῆς οὔσης τῆς ἀνὰ ἀντὶ τοῦ πυστά ἐξακουστά. BQ.

285. ἡ δὲ Πύλου βασίλευε: τὸ «ἠδὲ Πύλου» σύνδεσμον ἐπὶ Νηλέως ἀκουστέον ὃς Ὀρχομενοῦ καὶ Πύλου ἐβασίλευσεν. οὕτως Ἀρίσταρχος. ὁ δὲ Ἡρωδιανὸς (sc. ἡ δὲ scribens) ἐπὶ Χλωρίδος φησὶν ἀντιδιαστέλλων τῷ πατρί καὶ ἐπὶ θηλειῶν δὲ τάσσει τὸ βασιλεύει «μητέρα δ' ἣ βασίλευεν» (Z 425). H.

*286. Χρομίος: ὁ Χρομίος παροξύνεται ὁμοίως τῷ Δολίος Τυχίος καὶ τοῖς τοιούτοις ὡς τρίβραχυ. Eustath. ad h. l. 1685, 61.

299. ἡ ῥ' ὑπὸ Τυνδαρέῳ: παροξυτόνως τὸ Τυνδαρέῳ ἀκολούθως τῷ «οὐχ ὡς Τυνδαρέου κούρη κακὰ μήσατο» (ω 199). HQ.

320. γένυς: πληθυντικῶς αἰτιατικῆς ὡς τὸ «ἐκ δὲ νέκυς οἴκων φόρεον» (ω 417). H.

τοι ἐξ ἁλὸς αὐτῷ». ἐπεὶ γὰρ ἡ ἐξ καὶ (inserui) τὴν ἀπό τινος σχέσιν σημαίνει ἐκ Κρήτης, ἐκ Ῥόδου, οὕτω καὶ τὸ ἐξ ἁλὸς παραλαμβάνοντες (sic scripsi pro τοῦτο δέ καὶ τὸ ἐξ ἁλός) ἀνέπλασαν (pr. ἀνέπλασε) τὸ κέντρον καὶ τὴν τρυγόνα. De loco Il. Ε 142 cf. Schol. A ad h. l. 160 cf. Lehrs qu. ep. 131. 172 cf. Il. Pr. Ξ 265 et Io. Al. 41, 16 et 32. 221 pro συνεδάμνα scripsi βαρύνει δάμνα, ante ἤ, quod in ᾖ mutavi, inserui ἵν', pro ἔξοδον posui ἔξεστιν, pro καὶ ἐκφωνουμένου scripsi μὴ ἐκφωνουμένου. Aliter Buttmannus explicavit inductus Schol. ad Il. Ξ 199, ubi de secunda persona δαμνᾷ agitur. Lobeckius in El. II duobus locis p. 123 et 308 de hoc Scholio disputat, posteriore loco recte interpretatus, in altero fallitur sumens a tertia ad secundam personam transitum factum esse. 233 ex lemmate η δέ perspicitur, hic de scriptura ἠδέ et ἡ δὲ disceptatum esse. 286 cf. Il. Pr. Β 495. 299 ex Eustathii adnotatione 1686, 28, quam Dindorfius apposuit, patet pro Τυνδάρεω non Τυνδαρέω, sed Τυνδαρέῳ cum ῑ subscripto et in versu Odyss. ω pro Τυνδάρεω Τυνδαρέου exhibendum esse. Ibi enim exponitur Homerum non a Τυνδάρεως, sed a Τυνδάρεος declinare. cf. Choer. Dict. 415, 21. 313 adnotatio in H de ἀπειλήτην Herodiani est, ut intellegitur ex E. M. 121, 10, sed ex libro περὶ παθῶν. 320 addi potest: διὸ τὸ ῡ ἐκτείνεται. cf. Il. Pr. Ξ 390.

367. coì δ' ἔπι μὲν μορφὴ ἐπέων, ἔνι δὲ φρένες ἐcθλαί: ἀναcτρεπτέον τὴν ἔπι καὶ τὴν ἔνι. H.

392. πιτνάc: ὀξυτόνωc τὸ πιτνάc. H.

403. ἠὲ περὶ πτόλιοc μαχεούμενον: ἐνταῦθα διαζευκτικῶc νοεῖται. παράλογοc ἡ διαίρεcιc. θέλει γὰρ εἰπεῖν μαχόμενον. ἐπέκταcιc οὖν γέγονε διὰ τὸ μέτρον. H.

†410. ἔκτα cὺν οὐλομένῃ ἀλόχῳ: κατὰ cυcτολὴν ἀναγνωcτέον. ἔcτι δὲ ἀποκοπὴ τοῦ ἔκτανε. Il. Pr. B 662.

459. ἤ που ἐν Ὀρχομενῷ ἢ ἐν Πύλῳ: ὀξυτονητέον τοὺc cυνδέcμουc. διαζευκτικοὶ γάρ εἰcιν. H.

502. τῷ κέ τεῳ: ὁ Ἀρίcταρχοc καὶ ἐγκλίνει τὸ τέῳ. H.

510. πόλιν Τροΐην: τριcυλλάβωc τὸ Τροΐην, ὡc καὶ Ἀρίcταρχόc φηcι. Vind. 133.

519. ἀλλ' οἷον: θαυμαcτικῶc οἷον. Q.

521. κήτειοι: προπαροξυτόνωc. καὶ τοὺc μεγάλουc ἀκουcτέον παρὰ τὸ κῆτοc, ὡc καὶ Ἀρίcταρχοc. BHQ.

539. κατ' ἀcφοδελὸν λειμῶνα: ὀξυτόνωc. ἄδηλον δὲ πότερον cφοδελόν ἢ ἀcφοδελόν. λέγεται γὰρ καὶ χωρὶc τοῦ ᾱ. τινὲc δὲ γράφουcι cποδελόν διὰ τὴν cποδὸν τῶν καιομένων νεκρῶν. ἄμεινον δὲ ἀcφοδελόν διὰ τὸ Περcεφόνηc εἶναι λειμῶνα τὸν τόπον. εἶπε δὲ ἀcφοδελὸν τὸν τόπον τὸν ἔχοντα ἀcφόδελον, ἥτιc ἐcτὶ βοτάνη ὁμοία cκίλλῃ. BHQ.

540. γηθοcύνῃ, ὅ οἱ υἱὸν ἔφην ἀριδείκετον εἶναι: χωρὶc τοῦ ῑ γηθοcύνη ἀντὶ τοῦ χαίρουcα (H) Ἀρίcταρχοc· εἰcὶ μέντοι οἳ ἀναγινώcκουcι γηθοcύνῃ καὶ δοτικὴν πτῶcιν ἐκδέχονται, οἷc cυγκατατίθεμαι. Il. Pr. N 29.

565. ἔνθα χ' ὁμῶc: περιcπαcτέον. ἐπίρρημα γάρ. τῷ cυνδέcμῳ οὐ χρῆται, ἀλλ' ἀντ' αὐτοῦ τῷ ἔμπηc. διὸ καὶ τὸ «ὅμωc δ' οὐ λήθετο χάρμηc» (M 393) οἱ πλείουc περιcπῶcιν. Q.

†580. Λητὼ γὰρ δ' ἥλκηcε — 581 Πυθὼ δ' ἐρχομένην: Πάμφιλοc περιcπᾷ, Ἀρίcταρχοc δὲ ἀνέγνωκε κατ' ὀξεῖαν τάcιν. Il. Pr. B 262.

---

410 cf. ad α 300. 459 pro διcτακτικοὶ scripsi διαζευκτικοί. 502 pro τεων scripsi τεῳ. 510 cf. Il. Pros. A 129. 519 hunc locum citat Herod. ad Il. Є 638, ubi ἀλλ' οἷόν τινα: Νικίαc ψιλοῖ ἐκδεχόμενοc τό μόνον. ἄλλοι δὲ δαcύνουcι θαυμαcτικῶc ἐκδεχόμενοι ὡc καὶ Ἡρακλέων, ἵνα ὅμοιον ᾖ τῷ «ἀλλ' οἷον Τηλεφίδην». 521 Lehrsius de Arist. 153 ed. II huic testimonio diffidit, non quo putet etymologiae rationem Aristarchi esse non posse, sed quod parum elegans ἑταῖροι μεγάλοι κτείνοντο ἀμφ' αὐτόν. Accentus regula non plena est, nam ex Arc. 44, 10 concludi potest Herodianum docuisse κήτειοc, si appellative accipiatur, proparoxytonon esse, oxytonon vero, si proprium sit. Nam, ut in Scholio pergitur, ἄλλοι ἔθνοc Μυcίαc τοὺc νῦν Ἐλεάταc καλουμένουc. 539 de accentu cf. Arc. 55, 3. Similis atque de cφοδελόc ἀcφοδελόc cποδελόc controversia fuit de cφάραγοc ἀcφάραγοc ἀcπάραγοc in fragmento Herodianeo E. Gud. 87, 52. 540 verba inde ab Ἀρίcταρχοc addidi ex Il. Pros. l. c., unde patet iniuria hoc adnotamentum a Schmidtio Didymo tributum esse. 565 cf. Il. Pros. O 209.

588. κατὰ κρῆθεν: διϲυλλάβωϲ καὶ προπεριϲπωμένωϲ τὸ κατὰ κρῆθεν. H.

597. τότ' ἀπεϲτρέψαϲκε κραταιΐϲ: ὁ μὲν Ἀρίϲταρχοϲ καὶ Ἡρωδιανὸϲ ὀξυτόνωϲ κατὰ ϲυϲτολὴν ὡϲ λικριφίϲ, ἀμφουδίϲ ἐπιρρηματικῶϲ. ὁ δὲ Ἀϲκαλωνίτηϲ τὸ πλῆρεϲ κραταιὰ ἴϲ οἷον ἰϲχυρὰ δύναμιϲ. ᾧ ἐπείϲθη καὶ ἡ ϲυνήθεια. BHQ.

ΕΙϹ ΤΗΝ Μ.

22. δὶϲ θανέεϲ: οὕτωϲ ἐν δυϲὶ μέρεϲι λόγου. φηϲὶ γὰρ Ἀπολλώνιοϲ ὡϲ ὅτι δίϲ καὶ τρίϲ ἐν ϲυνθέϲει ἐκβάλλει τὸ ϲ̄ δίπουϲ τρίπουϲ. Q.

33. ἡ δ' ἐμέ: ἀντιδιαϲταλτικὴ ἡ ἐμέ. H.

40. ὅτί ϲφεαϲ: ὅτε ἡ διὰ τοῦ ϲφ ἀντωνυμία ἐπιφέρεται, ἐγείρει τὴν πρὸ αὐτῆϲ ὀξεῖαν καὶ ἐπὶ ϲπονδείου καὶ ἐπὶ πυρριχίου καὶ ἐπὶ ἰάμβου. διὸ ἐπιϲτατέον τῷ «οὐ γάρ τ' οἶδ' εἰ ἔτι ϲφιν ὑπότροποϲ ἵξομαι αὖτιϲ» (Il. Z 367). H.

47. ἀλεῖψαι: περιϲπωμένωϲ, ἵν' ᾖ ἀπαρέμφατον ἀντὶ τοῦ προϲτακτικοῦ τοῦ ἄλειψον. H.

70. παϲιμέλουϲα: ὑφ' ἓν παϲιμέλουϲα. HQ.

†79. περιξέϲτη: κρεῖττον βαρυτόνωϲ γράφειν περιξέϲτη ὁμοίωϲ τῷ ἀϲβέϲτη. τὸ γὰρ περιϲπᾶν ἔχει καί τι ἀντιλογίαϲ. Eustath. ad h. l. 1714, 5.

89. τῆϲ ἤτοι πόδεϲ εἰϲὶ δυώδεκα πάντεϲ ἄωροι: ψιλωτέον τὰϲ δύο ϲυλλαβάϲ· ἔϲτι γὰρ δυϲφύλακτοι, οὓϲ οὐκ ἄν τιϲ δυνηθείη φυλάξαϲθαι· ὠρεῖν γὰρ τὸ φυλάϲϲειν. ἔνιοι δὲ δαϲέωϲ ἀνέγνωϲαν ἅωροι ὠμοὶ ἄγριοι ἐκ μεταφορᾶϲ τῶν ἀώρων καὶ μὴ πεπείρων καρπῶν. Ἀρίϲταρχοϲ δὲ ἀκώλουϲ· τοὺϲ γὰρ Ἴωναϲ λέγειν φηϲὶ τὴν κωλῆν ὥρην καὶ ὡραίαν. οὐκ ἔχονταϲ οὖν ὀϲτᾶ ἀκώλουϲ καὶ ἀνάρθρουϲ λέγεϲθαι. ἔνιοι δὲ ἀώρουϲ τοὺϲ ἐμπροϲθίουϲ ὡϲ καὶ παρὰ τῷ κωμικῷ (sc. Φιλήμονι) «οὐ τοὺϲ ἀώρουϲ εἰπά ϲοι, μαϲτιγία, πόδαϲ κομίζειν; ϲὺ δὲ φέρειϲ ὀπιϲθίουϲ». ἄμεινον δὲ ἀποδιδόναι τοὺϲ δυϲφυλάκτουϲ. HQV.

98. πώποτε: ὑφ' ἓν τὸ πώποτε. H.

104. τῷ δ' ὑπὸ δῖα Χάρυβδιϲ ἀναρροιβδεῖ: οὐκ ἀναϲτρεπτέον τὴν ὑπό πρόθεϲιν. H. τὸ δὲ ἀναρροιβδεῖ περιϲπωμένωϲ. τινὲϲ δὲ τὴν λέξιν περὶ τὸ ἀναρριπτεῖ ἔταξαν. H.

---

588 cf. Il. Pr. Π 548. 597 cf. Il. Pr. Λ 677.

M 22 Eustathius pro Apollonio Apollodorum nominat 1706, 1 addens excepta esse ab hac norma numeralia ut διϲχιλίουϲ τριϲχιλίουϲ cf. Lob. El. I 583.

40 cf. Il. Pr. Z 367. 70 cf. Il. Pr. B 557 et I 527 79 cf. Il. Pr. I 343 et Ξ 372. 89 sic varias notas concinnavi, quin spondeam omnia ab Herodiano profecta esse. cf. Hesych. s. v. Lehrs Arist. 314 ed. II et populäre Aufsätze p. 77, Lob. El. II 75 cum Nitzschio interpretationem κρεμαϲτοί peuduli pracoptat. Comicum esse Philemonem coll. Lex. Seguer. in Bekk. An. 476, ubi pro κομίζειν est πρίαϲθαι, monuit Buttmannus. 98 cf. Il. Pr. A 154. 104 pro περὶ τοῦ scripsi περὶ τὸ eo intellectu, ut dicatur quosdam ἀναρροιβδεῖ eodem loco habere quo ἀναριπτεῖ, quod et barytonon et perispomenon ap. Homerum est. De ἀναρ-

116. καὶ δ᾽ αὖ τοι: ὁ μὲν αὖ cύνδεcμοc, ἡ δὲ τοι ἀντωνυμία. BQ.

124. βωcτρεῖν δὲ Κράταιιν μητέρα τῆc Cκύλληc: ἄμεινον γράφειν κραταιίc ἀντὶ τοῦ ἰcχυρῶc ὡc ἀλλαχοῦ «τότ᾽ ἀποcτρέψαcκε κραταιῖc» (λ 579), ἵνα λέγῃ, κραταιῶc ἐπιβοῶ τὴν μητέρα τῆc Cκύλληc καὶ ὀξύνεται. ἐὰν δὲ ᾖ κύριον, προπαροξύνεται. BHQ.

168. ἡ δὲ: δαcέωc τὸ ἡ δέ. H.

205. προήκεα: ὡc τανυήκεα. BHQ.

209. οὐ μὴν δὴ τόδε μεῖζον ἔπει κακόν: ῥῆμά ἐcτι ἔπω ἔπειc ἔπει ἀντὶ τοῦ περιέπει. δαcέωc οὖν. H. Vind. 133.?

246. ἓξ ἕλεθ᾽: τὸ ἕξ δαcυντέον. ἀριθμητικὸν γάρ ἐcτιν. H.

256. κεκληγῶταc: ἐὰν διὰ τοῦ ω, προπεριcπᾶται, ἐὰν δὲ διὰ τοῦ ντ, ὡc λέγονταc. H.

†283. λαρὸν τετυκοίμεθα δόρπον: λαρόc ὀξυνόμενον ἔχει ἐκτεινόμενον τὸ ᾱ. Mon. 35, 13. ?

284. ἀλάληcθαι: ὁ Ἀcκαλωνίτηc περιcπᾷ, ἵν᾽ ᾖ παρακειμένου χρόνου ἀπὸ τοῦ ἀλῶ ὡc πεποιῆcθαι. δύναται προπαροξύνεcθαι ὡc Αἰολικόν, ἵν᾽ ᾖ ἀλάληcθαι ἐνεcτῶτοc χρόνου. τὸ θέμα ἄλημι ὡc τίθημι ἄλεμαι ὡc τίθεμαι καὶ διπλαcιαcμὸc μετ᾽ ἐπεκτάcεωc Αἰολικῆc ἀλάλημαι ἀλάληcαι ἀλάληται. HQ.

313. ὦρcεν ἔπι ζαῆν ἄνεμον: οὕτωc χωρὶc τοῦ δέ Ἀρίcταρχοc γράφει, καὶ ἀναcτρεπτέον τὴν πρόθεcιν. ἐὰν δὲ μετὰ τοῦ δέ, οὐκ ἀναcτρέφεται. H. ἔδει χωρὶc τοῦ ν̄ ζαῆ ὡc «ἀκραῆ Ζέφυρον» (β 421). ἔcτιν οὖν Αἰολικὸν τὸ μετὰ τοῦ ν καὶ ἔδει αὐτὸ Αἰολικῶc βαρύνεcθαι ὡc τὸ «αἰνοπάθην πατρίδ᾽ ἐπόψομαι» παρὰ Ἀνακρέοντι. ὁ δὲ Ἀρίcταρχόc φηcι περιcπᾶcθαι καὶ οὕτωc ἔχει ἡ παράδοcιc. H.

ροιβδεῖ cf. Herodianum in E. M. 99, 9. 124 in Il. Pr. Λ 677 Herodianus agnoscit scripturam Κράταιιν: τὸ κράταιc δοκεῖ ἐπὶ τοῦ κυρίου βεβαρυτονῆcθαι διὰ τὴν αἰτιατικὴν «βωcτρεῖν δὲ Κράταιιν. τάχα δὲ καὶ τοῦτο πρὸc ἀντιδιαcτολήν. 168 scripsi ἡ δὲ bis pro ἥδε. 205 ad ι 387. 209 alii ἔπει i. q. ἔπειcι, alii ἔπι scripserunt. cf. Diudorf. ad h. l. 246 cf. Il. Pr. Ι 130. 256 cf. Il. Pr. Μ 125.

283 cf. ε 51. 284 pro ἐπιτάcεωc scripsi ἐπεκτάcεωc, intellegitur enim productio vocalis ε̄ in η̄ cf. supra β 370. Similiter iudicat Herod. ap. Choer. 837, 19 et Zonar. p. 112 de participio οὐτάμενοc et ἐληλάμενοc. Sed ut in Pros. Il. Λ 659 non omnino reprobat explicationem eam, qua οὐτάμενοc ex οὐτάcμενοc repetitur, ita alio loco diverse de ἀλάλημαι decernit perfectum esse perhibens E. M. 56, 27 ὁ Ἡρωδιανὸc ἐν τῷ περὶ παθῶν λέγει ἀπὸ τοῦ ἄλημι ὁ παθητικὸc παρακείμενοc ἤλαμαι καὶ Ἀττικῶc ἀλήλαμαι καὶ καθ᾽ ὑπέρθεcιν ἀλάλημαι. Cum nostro Scholio fere congruit, quod in E. M. hanc Herodiani adnotationem excipit auctoris nomine suppresso: ἰcτέον ὅτι τὸ ἀλαλήμενοc καὶ ἀκαχήμενοc οὐκ εἰcὶ παρακείμενοι, ἐπεὶ ὤφειλον παροξύνεcθαι, ὡc τὸ πεποιημένοc. ἀλλ᾽ ἔcτιν ἀλῶ ἄλημι ἀκαχῶ ἀκάχημι ἐνεcτῶτοc. ὁ παθητικὸc ἀκάχημαι καὶ ἀλάλημαι. οἱ γὰρ Αἰολεῖc τὴν παραλήγουcαν οὐ cυcτέλλουcι, quod idem est atque μετ᾽ ἐπεκτάcεωc Αἰολικῆc nostro loco, καὶ ἡ μετοχὴ ἀλαλήμενοc καὶ ἀκαχήμενοc. Caeterum de hac accentus vicissitudine cf. Lob. ad Buttm. II p. 43, quem tamen fugit Herodianum diversis locis diverse statuisse. 313 cf. Il. Pr. Μ 157: ἅc τ᾽ ἄνεμοc ζαήc: ὡc ὑγιήc. οὕτωc καὶ Ἀcκαλωνίτηc. παραιτητέον δὲ τοὺc βουλομένουc βαρύνειν ἴcωc πλανηθένταc ἐκ τῆc αἰτιατικῆc τῆc εἰc ν περατωθείcηc. ῥηθήcεται δὲ ἐν τῇ Μ τῆc Ὀδυccείαc περὶ τῆc προcῳδίαc. — Mon. 17, 15. Pro αἰνοπαθῆ scripsi αἰνοπάθην. de hoc accusativo cf. Ahrens de dial. Aeol. p. 15 et 113.

417 θεείου: εἴγε ἀπὸ τοῦ θείου διαίρεcιc, διὰ τί τὸ θεείου διὰ διφθόγγου,

ΕΙϹ ΤΗΝ Ν.

14. ἀνδρακάϲ: ὡϲ ἑκάϲ καὶ ἐντυπάϲ. Η.

31. πανῆμαρ: ὁ Ἀριϲτοφάνηϲ οὐκ ἐν ϲυνθέϲει φηϲὶ τὸ πανῆμαρ, ἀλλὰ πᾶν, εἶτα κατ' ἰδίαν τὸ ἦμαρ. Η.

98. ἀκταὶ ἀπορρῶγεϲ: προπεριϲπαϲτέον τὸ ἀπορρῶγεϲ. BQ.

110. καταιβαταί: ὀξυτόνωϲ τὸ καταιβαταί. Η.

138. λαχὼν ἀπὸ ληῖδοϲ αἶϲαν: οὐκ ἀναϲτρεπτέον τὴν πρόθεϲιν. πρὸϲ γὰρ τὸ ἑξῆϲ ἐϲτιν ἢ παρέλκει. Η.

177. μέγα δ' ἥμιν ὄροϲ πόλι ἀμφικαλύψειν: βαρυντέον τὴν ἧμιν. Η.

183. μηδ' ἧμιν περίμηκεϲ ὄροϲ πόλι ἀμφικαλύψῃ: ἀπόλυτοϲ ἡ ἡμῖν. Η.

196. πέτραι τ' ἠλίβατοι: τινὲϲ (inter eos Herodianus cf. Il. Pr. Ο 619) παρὰ τὸ ἀλιτεῖν τοὺϲ ἐπιβαίνονταϲ. BQ.

213. Ζεύϲ ϲφεαϲ τίϲαιτο: ἀπόλυτοϲ ἡ ϲφεαϲ. Η.

228. ἐπεί ϲε πρῶτα κιχάνω: ὀρθοτονητέον τὴν ϲέ, ὡϲ καὶ Ἡρωδιανόϲ. Η.

234. ἤ που τιϲ νήϲων εὐδείελοϲ ἠέ τιϲ ἀκτή: ἐνθάδε ὁ η ἐρωτηματικόϲ, διὸ περιϲπαϲθήϲεται· ἐπὶ δὲ τοῦ Κύκλωποϲ ἀποφαντικόϲ, διὸ ὀξύνεται. Η.

247. ἀρδμοί: ἀρδμόϲ, ἐκτατέον τὸ ᾱ. ὁμοίωϲ καὶ τὸ ἄρδω ὁ Ἀριϲτοφάνηϲ. Η.

258. χρήμαϲι ϲὺν τοῖϲδεϲϲι: προπαροξυτονητέον τὸ τοίϲδεϲϲι. Η.

†269. νὺξ δὲ μάλα ϲτυγερὴ κάτεχ' οὐρανόν: προπαροξύνειν δεῖ τὸ κάτεχε. Il. Pr. Γ 426.

276. ἀλλ' ἦτοί ϲφεαϲ: ἐγκλιτικὴ ἡ ϲφεαϲ. διὸ τὴν τοι ϲυλλαβὴν ἐγερτέον. Η.

†293. ποικιλομῆτα: προπεριϲπαϲτέον τὸ ποικιλομῆτα ὁμοίωϲ τῷ δολομῆτα (Α 50). Il. Pr. h. l.

φαμὲν ὅτι πλεοναϲμὸϲ τοῦ ε̄ ὡϲ εἰϲ ἔειϲ. Q. Hoc Herodiani est, sed ex libro περὶ παθῶν sumptum, nisi forte observatio de accentu θέειον intercidit. cf. Lob. El. I 60, Lehrs ad Herod. p. 60.

N 15 προικόϲ χαρίϲαϲθαι: τό προικόϲ γενική ἐϲτι ἀντὶ αἰτιατικῆϲ, ὥϲ φηϲιν Ἡρωδιανόϲ. BHQ. Per occasionem hoc dicere potuit Herodianus, sed talia in Prosodia ipsa per se non tractavit; fortasse adnotatio de accentu interiit.

31 cf. Buttmanni adnotationem ad h. l. et Nauck Aristoph. p. 53. 98 cf. Il. Pr. Β 755. 110 cf. Il. Pr. Ε 158. 196 addi possunt: καὶ δῆλον ἐκ τῆϲ ϲυναλοιφῆϲ, ὅτι ψιλωτέον τὴν ἄρχουϲαν. 228. Herodiani sententiam non plene prolatam esse patet ex Il. Pr. Ζ 355: τὴν ϲέ ἀντωνυμίαν ὀξυτονοῦϲι, τουτέϲτι ὀρθοτονοῦϲιν, ἐπεὶ πρόϲ τί ἐϲτιν. ἔϲτι μὲν οὖν ἀληθέϲ, ὅτι ἀντιδιαϲταλτική ἐϲτι νῦν ἡ ἀντωνυμία. ἡ μέντοι κοινὴ ἀνάγνωϲιϲ ἀνέγνω ἐγκλιτικῶϲ τὴν τοιαύτην ϲύνταξιν. ὃ δὲ λέγω, τοιοῦτόν ἐϲτιν· τό ἐπεί ϲε εὑρέθη ϲυνεχῶϲ οὕτωϲ ἀνεγνωϲμένον, ἐγκλιτικῶϲ ἀεί, μὴ ἐπιφερομένου ϲυνδέϲμου. — καί μοι δοκοῦϲι τῷ πρώτῳ προϲώπῳ ϲυνακολουθεῖν οἱ οὕτωϲ ἀνεγνωκότεϲ πιθανῶϲ πάνυ κτλ. cf. Lehrs qu. ep. 122. 234 cf. supra ι 273. 247 cf. Il. Pr. Σ 521, ubi locus Aristophanis plene prolatus est: «τόν νοῦν ἵν' ἄρδω καὶ λέγω τι δεξιόν» (Eqq. 96, 114). cf. Lehrs ad h. l. 258 Eustath. 1902, 58 τοῖϲδεϲϲι pronuntiat cf. Lob. El. II 244,

332. οὕνεκ' ἐπητής ἐςςι: τῇ προςῳδίᾳ ὡς ἀεικής, φηςὶν Ἀρίσταρχος. οὕτω δὲ καὶ Ἡρωδιανός. H.

357. ὔμμ': ὑμᾶς Αἰολικῶς. H.

405. ὅς τοι ὑῶν ἐπίουρος: ἐπίςκοπος. δύναται ἡ πρόθεςις εἶναι καὶ ἐν πλεοναςμῷ, ἵν' ᾖ ἐφορῶν καὶ ἐπιβλέπων· ἢ παρέλκει ὡς τὸ βοῶν ἐπιβουκόλος. Q.

†ὁμῶς δέ τοι ἤπια οἶδεν: τῷ ἐπιθετικῷ ὁμὸς παράκειται τὸ ἐπίρρημα εἰς ως λῆγον περιςπώμενον ὡς θερμῶς. Il. Pr. Ο 209.

ΕΙΣ ΤΗΝ Ξ.

30. οἱ μὲν κεκλήγοντες: κεκληγῶτες καὶ κεκλήγοντες διχῶς αἱ Ἀριστάρχου. εἰ μὲν διὰ τοῦ ω, περιςπᾶται, εἰ δὲ διὰ τοῦ ντ, προπαροξύνεται. HQ.

33. μεταςπών: ὀξυτονητέον. ἔςτι γὰρ δεύτερος ἀόριςτος καὶ μεταςπόντος ἡ γενική. H.

38. καί κέν μοι: ἀπόλυτος ἡ μοι. B.

65. θεὸς δ' ἔπι ἔργον ἀέξῃ: ἀναςτρεπτέον τὴν ἐπί. H.

73. ἔθνεα ἔρχατο: ψιλωτέον τὸ ἔθνεα καὶ τὸ ἔρχατο. H.

99. ἔςτ' ἄφενος: ὅτε ἐςτὶν ἐν ἀρχῇ ςτίχου, παροξύνεται. H.

103. ἐνθάδε τε: διχῶς ἐνθάδε καὶ ἔνθα δέ. H.

113. ἐνίπλειον: προπαροξυτόνως. H.

161. τοῦδ' αὖ τοῦ λυκάβαντος: τοῦδ' αὖ τοῦ τρεῖς τόνοι. οὐ δύναται γὰρ εἶναι ἡ αὐτοῦ ἀντωνυμία. τὸ γὰρ αὐτοῦ οὐ λέγει Ὅμηρος εἰ μὴ ἐπὶ εἰρημένοις τιςὶν ἀναφορικῶς. HQ.

185. ἐνίςπες: ςπές ἐνίςπες ὡς θές ἐπίθες, ςχές ἐπίςχες. ἔνιςπε δὲ ἀπὸ τοῦ ἐνίςπω ὡς ἔλαυνε ἀπὸ τοῦ ἐλαύνω. HQ.

†222. τοῖος ἔα ἐν πολέμῳ: τὸ ἔα Ἰωνικόν ἐςτιν ἐκ τοῦ ἦν γεγονός. διὸ ςυςταλτέον τὸ α. λέγεται καὶ διὰ τοῦ η «οὐκ ἀποφώλιος ἦα οὐδὲ φυγοπτόλεμος» (213). Il. Pr. Ε 887.

260. ἔρυςθαι: ἐνεςτῶτός ἐςτιν ὡς πήγνυςθαι, παρακειμένου δὲ εἰρύςθαι. Q.

---

276 cf. Lehrs qu. ep. 106. 332 rectius loci sententiam perspexit Dindorfius, qui ante ἀεικής inseruit ὡς, quam Schmidtius in Didymi fragm. h. l. ἀεικές corrigens. Nam de accentu hic sermonem esse apparet etiam ex Eustath. 1742 extr. ὀξύνεταί φαςιν (fortasse φηςίν sc. Ἡρωδιανός) ἡ λέξις παρὰ τοῖς παλαιοτέροις, οἱ δὲ ὕςτερον παροξύνουςιν αὐτό. cf. Dindorf ad φ 306, Lobeck. El. I 483. 357 addi potest ψιλοῦται cf. Il. Pr. Α 335.

405 cf. Il. Pr Ν 450.

Ξ 30 cf. ad μ 256. 65 casui enim suo οἷ ex superioribus (ὅς οἱ πολλὰ κάμηςι) supplendo postposita est praepositio. 73 de ἔθνεα cf. Il. Pr. Ι 540, de ἔρχατο supra ι 221. 103 sic pro ἐνθάδε καὶ ἐνθάδε scribendum esse monuit Dindorf. 161 sic adnotamentum ex H et Q composui. cf. Il. Pr. Κ 25: ἐπὶ τοῦ «τοῦ δ' αὐτοῦ λυκάβαντος» κατεπεῖγόν ἐςτιν αὖ, εἶτα τοῦ ἀναγνῶναι· κωλύεται γὰρ ἐνθάδε ἐμπαραληφθῆναι ὑπὸ τοῦ ςημαινομένου τὸ αὐτοῦ. 185 verba ἔνιςπες δὲ ἀπὸ τοῦ ἐνίςπω ὡς ἐλαύνω recte emendavit Buttmannus. cf. γ 101.

260 cf. ε 481; γ 268.

†272. τοὺc δ' ἄναγον ζωοὺc cφίcιν ἐργάζεcθαι: ἡ cφίcιν ὀρθοτονεῖται εἰc cύνθετον μεταλαμβανομένη. ἔcτι δὲ καὶ ὅτε εἰc ἁπλῆν μεταλαμβανομένη ὀρθοτονεῖται «τοὺc δ' ἄναγον ζωοὺc cφίcιν ἐργάζεcθαι». οὐ γὰρ δὴ καὶ οἱ αἰχμάλωτοι ἄγονται ἑαυτοῖc ἐργάζεcθαι, ἀλλ' αὐτοῖc τοῖc ἄγουcιν. Il. Pr. Δ 2.

290. παρπεπιθών: ὀξυτόνωc ἡ μετοχή, δευτέρου γὰρ ἀορίcτου. BQ.

328. ἐπακούcαι: παροξυτόνωc τὸ ἐπακούcαι. H.

332. κατειρύcθαι: παρακειμένου ἐcτί. διὸ παροξύνεται. H.

†400. ὄφρα καὶ ἄλλοc πτωχὸc ἀλεύεται ἠπεροπευτήc: cυcτολὴ ἐγένετο ἡ μεταβολὴ ἐγκλίcεωc ὁμοίωc τῷ «ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκοc ὀδόντων» (Il. I 409). Il. Pr. Λ 192.

411. ἔρξαν: ψιλωτέον τὸ ἔρξαν ἀντὶ τοῦ κατέκλειcαν, τὸ γὰρ δαcυνόμενον ἀντὶ τοῦ ἔθυcαν. ἐτυμολογεῖται δὲ τὸ ἔρξαν ἀντὶ τοῦ κατέκλειcαν ἀπὸ τοῦ εἴργω τὸ κωλύω, τὸ δὲ ἕρξαν ἀντὶ τοῦ ἔθυcαν ἀπὸ τοῦ ἕρδω τὸ θύω. BQ.

432. βάλλον δ' εἰν ἐλεοῖcιν: δαcύνεται τὸ ἐλεοῖcιν. H.?

476. πηγυλίc: ὀξυτόνωc τὸ πηγυλίc ἀντὶ τοῦ παγετώδηc. BQ.

533. Βορέω ὑπ' ἰωγῇ: cύνθετόν ἐcτι τὸ ὄνομα ἀντὶ τοῦ cκέποντι καὶ ἀπείργοντι τὸν βορρᾶν τόπῳ. B.

ΕΙC ΤΗΝ Ο.

10. δόμων ἄπο τῆλ' ἀλάληcαι: τὸ ἀπὸ ἀναcτρεπτέον. τὸ δὲ ἀλάληcαι προπαροξυτόνωc, ὅτι ἀπὸ τοῦ παρακειμένου ἀλάλημαι, ἢ ὅτι ἀπὸ τοῦ ἀλάλημι. H.

19. μή νύ τι cεῦ ἀέκητι δόμων ἐκ κτῆμα φέρηται: ὀρθοτονητέον τὴν cεῦ καὶ τὴν ἐκ τῷ δόμων cυναπτέον. H.

27. ἄλλο δέ τοι τι ἔποc ἐρέω: οὐ δύναται τὸ τοι ὀξύνεcθαι. ἴαμβοc γάρ ἐcτι τὸ δέ τοι. H.?

58. Ἑλένηc πάρα καλλικόμοιο: ἀναcτρεπτέον τὴν παρά. H.

105. ἔνθ' ἔcάν οἱ πέπλοι: τρεῖc ὀξεῖαι. καὶ εἴπομεν ἐν τῇ Ἰλιάδι (B 255) τὸ αἴτιον. H.

168. ἦ — ἦε: τὸ δεύτερον περιcπαcτέον ὡc ἐρωτηματικόν. H.

242. Μάντιον: ὡc Φήμιον. H.

---

328 ἐπακούcαι fuit Aristophanis scriptura, Aristarchi ἐπακούcῃ.
332 cf. supra 260. 411 cf. Herod. in An. Ox. II 52, 17. 432 in Mon. 38, 1, ubi hic versus affertur, lenis positus est ἐλεοῖcιν. 476 cf. Arc. 31, 3.
533 cf. Schol. ad ε 404 ἐπιωγαί.

O 10 verba ὅτι ἀπὸ τοῦ παρακειμένου ἀλάλημαι inserui. cf. μ 284. 27 ex male intellecta Herodiani doctrina videtur profectum esse; nam Herod. ap. Arcad. 145, 14 de iambis qui uno vocabulo efficiuntur velut φίλοc ξένοc loquitur et 146, 10 distincte praecipitur: ἐὰν cυμβῇ πλείονα ἐφεξῆc ἐγκλιτικὰ εἶναι, πολλαὶ ἕπονται αἱ παράλληλοι ὀξεῖαι ὡc παρ' Ὁμήρῳ «ἤ νύ cέ που δέοc ἴcχει ἀκήριον» (Ε 812). cf. Lehrs qu. ep. 106. 105 in Il. Pr. I. c. haec scripta sunt: πᾶcα δίβραχυc λέξιc πρὸ ἐγκλιτικοῦ οὐκ ἐπιδέχεται ἐπάλληλον ὀξεῖαν, εἰ μὴ ἐπι-

260. ἐπεί cε θύοντα κιχάνω: ἀπολύτως ἡ cέ. H.

†277. ἐπεί cε φυγὼν ἱκέτευcα; τὴν cε ἀντωνυμίαν ἐγκλιτικῶς ἀναγνωcτέον. Il. Pr. Ζ 355.

285. πὰρ δέ οἱ αὐτῷ: ἀεὶ ἡ οἱ προταccομένη τῆς ἐπιταγματικῆς ὀρθοτονεῖται, cεcημειωμένου τοῦ «ἀλλά οἱ αὐτῷ Ζεὺς ὀλέcειε βίην» (δ 667). H.

297. Φεράς: τὰς Φηρὰς εἶπε διὰ τὸ μέτρον Φεράς. H. Vind. 133.

309. ἵνα μή cε κατατρύχω: ἀπολύτως ἡ cε. H.

312. πύρνον: τὸ μὲν γένος ἄδηλον παρὰ τῷ ποιητῇ, ὁ δὲ τόνος ὡς τόρνος. BHQ.

317. μετὰ cφίcιν: τὴν cφίcιν ὀρθοτονητέον καίπερ ἀπόλυτον οὖcαν. Q.

ὄττ' ἐθέλοιεν: τριcυλλάβως τὸ ἐθέλω. H.

324. οἷά τε τοῖς ἀγαθοῖςι πάρα δρώωcι χέρειες: ἀναcτρεπτέον τὴν παρά. H.

333. ὅ cφιν ὑποδρώωcιν: ἐχρῆν ἀναcτρέφεcθαι τὴν ὑπό, ἵνα ᾖ ὑπό cφιcιν. Q. τινὲς δέ φαcι παρέλκειν τὴν πρόθεcιν. Il. Pr. Δ 423.

†370. ἀγρὸν δὲ προΐαλλε: τὸ ἀγρὸν δὲ δύο μέρη λόγου τὴν ἰδίαν ἕκαcτον ἔχον προcῳδίαν. Io. Al. 34, 4.

409. πόλιν κάτα: ἀναcτρεπτέον τὴν κατά. H.

†410. ἐλθὼν δ' ἀργυρότοξος Ἀπόλλων Ἀρτέμιδι ξύν: τὰς μονοcυλλάβους προθέcεις, ἐὰν ἐπὶ τέλει ὦcι cτίχου, ἀναcτρέφουcιν οἷον «ἐλθὼν — Ἀρτέμιδι ξύν». ῥώννυται γὰρ ὁ τόνος τῆς ξύν προθέcεως, ἵνα νόηται ἡ ἀναcτροφή. Io. Al. 27, 34.

426. ῥυδόν: ὀξυτόνως τὸ ῥυδόν. H.

451. ἁματροχόωντα: γράφεται καὶ ἅμα τροχόωντα. V.

452. ὁ δ' ὔμιν μυρίον ὦνον: ἀπόλυτος ἡ ὑμῖν. H.

466. ἡμὲν δέπα ἠδὲ τραπέζας: ἐκτατέον τὸ δέπα. H.

473. ὠκύαλος: ὠκεῖα. παραγώγως. V. διὸ ψιλοῦται. Il. Pr. Ο 705.

488. ἀλλ' ἤτοι coὶ μὲν παρὰ: οὐκ ἀναcτρεπτέον. H.

539. Πείραιον: προπαροξυτόνως. οὕτως Ἀρίcταρχος. H.

†546. τόνδε δ' ἐγὼ κομιῶ: ἀναγνωcτέον τὸ τόνδε ὀξύνοντα τὴν πρώτην, ἵν' ᾖ ἐπέκταcις ἡ διὰ τοῦ δε. Il. Pr. Ω 17.

†κομιῶ: ἡ τοιαύτη ὕφεcις τοῦ ε̄ Ἀττική ἐcτι καὶ περιcπᾷ τοὺς μέλλοντας διά τι αἴτιον, εἰ παραλήγοιτο τῷ ῑ cυνεcταλμένως ὅπερ καὶ ἐπὶ τοῦ «τόνδε δ' ἐγὼ κομιῶ». Il. Pr. Λ 454.

φέροιτο ἀντωνυμία διὰ τοῦ c̄φ̄, cεcημειωμένου τοῦ «ἔνθ' ἔcάν οἱ πέπλοι».
285 cf. ad δ 667. 297 Eustath. ad h. l. confert ξηρόν ξερόν. 312 cf. Arc. 62, 19. 370 cum hoc comparatur in Il. Pr. Π 455 ὂν δὲ δόμον δὲ cf. Lehrs qu. ep. 41. 404 ὅθι τροπαὶ ἠελίοιο: οἷον ὡς πρὸς τὰς τροπὰς ἡλίου, ὅ ἐcτιν ἐπὶ τὰ δυτικὰ μέρα ὑπεράνωθεν τῆς Δήλου. οὕτως Ἀρίcταρχος καὶ Ἡρωδιανός. BHQ, quae a Prosodia Homerica aliena sunt. 426 cf. Mon. 25, 16, ubi hic locus citatur. 466 cf. Lehrs ad Pros. Il. Δ 109, Lob El. I 232 et II 49. 539 cf. Lehrs Aristarch. p. 297 ed. II.

ΕΙϹ ΤΗΝ Π.

19. τῷ ἐπ' ἄλγεα πολλὰ μογήςῃ: οὐκ ἀναςτρεπτέον τὴν ἐπί πρόθεςιν. H.

28. εὔαδε: ἔςτιν ἧδον ἧδες ἧδε κατὰ διάλυςιν ἕαδε καὶ πλεοναςμῷ τοῦ υ εὔαδε. Ms. Barn. διὸ ψιλοῦται Eustath. ad h. l. ἡ δὲ ςυνήθης ἀνάγνωςις δαςύνει τό ᾱ, ψιλοῖ δὲ τὴν ευ δίφθογγον (Il. Pr. Ξ 340) ἀπὸ τοῦ εὖ μορίου καὶ τοῦ ἁδῶ τὸ ἀρέςκω. BQ.

†45. πάρα δ' ἀνὴρ ὅς καταθήςει: τό παρά ἀντὶ τοῦ πάρεςτι. διὸ καὶ τὴν πρώτην ὀξυτονητέον. Il. Pr. Ψ 479.

47. χεῦεν ὕπο: ἀναςτρεπτέον τὴν ὑπό. H.

72. ὅ τε τις πρότερος χαλεπήνῃ: δύο μέρη λόγου τὸ ὅ τε· ςημαίνει δὲ ὅς τε, ἵν' ᾖ, τόν ἄνδρα ὅς ἄν πρῶτος ᾖ χαλεπώτερος. H.

79. ἕςςωμι: τηρητέον τοῦ ἕςςω τόν τόνον. πλεονάζει γὰρ τὸ μι ὡς κτείνωμι, ἀγάγωμι, τύχωμι. H.

91. ἐπεί θήν μοι καὶ ἀμείψαςθαι θέμις ἐςτίν: τὴν τελευταίαν τοῦ ἐπεί ὀξυτονητέον, διὰ τὴν μοι ἐγκλιτικὴν οὖςαν. H.

93. οἷά φατε: ὀξυτόνως τό φατέ. H. ?

95. ἠὲ ἑκὼν ὑποδάμναςαι ἤ cέ γε λαοί: ὁ δεύτερος ἢ περιςπᾶται. H.

128. τάχα δή με διαρραίςουςι καὶ αὐτόν: ἐχρῆν ὀρθοτονεῖςθαι τὴν με. H.

171. ἀπὸ cφῶϊν: ὀρθοτονητέον τὴν cφῶϊν. H.

175. μελαγχροιής: ὀξυτόνως. τοῦτο δὲ κατὰ ςυγκοπὴν Ἀττικοὶ μελαγχρής φαςιν ὡς Εὔπολις. HQ. καὶ τό οὐδέτερον Μένανδρος εἴρηκε «μελαγχρὲς μειράκιον». H.

234. φόνου πέρι βουλεύςωμεν: ἀναςτρεπτέον τὴν περί. H.

255. πολύπικρα: ςύνθετον τὸ πολύπικρα καὶ ἔςτιν ἀντὶ τοῦ πολυπίκρως. H.

305. καί κέ τεο δμώων: τὸ τεο ἀόριςτον. διό καὶ ἐπὶ τοῦ κέ ὁ τόνος. ὁ δὲ Ἀςκαλωνίτης ἐτεοδμώων τῶν ἀγαθῶν θεραπόντων. τινὲς δὲ οὕτως ἐτεοδμώων τῶν ὄντων ἡμετέρων δμώων. HQ.

a Zenodoto ex aliis fontibus addita est. Nam Herodianus teste Choer. 746 imperativo perfecti exitum ε̄, quem solum Apollonius comprobavit, abiudicavit finem θι amplexus, qui ab Apollonio reiectus est. — Ectasin vocalis in imperativo ipse etiam Herodianus in Rhematico Choer. p. 893 commemoraverat et, ut ex Schol. ad Od. γ 380 concludi potest, ἵληθι cum δίδωθι composuerat, Apollonio praceunto, ut ex nostro loco consequitur. Si hic ut equidem opinor, Herodianeus est, etiam E. M. 753, 55 τέτλαθι «τέτλαθι μῆτερ ἐμή» (Il. Α 586) ἐκ τοῦ τλῶ τλῆμι τὸ πληθυντικὸν τλάμεν, τὸ προςτακτικὸν τλᾶθι καὶ κατ' ἀναδιπλαςιαςμὸν τέτλαθι ab Herodiano profectus sit, quamquam ex sequenti articulo e libro περὶ παθῶν desumpto coniici potest eum etiam hic adiecisse ἀξιοῖ Φιλόξενος εἶναί τι καὶ τέτλημι ῥῆμα, ut ipse Herodianus in E. M. 749, 15, ubi tamen futilia immixta sunt, τέθναθι ex τέθνημι repetivisse videtur. Caeterum afferendum est Lobeckium in El. I 186 ex Schol. ad Il. Θ 296: δεδεγμένος: οὕτως οἱ Ἀριςτάρχου διὰ τοῦ γ̄ δεδεγμένος, Ἡρωδιανὸς δὲ διὰ τοῦ χ collato Schol. ad I 191 γράφεται καὶ δέχμενος coniectare Herodianum δεδέχμενος proparoxytonos scripsisse ita ut ex δεχόμενος primum per syncopen δέχμενος, tum per reduplicationem δεδέχμενος existere iuberet.

39.

E. M. 672, 46: πινύcκω: παρὰ τὸ πνέω πνύω, ὁ μέλλων πνύcω, πλεοναcμῷ τοῦ κ̄ πνύcκω καὶ ἐπενθέcει τοῦ ῑ πινύcκω ἢ ἀναδιπλαcιαcμῷ πιπνύcκω καὶ ἀποβολῇ τοῦ π καὶ ἐκτάcει τοῦ ῑ πινύcκω ὡc γιγνώcκω γινώcκω. ἄμεινον δὲ λέγειν πλεοναcμὸν ἤπερ διπλαcιαcμόν. περὶ παθῶν.

*40.

E. Or. 135, 7, E. M. 673, 49: πιφαύcκω: ἔcτι φῶ τὸ λέγω, παραγωγὸν φάζω, ὁ μέλλων φάcω καὶ φάcκω καὶ πλεοναcμῷ τοῦ ῡ φαύcκω καὶ ἀναδιπλαcιαcμῷ πιφαύcκω. ὁ δὲ Φιλόξενος ἀπὸ τοῦ φῶ παραγωγὸν φαύω, ὁ μέλλων φαύcω καὶ πλεοναcμῷ τοῦ κ̄ καὶ ἀναδιπλαcιαcμῷ πιφαύcκω.

[40ᵃ]

Choer. 850, 20: Τὰ εἰc μι ἀναδιπλαcιαζόμενα κατὰ τὸν ἐνεcτῶτα τούτῳ τῷ τρόπῳ ἀναδιπλαcιάζονται· εἰ μὲν τὸ πρωτότυπον ἀπὸ φωνήεντος ἄρχεται, διὰ τοῦ ῑ γίνεται μόνου ὁ ἀναδιπλαcιαcμόc ὢ ἱῶ ἵημι τὸ πέμπω· εἰ δὲ τὸ πρωτότυπον ἀπὸ cυμφώνου ἄρχεται ἑνός, τότε δι' αὐτοῦ τοῦ cυμφώνου καὶ τοῦ ῑ γίνεται ὁ ἀναδιπλαcιαcμόc οἷον δῶ διδῶ δίδωμι, βῶ βιβῶ βίβημι, θῶ τιθῶ τίθημι, τοῦ δαcέοc θ̄ διὰ τὴν κακοφωνίαν τραπέντος εἰc τὸ ἀντίcτοιχον τὸ ψιλόν, φημὶ δὴ εἰc τὸ τ̄· εἰ δὲ τὸ πρωτότυπον διὰ cυμφώνων ἄρχεται, εἰ μὲν μή ἐcτιν ἄφωνον πρὸ ἀμεταβόλου, διὰ τοῦ ῑ μόνου γίνεται ὁ ἀναδιπλαcιαcμὸc οἷον cτῶ

ὅτι μὴ τὴν διὰ τοῦ ῡ πιφαύcκω. ὁ δὲ λόγοc παραιτεῖται τὴν Αἰολίδα διάλεκτον διὰ τὸ μιμναίcκω καὶ θναίcκω. ὥcτε ὅτε λέγει εἴcκω κατὰ διαίρεcιν, ὑγιῶc πάνυ ἀποφαίνεται, εἴγε παρὰ τὸ εἴδω ἐξέπιπτε μέλλων ὁ εἴcω, ὃc ὤφειλεν ἐπενθέcει τοῦ κ̄ ποιῆcαι τὸ εἴcκω, ὡc μεθύcω μεθύcκω, δράcω δράcκω. ἀλλ' ἐπεὶ ἀνέφικτον ἦν χωρῆcαι τὴν τοιαύτην δίφθογγον πρὸ τῆc cκω παραγωγῆc, διαιρέcει ἐχρήcατο· ὅπου δὲ οὐ παραδέχεται αὖ τὸ τῆc διαιρέcεωc, ἐκεῖ ἐκβάλλει τὸ ε̄. — Similia de διδάcκω tradit Choer. Ep. in Psalm. 129, 8 ex loco E. Magni emendandus.

ad fr. 39. Ex hoc loco, ubi γινώcκω ex γιγνώcκω repetitur, non contra, et fr. 38, ubi a τρώcω τρώcκω τιτρώcκω ducitur, intellegitur ab Herodiano γιγνώcκω sic derivatum esse ut factum est ap. Choer. Orth. 187 ἦν γνῶ γνώcω γνώcκω γιγνώcκω ὡc μνῶ μνήcω μνήcκω μιμνήcκω.

ad fr. 40. Hoc fragmentum Herodiani esse inde apparet, quod hic a φῶ repetitur φάζω ut in E. M. 538, 4 a κρῶ κράζω et quod saepius, ubi Philoxeni sententia alteri opponitur, haec Herodiani est sive eius nomen vel scriptum indicatur ut in E. M. 754, 2 sive tacetur ut E. M. 727, 55.

---

ad fr. [40ᵃ]. Quamquam haec Choeroboscus unde transierunt in Ep. Cr. I 371, 4 ex libro περὶ τῶν εἰc μι ῥημάτων sumpsisse videtur, tamen etiam in libro περὶ παθῶν huiuscemodi adnotamentum locum habuisse credibile est; de disyllabia encliticorum cf. Herod. in Bekk. An. 1142 (Pr. Cath. 552, 7). Exclusa tamen fuisse videtur doctrina de elitico anadiplasiasmo perfecti et communi et, qui dicitur, Attico, quem tractavit in libro περὶ ῥημάτων. Sed de poetico diplasiasmo aoristi fortasse similia proposuit atque in Il. Pr. Ο 26 πεπιθοῦcα ὡc δραμοῦcα· ἔcτι γὰρ δεύτεροc ἀόριcτοc δεδιπλαcιαcμένοc, ὥcπερ ἤδη καὶ ἐπὶ τοῦ ῥήματοc ἔθοc αὐτῷ ποιεῖν «ῥηϊδίωc πεπιθεῖν» (Il. Ι 184), quocum concinit Choer. 629, 33, qui ibid. lin. 20: ἐκ τοῦ ἔτυχον γίνεται ὁ δεύτεροc ἀόριcτοc ἐτυχόμην, τετύχοντο κατὰ ἀναδιπλαcιαcμὸν καὶ τροπῇ τοῦ χ̄ εἰc τὸ ἀντίcτοιχον τὸ ψιλόν, φημὶ δὲ εἰc τὸ κ̄ «τετύκοντο δὲ δαῖτα» (Il. Α 467), reduplicationem reiicit in his: Il. Pr. Η 199:

*41.

E. M. 103, 22: ἀνεκήκιε: ἐκ τοῦ κίω τὸ πορεύομαι διπλασιασμῷ κικίω καὶ τροπῇ Αἰολικῇ τοῦ ι̅ εἰς η̅ ὡς ψιμύθιον ψημύθιον ἐκήκιε καὶ ἀνεκήκιε.

ἱστῶ ἵστημι, εἰ δέ ἐστιν ἄφωνον πρὸ ἀμεταβόλου, τότε δι' αὐτοῦ τοῦ συμφώνου, φημὶ δὴ τοῦ ἀφώνου γίνεται ὁ ἀναδιπλασιασμὸς τοῦ ι̅ οἷον πρῶ πιπρῶ πίπρημι καὶ πίμπρημι κατὰ πλεονασμὸν τοῦ μ̅, πλῶ πιπλῶ πίπλημι καὶ κατὰ πλεονασμὸν τοῦ μ̅ πίμπλημι, χρῶ κιχρῶ κίχρημι, τοῦ δασέος χ̅ διὰ τὴν κακοφωνίαν τραπέντος εἰς τὸ ἀντίστοιχον τὸ ψιλόν, φημὶ δὴ εἰς τὸ κ̅. Τούτων οὕτως ἐχόντων, ἀποροῦσί τινες λέγοντες, διὰ ποίαν αἰτίαν, ὥσπερ ἀπὸ τοῦ θῶ γίνεται κατὰ ἀναδιπλασιασμὸν τιθῶ τίθημι καὶ ἀπὸ τοῦ δῶ διδῶ δίδωμι, μὴ τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ φῶ γίνεται μετὰ ἀναδιπλασιασμοῦ πιφῶ καὶ πίφημι, ἀλλὰ φημὶ γίνεται ἄνευ διπλασιασμοῦ; ἔστιν οὖν εἰπεῖν, ὅτι οὐ δύναται τὸ φημὶ ἀναδιπλασιασθῆναι, ἐπειδὴ ἐγκλιτικόν ἐστιν, οἷον «αἰδεῖσθαί φημι»· κανὼν δέ ἐστιν ὁ λέγων, ὅτι τὰ ἐγκλιτικὰ οὐ θέλουσιν ὑπερβαίνειν τὴν δισυλλαβίαν οἷον εἰμί τις, πῶς ἐστε, ἡμῖν ἐστι· εἰ οὖν ἀνεδιπλασιάσθη τὸ φημί, ἤμελλε τρισυλλαβεῖν ἐγκλιτικὸν ὄν, ὅπερ ἀδύνατον.

[41[a]]

Τὰ εἰς ρος ὑπερδισύλλαβα δεδιπλασιασμένα κατ' ἀρχὴν καὶ τὴν πρώτην συλλαβὴν εἰς ρ̅ καταλήγοντα προπαροξύνεται, βάρβαρος, τάρταρος, κέρβερος, πέρπερος, βόρβορος. Arcad. 70, 10.

[41[b]]

Τὰ διὰ τοῦ οινη ὑπὲρ δύο συλλαβὰς ἔχοντα πρὸ τοῦ ν̅ τὴν οι δίφθογγον οὐκ εἰσὶν γνήσια· τὸ μὲν γὰρ ἀγκοίνη βαρυνόμενον παρὰ τὴν ἀγκῶνος γενικὴν πεποιημένον τροπὴν ἔσχε τοῦ ω̅ εἰς τὴν οι δίφθογγον· τὸ δὲ μενοινή ὀξυνόμενον καὶ αὐτὸ τροπὴν ἔσχε τοῦ ω̅ εἰς τὴν οι δίφθογγον. ὤφειλε γὰρ εἶναι μενωνή. τὰ γὰρ εἰς η̅ λήγοντα θηλυκὰ ἀπὸ ῥημάτων γινόμενα, ἔχοντα ἐν τῇ τελευταίᾳ καὶ τῇ πρὸ αὐτῆς τὸ αὐτὸ σύμφωνον ἢ ἀντίστοιχον, τῷ ω̅ μεγάλῳ παραλήγεται· ὁ δὲ λόγος ἐπὶ τρισυλλάβων οἷον ἀγωγή ἔδει εἶναι ἀγή καὶ γέγονεν ἀγωγή, ὁμοίως ἔδω ἐδή ἐδωδή, ὄζω ὀδή ὀδωδή, ὄπτω ὀπή ὀπωπή, ἔχω ὀχή ὀκωχή, ἄκω ἀκή ἀκωκή. οὕτω μένω τὸ προθυμοῦμαι μενή μενωνή, εἰ καὶ μὴ τὸ αὐτὸ σύμφωνον ἢ καὶ ἀντίστοιχον ἔχει ἐν τῇ

ad fr. 41. pro Ἰωνικῇ correxit Αἰολικῇ Ahrens de dial. Aeol. p. 95 not. cf. Dichr. 298, 15 τὸ κηκίω ἐκ διπλασιασμοῦ «πολλὴ δ' ἀνεκήκιεν ἅλμη».

γενέσθαί τε: ἀλλεπάλληλοι ὀξεῖαι, καίτοι σπονδειακόν ἐστιν ἀλλ' ἴσως ἵνα ἐκφύγωμεν τὸν διπλασιασμὸν τοῦ ῥήματος, λέγω δὲ τοῦ τετραφέμεν τε. Φ 279 ὃς ἐνθάδε γ' ἔτραφ' ἄριστος: δεῖ διὰ τοῦ γ̅ γράφειν, ὃς ἐνθάδε, εἶτα ἔτραφ' ἄριστος, οὐχ ὡς οἱ πολλοὶ τέτραφ' ἄριστος, ἀπὸ τοῦ τ̅ ποιοῦντες τὴν ἀρχὴν τοῦ ῥήματος καὶ προπαροξύνοντες. Α 168 ἐπεί κε κάμω πολεμίζων: Ἀρίσταρχος γράφει ἐπεί κε κάμω, ἵνα μὴ ᾖ διπλασιασμὸς ἐν τῷ ῥήματι· καὶ οὕτως ἡ συνήθης ἀνάγνωσις. οὕτως δὲ καὶ Ἡρωδιανός.

42.

E. Gud. 450, 20 πάμπαν: ἔστι πᾶν καὶ κατ' ἀναδιπλασιασμὸν πάμπαν, τὸ δὲ μ̄ διὰ σύνταξιν. οὕτως Ἡρωδιανός.

43.

Ep. Hom. 73, 23 coll. E. M. 39, 47: παρὰ τὸ ἐτεὸν τὸ ἀληθὲς γίνεται, ὥς φησιν Ἡρωδιανός, ἐτώσιον καὶ συνθέσει τοῦ ᾱ ἀετώσιον τὸ μὴ ἀληθές καὶ ἀφαιρέσει τῆς στερήσεως ἔμεινε τὸ ἐν τῇ συνθέσει σημαινόμενον.

τελευταίᾳ καὶ τῇ πρὸ αὐτῆς συλλαβῇ, καὶ ἴσως ὡς κατὰ τοῦτο γέγονε τροπῇ τοῦ ω̄ εἰς τὴν οῑ δίφθογγον μενοινή. παρατηρήσεις γὰρ τοῦτο, ὅτι τὰ οὕτω διπλασιασθέντα ἀπὸ φωνήεντος ἤρχετο οἷον ἀγωγή ἀκωκή ἐδωδή. τὸ δὲ μενοινή μόνον ἀπὸ συμφώνου· καὶ ἐπεὶ παρήλλαξεν κατὰ τὴν ἄρχουσαν πρὸς τὰ προκείμενα, παρήλλαξεν καὶ περὶ τὴν παραλήγουσαν. οὕτως Ἡρωδιανὸς ἐν τῇ καθόλου. Theogn. 114, 12, E. M. 596, 38.

[43ᵃ]

E. Or. 40, 20: γρῖπος παρὰ τὸ ἀγρεῖν, ὅ ἐστι παρακολουθεῖν τῇ ἄγρᾳ. οὕτως Ἡρωδιανὸς ἐν τῇ ὀρθογραφίᾳ.

[43ᵇ]

Arcad. 69, 22: τὸ μαυρός ἀπὸ τοῦ ἀμαυρός γέγονε.

[43ᶜ]

Io. Al. 18, 29: πάντων οὐκ ἐκ τοῦ ἁπάντων, ὥς τινες φασίν, ἀφαιρέσει τοῦ ᾱ γέγονεν, ἐπεὶ ἔδει καὶ τὸ παντός καὶ τὸ παντί βαρύνεσθαι ἐκ τοῦ ἅπαντος ἅπαντι ἀφῃρημένα.

[43ᵈ]

Schol. ad Od. λ 539: κατ' ἀσφοδελὸν λειμῶνα: ἄδηλον πότερον σφοδελόν ἢ ἀσφοδελόν. λέγεται καὶ χωρὶς τοῦ ᾱ. τινὲς δὲ γράφουσι σποδελόν διὰ τὴν σποδὸν τῶν καιομένων νεκρῶν. ἄμεινον δὲ ἀσφοδελὸν τὸν τόπον τὸν ἔχοντα ἀσφόδελον, ἥτις ἐστὶ βοτάνη ὁμοία σκίλλῃ.

[43ᵉ]

Herod. in Bekk. Anecd. 1148: τὸ ἄρα ἀπέβαλε τὸ ᾱ καὶ ἐγένετο ῥά καὶ ἐνεκλίθη.

---

ad fr. 42. Ne quid praetermittam, quod ad anadiplasiasmum pertineat, commemoro Herodianum hoc nomine etiam repetitionem eiusdem vocabuli in parathosi insignivisso: Il. Pr. Ε 31: Ἄρες Ἆρες: Ἰξίων τὸ δεύτερον ὀξύνει ἵν' ᾖ ἀντὶ τοῦ βλαπτικέ. οὐδέποτε γὰρ κλητικὴ ἀναδιπλασιάζεται παρὰ τῷ ποιητῇ· οὐχ οὕτως δὲ ἡ παράδοσις. cf. Lob. El. I 179.

ad fr. 43. Epimerismorum articulo in E. M. subscriptus est Methodius, cuius nomine plurima in E. M. insignita sunt, quae ex Herodianeis fontibus

---

ad fr. [43ᵃ] cf. Ep. Cr. I 265, ubi exponitur quodam λαός ab ἀλαός, Παφίην τὴν Ἀφροδίτην ab ἀπαφίσκειν repetivisse, et Hesiodum μαυροῦσι pro ἀμαυροῦσι

*44.

Ep. Hom. 437, 22 coll. E. M. 405, 23: ποῖόν ἐστιν ἀναλογώτερον καὶ κυριώτερον καὶ πρῶτον τὸ χθές ἢ τὸ ἐχθές; τὸ ἐχθές. καὶ δῆλον, πρῶτον μὲν ἀπὸ τῆς ἐτυμολογίας, ὅτι ἐχθὲς εἴρηται παρὰ τὸ ἐκτὸς γεγενῆσθαι τῆς σήμερον. παρὰ τὸ ἐκτὸς τοῦ χρόνου γεγονὸς κατάστημα ἐκτές καὶ τροπῇ τῶν ψιλῶν εἰς δασέα ἐχθές· καθὼς ἐστιν καὶ ἐπινοῆσαι ἐπὶ τοῦ ἔχθος· τὸ γὰρ ἀπόβλητον καὶ ἐκτὸς ἡμῶν τοιοῦτον. δεύτερον δέ, ἐπεὶ κανών ἐστιν ὁ λέγων, ὅτι πᾶν ἐπίρρημα μονοσύλλαβον ἀπαθὲς κατ' ἰδίαν ῥητὸν μακροκαταληκτεῖ φύσει ἢ θέσει οἷον μή, νή, πλήν, δήν, πύξ, λάξ, μάψ, ἄψ καὶ τὰ τοιαῦτα. οὐ μάχεται τὸ ψό ἐν Ποιμέσι Σοφοκλέους· ἐπίφθεγμα γάρ· χωρὶς τοῦ πρίν. πρόσκειται «μονοσύλλαβα» διὰ τὰ δισύλλαβα. πρόσκειται «ἀπαθές» διὰ τὸ δίς καὶ τρίς. ταῦτα γὰρ κατὰ πάθος εἰσὶν ἐκ τοῦ δυάκις καὶ τριάκις. πρόσκειται «κατ' ἰδίαν ῥητόν» διὰ τὸ λα ἐπιτατικὸν μόριον καὶ τὸ ᾱ τὸ στερητικόν. εἰ ἄρα οὖν τὸ χθὲς ἐπίρρημά ἐστι καὶ μονοσύλλαβον καὶ κατ' ἰδίαν ῥητόν, ἔδει αὐτὸ εἶναι μακροκατάληκτον εἴτε φύσει εἴτε θέσει· ὥστε τὸ ἐχθὲς ἀναλογώτερόν ἐστιν ἐκφεῦγον τὴν παραλογίαν τοῦ χθές. μιμεῖται δὲ τὸ αἰές. τρίτον δὲ ὅτι τὸ ε̅ ἐπὶ φωνήεντι πέφυκεν πλεονάζειν εἶπον ἔειπον. ἀφαιρεῖται δὲ ὅτε μετὰ συμφώνου ὑπάρχει ἔβη βῆ. οὕτως οὖν καὶ ἐχθὲς χθές. ἀφαιρέσει ἄρα καὶ οὐ πλεονασμῷ· τὸ αὐτὸ καὶ ἐπὶ τοῦ ἐθέλω καὶ θέλω. πρῶτον τὸ ἐθέλω καὶ δεύτερον τὸ θέλω.

---

fluxerunt; collato utroque loco verba constitui, nam in Ep. verba cum praecedentibus, quae manifesto non ab Herodiano profecta sunt, sic connexa sunt οὕτως δ' ἔχειν φησὶν Ἡρωδιανὸς καὶ τὸ ἐτώσιον. Quod autem in particula antecedente de αἴσυλος praecipitur ἄσω τὸ βλάπτω ἄσυλος καὶ πλεονασμῷ τοῦ ῐ αἴσυλος καὶ μετὰ τοῦ στερητικοῦ α ἀαίσυλος ὁ μὴ καθήκων καὶ ἀφαιρέσει τῆς στερήσεως ἔμεινε τὸ αὐτὸ σημαινόμενον, differt ab Herodiani sententia, quam tradidit Arcad. 56, 11 τὸ αἴσυλος προπαροξύνεται ὡς σύνθετον ἀπὸ τοῦ ᾱ (sc. epitatico) καὶ τοῦ συλῶ ὁ πολλὰ συλῶν. Caeterum in hac mira sane opinione, qua α privativum abiici posse retento intellectu negativo putabatur, praeivit Philoxenus, cui Herod. in Il. Pr. C 410 adstipulatur, οὐκ ἐτός idem quod οὐκ ἀετέως non sine veritate i. q. vere significare pronuncians cf. Lob. El. I 24 et Bergk ad Ibyc. fr. 50 ubi ex Et. Sorb. ap. Gaisf. E. M. 387, 42 haec proferuntur: ὁ δὲ Ἡρωδιανὸς συντίθεται (scr. συγκατατίθεται) πρώτῳ (scr. πρώτῃ) ἐτυμολογιῶν οὕτω λέγων· τὸ παρ' Ὁμήρῳ ἐτώσιον τινὲς οἴονται παρὰ τὸ ἐτῶν ἐτώσιον, ἀλλὰ μάχεται ὁ νοῦς· οἱ δὲ οὕτως· ἀήτων ἀητώσιος, συστολῇ ἀετώσιον παρ' Ἰβύκῳ· τοῦτο ἀφαιρέσει ἐτήσιον (ἐτώσιον). ἢ οὕτως, ἄετος ἀετώσιος ὁ μὴ ἀληθής, ἀλλὰ μάταιος. de ἀγής ab ἀαγής orto cf. adnot. ad fr. 32.

ad fr. *44. Textum constitui in Epimerismorum articulum inserens omissa verba καὶ δῆλον — δεύτερον δὲ ot οὐ μάχεται — πρίν, porro μιμεῖται usque ad finem ex E. M. Praeterea pro verbis τὸ ἀπόβλητον ἐκτὸς ἡμῶν, quae sensu carent, dedi ex Apoll. de adverb. 558, 1 (τὸ ἐχθὲς παρὰ τὸ ἐκτὸς τοῦ χρόνου πεπτωκέναι τὸ κατάστημα ἐσχημάτισται τῶν ψιλῶν ἀντιστοίχων εἰς τὰ δασέα μεταπεσόντων) καθὼς ἐστιν ἐπινοῆσαι καὶ ἐπὶ τοῦ ἔχθος· τὸ γὰρ ἀπόβλητον καὶ ἐκτὸς ἡμῶν τοιοῦτον. Pro ε̅ φωνῆεν scr. ε̅ ἐπὶ φωνήεντι. Caeterum Herodianus de re consentit cum Apollonio de adv. 556 seqq., qui rursus Tryphoni ad-

---

dixisse et additur: ἡ τοῦ μακροῦ ᾱ ἀφαίρεσις σπάνιος· καὶ ἴσως ἐν τῷ «βάλε δὴ βάλε κηρύλος εἴην», quem locum propter eximiam doctrinam insignem in Prosod. Cathol. p. 108, 5 recepi.

*45.

E. M. 318, 18: ἐθέλω· ἰστέον ὅτι δύο θέματά εἰσι, θέλω καὶ ἐθέλω. καὶ τὸ μὲν τεθέληκα ἀπὸ τοῦ θέλω ἐστίν, ἐπειδὴ πᾶς παρακείμενος ἀπὸ συμφώνου ἀρχόμενος πάντως καὶ τὸν ἐνεστῶτα ἔχει ἀπὸ συμφώνου ἀρχόμενον οἷον τέτυφα, ὅτι τύπτω. τὸ δὲ ἐθελήμων ἀπὸ τοῦ ἐθέλω ἐστίν. καὶ δεῖ γινώσκειν, ὅτι ἀεὶ τὸ τρισύλλαβον εὑρίσκεται παρὰ τῷ ποιητῇ ἐθέλω. ἀμέλει ἐν τῷ «μήτε σὺ Πηλείδη' θελ' ἐριζέμεναι» (Il. A 277) δηλονότι κράσει ἐγένετο τοῦ η̄ καὶ ε̄ εἰς η̄. μηδεὶς δὲ οἰέσθω, ὅτι τὸ ἐθέλω ἐκ τοῦ θέλω ἐστὶ κατὰ πλεονασμὸν τοῦ ε̄· τὸ γὰρ ε̄ ἐπὶ φωνήεντι πέφυκε πλεονάζεσθαι ὡς τὸ εἶπας ἔειπας, ἐπὶ συμφώνῳ δὲ οὐ πλεονάζεται. τὸ δὲ θέλω δοκεῖ ἐκ τοῦ ἐθέλω εἶναι· τὸ γὰρ ε̄ τὸ μετὰ συμφώνου ὑπάρχον πέφυκε πολλάκις ἀποβάλλεσθαι ὡς τὸ ἔφη φῆ, ἔβη βῆ. δοκεῖ δὲ τὸ θέλω ἀναλογώτερον εἶναι τοῦ ἐθέλω· τὸ γὰρ ἐθέλω παράλογον κατά τι ἐστί. τὰ γὰρ διὰ τοῦ λω ὑπὲρ δύο συλλαβὰς τῷ ε παραληγόμενα, μὴ ἔχοντα ἕτερον λ̄ προηγούμενον, περισπᾶται οἷον ὠφελῶ, ἀμελῶ. τὸ δὲ ἐθέλω βαρύνεται. τούτου χάριν τὸ θέλω ἀναλογώτερον ἐστὶ τοῦ ἐθέλω. ἔχομεν γάρ τινα ῥήματα δισύλλαβα βαρυνόμενα οἷον μέλω, ἕλω, κέλω. πρόσκειται «μὴ ἔχοντα ἕτερον λ προηγούμενον» διὰ τὸ ἀνατέλλω.

*46.

Ep. Hom. 234, 5, E. M. 508, 29, An. Ox. II 442, 15: ἐκεῖνος: ζητοῦσί τινες, ποῖόν ἐστιν ἀναλογώτερον τὸ κεῖνος ἢ τὸ ἐκεῖνος. ἔστι δὲ εἰπεῖν, ὅτι κατά τι μέν ἐστιν ἀναλογώτερον τὸ κεῖνος, κατά τι

[46ᵃ]

ἡ ἐμέ αἰτιατική, ὅτε φυλάσσει τὸ ε, ὀρθοτονεῖται, εἰ δὲ ἀποβάλοι, ἐγκλιτική ἐστιν. Il. Pr. Z 355, Arcad. 142, 24.

---

stipulatur cf. Velsen Tryph. p. 48. Herodianus utriusque vestigia premens ita ut ipsa antecessorum verba reciperet, quod in veteribus non mirandum est, rem plenissime absolvit neque de origine Herodianea fragmenti nostri dubitari potest, si reputaveris omnia congruere cum iis, quae aliunde Herodianea esse constat cf. de πρίν Mon. 45, 32, de δίς et τρίς ex δυάκις et τριάκις ortis E. M. 279, 7, de ψό Mon. 46, 17, de epitaticis inseparabilibus Arcad. 182, 1. Neque regulae, qua aphaeresin vocalis ε̄ ante consonam, pleonasmum vero ante vocalem locum habere praecipitur, ἐρῳδιός vocali ε̄ auctum obstat, quum ρ̄ similitudinem quandam cum vocalibus habeat.

ad fr. *45. Pro θέλημα scripsi ἐθελήμων, sed ἕλω, pro quo Arcad. πέλω praebet, intactum reliqui propter Theogn. 143, 29. Hoc fragmentum Herodianeum esse docet comparatio Il. Pr. A 277: Πηλείδη' θελ': Ἀρίσταρχος ἀποφαίνεται ὡς κατὰ τὴν Ὁμηρικὴν συνήθειαν τὸ ῥῆμα κατὰ τὸν ἐνεστῶτα ἀπὸ τοῦ ε̄ ἄρχεται. ἀλλὰ μὴν καὶ ἡ κίνησις ἡ τοῦ παρατατικοῦ· «ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει» (287)· «ἤθελε Μηριόνης» (Il. K 229). καὶ ἐνθάδε οὖν ἄμεινον τῇ συνηθεστέρᾳ ἀναγνώσει προσέχοντας ἐπὶ τὴν δη συλλαβὴν ὀξεῖαν παραλαμβάνειν, ἵνα κρᾶσις ᾖ τοῦ ἔθελε τρισυλλάβου γενομένου, ὡς καὶ σύνηθές ἐστι τῷ ποιητῇ. τὸ μέντοι ῥῆμα τῶν παραλόγων κατὰ τόνον ἐστὶ τρισύλλαβον ὄν, ὡς δείκνυται ἐν τοῖς περὶ ῥημάτων — et Arcadii p. 158, 9—21.

ad fr. *46. Si fr. 45 iure Herodiano assignavimus, etiam hoc eiusdem auctoris esse evincit cauta expositionis ratio. Huc accedit, quod in principio adnotamenti etiam Herodiani nomen exstat: «κεῖνός θ' ὣς ἀγόρευεν» (B 330) ὁ

δὲ τὸ ἐκεῖνος. καθὸ μέν ἐστι λέγειν, ὅτι οὐδέποτε πρωτότυπος ἀντωνυμία ἀπαθὴς οὖσα ὑπερβαίνει τὴν δισυλλαβίαν οἷον ἐγώ, αὐτός, οὗτος, τὸ κεῖνος ἐστὶ ἀναλογώτερον. πρόσκειται «πρωτότυπος» διὰ τὸ νωΐτερος, σφωΐτερος· παραγωγοὶ γὰρ αὗται αἱ ἀντωνυμίαι· «ἀπαθεῖς» εἴπομεν διὰ τὸ οὑτοσί, ἐκεινοσί. καθὸ δὲ αἱ μονοπρόσωποι ἀντωνυμίαι ἀπὸ φωνήεντος θέλουσιν ἄρχεσθαι, οἷον οὗτος, αὐτός, ὅδε, ἀναλογώτερόν ἐστι τὸ ἐκεῖνος, ἵνα ἀπὸ φωνήεντος ἄρξηται.

[46ᵇ]

ἴσκοντες: ὁ Ἀσκαλωνίτης κατὰ ἀφαίρεσίν φησιν εἶναι τοῦ ε̄ τὸ ἴσκοντες. Ἀρίσταρχος δὲ ἐκτεταμένως ἀναγινώσκει παρὰ εἴσκω ἐκδεξάμενος· ἄμεινον δὲ ἡ τοῦ Πτολεμαίου ἀνάγνωσις· πρὸ γὰρ τῆς διὰ τοῦ σκω̄ παραγωγῆς σπάνιόν ἐστι δίφθογγον εὑρεθῆναι, ὅτι μὴ τὴν αῡ· ταύτῃ οὖν μοι δοκεῖ ἀπὸ τοῦ εἴδω εἶναι ὁ μέλλων εἴσω· καὶ ἅμα τῇ ἐπενθέσει τοῦ κ̄ εἴσκω γεγενῆσθαι κατὰ τὴν διαίρεσιν, ἵνα μὴ δίφθογγος γένηται, καὶ ἀποβολῇ τοῦ ε̄ ἴσκω. οὕτως οὖν καὶ τὸ ἴσκοντες ὀφείλομεν κατὰ ἀποβολὴν τοῦ ε̄ ἀναγινώσκειν. οὐ γὰρ μέτρον κωλύει. Il. Pr. Π 41 cf. Λ 709.

[46ᶜ]

ἕστασαν: δασυντέον τὸ ἕστασαν. ὑπερσυντέλικος γάρ ἐστι συγκεκομμένος, ὁ δὲ παρακείμενος δασὺ ἔχει τὸ ε̄ καὶ ὁ ὑπερσυντέλικος· οἱ δὲ ἀόριστοι ψιλόν, ἐπεὶ καὶ κατὰ ἀποβολὴν τοῦ ε̄ λέγονται· «στὰν δὲ μεταστοιχεί» (Il. Ψ 358). καὶ ὁ πρότερος «στῆσαν ἀείραντες» (Od. β 425)· οὐκέτι δὲ ὁ ἕστασαν στάσαν. Il. Pr. Β 777.

μὲν Ἡρωδιανός ἀναγινώσκει κτλ. Ex eodem fonte sua derivavit Choer. Orth. 206, 9 ἐκεῖνος: ει̅ δίφθογγος. καὶ γάρ οἱ Δωριεῖς κῆνος καὶ τῆνος διά τοῦ η̅ ποιοῦσι τὴν γραφήν. ἔθος γάρ ἔχουσι τὴν ει̅ δίφθογγον τρέπειν οἷον πλείων μείων πλήων μήων. αἱ δέ πρωτότυποι ἀντωνυμίαι, αἱ μονοπρόσωποι, ἀπό φωνήεντος θέλουσιν ἄρχεσθαι οἷον αὐτός, οὗτος. οὕτως οὖν καὶ τὸ ἐκεῖνος προσέλαβε τό ε̄ διά τόν κανόνα τοῦτον.

---

ad fr. [46ᶜ]. Incertum est, quam passionem Herodianus in ὤν pro ἐών statuerit, utrum contractionem ut in E. M. 350, 31 ἐών καὶ κατά συναίρεσιν ὤν an aphaeresin. Sed vix dubitari potest, quin adnotamentum in An. Paris. III 333, 22, quod in brevius contractum est in E. M. 350, 38, ab eo profectum sit. nam accurata Homerici usus observatio eum auctorem prodit (cf. infr. fr. 325): δεῖ γινώσκειν, ὅτι τό ἐών τοῦ ὤν ἐντελέστερόν ἐστιν οἷον «Ἀργείων ἀγέραστος ἔω» (Α 119), οὗ τό δεύτερον ἔῃς «ὥς τε ἔπειτ' ἔῃς», καὶ πάλιν «δηρόν ἔῃ κρειῶν» (Μ 300). ὅτι δέ τὸ ἐών τοῦ ὤν ἐντελέστερον, πρόδηλον καὶ ἀπό τοῦ παρηγμένου, λέγω δὴ τοῦ εἰμί· ὁ μέντοι ποιητὴς ἐπὶ ταῖς μετοχαῖς οὐδέποτε παρέλειψε τό ε̄ οἷον ἀρσενικῶς μέν «ἤδη δὴν ἀπεὼν καὶ ἀμφαδόν ἠέ κρυφηδόν» (Ξ 330). θηλυκῶς δέ «ἠλίβατος μεγάλη, πολιῆς ἁλός ἐγγὺς ἐοῦσα» (Ο 619), οὐδετέρως δέ «κυρτόν ἐὸν κορυφοῦται» (Δ 426). αἱ δὲ πλάγιαι ὅλαι· ἐπὶ μέν οὖν γενικῆς «ἐκ δέ στέατος ἔνεικε μέγαν τροχόν ἔνδον ἐόντος» (φ 178 et 182), ἐπὶ δὲ δοτικῆς «ὑψόθ' ἐόντι Διΐ (Κ 16), ἐπὶ δέ αἰτιατικῆς «ἔνδον ἐόντα» (Ν 363). δυϊκῶς δὲ «ὄφελός τι γενώμεθα καὶ δύ' ἐόντε» (Ν 236), πληθυντικῶς «Κρόνον ἀμφὶς ἐόντες» (Ξ 274), γενικῇ «χαριζομένη παρεόντων» (α 140), αἰτιατικῇ «παυροτέρους ἐόντας» (Ο 407), «ὡς δέ ἶδεν νεῦρόν τι καὶ ὄγκους ἐκτός ἐόντας» (Δ 151).

47.

E. M. 634, 12: ὀρτή ἀπὸ τοῦ ἑορτή κατὰ ἀφαίρεσιν. περὶ παθῶν.

48.

E. M. 719, 5: σκορακισμός: οἱ παλαιοὶ παρὰ δύο λέξεις διεζευγμένας παραγωγὰ ποιοῦσι πολλάκις· Νέα πόλις Νεαπολίτης, παρὰ ποταμὸν παραποτάμιος. οὕτω καὶ τὸ σκορακίζειν· ἐς κόρακας ἐσκορακίζειν καὶ ἀποβολῇ τοῦ ε̄ σκορακίζειν. οὕτως Ὦρος, ἀλλὰ καὶ Ὠρίων καὶ Ἡρωδιανὸς περὶ παθῶν.

*49.

E. M. 469, 50: ἔστιν τὸ ἰήϊος, ἐπίθετον Ἀπόλλωνος, ὁ τοξότης, ἀπὸ τοῦ ἵημι παρὰ τὴν ἕσιν τῶν βελῶν· τινὲς δὲ ψιλοῦσιν, ἐπεὶ ἰάσεως αἴτιος ὁ θεός. τὸ δὲ «ἤϊε Φοῖβε» (Ο 365) κατὰ ἀποβολὴν τοῦ ῑ γέγονεν. Ἀρίσταρχος δασύνει, ἐπεὶ παρὰ τὸ ἵημι ἐγένετο· οἱ δὲ ψιλοῦσιν ἀπὸ τῆς ἰάσεως. ἄμεινον δὲ ψιλοῦσθαι· τὸ γὰρ ῆ πρὸ φωνήεντος ψιλοῦται.

[48ᵃ]

Ἐξάδιος: παρὰ τῷ ποιητῇ ἀπὸ τοῦ ε̄ τὸ ὄνομα ἤρξατο, παρὰ δὲ τοῖς νεωτέροις καὶ χωρὶς τοῦ ε̄ εὑρέθη, ὡς καὶ Ὀϊλεύς μὲν παρὰ τῷ ποιητῇ καὶ παρ' Ἡσιόδῳ. Il. Pr. A 264.

[49ᵃ]

ἀάπτους: ἐμοὶ δοκεῖ παρὰ τὸ ἰάπτω γεγενῆσθαι, ὃ σημαίνει τὸ διαφθείρω καὶ βλάπτω· ἔνθεν τὸ «πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν» καὶ μέσον αὐτοῦ κατ' ἔλλειψιν τοῦ ᾱ «μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν» (454). ἔνθεν καὶ τὸ ἴψ· ἔστι δὲ θηρίον διατρῶγον τὰ ξύλα. ἀπὸ δὴ τούτου τοῦ ἰάπτω τὸ ἀϊάπτους ἦν καὶ κατ' ἔλλειψιν τοῦ ῑ ἀάπτους ἤτοι τὰς μὴ δυναμένας διαφθαρῆναι καὶ βλαβῆναι, ἢ κατ' ἐπίτασιν τὰς ἄγαν δυναμένας βλάψαι καὶ διαφθεῖραι. Il. Pr. A 567.

---

ad fr. 47. ὀρτή pro ὀρτή scripsi cum Lob. El. I 63, qui hoc praeceptum rectum esse dicit, si ad usum, in quo ἑορτή praevaluit, exigatur, si ad veritatem, ἑορτή esse auctum. Atque sic, si fr. 13 ἐρῳδιός compares, Herodianum ab epitomatore non mutilatum pronunciasse credideris.

ad fr. 48. Et Orum et Orionem (p. 143, 21) Herodianum expilasse claret. De re cf. Il. Pr. Ε 19 μεταμάζιον: οὕτως μεταμάζιον ἓν ποιητέον ὡς τὸ μετάφρενον καὶ ἐνώπιον. παρῆκται δὲ παρὰ τὸ μαζὸς καὶ τὴν μετά ὡς παρὰ τὸ χθονὸς καὶ τὴν ἐπί ἐπιχθόνιος, παρὰ ποταμὸν παραποτάμιος. γίνεται γὰρ καὶ ἀπὸ δύο λέξεων κατὰ παράθεσιν ἕν τι παραγωγὸν ὡς τὸ Νεαπολίτης καὶ ἄλλα μυρία; St. B. 707, 4; 628, 13, Ep. Hom. 59, E. M. 273, 25, quos locos inter fragmenta περὶ σχημάτων referens tractabo. — Ex Herodiano petita videtur etiam notatio E. Orion. p. 117, 20 νέρθεν· ἀποβολῇ τοῦ ε̄, παρὰ τὴν ἔραν ἔνερος ἐνέροθεν, ἔνερθεν συγκοπῇ, νέρθεν cf. Ep. Hom. 290, 18. Congruit Apoll. de adv. 603 cf. Lob. El. I 49.

ad fr. *49. In E. M. cum quo cf. E. Or. 75, 24 et 78, 14 longum adnotamentum est, ex quo quae comparata Il. Pr. Ο 365 Herodianea esse docet, extraxi. E libro περὶ παθῶν hanc adnotationem fluxisse concludi potest ex diserta affectionis mentione, quae in Il. Pr. abest: ἤιε Ἀρίσταρχος δασύνει ἀπὸ τῆς

*50.

Steph. B. 329, 1: Ἰθώμη, πόλις Θεσσαλίας τῆς Πελασγιώτιδος· Ὅμηρος «οἵ τ' εἶχεν Τρίκκην καὶ Ἰθώμην κλωμακόεσσαν» (B 729). ἔστι καὶ Μεσσήνης. καλεῖται δὲ ὁ τόπος τῆς Θεσσαλίας Θούμαιον ἀποβολῇ τοῦ ῑ καὶ τροπῇ τοῦ ω εἰς τὴν $\overline{ου}$ δίφθογγον.

51.

E. Gud. 350, 36: κτίλος: ἀπὸ τοῦ ἵκω ἱκτός ὡς τάσσω τακτός, πλέκω πλεκτός καὶ ὥσπερ παρὰ τὸ πένθος γίνεται πενθίλος ὡς ναυτίλος, οὕτως οὖν καὶ ἱκτός ἱκτίλος. καὶ ἀφαιρέσει τοῦ ῑ κτίλος. τοῦτο Ἡρωδιανὸς περὶ παθῶν.

52.

Zonar. 1332: μάσθλη: Ἡρωδιανὸς ἀπὸ τοῦ ἱμάσσω.

53.

Zon. 585, E. M. 192, 42: δύρεσθαι ἀντὶ τοῦ ὀδύρεσθαι ἀφαιρέσει τοῦ ō. οὕτως Ἡρωδιανός.

[51ᵃ]

κρατὶ δ' ἐπὶ κτιδέην κυνέην: ἀπὸ τοῦ $\bar{κ}$ ἡ ἀρχή, ἐπεὶ ἐν ἑτέροις «τοῦ δ' ἀπὸ μὲν κτιδέην» (K 458). τοῦτο δὲ κατὰ ἀφαίρεσιν τοῦ ῑ λέγεται παρὰ τῷ ποιητῇ· ἶκτις γάρ ἐστιν, ὡς Νίκανδρος «ἴκτιδος ἤ τ' ὄρνισιν» (Ther. 196). τὸ γὰρ μονοσύλλαβον οὐ δύναται κατ' ἔκτασιν οὔτε κατὰ συστολὴν λέγεσθαι. οὔτε γὰρ ἐκτείνεται ὡς κρηπῖδος ψηφῖδος· ταῦτα γὰρ ὑπὲρ μίαν συλλαβήν· οὔτε συστέλλεται· ἀρκεῖ γὰρ τὸ τίς. Schol. AD ad Il. K 335.

[53ᵃ]

Οἴτυλον ὡς δάκτυλον· ἄρχεται γὰρ τὸ ὄνομα ἀπὸ τῆς οι διφθόγγου. κακῶς δὲ Τυραννίων οἰόμενος ἄρθρον εἶναι τὸ οι καὶ παρὰ τὴν

ἔσεως τῶν βελῶν· οἱ δὲ περὶ Κράτητα ψιλῶς ἀπὸ τῆς ἰάσεως· καὶ οὕτως ἐπείσθησαν οἱ γραμματικοὶ πρὸς διάφορον ἐτυμολογίαν διαφόρως ἀναγινώσκειν. ἀγνοοῦσι δὲ ὅτι ὁ χαρακτὴρ μάχεται· ἀεὶ γὰρ τὸ η πρὸ φωνήεντος ψιλοῦται, ἠώς, ἤια κτλ.

ad fr. *50. cf. Mein. ad p. 290, 10 et, quem citat, Ahrensius de dial. Aeol. p. 221, Doric. p. 529.

ad fr. 51. ὡς ante ναυτίλος addidi. Apud Zonaram, qui idem habet p. 1260, pro ἀφαιρέσει τοῦ ῑ exstat μετὰ τῆς ἐπάρσεως τοῦ ῑ ut in E. M. s. v., qua dictione Herodianus alias non utitur.

---

ad fr. [51ᵃ]. Pro ἐν ἑτέροις «καὶ κτιδέην» scripsi ex Il. Pr. ad h. l. τοῦ δ' ἀπὸ μὲν κτιδέην, nam καὶ κτιδέην ap. Homerum non reperitur. Ut hoc fragmentum quamvis non sine dubitatione Herodiano assignarem, effecerunt et Il. Pr. K 335 ubi: τὸ ἑξῆς δεῖ διαστέλλειν κατὰ τὸν ποιητὴν κτιδέην ἀπὸ τοῦ $\bar{κ}$ ποιουμένους τὴν ἀρχήν, ἐπεὶ ἐν ἑτέροις φησὶ κτλ. et similis de κτίλος ex ἰκτίλος derivatio et quod monosyllabum breve exstare negatur, quam rem accurate exposuit pluribus locis, in Mon. 19, 1, in Catholica Arcad. 125, 1. Si autem Lobeckius in El. I p. 72 contra dicit cogitatione antecessisse κτίς, sed quia monosyllaba huiusmodi repudientur, continuo auctum esse litera, quae longius productis rursus decesserit, nihil impedit, quominus id ipsum Herodianum voluisse existimemus, imo eius de ἐρωδιός et ῥωδιός sententia hoc suadet.

ad fr. [53ᵃ]. cf. Steph. B. 487, 15 Οἴτυλος πόλις Λακωνικῆς· «ἠδ' Οἴτυλον» ὡς δάκτυλον. ἀπὸ Οἰτύλου ἥρωος. τινὲς δὲ τὸ $\overline{οι}$ ἄρθρον φασὶ καὶ τὴν πόλιν

54.

E. M. 308, 30: ἐβλαστηκότες: «ἐκ τῶν ἀγρῶν ἤκουσιν ἐβλαστηκότες» (Iph. Aul. 594) Ἀττικῶς· βεβλαστηκότες ἀποβολῇ τοῦ β̄ ἐβλαστηκότες ὥσπερ βεβριγωμένης ἐβριγωμένης· οἱ γὰρ Ἀττικοὶ ἀποβάλλουσι σύμφωνον, οἱ δὲ Αἰολεῖς προσνέμουσι τὸ ἐπτερύγωμαι πεπτερύγωμαι λέγοντες. οὕτως Ἡρωδιανός.

55.

E. M. 501, 26: κέκτημαι: λέγει ὁ Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν, ὅτι κατὰ πλεονασμὸν τοῦ κ̄ Αἰολικῶς· τὸ γὰρ κοινὸν ἔκτημαι ἐστὶν ὡς τὸ «Ἴλιον ἐκτῆσθαι» (Il. I 402). τὰ γὰρ ἀπὸ τοῦ κτ οὐκ ἀναδιπλασιάζονται, ὃν τρόπον οὐδὲ τὰ ἀπὸ τοῦ π̄τ̄. ὁμοίως καὶ τὸ πέπταμαι ἀπὸ τοῦ ἔπταμαι πλεονασμῷ τοῦ π̄ ἐστίν.

56.

Zon. 1540, E. M. 662, 32 (cod. Paris. 346): πέπταμαι: ἐκ τοῦ ἵπτημι γίνεται ὁ παθητικὸς παρακείμενος ἔπταμαι ἔπτασαι ἔπταται καὶ πλεονασμῷ τοῦ π̄ πέπταμαι Αἰολικῶς. οἱ γὰρ Αἰολεῖς εἰώθασι προστιθέναι σύμφωνον, ὥσπερ τὸ ἐπτερύγωμαι πεπτερύγωμαι οἷον «ὡς δὲ πάϊς παῖδα μητέρα πεπτερύγωμαι». Ἡρωδιανὸς ἐν τῷ περὶ πάθους.

συνήθειαν τοῦ ποιητοῦ ἁμαρτάνων καὶ παρὰ τὴν ἱστορίαν, εἴγε οὕτως φησὶ καὶ Φερεκύδης· «τοῦ δὲ γίνεται Ἀμφάναξ, τοῦ δ' Οἴτυλος» ἀφ' οὗ ἡ πόλις ἡ ἐν Σπάρτῃ καλεῖται. Il. Pr. B 585.

[56ᵃ]

E. M. 135, 31: Ἀργαφίης οἷον «νιψάμεναι κρήνης ἔδραμον Ἀργαφίης». τινὲς δὲ διὰ τοῦ ε̄ ἀπὸ Γεργάφου τοῦ Ποσειδῶνος· τὸ δὲ ἐντελὲς ἐν τῷ Ἑρμῇ «κρήνης Γαργαφίης». ὁ δὲ Παρμενίσκος ἄνευ τοῦ γ̄. ἡ ἔλλειψις ἀπὸ ἱστορίας.

---

ad fr. 54. Nunc apud Euripidem legitur: ὡς ἐκ μεγάλων ἐβλαστήκας' Ἐπί τ' εὐμήκεις ἥκουσι τύχας. Addidi post ἀποβολῇ τοῦ β — ἐβλαστηκότες et in fine πεπτερύγωμαι λέγοντες. Caeterum comparatis fr. 54, 55 et 56 patet Herodianum modo Aeolicam formam pro nativa substruxisse, unde Attica per ellipsin fieret, modo Atticam, unde Aeolica per pleonasmum existeret. In libro περὶ ῥημάτων μέμνημαι κέκτημαι πέπταμαι et πέπτωκα ut reduplicata σεσημειωμένα attulisse videtur collato Choerob. 552, 17 et Constant. Lascar. in excerptis ex Choer. περὶ τῶν παρῳχημένων. — Cum nostro fragmento compares Choer. 549, 35 τὸ ἐγλυμένοι καὶ ἐβλαστηκότες παρ' Εὐπόλιδι παράλογά εἰσι, γεγλυμένοι γὰρ δεῖ λέγειν καὶ βεβλαστηκότες· οὐ γὰρ ἄρχονται ταῦτα ἀπὸ τοῦ γν, ἵνα μὴ ἀναδιπλασιασθῶσιν.

Τύλον cf. Lob. El. I 89. — De Tryphonis portentosa opinione, qua φιλητής ex ὀφειλέτης ortum putabat, cf. fragmenta Orthogr. s. v. φηλητής, ubi hanc sententiam ab Herodiano reprobatam neque vocem ab eo φιλητής sed φηλητής scriptam esse demonstrabo.

ad fr. [56ᵃ]. Cur hoc fragmentum Herodiano assignandum putaverim, in Praef. CXXX exposui. Caeterum Bergkii emendationem Παρμενίσκος pro Παρμένιος Meinekianae Παρμενίων praeoptavi, quia Herodianus Parmenisci grammatici

57.

E. Gud. 288, 38 coll. E. M. 274, 5: ἱερὸν ἰχθύν: τινὲς παρὰ τὸ διαίνω διερός καὶ ἱερὸν τὸν ἀεὶ ἐν ὕδασι βρεχόμενον κατὰ ἀποβολὴν οἷον «ἔνθ' ἤτοι μὲν ἐγὼ διερῷ ποδί» (Od. ι 43)· οἱ δὲ παρὰ τὸ δίω τὸ διώκω διερός καὶ ἱερός ὁ ταχύς· διωκτικὸς γάρ. Ἡρωδιανὸς περὶ παθῶν.

*58.

Steph. B. 375, 8: Κοροπαῖος: Νίκανδρος ἐν Θηριακοῖς (v. 613) «ἢ ἐν Ἀπόλλων μαντείας Κοροπαῖος ἐθήκατο καὶ θέμιν ἀνδρῶν». οἱ μὲν ὑπομνηματίσαντες αὐτὸν Θέων καὶ Πλούταρχος καὶ Δημήτριος ὁ Χλωρός φασι «Νίκανδρος «Κοροπαῖος Ἀπόλλων».» Κορόπη δὲ πόλις Θεσσαλίας· ἀγνοεῖ δ' ὅτι Ἀμφιαράου ἱερόν, οὐκ Ἀπόλλωνός ἐστι. καὶ γράφεται Ὀροπαῖος. Ὀρόπη γὰρ πόλις Εὐβοίας, ὅπου Ἀπόλλωνος διασημότατον ἱερόν». βέλτιον δ' ὑπονοεῖν, ὅτι ἡμάρτηται, λέγεται δὲ κατ' ἔλλειψιν τοῦ κ̄ Ὀροπαῖος.

[58a]

Ep. Hom. 173, 5: εἶβεις «τέρεν δάκρυον εἶβεις» (Π 11). λείβω τὸ στάζω καὶ κατὰ πάθος γίνεται εἴβω, ὥσπερ ἀπὸ τοῦ γαῖα κατὰ ἀφαίρεσιν τοῦ γ̄ αἶα· πρῶτον ἄρα τὸ λείβω τοῦ εἴβω. ἰστέον δὲ ὅτι οὐδέποτε εἴβειν τέθειται ἐπὶ τοῦ σπένδειν. τὰ δὲ ἄλλα ὁμοίως «δάκρυα λεῖβον» (Ν 88) «καταλείβεται ὕδωρ» καὶ τὸ «κατειβόμενον Στυγὸς ὕδωρ» (Ο 37). ὥσπερ δὲ παρὰ τὸ γαῖα μὲν ἐγένετο σύνθετον γαιήοχος καὶ παραγωγὸν γαιάτης οὐδὲ δὲ παρὰ τὸ αἶα, οὕτως καὶ ἐπὶ τούτων οὐδὲν μὲν κίνημα παρὰ τὸ εἴβω, παρὰ δὲ τὸ λείβω, λιβάς, λοιβή, λέβης, λίβανος καὶ λιβανωτός· καὶ ὃν τρόπον τὸ αἶα οὐδέποτε κατ' ἀρχὴν ἔχεις στίχου παρὰ τῷ ποιητῇ, τὸ δὲ γαῖα, οὕτως οὐδέποτε τὸ εἴβω ἔχεις ἐν ἀρχῇ στίχου, ἀλλὰ τὸ λείβω.

[58b]

ἄχρι ἀπὸ τοῦ μέχρι ἀποβολῇ τοῦ μ̄ καὶ μεταθέσει τοῦ ε̄ εἰς ᾱ· οὕτως Ἡρωδιανὸς ἐν τῇ ὀρθογραφίᾳ. E. Or. 100, 48 cf. Il. Pr. Π 324.

---

ad fr. 57. In E. M.: παρὰ τὸ διαίνω γίνεται διαρός ὡς μιαίνω μιαρός, λιπαίνω λιπαρός καὶ τροπῇ διερός, unde διερός pro διαιρός in E. Gud. recepi. Herodiani videtur E. Or. 75, 4 ἰωχμός· διωχμός τις ὢν καὶ διωγμός κατὰ τροπὴν τοῦ χ̄ εἰς γ̄ et 78, 12 ἰωκή παρὰ διωκή καὶ διωγμός ἀπὸ τοῦ διώκω ἀποβολῇ τοῦ δ̄ ἰωκή καὶ ἰωχμός.

ad fr. *58. Locum Steph. Byz., quem miris modis perturbatum esse dicit Meinekius, verbis transpositis sic emendavi, ut sententia probabilis existeret. Postquam enim Herodianus exposuit commentatores Nicandri diversam scripturam Κοροπαῖος et Ὀροπαῖος ex diversis urbibus Κορόπη et Ὀρόπη explicavisse et Nicandrum Apollonium Κοροπαῖον vocantem ignorasse Coropae non Apollinis, saepius mentionem iniicit, Parmenionis in iis certe, quae nos habemus, nunquam. cf. Mein. An. Alex. p. 282.

ad fr. [58a]. De origine Herodianea dixi in Praef. CXXIX, post παραγωγόν interposui ex St. B. s. v. γη γαιάτης, potui etiam γαιήϊος; in fine pro τὸ εἴβω εἴβεις scr. τὸ εἴβω ἔχεις.

59.

Eustath. 1525, 7: περιαίρεσις τῆς ἀρχῆς θεωρεῖται καὶ ἐν τῷ σῦς καὶ ὗς καθ' Ἡρωδιανόν.

60.

Theogn. Cr. II 89: ῥῖγος: ἀπὸ τοῦ φρίσσω φρίγος καὶ ἀποβολῇ τοῦ φ ῥῖγος. οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν.

61.

E. M. 134, 52: ἀραριημένος: ἔστιν ὄνομα παρὰ τῷ ποιητῇ ἀρειή, ἀφ' οὗ ῥῆμα ἀρειῶ. τούτου ὁ παθητικὸς παρακείμενος ἠρείη-

[59ᵃ]

τὸ ε πρὸ τοῦ θ οὐ δασύνεται, εἰ μὴ ἀντωνυμικὸν εἴη ἐξ ἀποβολῆς τοῦ σ σέθεν ἕθεν. Il. Pr. I 540.

[60ᵃ]

τὸ ἔρρω οὐ παρὰ τὸ φθείρω, ὡς οἴονταί τινες. Mon. 43, 10.

[61ᵃ]

λυτο (Il. Ω 1): εἰ μὲν μέσος δεύτερος ἀόριστός ἐστιν ἀπὸ τῶν εἰς μι, ὥσπερ ἤδη ἐπίσταται λέγων «νῦν δὲ λύμην τρὶς τόσσα πορών»

sed Amphiarai saerum esse, suam ipsius sententiam opponit. Est autem ea, ut dicat Nicandrum errasse, quum Apollinem Κοροπαῖον nominaret, scripturam vero Ὀροπαῖος per ellipsin literae κ expediendam esse. Commentatorum explicatio servata est in Schol. ad Ther. 614: Κοροπαῖος· τινές Θεσσαλικός. Κορόπη γὰρ πόλις Θεσσαλίας. Γράφεται καὶ Ὀρόπειος· Ὀρόπεια γὰρ πόλις Βοιωτίας, ὅπου διασημότατον ἱερὸν Ἀπόλλωνος; nihil in his de ellipsi traditur, unde iure coniicias hoc ab Herodiano adiectum esse. Ratio autem, qua Herodianus suam sententiam alteri contra ponit, eadem est, qua saepius in Il. Pr. utitur B 8, K 38, Λ 257 ἄμεινον οὖν λέγειν ὅτι κτλ.

ad fr. 59. Totus Eustathii locus, ex quo hoc fr. desumpsi, sic procedit: ἰστέον ὅτι κοινοῦ μέν ὄντος τοῦ λείβειν, Ἰωνικοῦ δέ εἴβειν περιαιρέσει τῆς ἀρχῆς, ὃ δὴ θεωρεῖται καὶ ἐν τῷ σῦς καὶ ὗς καθ' Ἡρωδιανόν, ἀμφοῖν κεῖται χρῆσις ἐν τοῖς εἰρημένοις, τὸ μέν γὰρ δάκρυα λείβειν κοινόν ἐστι, Ἰωνικόν δέ τὸ κατείβεται αἰών. In his quod de εἴβειν et λείβειν traditur non Herodiani videtur, cuius de his vocibus adnotamentum in Ep. Hom. 173 servatum esse suspicor. — Cum nostro fr. cf. Epim. Hom. 394, 3 ὗς λείπει τὸ σ ὡς ἐν τῷ κάπετος, πλεονάζει δὲ ὡς ἐν τῷ σειρήν. Herodiani explicatum adnotamentum de σῦς et ὗς servatum videtur in E. Orion. 146, 18 eo loco, ubi alia etiam Herodianea leguntur (E. M. 736, 40): σῦς· δύναται εἶναι παρὰ τὸ σύω τὸ ὁρμῶ· ὁρμητικὸν γὰρ τὸ ζῷον· καὶ ἀποβολῇ τοῦ σ ὗς· δύναται δὲ καὶ εἶναι παρὰ τὸ ὕεσθαι· ὕω ὕσω ὕεσθαι, ὅ ἐστι βρέχεσθαι, ἐπεὶ τοῖς ὕδασι τέρπεται, καὶ πλεονασμῷ τοῦ σ σῦς.

ad fr. 60. In E. M. 704, 2 et ap. Favorin. Ecl. 401, 8 additur: ὅθεν τὸ ι μακρόν. ἡ γὰρ ἀποβολὴ τοῦ φ ἔκτασιν πεποίηται τοῦ ι. — Ep. Hom. 375, 28. φρίσσω ὁ μέσος παρακείμενος πέφριγα, ἐξ οὗ γίνεται καὶ τὸ ἔρριγα ἀποβολῇ τοῦ π φ.

ad fr. 61. Verba καὶ κατ' ἀποβολὴν ἀριημένος addidi, nam necessaria sunt, quum ἀραριημένος ipsum ad metrum in versibus Homericis non quadret, ubi

ad fr. [59ᵃ]. cf. Io. Alex. 23, 10, Arcad. 200, 19, Lob. El. I 121 not. — De articulo postpositivo οὗ ᾧ ἧς ex praepositivo τοῦ τῷ τῆς ab Herodiano repetito cf. Io. Al. 22, 29.

ad fr. [60ᵃ]. In Mon. sic scriptum est: εἴπερ οὖν Αἰολικόν (sc. τὸ ἔρρω), ζητητέον τί αὐτοῦ ἦν κοινόν. οὐ γὰρ αὐτὸ τὸ φθείρω, ὡς οἴονταί τινες cf. Lehrs ad h. l.

ad fr. [61ᵃ] et [61ᵇ]. His adnotamentis comparatis patet hos articulos ad Herodianum auctorem referendos esse: Choer. Can. 731, 7 τὸ δέχθαι οἷον «ἀγλαὰ

μαι, ἡ μετοχὴ ἠρειημένος καὶ κατὰ ἀναδιπλαςιαςμὸν ἀραρειημένος καὶ κατὰ ςυςτολὴν ἀραρημένος καὶ κατ' ἀποβολὴν ἀρημένος. ταῦτα Ἡρωδιανός. οὕτω Ζηνόδοτος.

*62.

E. M. 560, 30: λεώς ἐὰν μὲν ὀξύνηται, Ἀττικόν ἐςτιν ἀπὸ τοῦ λαός· εἰ δὲ βαρύνεται, ἀποβολή ἐςτι τοῦ τελέως· ὃν γὰρ τρόπον προςέρχεται ἡ τε ἐν τῷ τέτρομος, ἀφαιρεῖται ἐν τῷ τελέως λέως.

*63.

Choer. Can. 81, 34: ψάλυξ ἐςτὶ ἀπὸ τοῦ φεψάλυξ κατ' ἀποβολὴν τῆς πρώτης ςυλλαβῆς.

*64.

St. B. 284, 19: Εὐεςπερίδες πόλις Λιβύης καὶ ἑνικῶς λεγομένη. λέγεται καὶ χωρὶς τοῦ εὖ μορίου Ἑςπερίς.

(Il. Φ 80) καὶ «τῆς δ' ἄρα κλαιούςης λύτο γούνατα», ἔκταςις ἐγένετο διὰ τὸ μέτρον· εἰ δὲ παρατατικόν τινες ἐκδέχονται, δύναται κρᾶςις τοῦ ἐλύετο γεγενῆςθαι ὥςπερ ἀπὸ τοῦ ἰχθύες ἰχθῦς, μύες μῦς, ῥύεςθαι ῥῦςθαι «πάντων ἀνθρώπων ῥῦςθαι γενεήν τε τόκον τε» (Ο 141). ἢ ἀπὸ τοῦ λέλυτο λύτο ὡς βέβλητο βλῆτο. Il. Pr. Ω 1.

[61b]

Io. Al. 22, 19: αἱ τοῦ παρακειμένου παθητικοῦ μετοχαί, εἰ πάθωςί τι, προπαροξύνονται ὡς ἀπὸ τοῦ βεβλημένος βλήμενος, ἐληλαςμένος ἐληλάμενος, καὶ ὁ ἄςμενος δὲ καὶ ὅρμενος καὶ ἄρχμενος καὶ δέγμενος καὶ ἄλμενος καὶ ἐμπλήμενος καὶ οὐτάμενος εἴτε παρακειμένου εἶεν παθητικοῦ εἴτε ἄλλου χρόνου, εἰκότως προπαροξύνονται.

[62a]

Io. Alex. 38, 27: τὸ ὠμαδίς ὀξύνεται καὶ ἴςως ἐκ τοῦ κατωμαδίς ἀφῃρέθη.

---

nunc ἀρημένος cum ᾱ producto legitur, sed ἀριημένος cum brevi α. Videtur esse lectio Zenodotea.

ad fr. *62. Accentus notatio Herodiani memoriam excitat, quamquam in Apoll. pron. 74, 1 ἑορτή ὀρτή, θέλω — λῶ, τρόμος — τέτρομος κτλ. adscriptum est τελέως λέως. Caeterum hic Apollonii locus ostendit huiuscemodi violentas decurtationes summis grammaticis non abiudicandas esse cf. Lob. El. I 148.

ad fr. *63. hoc adnotamentum Choerobosceum Herodiano debere inde apparet, quod totus de declinatione nominum in υξ canon ab illo petitus est.

ad. fr. *64. cf. Lob. El. I 146

δέχθαι ἄποινα» (Α 23) καὶ τὸ βλῆςθαι οἷον «πρὶν βλῆςθαι Μενέλαον» (Δ 115) πεπονθότα εἰςίν, ἀφαίρεςιν γὰρ πεπόνθαςι· τὸ γὰρ ἀνάλογον αὐτῶν δεδέχθαι καὶ βεβλῆςθαί ἐςτιν et E. M. 252, 42 δέγμενος ἀπὸ τοῦ δεδεγμένος κατὰ ςυγκοπὴν (i. e. ἀποβολὴν ex usu posteriorum grammaticorum) δέγμενος ὡς εἶναι παρακείμενος. ἢ ἀπὸ τοῦ δεχόμενος ὡς εἶναι ἐνεςτώς. τὸ δὲ χ εἰς γ μετεβλήθη τῆς ςυντάξεως οὕτως ἀπαιτούςης. cf. Ep. Hom. 351, 15, E. M. 257, 41 et E. M. 259, 36, Macrob. p. 328: manifestum est non esse integra πέρθαι βλῆςθαι δέχθαι, quorum integra sunt πεπέρθαι βεβλῆςθαι δεδέχθαι.

ad. fr. [62a]. cf. Lob. El. I 146.

*65.

St. B. 100, 17: Ἀντισάρη πόλις· τινὲς δὲ Τισάρη γράφουσιν.

*66.

St. B. 444, 5: Μεμβλίαρος νῆσος πλησίον Θήρας· λέγεται καὶ κατ' ἀφαίρεσιν Βλίαρος.

*67.

St. B. 212, 14: Γραῖα πόλις Ἐρετρίας· ἀφαίρεσις γέγονε τῆς ἀρχῆς.

*68.

St. B. 334: Ἰόπη πόλις Φοινίκης. λέγεται καὶ Ἰοπία διὰ τοῦ ῑ καὶ ἴσως ἐκ τοῦ Αἰθιοπία.

69.

E. M. 184, 30: ἄψ: τινὲς μὲν ἀπὸ τοῦ ᾱ τοῦ σημαίνοντος τὸ ὀπίσω ἄψ κατὰ πλεονασμὸν τοῦ ψ̄. Ἡρωδιανὸς δὲ μηδέποτε τὰ διπλᾶ πλεονάζειν.

70.

Ep. Hom. 420, 8, E. M. 781, 47: ὑπόδρα ἐπίρρημα πόθεν γίνεται; ὁ μὲν Ἀπολλώνιος δύο λέγει παραγωγάς, ὁ δὲ Ἡρωδιανὸς μίαν. ὁ μὲν Ἀπολλώνιος οὕτως· ὥσπερ ἀπὸ τοῦ ἠρεμῶ γίνεται ἠρέμα καὶ σιγῶ σῖγα, οὕτω καὶ ἐκ τοῦ ὁρῶ ὅρα καὶ μετὰ τῆς ὑπό ὑπόρα καὶ πλεονασμῷ τοῦ δ̄ ὑπόδρα τὸ ὑφορᾶσθαι. καὶ ἄλλως· ἔστι δρῶ καὶ σημαίνει τὸ βλέπω, ἐξ οὗ καὶ δρωπάζειν καὶ τὸ δραπέτης ὁ ἐπιβλέπων τοὺς δεσπότας. ἐκ τοῦ οὖν δρῶ γίνεται δρά καὶ μετὰ τῆς ὑπό ὑπόδρα τὸ ὑποβλέπειν. ὁ δὲ Ἡρωδιανὸς λέγει, ὅτι ἐκ τοῦ ὑποδράξ γίνεται.

71.

Ep. Hom. 319, 23, E. M. 638, 6: οὐ ἕθεν (Α 144): ἐκ τῆς οὐ ἀρνήσεως καὶ τῆς ἕθεν Ἀττικῶς παραγωγοῦ ἀντωνυμίας οὐ ἕθεν. Ἰστέον

ad fr. *65. Apud Steph. Ἡρωδιανὸς «Ἀντισάρη καὶ αὕτη πόλις». Sed etiam sequentia ex eodem fonte fluxerunt cf. Lob. El. I 147.

ad fr. *66. cf. Lob. El. l. c.

ad fr. *67 cf. eundem l. c. Apud St. B. additur: ὡς δειχθήσεται ἐν τῷ Τάναγρα, ubi p. 600, 12: Τάναγρα πόλις Βοιωτίας, ἣν Ὅμηρος (Β 498) Γραῖαν καλεῖ διὰ τὸ πλησίον εἶναι. — τὴν δὲ Γραῖαν ἔνιοι λέγουσι τὸ νῦν τῆς Θηβαϊκῆς καλούμενον Ῥέας ἕδος, τινὲς δὲ τὴν Ταναγραίαν, ὧν εἷς ἐστι καὶ Καλλίμαχος. Ἀριστοτέλης δὲ Γραῖαν τὴν νῦν Ὠρωπόν.

ad fr. 69. Initio adieci τινὲς μὲν ita ut horum sententiam Herodianum reprobasse significetur.

ad fr. 70. Quamquam ad ellipsin pertinet, tamen huc traxi, ut appareat, quid Herodianus de vocabulo, in quo duplex consona et provenit et evanescit, senserit. Caeterum pro Ἀπολλόδωρος scripsi Ἀπολλώνιος, quae nomina saepe confunduntur, nam statim duae ab Apollonio de adv. p. 549 propositae originationes proferuntur, et paullo post pro ἀπὸ παρακειμένου οὕτως exhibui ὁ μὲν Ἀπολλώνιος οὕτως. Herodiani originatio non distincte explanatur, sed ex Apollonio intellegitur eum hoc adverbium a δέρκω repetivisse et ξ primitivum habuisse. Apollonius enim dicit: ἀλλ' εἰ καὶ ἀπὸ τοῦ ὑποδράξ, ὅπερ πάλιν τῷ δέρκω παράκειται, δύναιτο ἂν καὶ ἐν ἀποβολῇ τοῦ ξ̄ γενόμενον βαρεῖαν τάσιν ἀναδέξασθαι.

ad fr. 71. Subscriptio περὶ παθῶν recepi ex E. M., ubi suo loco mota et sequenti adnotamento οὐ θήν μιν apposita est, ut me monuit Lehrsius.

ὅτι τὸ οὗ ἕθεν χωρὶς τοῦ κ̄ εὑρέθη, διότι ἐγκλίνεται· τὰ δὲ ἐγκλινόμενα οὐδέποτε προςλαμβάνουςιν οἷον ἐμοῦ, ἤκουςέ μου. ἄλλως δὲ αἰτία μέν ἐςτι ἡ οὐ ἄρνηςις τοῦ πλεοναςμοῦ, ἀλλ᾽ οὐ δύναται λήγειν εἰς κ̄· οὐδέποτε γάρ ἐςτι λέξις Ἑλληνικὴ εἰς ἄφωνον λήγουςα. δεῖ οὖν αὐτὸ ἐπιφέρειν τῇ ἑτέρᾳ λέξει· εἰ οὖν ἔλαβεν αὐτὸ ἐν τῷ ἕθεν, ἤμελλε φυλάττειν ἐν πλεοναςμῷ καὶ οὐκέτι ἐνεκλίνετο. περὶ παθῶν.

*72.

Ep. Hom. 328, 20: τὸ ὅτε οἱ Αἰολεῖς ὅτα λέγουςι, Λάκωνες δὲ ὅκα· καὶ οἱ μὲν μόνον ἔτρεψαν τὸ ε̄ εἰς ᾱ, οἱ δὲ καὶ τὸ ςύμφωνον· ὥςτε οὐκ ἀπὸ τοῦ ὅτα Αἰολικοῦ ὅταν πλεοναςμῷ τοῦ ν̄. ὅταν γὰρ μεταβολὴ γένηται τοῦ ε̄ εἰς ᾱ, οὐ προςέρχεται τὸ ν̄ ὄπιςθεν ὄπιςθα, πρόςθεν πρόςθα, ὡς καὶ ἐπὶ ςυνδέςμου ἕνεκεν ἕνεκα.

73.

Zonar. 1299, Favorin. Ecl. 284, 28: λεγόμεθεν: οἱ Αἰολεῖς τὸ λεγόμεθα καὶ φερόμεθα εἰς ε̄ ποιοῦςι λεγόμεθεν καὶ φερόμεθεν μετὰ τοῦ ν̄. ἀλλὰ καὶ τὰ εἰς θεν ἐπιρρήματα εἰς ᾱ ποιοῦςιν οἷον ὄπιςθεν ὄπιςθα, ἄτερθεν ἄτερθα χωρὶς τοῦ ν̄· ὅτε γάρ εἰςιν εἰς ε̄ τὰ ἐπιρρήματα, τότε καὶ τὸ ν̄ προςλαμβάνουςιν οἷον ὄπιςθεν. ὅτε δὲ εἰς ᾱ, ἀφίςταται τὸ ν̄ ὥςπερ καὶ τὸ λεγόμεθα, εἶτα λεγόμεθεν, ἐπλεόναςε τὸ ν̄. Ἡρωδιανὸς περὶ παθῶν.

[73ᵃ]

Choer. Dict. 531, 10: Ἰςτέον ὅτι τὸ ἔτυπτε γίνεται καὶ μετὰ τοῦ ν̄ ἔτυπτεν· τὸ γὰρ ε̄ ἐφελκυςτικόν ἐςτι τοῦ ν̄ ἐν τοῖς τρίτοις προςώποις τοῖς ἑνικοῖς τῶν ῥημάτων οἷον ἔλεγε ἔλεγεν, ἔμαθε ἔμαθεν· ὥςπερ καὶ τὸ ῑ ἔχομεν, ὅτι γίνεται ἐφελκυςτικὸν τοῦ ν̄, ὅταν ἔχῃ προηγούμενον τὸ ς̄ ἢ δυνάμει ἢ ἐνεργείᾳ· ἐνεργείᾳ μὲν οἷον τύπτουςι τύπτουςιν, Αἴαςι Αἴαςιν, δυνάμει δὲ οἷον Φοίνιξι Φοίνιξιν, Πέλοψι Πέλοψιν· δυνάμει γὰρ ἐνταῦθά ἐςτι τὸ ς̄· τὸ γὰρ ξ̄ ἐκ τοῦ κ̄ καὶ ς̄ δοκεῖ ςυγκεῖςθαι καὶ τὸ ψ̄ ἐκ τοῦ π̄ καὶ ς̄· καὶ πάλιν ἔςτι ἔςτιν· τὸ

ad fr. *72. Ex sequeuti fragmouto coniectari licet huie argumento simillimum ctiam ab Herodiano profectum esse. Caeterum recte Ahrensius de dial. Aeol. 152 not. 1 eomparato Apollonio de adv. 606, 16 pro οἱ Αἰολεῖς ὅταν scripsit ὅτα atque iniuria reprehenditur ab Hugoue Weber de dorica partieula κᾱ p. 19 seq. Nam Herodianus uon de Aeolica partieula ὅταν loquitur, sed de Aeolica ὅτα addens particulam commnnem ab Aeolica ὅτα provenire nou possc.

ad fr. 73. Trauscripsit Maerob. II p. 320 ed. Bip.: «Sed ε̄ litera saepe sibi τὸ ν̄ familiariter adhibet. Tcstes huins rei Αἰολεῖς, apud quos λεγόμεθα, φερόμεθα ot similia finale ᾱ in ε̄ mutatur et mox ε̄ advoeat sibi τὸ ν̄ et fit prima persoua λεγόμεθεν, φερόμεθεν. Contra si quando ε̄ in ᾱ mutatur, ν̄ inde discedit, sicut Δωριεῖς τὸ πρόςθεν πρόςθα dieuut et τὸ ἔνθεν ἔνθα».

ad fr. [73ᵃ]. De ν̄ ephelcystico quin Herodiauus iu libro περὶ παθῶν dixerit, vix dubitandum est. Quare quao de hae materia ap. Choeroboscum inveniuntur, hic subieei, quum ab Herodiauo petita esse probabile sit. Cum iis, qnae p. 531 traduutur, ad verbum fero congruunt, quae leguntur p. 168, 14; de tertia singularis numeri ἦν aceuratius expositum est p. 867, 5, uude huue locum emendavi.

74.

E. M. 748, 3: τὸ ταυτόν οὐ πλεοναcμόc, ἀλλ' ἀναλογία· αἱ ἀντωνυμίαι εἰc ο̄ περατοῦνται κατὰ τὸ τρίτον πρόcωπον κατὰ γένοc οὐδέτερον αὐτό, ἐκεῖνο, τοῦτο. Ἀθηναῖοι οὖν μετὰ τοῦ ἄρθρου λέγοντεc τὸ οὐδέτερον τῆc αὐτὸc φαcὶ ταὐτὸν ἀναλόγωc. διδάξω τί ἐcτι τὸ αἴτιον· ἡ ἐκεῖνοc καὶ ἡ οὗτοc ἀντωνυμίαι cτεροῦνται ἄρθρου. ἵν' οὖν διαcτῇ γένοc ἀρcενικὸν καὶ οὐδέτερον, εἰc τὸ ο̄ περατοῦνται κατὰ τὸ οὐδέτερον ἐκεῖνο τοῦτο, ἵνα τὸ μὲν εἰc ο̄ cημαίνῃ τὸ οὐδέτερον, τὸ δὲ εἰc ν̄ τὸ ἀρcενικὸν ἐκεῖνον τοῦτον· ἡ δὲ αὐτὸc ἄρθρον λαμβάνει. οὐκέτι ἄρα ὀφείλει ἔχειν τὸ οὐδέτερον εἰc ο̄ ὁμοίωc τῇ χωρὶc ἄρθρου· ἔχει γὰρ διὰ τοῦ ἄρθρου cημαίνειν τὸ γένοc. Ἀθηναῖοι τοίνυν τὸ ἄρθρον προcνέμοντεc καὶ τὸ ν̄ διδοῦcι «ταυτὸν θυμὸν φαγόντεc» (Arist. Plut. 253)· ταὐτό γὰρ ὤφειλεν εἶναι. ὅταν οὖν Ἀττικοὶ λέγουcι ταὐτόν, τὸ ὀφειλόμενον ἀποδιδόαcιν, οὐ πλεονάζουcιν· οὐδὲ ἐνθάδε πλεονάζουcι τοcοῦτον τηλικοῦτον· οὐ γὰρ ἔγκειται ἡ οὗτοc ἀντωνυμία. περὶ παθῶν.

γὰρ τ̄ ἐνταῦθα δυνάμει c̄ ἐcτίν, ἀπὸ γὰρ τοῦ ἔcci γέγονε κατὰ τροπὴν τοῦ c̄ εἰc τ̄· πολλάκιc δὲ καὶ τοῦ φ̄ προηγουμένου γίνεται τὸ ῑ ἐφελκυcτικὸν τοῦ ν̄ οἷον ναῦφι ναῦφιν «ναῦφιν ἀμυνόμενοι μετὰ Βοιωτῶν ἐμάχοντο» (Ν 700).

Choer. 560, 4: Γέγονε τὸ ἐτετύφειν τοῦτον τὸν τρόπον· ἔcτιν ἐτετύφει τρίτον πρόcωπον· τοῦτο κατὰ τὴν διάλυcιν τῆc ει̅ διφθόγγου εἰc δύο εε̅ λέγουcιν οἱ Ἴωνεc ἐτετύφεε, ἐπειδὴ τὸ ε̄ ἐφελκυcτικόν ἐcτι τοῦ ν οἷον ἔτυπτε ἔτυπτεν, ἔλεγε ἔλεγεν, ἐτετύφεε ἐτετύφεεν καὶ κατὰ κρᾶcιν τῶν δύο εε̅ εἰc τὴν ει̅ δίφθογγον ἐτετύφειν ἐκεῖνοc· τοιοῦτόν ἐcτι καὶ τὸ «ἢ οἱ Λακεδαίμονι ναιεταούcῃ — ἤcκειν εἴρια καλά» (Γ 387) ἀντὶ τοῦ ἤcκει· καὶ τὸ «οὐδ' ἄρα δὴν — εἱcτήκειν, αὐτοῦ γὰρ ὑπήριπε φαίδιμα γυῖα» (Ψ 690) ἀντὶ γὰρ τοῦ εἱcτήκει.

Choer. 560, 33: τὸ ἦν ἐκεῖνοc δευτέρου ἀορίcτου ἐcτὶν ἀπὸ τῶν εἰc ω̅. ἀπὸ γὰρ τοῦ ἔω τοῦ cημαίνοντοc τὸ ὑπάρχω γέγονεν ὁ δεύτεροc ἀόριcτοc ἦον ἦεc ἦε καὶ κατὰ προcθήκην τοῦ ν̄ ἦεν (τὸ γὰρ ε̄ ἐφελκυcτικόν ἐcτι τοῦ ν̄ οἷον ἔτυπτε ἔτυπτεν, ἔλεγε ἔλεγεν) καὶ κατὰ κρᾶcιν τοῦ η̄ καὶ ε̄ εἰc η̄ γέγονεν ἦν· ὅτι γὰρ δεύτεροc ἀόριcτόc ἐcτι, δηλοῖ ἡ μετοχὴ ἐών οὖcα ὀξύτονοc· αἱ γὰρ εἰc ων̅ ὀξύτονοι μετοχαὶ δευτέρου ἀορίcτου εἰcὶν οἷον τυπών δραμών λαθών δακών πιών.

---

ad fr. 74 et 75. Clarissime, quae haec fragmenta continent, exposita sunt a Choerob. Dict. p. 838 et 839, qui accuratius quam epitomator E. Magni et Eustathius Herodiani vestigia pressit, quare hic totum locum, unde doctrina Herodianea dilucidius patescit, hic subscribo:

Ἰcτέον ὅτι πᾶν ἀρcενικὸν ἰcοcυλλάβωc κλινόμενον, ἡνίκα ποιεῖ οὐδετέρου παραcχηματιcμόν, ὁμόφωνον αὐτὸ ποιεῖ τῇ ἰδίᾳ αἰτιατικῇ ὁ εὔγηρωc τοῦ εὔγηρω τὸν εὔγηρων καὶ τὸ εὔγηρων. cεcημείωται ἐν τῷ κανόνι τούτῳ τὸ ἄλλο οὐδέτερον, ὅτι ἀπὸ τοῦ ὁ ἄλλοc ἀρcενικοῦ ὀνόματοc ἰcοcυλλάβωc κλινομένου ἐcτὶ καὶ οὐχ ὁμοφωνεῖ τῇ αἰτιατικῇ τοῦ ἀρcενικοῦ τῷ ἄλλον· ἐν οὖν τῇ cυνθέcει μετὰ τοῦ

75.

Eustath. 617, 44: εἰ καὶ τὸ οὐδέτερον τοῦ ἄλλος ὤφειλεν εἶναι ἄλλον μετὰ τοῦ ν̄ ἀναλόγως, ὅμως πέπονθεν αὐτοῦ ἔνδειαν ὡς καὶ τὸ τοιοῦτο καὶ τοσοῦτο, ἀλλ' ἐπιλαμβάνει αὐτὸ καθ' Ἡρωδιανὸν εἰπεῖν ἐν τῷ ἀλλοπρόσαλλον, οὕτω δὲ καὶ ἐν τῷ ἔξαλλον καὶ ἄπαλλον.

76.

E. M. 44, 45: ἀκαμαντοχάρμαν· οὐκ ἔστι πλεονασμός, ἀλλὰ πλάνη κλίσεως· ἀκαμαντοχάρμας γὰρ καὶ ἡ κλητικὴ ἀκαμαντοχάρμα· εἰ

[76ᵃ]

Theogn. 161, 32: τὰ εἰς ιν ἐπιρρήματα ἐκ πλεονασμοῦ ἔχοντα τὸ ν̄ διὰ τοῦ ῑ γράφονται οἷον αὖθι αὖθιν· οὕτω γάρ φησιν (sc. ὁ τεχνι-

ν̄ γίνεται οἷον ἔξαλλον, ἀλλοπρόσαλλον, ἄνταλλον· ἔτι σεσημείωται καὶ τὸ τοιοῦτο καὶ τοσοῦτο καὶ τὸ τηλικοῦτο· ἡ γὰρ αἰτιατική ἐστι μετὰ τοῦ ν̄· περὶ ὧν ἔστιν εἰπεῖν, ὅτι ταῦτα οὐ μόνον εἰς ο λήγουσιν, ἀλλὰ καὶ εἰς ν̄ οἷον τὸ τηλικοῦτον καὶ τὸ τοιοῦτον καὶ τὸ τοσοῦτον· ἄλλως τε δὲ καὶ ταῦτα καὶ τὸ ἄλλος ἐνομίσθησαν ἀντωνυμίαι εἶναι, καὶ ἐπειδὴ ἔχομεν ἐν ταῖς ἀντωνυμίαις τὸ ο̄ τελικὸν τῶν οὐδετέρων ὡς ἐν τῷ ἐκεῖνο καὶ τοῦτο καὶ αὐτό, τούτου χάριν καὶ τὰ οὐδέτερα τούτων ἐγένοντο εἰς τὸ ο̄ οἷον ἄλλο, τηλικοῦτο, τοιοῦτο, τοσοῦτο. ἔτι σεσημείωται καὶ ἡ ἐκεῖνο ἀντωνυμία καὶ ἡ τοῦτο, ὅτι ἀπὸ ἀρσενικοῦ ἰσοσυλλάβως κλινόμενά εἰσιν οἷον ἐκεῖνος ἐκείνου, οὗτος τούτου καὶ οὐχ ὁμοφωνοῦσι τῇ αἰτιατικῇ τοῦ ἀρσενικοῦ· αἱ γὰρ αἰτιατικαὶ τοῦ ἀρσενικοῦ ἐκεῖνον καὶ τοῦτον εἰσὶ μετὰ τοῦ ν̄, ἔχουσι δὲ ἀπολογίαν χωρὶς τοῦ ν λέγεσθαι τὰ οὐδέτερα ταῦτα, φημὶ δὲ τὸ ἐκεῖνο καὶ τοῦτο, ταύτην· ἐπὶ τῶν οὐδετέρων τῶν παρεσχηματισμένων ἐξ ἀρσενικῶν καὶ ὁμοφωνούντων τῇ αἰτιατικῇ τοῦ ἀρσενικοῦ τὸ ἄρθρον ἐστὶ τὸ διακρῖνον τὴν αἰτιατικὴν τοῦ ἀρσενικοῦ καὶ τὴν εὐθεῖαν τοῦ οὐδετέρου οἷόν ἐστι σοφόν, τοῦτο ἄδηλόν ἐστιν, εἴτε αἰτιατικὴ τοῦ ἀρσενικοῦ ἐστιν εἴτε εὐθεῖα οὐδετέρου. προσερχόμενον δὲ τὸ ἄρθρον τὴν διάκρισιν ποιεῖται· ἐὰν μὲν γὰρ εἴπω τὸν σοφόν, αἰτιατικὴ τοῦ ἀρσενικοῦ ἐστιν· εἰ δὲ εἴπω τὸ σοφόν, εὐθεῖα τοῦ οὐδετέρου ἐστίν· ἐπειδὴ οὖν ἡ ἐκεῖνος καὶ οὗτος οὐ δέχονται ἄρθρα ὀφείλοντα τὴν διάκρισιν ποιήσασθαι τῆς αἰτιατικῆς τοῦ ἀρσενικοῦ καὶ τῆς εὐθείας τοῦ οὐδετέρου — αἱ γὰρ ἀντωνυμίαι οὐ δέχονται ἄρθρα ὑπεσταλμένης τῆς αὐτός — τούτου χάριν ὡς μὴ δεχόμεναι ἄρθρα ἡ ἐκεῖνος καὶ οὗτος ὀφείλοντα τὴν διάκρισιν ποιήσασθαι τῆς αἰτιατικῆς τοῦ ἀρσενικοῦ καὶ τῆς εὐθείας τοῦ οὐδετέρου ἀποβάλλουσι τὸ ν̄ κατὰ τὸ οὐδέτερον, ἵνα διὰ τῆς ἀποβολῆς τοῦ ν̄ διάκρισις γένηται τῆς αἰτιατικῆς τοῦ ἀρσενικοῦ καὶ τῆς εὐθείας τοῦ οὐδετέρου. Διὰ τοῦτο γὰρ καὶ τὸ τὸ οὐδέτερον ἄρθρον ὀφεῖλον μετὰ τοῦ ν̄ λέγεσθαι ὁμοίως τῇ αἰτιατικῇ τοῦ ἀρσενικοῦ, τὸν γάρ ἐστιν ἡ αἰτιατικὴ τοῦ ἀρσενικοῦ, ἐπειδὴ οὐκ ἦν τι τὸ ὀφεῖλον τὴν αἰτιατικὴν τοῦ ἀρσενικοῦ καὶ τὴν εὐθεῖαν τοῦ οὐδετέρου διαστεῖλαι, χωρὶς τοῦ ν λέγεται τὸ οὐδέτερον, ἵνα διὰ τῆς ἀποβολῆς τοῦ ν̄ γνῶμεν, ποίου γένους ἐστὶ καὶ ποίας πτώσεως· ἡ αὐτό οὐδετέρα ἀντωνυμία ἀπὸ τῆς αὐτός ἀρσενικῆς γενομένη κατὰ παρασχηματισμὸν καὶ ὀφείλουσα μετὰ τοῦ ν λέγεσθαι, ἵνα ὁμοφωνήσῃ τῇ αἰτιατικῇ τοῦ ἀρσενικοῦ, αὐτὸν γάρ ἐστιν ἡ αἰτιατικὴ τοῦ ἀρσενικοῦ, καὶ ἐπιδεχομένη ἄρθρον τὸ ὀφεῖλον τὴν διάκρισιν ποιήσασθαι τῆς αἰτιατικῆς τοῦ ἀρσενικοῦ καὶ τῆς εὐθείας τοῦ οὐδετέρου — ἡ γὰρ αὐτός ἄρθρον ἐπιδέχεται — ὁμοίως ἀποβολὴν ἐποιήσατο τοῦ ν̄ κατὰ τὸ οὐδέτερον κατὰ συνεκδρομὴν τοῦ ἐκεῖνο καὶ τοῦτο· ἄλλως τε δὲ οἱ Ἀττικοὶ τὸ ὀφειλόμενον ἀνεπλήρωσαν ταυτὸν μετὰ τοῦ ν̄ λέγοντες καὶ κρᾶσιν ποιούμενοι τοῦ ἄρθρου μετὰ τῆς ἀντωνυμίας. Ἰστέον δὲ ὅτι οὐκ ἀεὶ μετὰ τοῦ ν̄ οἱ Ἀττικοί φασι ταὐτόν, ἀλλ' ἔστιν ὅτε καὶ χωρὶς τοῦ ν̄ ταὐτὸ λέγουσι· τὸ δὲ μετὰ τοῦ ν μᾶλλον ἀνάλογον· τὸ δὲ ἐντελῶς λεγόμενον ἤγουν ἄνευ κράσεως οὐδέποτε μετὰ τοῦ ν̄ λέγουσιν, ἀλλ' ἀεὶ χωρὶς τοῦ ν̄ οἷον τὸ αὐτὸ κατὰ συνεκδρομὴν ὡς εἴρηται, τοῦ ἐκεῖνο καὶ τοῦτο De ἄλλος cf. praeterea Ep. Hom. 70, 20 τὸ οὐδέτερον ὤφειλεν εἶναι ἄλλον μετὰ τοῦ ν̄· ἀλλὰ ὃ ὤφειλεν ἔχειν ἐν τῇ ἁπλότητι, ἀνέλαβεν ἐν τῇ συνθέσει οἷον ἔξαλλον πρόσαλλον.

ad fr. [76ᵃ]. cf. H. Pr. Π 324: τριχῶς ἐλέγετο κατὰ τὸ τέλος αὖθις αὖθι

γὰρ ἦν πλεοναcμόc, ἐκτεταμένον ἐχρῆν τὸ ᾱ· νῦν δὲ cυcτέλλεται. πλάνη ἄρα κλίcεωc. οὕτωc Ἡρωδιανὸc περὶ παθῶν.

*77.

Ep. Hom. 421, 31: ἡ ὑπό ἐξαίρετόν τι πέπονθεν, ὅτι ἅμα τῷ πλεονάcαι τὸ ῑ ἡ τροπὴ γέγονε τοῦ ο̄ εἰc ᾱ, ὑπό ὑπαί· πολλάκιc δὲ πλεονάζει ἡ τροπὴ τοῦ ο̄ εἰc τὸ ᾱ μεcοπόλιοc μεcαιπόλιοc, Κλυτομνήcτρα Κλυταιμνήcτρα «ἐλαιθερὲc ὕδωρ»· οἱ δὲ Αἰολεῖc τὴν ὑπέρ ἰπέρ λέγουcι, καὶ τὴν ὑπό ὑπά· ἢ γὰρ τὴν ἀρχὴν τρέπουcιν οἱ Αἰολεῖc καὶ τὸ τέλοc φυλάccουcιν ἢ τὸ τέλοc τρέπουcι φυλάττοντεc τὴν ἀρχήν, ψιλοῦcι δὲ τὸ ῑ.

κὸc i. e. Ἡρωδιανόc) παρὰ Ῥηγίνοιc· πάλι πάλιν, πέρυcι πέρυcιν, ὃ καὶ πέρυτιc λέγεται Δωρικῶc· αἶιν, ὅπερ ἀπὸ τοῦ αἰεί γέγονεν· νυνίν, οὑτωcίν.

[76^b]

Il. Pr. C 547: τέλcον ἐγένετο παρὰ τὸ τέλοc ἐν ὑπερθέcει τοῦ c̄ καὶ προcόδῳ τοῦ ν̄.

[76^c]

Ep. Cr. I 150, 11, E. M. 314, 37: ἐγών Δωριέων διάλεκτόc ἐcτι· προcλαμβάνει τὸ ν· ἢ καὶ ὁ ποιητὴc ἐκκλίνων τὴν χαcμῳδίαν τῶν φωνηέντων εἶπε τὸ ἐγών μετὰ τοῦ ν̄ ὡc τὸ «καὶ ἐγὼν ἐπίκουροc ἐών» (Γ 188).

[76^d]

Choer. 592, 21: τὸ οἶcθα «οἶcθα καὶ ἄλλον μῦθον ἀμείνονα τοῦδε νοῆcαι» (H 358) εὕρηται καὶ μετὰ τοῦ c οἶcθαc ὡc παρὰ Κρατίνῳ ἐν Μαλθακοῖc.

---

ad fr. *77. E. M. 783, 1 similia habet, sed differt in fine: ὑπό ὑπαί· διὸ καὶ ἐτόλμηcάν τινεc φάναι, μὴ ἄρα Αἰολικὸc τῆc ὑπαί πλεοναcμόc (sc. ab Aeolica specie ὑπά)· οὓc ἐλέγχει τὸ πνεῦμα, quae verba non Herodiani videntur, quem ubique Aeoles spiritum asperum in lenem mutare putasse non constat. De re cf. Il. Pr. B 824: ὑπαί πόδα: οὕτωc ὑπαί ὡc καταί καὶ παραί· αἱ γὰρ προθέcειc ἐπαυξανόμεναι διὰ τοῦ ῑ φυλάccουcι τὸν τόνον. Γ 217, O 4. Schol. ad Dionys. 928, 15.

αὖθιν· τὸ δὲ τοιοῦτον ἑωρᾶτο καὶ ἐπὶ τοῦ πέρυcι βαρυνομένου. Mon. 46, 1 πάλιν, πέρυcιν, τὸ ἀεί παρ' Ἀττικοῖc αἰέν παρὰ Δωριεῦcιν, αἶιν παρ' Αἰολεῦcι· λέγεται ταῦτα καὶ ἄνευ τοῦ ν̄. Io. Alex. 34, 1 αἰέν, ὃ χωρὶc τοῦ ν̄ καὶ μετὰ τοῦ ν̄ λέγεται.

ad fr. [76^b]. Pugnat cum hoc loco N 707, ubi τέλcον ex τέλοc per pleonasmum literae c̄ et metabolen sc. literae c̄ in ν repetitur. Quare Lehrsius ad h. l. dubitat an haec posterior explicatio Herodiani sit.

ad fr. [76^c]. Omisi verba καὶ τὴν cύ ἀντωνυμίαν λέγουcι μετὰ τοῦ ν̄, ὅπερ προcθέcει τοῦ η γίνεται τύνη, quum Apollonius de pron. 64 τύν dici neget aeque atque ipse Herodianus in E. M. 314, 41.

ad fr. [76^d]. Totus locus, unde haec verba desumpsi, a Choerobosco ex Herodiani Epimerismis petitus est.

*78.

Ep. Hom. 421, 11: ὑπείρεχεν (Γ 210): ἔςτι τὸ ῥῆμα ἔχω καὶ ὁ παρατατικὸς ἔχον ποιητικὸς καὶ μετὰ τῆς ὑπέρ προθέςεως ὑπέρεχον καὶ πλεοναςμῷ τοῦ ῑ ὑπείρεχον· ὤφειλε δὲ ἐν τῷ τέλει εἶναι ὁ πλεοναςμός, ἵν᾽ ᾖ ὑπερίεχον, ἐπειδὴ αἱ προθέςεις ἐν τῷ τέλει πλεονάζουςι τὸ ῑ ὡς ἐν τῷ ἐν ἐνί, πρός προςί· οὕτως καὶ ὑπερίεχον ὤφειλεν εἶναι, ἀλλ᾽ ἐπειδὴ παρέπεται ταῖς προθέςεςι τὸ μέχρι τῆς διςυλλαβίας αὔξεςθαι, τούτου χάριν οὐ πλεονάζει τὸ ῑ, ἵνα μὴ εὑρεθῇ τριςύλλαβος ἡ πρόθεςις.

*79.

Ep. Hom. 66, 10: ἀμφὶ ἓ γινώςκων (Ο 241): ἀντωνυμία νῦν ἀρςενικὴ ὀρθοτονουμένη μεταλαμβανομένη εἰς ςύνθετον· Ἀπολλόδωρος δὲ ψιλοῖ τὸ ε. ἀλλ᾽ οὐδέποτε πλεονάζει πρόθεςις τὸ ε̄· εἰ γὰρ γένηται πλεοναςμός, τριςύλλαβος ἀποτελεῖται πρόθεςις, ὅπερ ἐςτὶν ἀνέφικτον, ὡς δῆλον ἐκ τούτου· ἡ ὑπέρ, ἂν προςλάβοι ἔξωθεν τὸ ῑ, τριςύλλαβος εἴη· διὰ τοῦτο ἔνδοθεν αὐτὸ πλεονάζει «ὑπεὶρ ἅλα» (Ψ 227), ἵνα δὴ οὕτω μείνῃ διςύλλαβος.

*80.

E. M. 758, 9: τί ἤ καὶ ὅτι ἤ οὐκ ἔςτι πλεοναςμός, ἀλλὰ δύο μέρη λόγου εἰςί, τὸ τί πυςματικόν, ὁ ἤ ςύνδεςμος παραπληρωματικὸς κατὰ παρολκὴν ςυνειλημμένος ἴςος τῷ δή. «τί ἤ δὲ ςὺ κήδεαι οὕτως» (Z 55).

81.

esse e. g. ad ναός. Herodianus dicere vult: si nominativus Κέρκυρ reperiretur, tum Κέρκυρος genetivus ab hoc declinaretur, sed quum nominativus Κέρκυρ non magis exstet quam Κέρκυρος, genetivus Κέρκυρος per metaplasmum ortus esse existimandus est. — Tum inserui τοῦτο δέ φασι — usque ad κατὰ ἀποκοπήν et post ἀλλ' οὐκ εἴρηται — ἡ Κέρκυρος εὐθεῖα, post ἀποκοπῆς adieci τὸ Κέρκυρ et post ἐστὶ μᾶλλον verba ἡ Κέρκυρος γενική et denique Ἴλλυρας ante τοὺς Ἰλλυριούς et Κέρκυρας ante Κερκυραίους apposui. — Hoc Herodiani praeceptum contra eos pronunciatum est, qui, ut ex Choer. Dictat. 86, 9 apparet, quaedam vocabula in υρ per apocopen ex longiore usitatioris formae specie repetiverunt velut μάρτυρ ex μάρτυρος (Apollon. de pron. 113, Lob. El. II 290). Herodianus ubi species in υρ in usu fuit, hunc exitum pro primitivo habuit et μάρτυρ ex primitivo μάρτυς Aeolico more nasci iussit ap. Eust. 114, 18 (Lob. Parall. 217); ubi vero nominativus singularis omnino non reperiebatur, ut Κέρκυρ Ἴλλυρ, huiuscemodi nominativos ne supposuit quidem atque Κέρκυρ non magis ex altero nominativo Κέρκυρος propagavit quam Κέρκυρος genetivum et Ἴλλυρας ex nominativo inusitato Κέρκυρ Ἴλλυρ procrescere voluit, sed metaplasmum in ipso demum casu factum statuit. De Ἴλλυρας cf. praeterea Steph. B. 137, 5 Ἀσσυρία — οἱ οἰκήτορες Ἀσσύριοι — καὶ Ἄσσυρες παρὰ Ἐρατοσθένει, ἴσως ὡς ἀπὸ τοῦ Ἰλλυριοὶ Ἴλλυρες. Confirmatur meum de hoc loco iudicium comparatione adnotationis Herodianeae de Δωδῶνος ap. St. B. s. Δωδώνη, quam statim proponam.

ad fr. 121. Meinekius hoc Herodianum libro XV τῆς καθόλου tradidisse adnotat collato Arcadio p. 129, 20. Equidem huiuscemodi praeceptum et in Catholica (p. 336, 29) et in libro περὶ παθῶν locum habuisse opinor, nam idem pluribus locis docere est moris Herodianei. De apocope autem formae Δωδών ex Δωδώνη, quam innuit St. B. statim post verba relata: τὸ ἐθνικὸν ταύτης ἄρρητον ὡς πεπονθυίας quid iudicaverit, ex priore fragmento de Κέρκυρ suspicari licet.

ad fr. *122. Sic Herodianum de χρυσοέθειρ indicasse testimonia duorum Herodiani excerptorum extra dubium ponunt, licet Lobeckius in El. II 290 huic passioni obloquatur. — Quid Herodianus de μάκαρ existimaverit, diserte nobis non traditum est, sed recte suspicari videtur Lob. El. II 312 eum idem de hoc sensisse atque Apollonium de adverb. 567, 17: ἀπὸ τοῦ ῥᾴδιον κατὰ ἀποκοπὴν

123.

E. M. 210, 43: βρᾴ: ἀπὸ τοῦ ῥᾴδιον γίνεται κατὰ πλεοναςμὸν τοῦ β̄ Αἰολικῶς βρᾴδιον καὶ κατὰ ςυγκοπὴν βρᾴ. οὕτως Ἡρωδιανός καὶ Χοιροβοςκός.

124.

E. M. 785, 26: ὕφα: ὑφαίνω ὕφαςμα ἢ ὑφάζω ὕφαςμα ὑφαςία ὕφα. Ἡρωδιανὸς περὶ παθῶν.

125.

Schol. A ad Il. Λ 307: τρόφι κῦμα: τὸ τρόφι ἀποκοπὴ τοῦ τρόφιμον ὁ Ἡρωδιανός φηςιν, ὅτι ἔςτη τῇ πήξει τῇ αὐξήςει· «κύματά τε τροφόεντα» (Od. γ 290) εὐτραφῆ καὶ τροφαλίς τὸ πεπηγὸς γάλα.

[125a]

Mon. 16, 12: τὸ παρὰ Ἑρμηςιάνακτι ἐν Λεοντίου α΄ «μόνη δέ οἱ ἐφλέγετο γλήν» οὐκ ἐντελές, ἀποκεκομμένον δὲ ἐκ τοῦ γλήνη.

ῥᾴ ἐγένετο καθὸ καὶ τὸ βριθέως βρί· ὅτι γὰρ καὶ δύο ςυλλαβῶν ἀποκοπαὶ γίνονται, ἐν τῷ περὶ παθῶν ἐδείχθη· τὸ γὰρ πρόπαρ οὕτως ἔχει καὶ τὸ μάκαρ, πηδά, ὑμέν παρὰ Καλλιμάχῳ. Nam in E. M, 700, 25, qui locus collato E. M. 210, 43 ab Herodiano videtur esse, pro exemplis duarum syllabarum abscisionis proponuntur μακάριος μάκαρ, προπάροιθεν πρόπαρ.

ad fr. 123. Lobeckius in El. II 312 hic pro ῥᾴδιον scribi deberi ῥᾳδίως indicat, quia ῥᾴ in Alcmanis loco adverbium sit, apocope autem merismum non mutet, atque sic Apollon. de adv. 567, 13 βρί ex βριθέως repetit. Sed ex Io. Al. 28, 25 seqq. intellegi potest, quam late usum adiectivi neutrius pro adverbio patuisse Herodianus existimaverit, quare mutationem Lobeckii non necessariam habeo, praesertim quum in loco gemino E. M. 700, 25, unde noster in brevius contractus videtur, eadem scriptura obtineat: ῥᾴ ςημαίνει τὸ εὐχερές. τινὲς δὲ ἀπὸ τοῦ ῥέα ςχηματίζουςιν αὐτό, οἷς καὶ ὁ τόνος καὶ ἡ παράδοςις ἀντίκεινται καὶ ἡ τῶν Αἰολέων διάλεκτος. ὁ τόνος μὲν ὅτι, εἰ ἦν ἀπὸ τοῦ ῥέα, ὤφειλεν περιςπᾶςθαι· ἡ παράδοςις δέ, ὅτι οὐκ ὤφειλεν ἔχειν τὸ ῑ· ἡ τῶν Αἰολέων δὲ διάλεκτος, ὅτι εἰ ἦν ἀπὸ τοῦ ῥέα, οὐκ ὤφειλον οἱ Αἰολεῖς προςτιθέναι τὸ β̄ καὶ λέγειν βρᾴ. τότε γὰρ προςτιθέαςι τὸ β̄ τῷ ρ̄, ἡνίκα ἐπιφέρεται τὸ κ̄ ἢ τὸ δ̄ ἢ τὸ τ̄ ἢ τὸ ζ̄. ἀλλ' ἔςτιν εἰπεῖν, ὅτι τὸ ῥᾴδιον λέγεται βρᾴδιον Αἰολικῶς ὡς ἐπιφερομένου τοῦ δ̄. ἐκ τούτου γίνεται κατὰ ἀποκοπὴν ῥᾴ καὶ εὐλόγως ἔχει τὸ ῑ. οὐδὲν δὲ ξένον, εἰ δύο ςυλλαβῶν γέγονεν ἀποκοπή· καὶ γὰρ πολλάκις καὶ δύο ςυλλαβῶν γίνεται ἀποκοπὴ οἷον μακάριος μάκαρ, προπάροιθεν πρόπαρ. οὕτως οὖν καὶ ῥᾴδιον ῥᾴ. τὸ δὲ ῥᾴδιον ἔχει τὸ ῑ προςγεγραμμένον, ἐπειδὴ εὑρίςκεται τὸ ῑ κατὰ διάςταςιν ἐν τῷ ῥηΐδιον. cf. Lob. Parall. 119.

ad fr. 124. Hinc hausit Choer. Dict. 368, 34 ὕφα ἀπὸ τοῦ ὕφαςμα κατὰ ἀποκοπήν. cf. Lob. El. II 292 et Parall. 132.

ad fr. 125. cf. Choer. Dictat. 375, 9, E. M. 739, 36, Arcad. 118, 20 τὸ τρόφι ἀπὸ τοῦ τρόφιμον γέγονε. Lob. El. II 292.

---

ad fr. [125a]. Lob. El. II 276, 289. — Quae Herodiani de Μέςη opinio fuerit, ex St. B. non claret. Nam p. 447, 16 Μεςςήνη καὶ χώρα καὶ πόλις. — χώρα δὲ καὶ Μεςςηνία καὶ Μέςςη κατ' ἀποκοπήν, ἢ Μέςη καὶ Μεςήνη ὥς τινες et p. 518, 13 Πέρςα πόλις θηλυκῶς. — δυνατὸν δὲ καὶ Περςηνὴν εἰπεῖν, εἴγε παρὰ τὴν Μέςην Μεςηνοὺς καὶ Μεςηνὴν λέγοντας εὕρομεν. cf. Lob. El. I 353 et II 291. Quosdam Μέςςη per apocopen a Μεςςήνη repetivisse iam Strabo VIII p. 364 adnotat, cuius de hac passione memorabilis observatio Herodiano neque ignota neque in libro περὶ παθῶν neglecta fuisse potest; sed in quibusdam velut in Ἄλκιμος pro Ἀλκιμέδων et Cυρακώ pro Cυράκουςςαι de quo cf. Lob. El. II 305 seqq. grammaticum a geographo discessisse ex fragmentis libri περὶ παθῶν certo concludimus.

126.

E. M. 643, 13: οὖτις: τὸ οὐ ἐπίρρημα, τὸ τίς ἀόριστον, τὸ δὲ Οὖτις ἐπὶ τοῦ Ὀδυςςέως ἀντὶ ὀνόματος κυρίου λαμβάνεται καὶ ἔςτιν ἓν μέρος λόγου καὶ προπερισπᾶται. Τὸ δὲ «ἀλλ' οὔτιν ἐγὼ ἰδέειν δύναμαι» (Il. Ε 475) κατὰ ςυγκοπήν ἐςτιν ἀπὸ τοῦ οὔτινα· ἐπλανήθη

[125[b]]

Dichr. 283, 6: τὸ «ἐξ ὀρέων ἐπὶ κάρ» (Il. Π 392) κατὰ πάθος. ἀπὸ γὰρ τοῦ κάρη κατ' ἀποκοπὴν τοῦ η γέγονεν.

[125[c]]

Herod. in Cathol. ap. Choer. Dictat. 515, 19, Theogn. 120, 26: τὸ κάρη ἀπὸ τοῦ κάρηνον ἀποκέκοπται.

[125[d]]

Dichr. 289, 16: τὸ κάρα τὸ ἐκτεινόμενον ἐξ ἀποκοπῆς τοῦ κάρανον.

[125[e]]

Arcad. 124, 17: τὸ δῶ ἀπὸ τοῦ δῶμα καὶ τὸ φᾶρ τὸ ἱμάτιον ἀπὸ τοῦ φᾶρος καὶ κρῖ.

[125[f]]

Theogn. 116, 4: τὸ αὖξη οἱ μὲν βαρυτονοῦςι λέγοντες ἀποκεκόφθαι, Ἡρωδιανὸς δὲ ςυνηγορεῖ τοῖς ὀξυτονοῦςι.

[125[g]]

Mon. 10, 17: οὐδὲν περιςπώμενον ἀποκέκοπται κατὰ γενικὴν πτῶςιν, ἐξεκόπη παρ' Ἀριςτίᾳ ἐν Ἀνταίῳ, ἔνθα φηςίν «Αἰγαίου Ποςειδῶ παῖς, πατὴρ δ' ἐμός».

[126[a]]

Io. Alex. 11, 31: τὸ διχόμηνι μεταπέπλαςται ἐκ τοῦ διχομήνῳ. δύναται δὲ καὶ ἀπὸ τοῦ διχόμηνις «πρὸς γάρ οἱ διχόμηνις ἀπ' αἰθέρος αἰγάζουςα» Ἀπολλώνιος (Α 1231) καὶ δοτικῆς διχομήνιδι ἀποκεκόφθαι

ad fr. 126. Idem habet Eustath. ad Od. ι 366 auctore suppresso et Schol. ad h. l.

ad fr. [125[d]]. cf. Choer. Dict. 366, 17.
ad fr. [125[e]]. Choer. 375, 4: τὸ ἄλφι ἀπὸ τοῦ ἄλφιτον γέγονε κατὰ ἀποκοπὴν καὶ τὸ ἔρι ἀπὸ τοῦ ἔριον γέγονε κατὰ ἀποκοπὴν καὶ τὸ κρῖ «κρῖ λευκὸν ἐρεπτόμενοι καὶ ὀλύρας» (Ε 196) ἀπὸ τοῦ κρίμνον γέγονεν ὁμοίως κατὰ ἀποκοπὴν καὶ τὸ τρόφι «πολλῶν δὲ τρόφι κῦμα κυλίνδεται» (Λ 307) ἀπὸ τοῦ τρόφιμον. — De κρῖ cf. Lob. El. II 286 seqq. Dignus, qui conferatur de nominum generis neutrius apocope, est locus ex Herodiani libro περὶ κλίσεως ὀνομάτων, cuius insigne fragmentum servatum est in An. Ox. V 337, 33 τὸ δῶ καὶ κάρη ἐξ ἀποκοπῆς ἐςτι «ποτὶ χαλκοβατὲς δῶ» (Α 426) καὶ «πολιόν τε κάρη» (Χ 74) ἀντὶ τοῦ κάρηνον· διὸ καὶ ἐπὶ πληθυντικῶν εὑρίςκεται «ναίει χρύςεα δῶ» ἀντὶ τοῦ δώματα (Hesiod. Theog. 933), «κάρη κομόωντες Ἀχαιοί» ἀντὶ τοῦ κάρηνα. τὸ δὲ θηλυκῶς εἰρημένον ὀξύνεται et 388, 8 τὸ τρόφι κατ' ἀποκοπήν, τὸ κρῖ καὶ ἄλφι ἐκ πάθους.
ad fr. [125[f]]. cf. Lob. El. II 293.
ad fr. [126[a]]. cf. Lob. Parall. 90 et El. II 303. Ut Herodianus διχόμηνι et δαΐ iniudicata reliquit, sic etiam de aliis dativis dubius fuisse videtur. Primum

δὲ ἐξ Ὁμήρου οἷον «Οὖτιν δέ με κικλήσκουσιν» (Od. ι 366), ἐπεὶ οὕτω κέκληται. παρέλαβε δὲ αὐτὸ ὡς κύριον Οὖτιν ὡς Πάριν· ὁ δέ γε ψιλῆ τὸ οὔτινα οὔτιν. εἴγε οὖν δύο μέρη λόγου ἦν, οὔτινα ἐγίνετο. περὶ παθῶν.

«οὐδέ τις ἀδρανέων φέρεται διχόμηνι σελήνῃ» (Arat. Phaen. 470) καὶ ἀναδρομὴν ποιήσασθαι τοῦ τόνου.

[126ᵇ]

Il. Pr. Ξ 387: ἡ δαΐ εἴτε ἀποκέκοπται εἴτε συγκέκοπται, ὀξυτονηθήσεται.

[126ᶜ]

Il. Pr. Δ 27: ἱδρῶ θ', ὃν ἵδρωσα: αἰτιατική ἐστι κατ' ἔκθλιψιν· δύναται μέντοι καὶ ἱδρῶ τε εἶναι τὸ πλῆρες, ἐπειδὴ σύνηθες αὐτῷ οὕτως τὴν αἰτιατικὴν προφέρεσθαι.

[126ᵈ]

Il. Pr. Ο 339: Μηκιστῆ: ὁμοίως τῷ «ἔνθ' αὖτ' ἀγγελίην ἔπι Τυδῆ στεῖλαν Ἀχαιοί» (Il. Δ 384). καὶ ἤτοι ἀπεκόπη ἡ Μηκιστῆα αἰτιατική, ἢ Δωρικῶς κέκλιται, ὅπερ μοι δοκεῖ καὶ ἄμεινον.

[126ᵉ]

Io. Alex. 12, 19: αἱ εἰς ω̄ αἰτιατικαὶ ἀπὸ εὐθειῶν εἰς ᾱ πᾶσαι πεπόνθασι· ἡ μὲν γὰρ Ἀπόλλω καὶ Ποσειδῶ καὶ κυκεῶ καὶ αἱ παραπλήσιαι ἀποκοπεῖσαι οὐκ ἤμειψαν τῶν ὁλοκλήρων τὸν τόνον.

[126ᶠ]

Io. Alex. 12, 16: οὐδεμία εἰς ᾱ λήγουσα αἰτιατικὴ ὀξύνεται· ἔνθεν ἡ νιφάδα ἀποκοπεῖσα ἀνεβιβάσθη «ἀλευόμενοι νίφα λευκήν» (Hes. Op. 533).

---

in censum venit dativus ἥρῳ, de quo E. M. 437, 54 ἥρῳ Δημοδόκῳ (Od. θ 483) δοτική ἐστιν ἀντὶ τοῦ ἥρωϊ· κλίσις καὶ οὐκ ἀποκοπή. In hoc adnotamento dictio Herodiani memoriam excitat, sed si conferas praeceptum de ἔρῳ in E. M. 379, 52, quod et ipsum vestigia Herodianea prodit: ἔρω εἰ μὲν χωρὶς τοῦ ῑ, ἀποκοπή ἐστιν ἀπὸ τῆς ἔρωτος γενικῆς καὶ ἔρωτι δοτικῆς· εἰ δὲ μετὰ τοῦ ῑ ὁ ἔρος τοῦ ἔρου τῷ ἔρῳ — suspiceris primitus scriptum esse: ἥρῳ — εἰ μὲν μετὰ τοῦ ῑ, κλίσις καὶ οὐκ ἀποκοπή, εἰ δὲ χωρὶς τοῦ ῑ, ἀποκοπή. Ex eodem fonte fluxit E. Gud. 191, 32, E. M. 313, 51 ἐν χρῷ: προσγραφομένου τοῦ ῑ ἡ κλίσις τοῦ χρωτός Ἀττικῶς. ὁ χρώς γὰρ τοῦ χρῶ τῷ χρῷ τὸν χρώ ὥσπερ Ἀττικῶς ὁ γέλως τοῦ γέλω· μὴ προσγραφομένου δὲ εὔδηλον ὡς ἀποκοπῆς γενομένης τῆς τελευταίας συλλαβῆς ἐν χρῷ εἴρηται, χρωτί γὰρ ἀπεκόπη. Similiter etiam de dativo ἱδρῷ vel ἱδρῶ, de quo differunt Choer. 255, 15 apocopen statuens et E. M. 466, 46 ῑ subscribens, Herodianum fluctuasse verisimile est cf. Lob. El. II 299.

ad fr. [126ᶜ]. De accusativo ἱδρῶ Choer. Dict. 102, 14 τὸ «ἱδρῶ ἀπεψύχοντο» (Χ 2) ἀπὸ τοῦ ἱδρῶτα γέγονε κατὰ ἀποκοπὴν τῆς τα̅ συλλαβῆς; Herodianus autem, ut ex eius de dativis sententia coniectari licet, haesitasse inter elisin et apocopen videtur.

ad fr. [126ᵉ]. Il. Pr. Λ 641 τὸ κυκειῶ περισπαστέον· τοῦ γὰρ κυκεῶνα ἐστιν ἀποκοπὴ καὶ ἐπλεόνασε τὸ ῑ. Choer. 102, 7.

ad fr. [126ᶠ]. Choer. 118, 9, Lob. El. II 316.

*127.

Schol. A ad Il. Α 572: ἐπιῆρα: ἔςτι παρὰ τὸ ἐρῶ ἔρανον ὡς ἔχω ὄχανον καὶ κόπτω κόπανον καὶ τροπῇ τοῦ ε̄ εἰς η̄ ἤρανον· ἡ εὐθεῖα τοῦ πληθυντικοῦ ἤρανα, εἶτα ςυγκοπῇ ἢ ἀποκοπῇ ἦρα.

[126g]

Choer. 95, 24: ἀποροῦςί τινες λέγοντες, διὰ ποίαν αἰτίαν τὴν Θόαν καὶ τὴν Αἴαν αἰτιατικὴν μὴ λέγομεν ἀπὸ τῶν Θόαντα καὶ Αἴαντα αἰτιατικῶν γεγενῆςθαι κατὰ ἀποκοπὴν τῆς τα ςυλλαβῆς καὶ μὴ ἀπὸ ἰςοςυλλάβου κλίςεως; καὶ ἔςτιν εἰπεῖν, ὅτι οὐδέποτε γενικὴ διὰ τοῦ ντ κλινομένη πάςχει ἀποκοπὴν κατὰ τὴν αἰτιατικὴν οἷον Ξενοφῶν Ξενοφῶντος Ξενοφῶντα, Κτηςιφῶν Κτηςιφῶντος Κτηςιφῶντα. ἀμέλει τὸ Ποςειδῶν Ποςειδῶνος μὴ κλινόμενον διὰ τοῦ ντ πάςχει ἀποκοπὴν κατὰ τὴν αἰτιατικὴν οἷον τὸν Ποςειδῶνα τὸν Ποςειδῶ «νὴ τὸν Ποςειδῶ τοῦτον ἵππιον» (Arist. Nub. 83)· ὥςτε οὖν ἀπὸ ἰςοςυλλάβου κλίςεως ταῦτα.

[126h]

Choer. 422, 2: πᾶςα αἰτιατικὴ ἑνικῶν μονοςύλλαβος ἀρςενικὴ ἢ θηλυκὴ αὐτὴ καθ' ἑαυτὴν οὖςα εἰς ν̄ λήγει· τὸ δὲ νὴ Δί οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐχ εὑρίςκεται αὐτὴ καθ' ἑαυτήν, ἀλλ' ἐν ςυντάξει.

[126i]

Il. Pr. Ο 128: τὸ ἠλέ ὡς καλέ ἐπιθετικῶς. εἴτε δὲ ἀπεκόπη εἴτε ςυνεκόπη ἐκ τοῦ ἠλεέ, ἔρρωται τὰ τοῦ τόνου.

[126k]

Il. Pr. Ρ 201: ἆ δείλ': τὸ πλῆρές ἐςτιν ἆ δειλέ· οὐ γάρ, ὡς οἱ ἐξηγηςάμενοι, τοῦ δείλαιε ἀποκοπή· ἐν ἑτέροις γὰρ αὐτὸς λέγει «ἆ δειλώ, τί νυ δάκρυ κατείβετον» (Od. φ 86).

[127a]

Dichr. 282, 4: τὰ δίχρονα τὰ ἐκ ςυναλοιφῆς ἐκτείνεςθαι θέλει κρέαα κρέα, κέραα κέρα· εἰ μέντοι ἀποκοπήν τινα δέξεται τῆς τα ςυλλαβῆς τοῦ κέρατα κέρα καὶ κρέατα κρέα, ςυνεςταλμένον ἐςτὶ τὸ δίχρονον.

ad fr. *127. Haec verba excipiunt: ἐν δέ τῇ καθόλου οὕτως· ἔςτιν ἦρ ἡ ἐπικουρία καὶ ὀξύνεται ἡ γενικὴ ἠρός καὶ ἡ αἰτιατικὴ ἦρα καὶ ἐν ςυνθέςει ἐπιῆρα. Hinc efficitur in prioribus Herodiani sententiam in alio opere propositam referri, atque suspicari licet librum περὶ παθῶν intellegendum esse. Idem fere habent Zonar. 810 Catholicae mentione facta, E. M. 359, 40 fonte non indicato, Eustath. 152, 30 posteriorem tantum opinionem ut Herodiani profert, priorem commemorans, sed auctore tacito. Ceterum cum Lob. El. I 376 pro ἔρω scripsi ἐρῶ.

ad fr. [126g]. cf. Lob. El. II 305.
ad fr. [126h] cf. Choer. 183, 5, Lob. El. II 272.
ad fr. [127a]. cf. Il. Pr. Λ 385, Χ 347 et Δ 109, ubi quod nunc exstat, falsum esse persuadet Lehrsius. Ex Herodiano hausit Choer. Dict. 389, 10 τὸ κρέα ἀπὸ τοῦ κρέαα γέγονε κατὰ κρᾶςιν τῶν δύο αα εἰς ἓν μακρόν ὥςπερ Ναυςικάα Ναυςικᾶ, τὸ γὰρ «κρέα λυγκὸς ἔταμνε» (Callim. Dian. 88) ἀπὸ τοῦ κρέατα γέγονε κατὰ ςυγκοπὴν τῆς τα ςυλλαβῆς, ςυνεςταλμένον γὰρ ἔχει τὸ ᾰ. cf. Lob. El. I 231.

*128.

Ep. Cr. I 102, 7: γύναι: κατὰ ἀποκοπὴν τοῦ ξ· τὸ δὲ παρὰ Μενάνδρῳ (Mein. ed. min. p. 1033) «ὦ Ζεῦ πολυτίμηθ' ὡς καλαὶ νῷν αἱ γυναί» εἰ μὲν περισπάσεις, ἀποκοπὴ ἐκ τοῦ γυναῖκες, εἰ δὲ ὀξύνεις, ἐκ τῆς γυνή εὐθείας. ἐπεὶ δ' ἔχομεν παρὰ Φερεκράτει τὴν γυνήν αἰτιατικὴν «ὡς ἄτοπ' μητέρ' εἶναι καὶ γυνήν» καὶ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν τὰς γυνάς «ἀλλ' ὁρῶ τὰς γυνάς», δῆλον ὅτι αἱ γυναί οὐκ ἀποκέκοπται. ἔστι δὲ καὶ ὦ γυνή παρ' Ἀλκαίῳ. ἡ δὲ γύναιξ εὐθεῖα ὁμολογεῖται ἐκ τῆς γενικῆς καὶ τῆς τῶν πληθυντικῶν δοτικῆς. σεσίγηται δὲ ὡς μονήρης. οὐδὲν γὰρ εἰς αιξ ὑπὲρ μίαν συλλαβήν.

129.

E. Gud. 308, 26: Καύκων θ' ἐς ἕλικας βόας ἀποκοπῇ ἢ συγκοπῇ. Καύκωνες «Καυκώνων πτολίεθρον» (Callim. hymn. in Iov. 39) καὶ κατὰ συγκοπὴν ἢ ἀποκοπὴν Καύκων. Ἡρωδιανὸς περὶ παθῶν.

130.

E. M. 609, 39, Favorin. Ecl. 299, 23: νώ: ἅπαξ ἐχρήσατο ταύτῃ τῇ λέξει ἐν τῇ Ὀδυσσείᾳ «νὼ ἀναβησάμενοι» (Od. ο 475) καὶ ἐν Ἰλιάδος Ε «πρίν γ' ἐπὶ νὼ τῷδ' ἀνδρί» (219). ἰστέον δὲ ὅτι τὸ νώ καὶ τὸ σφώ σὺν τῷ ῑ τινὲς γράφουσι, λέγοντες ἀπὸ τοῦ νῶϊ καὶ σφῶϊ γενέσθαι κατὰ συναίρεσιν τοῦ ω καὶ τοῦ ῑ εἰς τὴν ῳ δίφθογγον. ἀλλ' ἡ παράδοσις οὐκ οἶδε τὸ ῑ ἐγκείμενον. ἕτεροι κατὰ ἀποκοπὴν λέγουσι χωρὶς τοῦ ῑ, ἀλλὰ λέγει ὁ τεχνικὸς ὅτι, εἰ ἀπὸ τοῦ νῶϊ καὶ σφῶϊ ἀπεκόπη, ὤφειλε περισπᾶσθαι. ἄλλοι δὲ λέγουσι, τὸ νώ καὶ σφώ οὐκ ἐγένετο ἀπὸ τοῦ νῶϊ καὶ σφῶϊ, ἀλλὰ ταῦτα ἑτέρων θέματά ἐστι καὶ ἐκείνων ἕτερα θέματα. λέγει δὲ ὁ τεχνικός, ὅτι ἀπὸ τοῦ νῶϊ καὶ σφῶϊ γέγονε κατὰ ἀποκοπὴν τοῦ ῑ καὶ ὀξύνεται ἀναλόγως· καὶ γὰρ τὸ ἐν δυϊ-

---

[127ᵇ]

Choer. Dictat. 377, 11: τὰ γόνυα καὶ δόρυα γίνεται καθ' ὑπερβιβασμὸν τοῦ ῡ γοῦνα καὶ δοῦρα. δύναται δὲ καὶ ἀπὸ τοῦ γούνατα καὶ δούρατα γενέσθαι κατὰ ἀποκοπὴν τῆς τα συλλαβῆς γοῦνα καὶ δοῦρα.

ad fr. *128. Verba καὶ τὴν αἰτιατικὴν τῶν πληθυντικῶν τὰς γυνάς «ἀλλ' ὁρῶ τὰς γυνάς ex Choer. Dict. 328, 30, qui ex eodem fonte hausit, adieci: Μενάνδρῳ pro Μιμνέρμῳ emendavit Mein. cf. Lob. El. II 306.

ad fr. 129. Emendavit locum corruptum Lob. in El. I 377.

ad fr. 130. Verba ex loco Odysseae adieci ex Il. Pr. Ε 219, ubi idem initium est; ante ὅτι τὸ νώ inserui ἰστέον δέ, deinde pro ἔτι γὰρ exhibui ἕτεροι. Technicum Herodianum esse apparet ex simillimis adnotamentis in Il. Pr. Ε 219, Α 574, Β 262 et Io. Alex. 23, 23: αἱ δυϊκαὶ πρώτου καὶ δευτέρου κοιναὶ καὶ ἀπαθεῖς βαρύνονται νῶϊ σφῶϊ καὶ αἰτιατικῇ ταύτας κατὰ ἀποβολὴν τοῦ ῑ μονοσυλλάβως οἱ Ἀθηναῖοι προφέρουσι νώ σφώ, οὐκ ἔτι περισπωμένως, καίτοι τῷ λόγῳ ἀπο-

ad fr. [127ᵇ]. Hoc Choeroboscum ex Herodiano sumpsisse docet eius de genetivis γουνός et δουρός sententia in Mon. p 34, quos quum per syncopen ex δούρατος et γούνατος exstitisse putet, necessario δοῦρα et γοῦνα pro apocopatis habuit. Idem habet E. M. 284, 40.

κοῖς ω̄ ἀποστρέφεται τὴν περισπωμένην τάσιν· διατί δὲ τὸ νῶϊ καὶ σφῶϊ δυϊκαὶ ἀντωνυμίαι ἀποκόπτονται καὶ γίνονται σφώ καὶ νώ; ὅτι οὐδέποτε ἐν τοῖς πτωτικοῖς τὸ ω̄ εὑρίσκεται πρὸ τοῦ ῑ περισπώμενον ἀλλ' ἢ προπαροξυνόμενον ὡς ἐπὶ τοῦ ἥρωϊ ἢ ὀξυνόμενον ὡς ἐπὶ τοῦ Τρωΐ. ἐπεὶ οὖν αὗται προπερισπῶνται, διὰ τοῦτο πάσχουσιν, ἵνα διὰ τῆς ἀποκοπῆς ἐξαμαυρωθῇ ἡ παράλογος τάσις. τοῦτο γὰρ ἔπαθον καὶ ἡ νῶϊν καὶ ἡ σφῶϊν κατὰ συναίρεσιν γινόμεναι νῷν καὶ σφῷν, ἵνα διὰ τῆς συναιρέσεως ἐξαμαυρωθῇ ἡ παράλογος τάσις.

131.

Choer. 367, 4: τὸ γάλα ἀπὸ τοῦ γάλαξ κατ' ἔνδειαν τοῦ ξ̄. ἡ γὰρ κλίσις αὐτοῦ ἀπὸ εὐθείας τῆς εἰς ξ̄ καταληγούσης ἐγένετο, γάλακος γὰρ ἡ γενικὴ καὶ κατὰ πλεονασμὸν τοῦ τ̄ γάλακτος ὡς ἄναξ ἄνακος καὶ ἄνακτος. ἄλλως τε δὲ πᾶσα δοτικὴ πληθυντικῶν εἰς ῑ λήγουσα μετὰ διπλοῦ ἀποβολῇ τοῦ ῑ τὴν εὐθεῖαν τῶν ἑνικῶν ἀποτελεῖ οἷον Φοίνιξι Φοῖνιξ, κήρυξι κῆρυξ, Πέλοψι Πέλοψ, Κύκλωψι Κύκλωψ. εἰ οὖν ἔστιν ἡ δοτικὴ τῶν πληθυντικῶν γάλαξι, δηλονότι ἀποβολῇ τοῦ ῑ γίνεται ἡ εὐθεῖα τῶν ἑνικῶν γάλαξ· ἀλλ' ἐπειδὴ τὸ ξ̄ οὐκ ἔστι τελικὸν τῶν οὐδετέρων, τούτου χάριν ἀπεβλήθη καὶ ἐγίνετο γάλα. ἀμέλει συντιθέμενον τὸ γάλα καὶ γενόμενον εἰς ἀρσενικὸν γένος ἀναδέχεται τὸ κεχρεωστημένον ξ̄ οἷον τὸ ἀρτιγάλαξ ὁ νεογάλαξ.

132.

Choer. 306, 31, Ep. Cr. I 100, 9: Διὰ τοῦτο ἀπέβαλε τὸ γύναιξ τὸ ξ̄ κατὰ τὴν κλητικήν, ἐπειδὴ τὰ εἰς αιξ λήγοντα ἢ ἀρσενικοῦ μόνου γένους εἰσὶν οἷον Θρᾷξ ἢ ἐὰν ὦσι θηλυκοῦ γένους, πάντως καὶ ἀρσενικοῦ εἰσιν οἷον ὁ Γραίξ καὶ ἡ Γραίξ, ὁ αἴξ καὶ ἡ αἴξ. ὅτι γὰρ λέγεται καὶ ὁ αἴξ ἀρσενικῶς, ἐδήλωσεν ὁ ποιητὴς εἰπών (Δ 105)

αὐτίκ' ἐσύλα τόξον ἐΰξοον ἰξάλου αἰγὸς
ἀγρίου, ὅν ῥά ποτ' αὐτὸς ὑπὸ στέρνοιο τυχήσας
πέτρης ἐκβαίνοντα.

ἐπειδὴ οὖν τὸ γύναιξ οὐκ ἠδύνατο ἀρσενικοῦ γένους εἶναι, ἡ γὰρ σημασία κωλύει, τούτου χάριν ἀπέβαλε τὸ ξ̄ κατὰ τὴν κλητικὴν καὶ γέ-

---

κοπῆς ὀφειλούσας περισπᾶσθαι, ὡς τὸ Ποσειδῶ κυκεῶ. ἀλλ' οὐδὲν δυϊκῶν εὐθείας πτώσεως καὶ αἰτιατικῆς περισπᾶται, ὅθεν ὠξύνθησαν μετὰ τὴν ἀποκοπήν. cf. Arcad. 179, 1, Eust. 155, 43. Lob. El. II 276. Quod technicus sibi ipsi contradicere videtur verbis εἰ ἀπὸ τοῦ νῶϊ — ὤφειλε περισπᾶσθαι, ex Herodiani more explicari debet, qui postquam quae contra aliquam sententiam dici possunt, exposuit, profert, quae eam sustentent, hoc loco canonem τὸ ἐν τοῖς δυϊκοῖς ω ἀποστρέφεται τὴν περισπωμένην τάσιν.

ad fr. 131. Hoc ex Herodiano deprompsisse Choeroboscum demonstrat Eustath. 1627, 47: ὅτι τὸ γάλα εἰς ξ̄ δοκεῖ λήγειν, ἐπιστώσατο Ἡρωδιανὸς καὶ ἀπὸ συνθέτου τοῦ ἀρτιγάλαξ καὶ ἀπὸ πληθυντικῆς δοτικῆς. Quae ap. Eust. antecedunt, ab eodem Herodiano petita videntur et a me libro περὶ κλίσεως ὀνομάτων attributa sunt. cf. E. M. 60, 56.

ad fr. 132. Etiam hoc ab Herodiano profectum esse docet Eustath. 113, 34 οὐδὲ ἡ γυναικὸς γενικὴ εὐθεῖαν ἐκφωνουμένην ἔχει τὴν γύναιξ, ἀλλὰ καθ' Ἡρωδιανὸν εἰπεῖν ἑτερόζυγος ἡ γυναικὸς γενικὴ ἐξενήνεκται ὡς πρὸς τὴν εὐθεῖαν. γυνὴ γάρ et idem p. 1922, 8 cf. Lob. El. II 285 cum not. 2.

γονε γύναι, ἵνα μὴ εὑρεθῇ εἰς αιξ λῆγον καὶ θηλυκοῦ μόνου γένους ὄν. διὰ ταύτην γὰρ τὴν αἰτίαν καὶ ἡ γύναιξ εὐθεῖα ἐπιλέλοιπεν. ἐν δὲ τῇ συνθέσει, ἐπειδὴ γίνεται ἀρσενικοῦ γένους, ἀναδέχεται τὴν εἰς αιξ κατάληξιν οἷον

ὡς ὧν ἄπαις τε κἀγύναιξ κἀνέστιος

παρὰ Σοφοκλεῖ ἐν Ἀθάμαντι (fr. 4 Nauck).

*133.

Choer. 360, 20: «Ζεῦ ἄνα, Δωδωναῖε, Πελασγικέ, τηλόθι ναίων» (Π 233) χωρὶς τοῦ ξ ἐστὶ καὶ ἔστιν εἰπεῖν, ὅτι ὁ ποιητὴς διὰ τὸ μέτρον ἀπέβαλε τὸ ξ, ἀμέλει ὅτε ὁ ποιητὴς ἐδεήθη μακρᾶς συλλαβῆς, διὰ τοῦ ξ εἶπεν αὐτὸ κατὰ τὴν κλητικὴν οἷον «Ἀτρείδη κύδιστε ἄναξ ἀνδρῶν Ἀγαμέμνων» (Β 434).

134.

Eustath. 1560, 26: Ἡρωδιανός φησιν, ὅτι τοῦ ἄλειφα καὶ λίπα ἡ κατάληξις οὐκ ἀήθης· ἀλλὰ τὸ μὲν ἄλειφα οὕτως ἐγένετο· ὥσπερ θένω θέναρ, δείρω δέρας, οὕτω καὶ ἐκ τοῦ ἀλείφω ἄλειφαρ ἢ ἄλειφας καὶ ὑποστολῇ τοῦ ρ̄ ἢ τοῦ ς̄ ἄλειφα. τὸ δὲ λίπα ἐξ ἀναλόγου ἀντιπαραθέσεως ἐγίνετο. ὡς γὰρ κῶος κῶας, ὕδος ὕδας, γῆρος γῆρας, οὕτω καὶ λίπος λίπας, ἐξ οὗ λίπα, ἵν' ᾖ γένος μὲν τὸ λίπα, εἶδος δὲ τὸ ἔλαιον.

135.

E. M. 188, 9: βάραγχος· Ἱππῶναξ μάλιστα πλεονασμῷ τοῦ ᾱ· οἱ γὰρ ἄλλοι βράγχος καὶ βραγχᾶν ἀντὶ τοῦ βραγχιᾶν καὶ πολλάκις ἐστὶ παρὰ τοῖς Ἀττικοῖς. Ἡρωδιανός.

*136.

E. M. 52, 8: ἀκράαντον: ἐκ τοῦ κραίνω τὸ τελειῶ ὁ μέλλων κρανῶ ἔκρανα καὶ ὥσπερ ἀπὸ τοῦ χραίνω χραντός καὶ ἄχραντος καὶ φαίνω φαντός καὶ ἄφαντος, οὕτω καὶ παρὰ τὸ κραίνω κραντός καὶ ἄκραντος καὶ πλεονασμῷ τοῦ ᾱ ἀκράαντος ποιητικῶς.

---

ad fr. *133. Cum Lobeck. Rhem. 313 pro κείρω κέρας scripsi δείρω δέρας, quia κέρας potius ad κάρα referendum est. cf. E. M. 60, 50 ἄλειφα· ἀπὸ τοῦ ἀλείφω ἀλεῖφαρ καὶ κατὰ ἀποκοπὴν ἄλειφα κτλ. Lob. El. II 282 et 299. — Ut huic de apocope particulae finem imponam, ea quae de ς̄ mobili Herodianus in diversis scriptis commemoraverat, hic subiiciam: ἀτρέμα ἀτρέμας, ἠρέμα ἠρέμας Io. Alex. 33, 21 et 38, 13; πολλάκις πολλάκι, τουτάκις τουτάκι, θαμάκις θαμάκι Io. Alex. 37, 12; χωρίς et χῶρι Io. Alex. 37, 7 (Choer. 853, 8, Lob. El. II 283), ἐγκυτίς et ἐγκυτί Io. Alex. 38, 21, ἄντικρυς et ἀντικρύ id. 37, 14, ἀμφίς Mon. 45, 27: οὐ γνήσιον ἔχει τὸ τέλος ἢ ἴσως ἐνήλλακται (Lob. El. II 211), οὕτως et οὕτω κατ' ἔλλειψιν τοῦ ς̄ E. M. 643, 30 collato cod. Parisin. 2720 in Anecd. Parisin. Cr. IV 13; denique in E. Gud. 97, 18 in ἄφνω ex ἀφανῶς orto per syncopen ς̄ abiectum putavit.

ad fr. 135. cf. Hes. βαράγχια· τὰ βράγχια τῶν ἰχθύων. Quum βαραγχιᾶν penitus ignotum sit, Lobeckius El. I 404 suspicatur Herodianum verbis aliter collocatis idem dixisse atque Moer. 192, 20 Bekk. βραγχᾶν Ἀττικοί, βραγχιᾶν Ἕλληνες, ita ut scribendum sit: οἱ γὰρ ἄλλοι βράγχος καὶ βραγχᾶν ἀντὶ τοῦ βραγχιᾶν pro οἱ γὰρ ἄλλοι βράγχος. καὶ βαραγχιᾶν ἀντὶ τοῦ βραγχιᾶν. Atque sic exhibui.

ad fr. *136. Hoc Herodianeum esse concludi potest ex fr. περὶ παθῶν infra proponendo ap. Theogn. 91, 24, ubi κρήηνον πλεονασμῷ τοῦ η̄ ex κρῆνον repetitur.

137.

E. M. 722, 28: Cπαρτιάτης: ἀπὸ τοῦ Cπάρτη Cπαρτίτης. καὶ πλεοναςμῷ τοῦ ᾱ Cπαρτιάτης· ὅμοιόν ἐςτι καὶ τὸ Κροτωνιάτης. Ἡρωδιανὸς περὶ παθῶν.

*138.

Steph. B. 480, 1: Νώνακρις: τὸ ἐθνικὸν Νωνακρίτης καὶ κατὰ πλεοναςμὸν τοῦ α Νωνακριάτης, ὁ Ἑρμῆς. Λυκόφρων (v. 680) «Νωνακριάτης τρικέφαλος φαιδρὸς θεός».

*139.

St. B. s. v.: Φᾶςις πόλις τῆς Αἴας ἐν Κόλχοις. τὸ ἐθνικὸν ἔδει Φαςίτης ὡς Ὀαςίτης Μεμφίτης ἢ Φαςιάτης πλεοναςμῷ τοῦ ᾱ ὡς καὶ λέγεται.

*140.

St. B. s. v.: Φᾶρις πόλις τῆς Λακωνικῆς: Φαρῖται καὶ Φαριάτης ὡς Cπαρτιάτης.

*141.

St. B. 485, 8: οἰκιάτης κατὰ πλεοναςμὸν τοῦ ᾱ ἀπὸ τοῦ οἰκίτης.

*142.

Ep. Cr. I 416, 15: Τελαμωνιάδης: οἱ μὲν λέγοντες ἀπὸ τοῦ Τελαμώνιος Τελαμωνιάδης ὡς Ἥλιος Ἡλιάδης, Δεξιάδης Ἀςιάδης κατορθοῦςι μὲν τὴν φωνήν, λύουςι δὲ τὸ πατρωνυμικόν· ἀπὸ γὰρ κυρίων θέλει παράγεςθαι τὰ πατρωνυμικά· τὸ δὲ Τελαμώνιος οὐ κύριον, ἀλλ' ἐπίθετον. ἄμεινον οὖν ἀπὸ τοῦ Τελαμών Τελαμῶνος Τελαμωνίδης καὶ κατὰ πλεοναςμὸν ποιητικὸν τοῦ ᾱ Τελαμωνιάδης.

*143.

Ep. Cr. I 443, 20: Χαλκωδοντιάδης: οἱ μὲν λέγουςιν ἀπὸ εὐθείας Χαλκωδοντίας γενέςθαι, οἱ δὲ ἀπὸ Χαλκωδόντιος κτητικοῦ· ἀλλ' οὐδέποτε τὸ πατρωνυμικὸν ἀπὸ κτητικοῦ γίνεται, ἀλλ' ἀπὸ κυρίων. ἄμεινον οὖν πλεοναςμὸν λαμβάνειν. γέγονεν οὖν ἀπὸ τῆς περιττοςυλλάβου γενικῆς· ὡς γὰρ Ἀγαμεμνονίδης, Τεκτονίδης, οὕτως Χαλκώδοντος Χαλκωδοντίδης καὶ πλεοναςμῷ τοῦ ᾱ Χαλκωδοντιάδης.

---

ad fr. *138—*141. Haec omnia ap. Steph. ex Herodiano fluxisse apparet. ex fr. 137.

ad fr. *142 et *143. His fragmentis addere potui tertium Ep. Cr. I 261, 5 (E. M. 556, 26) Λαομεδοντιάδης: πᾶςα γενικὴ εἰς $\overline{\text{οc}}$ διὰ τοῦ δης ποιεῖ τὸ πατρωνυμικόν. ἔςτι Λαομέδοντος η γενικὴ καὶ τὸ πατρωνυμικὸν Λαομεδοντίδης· καὶ ὥςπερ Τελαμών Τελαμῶνος Τελαμωνίδης καὶ ποιητικῷ πλεοναςμῷ τοῦ ᾱ Τελαμωνιάδης, οὕτως καὶ Λαομεδοντιάδης, sed ipsum iam continetur duobus propositis, addidi autem ex hoc Epimerismorum loco in fr. 142 ποιητικὸν ad πλεοναςμόν. Caeterum iam praecepti conformatio, in quo duae sententiae, e quibus altera praeoptatur, in examen vocantur, Herodianeam originem prodit. Explicatum de patronymicis adnotamentum habemus in Ep. 346, 28, in quo ipsa haec Τελαμωνιάδης et Χαλκωδοντιάδης pro exemplis ᾱ pleonastici producuntur; atque hoc etiam ex Herodiano derivatum videtur et quidem ex libro περὶ παρωνύμων, quam expositio huius doctrinae in Schol. ad Dionys. p. 849 ad Apollonium auctorem referenda sit, cum quo Herodianus ut in aliis materiis consentit. Ex his Schol. comperimus etiam Tryphonem formam Τελαμωνιάδης ἀπὸ τοῦ Τελαμώνιος propagasse.

*144.

St. B. 3, 12: δοκεῖ ἀπὸ τοῦ Ἀβάντιος εἶναι τὸ Ἀβαντιάς ὡς ἀπὸ τοῦ Ἑλικώνιος Ἑλικωνιάς, Ὀλύμπιος Ὀλυμπιάς, Δήλιος Δηλιάς. τὸ δὲ Ἀβαντίς ἀπὸ τῆς Ἄβαντος γενικῆς ὡς Ἑλικωνίς τῆς Ἑλικῶνος, Βίστονος Βιστονίς, Αὔσονος Αὐσονίς. ἴσως δὲ καὶ τὸ Ἀβαντιάς ἀπὸ τοῦ Ἀβαντίς παρήχθη ὡς ἀπὸ τοῦ Λέσβος Λεσβίς Λεσβιάς, Ἀχαιίς Ἀχαιιάς «Ἀχαιιάδων εὐπέπλων» (Il. Ε 424). μαρτυρεῖ δὲ τῷ προτέρῳ λόγῳ ἀπὸ τοῦ Ἀβάντιος Ἀβαντιάς τὸ Ἀβαντία θηλυκόν, ὅπερ κατὰ βαρβαρικὴν τροπὴν τοῦ β̄ εἰς μ̄ ἐλέχθη παρὰ Ἀντιγόνῳ ἐν Μακεδονικῇ περιηγήσει.

145.

E. M. 725, 7: στασιάζειν; ὁ Ἡρωδιανὸς πλεονασμὸν λέγει εἶναι ἀπὸ τοῦ στάσις στασιάζειν.

146.

E. M. 346, 15: ἑξάκλινον, ἑξάπουν. Ἀττικῶς μὲν ἕξπουν καὶ ἕξκλινον λέγεται ὥσπερ καὶ παρὰ τῷ Σοφοκλεῖ ἐξπηχυστί καὶ παρὰ Πλάτωνι τῷ κωμικῷ ἕξπουν. φυλάττεται γὰρ τὸ τέλος τῶν ἀριθμῶν ἐν συνθέσει πεντέμηνον λεγόμενον καὶ «ἐν πεντεσυρίγγῳ ξύλῳ» (Arist. Eqq. 1049) Ἀττικῶς· ἡμεῖς δὲ πεντάμηνον, Ἀττικοὶ ὀκτώπουν καὶ ἡμεῖς ὀκτάπουν. εἰ οὖν ἄρα τὸ τέλος τῶν ἀριθμῶν φυλάσσεται, ὁ δὲ ἕξ ἀριθμὸς τὸ ξ̄ ἔχει, φυλάσσει ἄρα τὸ τέλος τοῦ ἀριθμοῦ ὁ ἕξκλινον λέ-

[144ª]

E. M. 644, 8: ὡς παρὰ τὸ φύσις γίνεται φυσικός, μάντις μαντικός, οὕτως ὄφις ὀφικός καὶ ὀφιακός κατὰ πλεονασμὸν τοῦ ᾱ. συνηκολούθησε γὰρ τῷ θηριακός.

[146ª]

Il. Pr. X 28: ἄστρασιν: ὃν τρόπον ἡ ἐγκάτοις ἔγκασιν ἐγένετο ἥ τε προβάτοις πρόβασιν ἥ τε πετάλοις πέταλσιν, οὕτως ἄστροις ἄστρασιν, ἐπεισελθόντος τοῦ ᾱ, ἵνα συστῇ ἡ λέξις.

ad fr. *144. Quamquam hoc de Ἀβαντιάς praeceptum ex libro περὶ παρωνύμων desumptum videtur, tamen simile quid in libro περὶ παθῶν traditum esse pro certo haberi potest. De re cf. Lob. Proll. p. 468.

ad fr. 145. Cum στασιάζειν, quod quasi a στασία propagari dicit Lobeckius El. I 406, hic confert E. M. 119, 22, Ep. Hom. 338: ἐκ τοῦ αὐθάδης γίνεται αὐθαδίζω καὶ πλεονασμῷ τοῦ ᾱ αὐθαδιάζω; exemplum huiusmodi ᾱ mobilis profert ex Herodiano petens, ut fere ubique St. B. 671, 4 λέγεται φρατρίζειν τὸ εἰς φρατρίαν συνιέναι· καὶ μετὰ τοῦ ᾱ φρατριάζειν, ὅπερ σύνηθες τοῖς Ἀττικοῖς.

ad fr. 146. Idem habet Philemon. p. 51, unde quaedam vitia leviora correxi. Propter sententiam inserui ante ἀνάλογον — ἀλλὰ et pro ἑξάετες ἤνασσεν ἕξετες, nam his de formis in ξ̄ exeuntibus sermo est; Herodianus autem lapsu memoriae ἕξετες ἤνασσεν citavit, quum in Od. γ 305 exstet ἑπτάετες δ' ἤνασσε. Tum pro οὐκ ἔστιν οὖν posui οὐκ ἔστι δέ τὸ ἑξάπουν, nam de huiusmodi cum ᾱ formis in praecedente expositione nihildum dictum est.

ad fr. [144ª]. cf. Lob. Proll. 481, qui ex St. B. affert Καυλικοί ἔθνος. Ἀπολλώνιος δὲ Καυλιακός φησι.

γων. ἀλλ' ἔστιν εἰπεῖν πρὸς τοῦτο, ὅτι οὐδὲ μίαν λέξιν ἔχομεν εἰς διπλοῦν καταλήγουσαν καὶ ἐν συνθέσει φυλασσομένην. εἰσὶ δὲ αἱ φυλασσόμεναι ἐν παραθέσει οἷον «πὺξ μὲν ἐνίκησα» (Il. Ψ 634), «λὰξ ποδὶ κινήσας» (Il. Κ 158)· εἰ οὖν ἔξπους ἐν συνθέσει, ὀφείλει τρέπειν καὶ μὴ καταλήγειν εἰς διπλοῦν. ἀλλ' ἀνάλογον, ὅτι πεφύλακται τὸ τέλος τοῦ ἀριθμοῦ ὡς καὶ παρὰ τῷ ποιητῇ οἷον ἑξετής «ἑξετέ' ἀδμήτην» (Ψ 655) καὶ «ἕξετες ἤνασσεν». οὐκ ἔστι δὲ τὸ ἑξάπουν πλεονασμός, ὡς πλανῶνταί τινες. τὰ γὰρ εἰς κῑς ἐπιρρήματα ἐν τῇ συνθέσει ἀποβάλλει τὸ κῑς οἷον ἑπτάκις ἑπτάμηνος, οὐ γὰρ ἀπὸ τοῦ ἑπτά ἀριθμοῦ. τέσσαρες ὁ ἀριθμός, τετράκις τὸ ἐπίρρημα, παρὰ τοῦτο τετράμηνον. οὕτως οὖν ἑξάκις ἑξάκλινον ἑξάπουν. Ἡρωδιανὸς περὶ παθῶν.

147.

Ep. Hom. 395, 22, E. M. 500, 9: τετράφαται: ἐπὶ τοῦ παθητικοῦ παρακειμένου καὶ ὑπερσυντελίκου τοῖς τρίτοις προσώποις τῶν πληθυντικῶν πρὸ τοῦ τ̄ προτίθεται τὸ ᾱ, καὶ εἰ μὲν ψιλὸν ᾖ σύμφωνον πρὸ τοῦ τ, τρέπεται εἰς δασὺ οἷον ἀπὸ τοῦ τέτραμμαι τέτραπται τετράμμεθα τέτραφθε καὶ Ἰωνικῶς τετράφαται «πεδίον δὲ γὰρ αἰεὶ τετράφαθ', ὁππότ' ἐπὶ Τρώων ἀΐοιεν ἰόντων» (Κ 188) «ᾧ λαοί τ' ἐπιτετράφαται» (Β 25). τοιοῦτον καὶ τὸ τεύχω τέτευχα τέτυ-

---

[146b]

Io. Alex. 11, 27: αἱ πλεονάσασαι τὸ ᾱ κατὰ τὴν παραλήγουσαν παροξύνονται πατράσι, θυγατράσι μητράσι.

[146c]

Choer. 463, 17: αἱ πλεονάσασαι δοτικαὶ πληθυντικαὶ τῷ ᾱ παροξύνονται οἷον πατρί πατράσιν, θυγατρί θυγατράσιν, ἀνδρί ἀνδράσιν, υἱι υἱάσιν. ἔστι γὰρ ὑῒς ὑῗος ὑῗι καὶ κατὰ συναίρεσιν τοῦ ῡ καὶ ῑ εἰς τὴν ῡι δίφθογγον υἱι· καὶ ἐπειδὴ τοῦ σ̄ προσερχομένου ἀσυνταξία ἤμελλε γενέσθαι (οὐδέποτε γὰρ μετὰ τὴν ῡι δίφθογγον σύμφωνον εὑρίσκεται ἐπιφερόμενον οἷον μυῖα ἅρπυια, υἱός) τούτου χάριν ἐπλεόνασε τὸ ᾱ καὶ γέγονεν υἱάσιν.

---

ad fr. 147. Composui hoc fragmentum ex Epim. et E. M. aduotamentis, quae primitus cohaesisse inde apparet, quod priucipium articuli E. M. etiam in Epim. servatum est, ubi οἱ γὰρ καθαρεύοντες παρακείμενοι τὸ ᾱ μόνον πρὸ τοῦ τ̄ (pro ῑ) λαμβάνουσι· καὶ εἰ μακρᾷ παραλήγοιντο, ταύτην συστέλλουσι καὶ οὕτως τὸ Ἰωνικὸν ποιοῦσι· παρὰ γοῦν τὸ κλείω κέκλειται· οὐδέποτε γὰρ μετὰ τοῦ σ̄ τοῦτο λέγουσιν οἱ Ἕλληνες· quae verba pro iis, quae sunt in E. M. χωρὶς τοῦ σ̄ παρ' Ἕλλησι posui, συνεσταλμένη οὖν ἡ ει δίφθογγος τῇ ἀποβολῇ τοῦ ε̄ καὶ προσελθὸν τὸ ᾱ ἐποίησε τό κεκλίαται· τοιοῦτό ἐστι καὶ ἀπό τοῦ ἐρύω εἴρῡται εἰρύαται, quae extrema verba inserui post πεποίηται πεποιέαται. Etiam priorem partem praecepti, quamquam Herodiani nomen quasi per occasionem tantum commemoratur, ab eo profectam esse et subscriptio E. M., cuius articulum ab ea, quae est in

---

ad fr. [146c]. Choerobosoum pendere ex Herodiano docent fr. [146a] et [146b] et Herod. fr. iu E. M. 775, 20, ubi de ὑῒς idem traditur praeterquam quod dativus plural. υἱάσι non commemoratur, qnum in illo fr. de synaeresi sermo sit.

γμαι τέτευκται τετεύχαται· εἰ δὲ τὸ ς̄ ᾖ, τρέπεται εἰς σύμφωνον τοῦ μέσου παρακειμένου καὶ τοῦ δευτέρου ἀορίστου ὡς ἀπὸ τοῦ ἔρρασμαι ἔρρασται καὶ ἐρράδαται «αἵματι ἐρράδαται τοῖχοι» (Od. υ 354) καὶ ἐρείδω ἤρεισται ἠρείδαται καὶ Ἀττικῶς ἐρηρέδαται «λᾶε δὲ τοῦ ἑκάτερθε ἐρηρέδαται δύο λευκώ» (Ψ 329) καὶ παρὰ τὸ πείθω πέπεισται πεπείθαται. εἰ δὲ ἀμετάβολον ᾖ πρὸ τοῦ τ̄, τοῦτο φυλάττεται ἐξ ἀνάγκης ὡς παρὰ τὸ ἀγείρω ἤγερκα Ἀττικῶς ἀγήγερται καὶ Ἰακῇ παραγωγῇ ἀγηγέραται καὶ ὁ ὑπερσυντελικὸς ἀγηγέρατο καὶ στέλλω ἔσταλκα ἔσταλται ἐστάλαται καὶ παρὰ τὸ κλίνω κέκλινται κεκλίναται, εἰ ὅλως γίνεται Ἰωνικὸς παρακείμενος, ἐπὶ τούτων γὰρ οὐκ ἐφάνησαν οἱ Ἴωνες ποιήσαντες τρίτα πληθυντικά, οὐδὲ γὰρ λέγουσι κεκάραται καὶ τετίλαται. τὸ δὲ κέκλιται παρὰ τῷ Δημοκρίτῳ χωρὶς τοῦ ν̄ κατὰ τὴν πλάνην τοῦ Ὁμηρικοῦ, ὥς φησιν Ἡρωδιανός, κεκλίαται «κεκλίαται χώρης ὀλίγον ἔτι μοῖραν ἔχοντες» (Π 68), οἱ γὰρ καθαρεύοντες παρακείμενοι τὸ ᾱ μόνον προσλαμβάνουσι κατὰ τὸ τρίτον πρόσωπον τῶν ἑνικῶν, καὶ εἰ μὲν μακρᾷ παραλήγεται, συστέλλουσι ταύτην καὶ οὕτω ποιοῦσι τὸ Ἰωνικὸν ὡς πεποίηται πεποιέαται εἴρυται εἰρύαται· οὕτως ἀπὸ τοῦ κλείω γίνεται κέκλειται καὶ συστολῇ τῆς ει διφθόγγου «αἵ θ' ἁλὶ κεκλίαται» (Od. δ 608) «ἠέρι δ' ἔγχος ἐκέκλιτο καὶ ταχέ' ἵππω» (Ε 356) ἀντὶ τοῦ ἐκεκάλυπτο περιεκέκλειστο καὶ περιέκειτο. οὐκ ἄρα ἀπὸ τοῦ κλίνω, ἀλλ' ἀπὸ τοῦ κλείω κλείσω ὁ παρακείμενος κέκλειμαι χωρὶς τοῦ ς̄ — οὐδέποτε γὰρ μετὰ τοῦ ς̄ τοῦτο λέγουσιν οἱ Ἕλληνες — ἐλλείψει τοῦ ε̄ κέκλιμαι. οὕτω καὶ τὸ «στήλῃ κεκλιμένος» ἀντὶ τοῦ ὑπὸ στήλης περιεχόμενος καὶ τὴν ἐπὶ τοῦ τάφου στήλην περιβεβλημένος ἀντὶ ἀσπίδος, τοιοῦτον καὶ τὸ «λίμνῃ κεκλιμένος Κηφισίδι» (Il. Ε 709). ἔλλειψις ἄρα τοῦ ε̄ ὥσπερ καὶ ἀπὸ τοῦ κλείσω κλείς δικλείς καὶ δικλίς οἷον «κύσσε δ' ἑόν τε λέχος καὶ δικλίδας ἀμφοτέρωθεν» (Apollon. IV 26) καὶ «δικλίδες ὑψηλαί» (Il. Μ 455). τοῦ Ἡρωδιανοῦ.

Epimerismis, expositiono abscisum esse modo dixi, et argumentum probat. Quum hinc Choeroboscus Dictat. 697, 25 sua deprompserit, non dubitavi hic ex eo adiicero, quae ab epitomatore Epimerismorum omissa esse apertum est, scilicet verba εἰ ὅλως γίνεται Ἰωνικὸς παρακείμενος — κεκάραται καὶ τετίλαται. Quum in Ep. καὶ παρὰ τὸ κλίνω κέκλιται παρὰ τῷ Δημοκρίτῳ scriptum sit, ego exhibui quae sententia flagitat καὶ παρὰ τὸ κλίνω κέκλινται κεκλίναται· τὸ δὲ κέκλιται παρὰ τῷ Δημοκρίτῳ. Omisi autem verba, quae ex ipso adnotamenti tenore ab excerptore post οὐκ ἀπὸ τοῦ κλίνω, ἀλλ' ἀπὸ τοῦ κλείω assuta esse patet: ἐγὼ δέ νομίζω τὸ παρὰ τῷ Δημοκρίτῳ μὴ κατὰ πλάνην γεγονέναι· ἀλλ' ἐπειδήπερ ἀπὸ τῶν εἰς νω δισυλλάβων ἑνὶ φωνήεντι παραληγομένων οἱ παρακείμενοι ἀποβολὴν τοῦ ν̄ πεπόνθασιν, ἀναλόγως ἐκ τοῦ κέκλιται γέγονε τὸ κεκλίαται. Nam quum Herodianus Democriteum κέκλιται pro κέκλινται reprehendat, manifestum est eum ν̄ in hoc verbo stabilo indicasse pariter atque Apollonius, qui ap. Choer. 442, 17 eos reprehendit, qui canonem sic ut Epimerismorum consarcinator statuerunt: τὰ εἰς νω δισύλλαβα ἑνὶ φωνήεντι παραληγόμενα ἀποβάλλουσι τὸ ἀμετάβολον κατὰ τὸν παρακείμενον οἷον πλυνῶ πέπλυκα, κρινῶ κέκρικα ob has causas πρῶτον μὲν ὅτι αὐτὰ τὰ σεσημειωμένα ἐκάκωσαν, δεύτερον ὅτι ἀντίκειται αὐτοῖς τὸ τείνω β' φωνήεσι παραληγόμενον καὶ μὴ φυλάττον τὸ ἀμετάβολον κατὰ τὸν παρακείμενον atque post Choeroboscus 543, 15 eundem auctorum vel Herodianum secutus hoc addit: ἐλέγχονται ὅτι ὤφειλον ἔχειν τὸ ἀμετάβολον ἐκ τῶν ποιητικῶν χρήσεων· εὑρίσκονται γὰρ ἐν ταῖς χρήσεσι κλινθῆναι

*148.

Ep. Hom. 300, 1, E. M. 599, 20: νέαται: ὅcοι μὲν ἐνεcτῶτα παραλαμβάνουcιν, ἀντὶ τοῦ οἰκοῦνται· ὅcοι δὲ παρακείμενον, οἷον οἰκημένοι εἰcίν. ἔcτι ῥῆμα νῶ τὸ οἰκῶ. τούτου ὁ παρακείμενος νένηκα, παθητικὸς νένημαι καὶ πληθυντικὸν νενήμεθα νένηcθε νένηνται. τὸ Ἰωνικὸν νενέαται· ἄρον τὴν νε cυλλαβὴν «νέαται Πύλου ἠμαθόεντος» (Ι 153) ὥcτε ὅμοιον εἶναι τῷ δεδέχαται δέχαται.

*149.

Ep. Hom. 287, 28: μεμετρέαται: τοῦτο Ἰωνικόν ἐcτιν, ὡς γὰρ νενόηνται νενοέαται καὶ περιπεποίηνται περιπεποιέαται, οὕτως καὶ μεμέτρηνται μεμετρέαται παρὰ τῷ Ἑκαταίῳ «ὁ μὲν οὖν Βόcπορος καὶ ὁ Πόντος καὶ ὁ Ἑλλήcποντος κατὰ ταὐτά μοι μεμετρέαται» καὶ παρ' Ἱππώνακτι «οἱ δέ μευ ὀδόντες ἐν τοῖc γνάθοιcι κεκινέαται» καὶ Ἀνακρέων «αἱ δέ μευ φρένες ἐκκεκωφέαται» καὶ τὸ περιβεβλέαται.

*150.

Ep. Hom. 373, 29: παρείατο: Καλλίμαχος «κούρη δὲ παρείατο δακρυχέουcα». τινὲς πλεοναcμὸν ἡγήcαντο τοῦ ᾱ. ἀντὶ τοῦ παρῆν γάρ ἐcτι ἢ καὶ παρέζετο. οὐκ ἔcτι δὲ πλεοναcμός, ἀλλὰ πληθυντικόν ἐcτιν ἀντὶ ἑνικοῦ τιθέμενον ὡς τὸ «οἱ δ' εἵατ' εἰν ἀγορῇ (Od. θ 503).

καὶ κρινθῆναι οἷον «ὁ δ' ἐκλίνθη καὶ ἀλεύατο κῆρα μέλαιναν» (Γ 102) «ἐκλίνθη δὲ μάχη» «διακρινθῆτε μάχεcθαι» (Od. ω 532). — In parte, quam ex E. M. recepi, οὐκ ἄρα scripsi pro οἶμαι collato E. Gud. 312, 24 s. v. κεκλιμένος, ubi οὐ γὰρ τὸ κλίνω, ἀλλά τὸ περικεκλιμένος, quae verba sic fere mutanda sunt οὐκ ἄρα παρά τὸ κλίνω, ἀλλά τὸ κεκλιμένος ἀντὶ τοῦ περιεχόμενος, et ἀλλ' pro ἄλλοι. Verba ab οἷον «κύcε — ἀμφοτέρωθεν» ex cod. Paris. 2638 et E. Gud. adieci, quibus etiam subscriptio debetur. Sed omisi, quae ibi exstant sed desunt in E. M. ἢ ἀπὸ τοῦ δικληῒc δικλίc, δικληῗδεc δικλίδεc. οὐκ ἀναγκαῖον δέ, ut ab Herodiano aliena et ab epitomatore adiecta.

ad fr. *148. Il. Pr. Ι 153 Herodianus dicit: πᾶcαι δ' ἐγγὺc ἁλὸc νέαται Πύλου ἠμαθόεντοc: ὡc κέαται. cημαίνει δέ τὸ ναίονται γενόμενον παρὰ τὸ νῶ, οὗ παραγωγὸν τὸ ναίω· ὅcοι δέ παροξύνουcιν ὡc ἐπὶ τοῦ ἔcχαται κατά τὸ νοητὸν παραλαμβάνουcιν οὐδ' εὐθεῖαν δέ ὑγιῶc παροξύνουcιν· ὀφείλει γάρ ὁμοτονεῖν τῷ νέατοι. Ἀπολλώνιοc (? Ἀπολλόδωροc ex Schol. L) δέ διὰ τοῦ κ̄ γράφει κέαται. Hinc concludi possit, quum Herodianum κέαται ex κεῖται pariter atque Choer. 698, 28 repetivisse probabile sit, cum etiam νέαται ex νεῖται praesente propagasse; sed comparatione formae νέαται cum κέαται nihil aliud significare voluit atque hoc: νέαται correpta paenultima ᾰ assumpsisse, quae autem primitiva forma speciei νέαται sit, hoc loco, ubi de accentu tantum agebatur, nihil attinuit; in libro vero περὶ παθῶν, ubi de origine quaerebatur, duas explicationes esse pronunciavit, quarum alteri, ex qua νέαται perfectum esse dicebatur, principatum concessit, atque Herodiani sententiam etiam Eustath. 743, 42 (τὸ νέαται cυγκοπέν ἐκ τοῦ νεναίαται [scr. νενέαται] i. e. per aphaeresin natum) repraesentavit. Neque de origine Herodianea nostri fr. dubitare sinit quum adnotamenti conformatio, de qua iam saepius diximus, tum dictio ἆρον, quae complures in Herodianeis se offert e. g. E. M. 663, 54.

ad fr. *149. cf. Herod. in E. M. 601, 20 νενόηται, ὅθεν καὶ νενοέαται Ἰωνικῶc γίνεται. Praeterea auctorum testimonia Herodianeam originem produnt. De Hecataeo iam Cram. adnotavit eius verba fere cum Herodoto IV 86 congruere, qui forsitan ab illo petiverit; idem observavit haec in E. M. 578, 42 confusa esse et ibid. p. 322, 20 Anacreontis locum allatum quidem esse, sed auctore suppresso.

ad fr. *150. Inserui ἢ ante καὶ παρέζετο; acceperunt enim aut pro παρῆντο ab ἧμαι aut pro παρῆντο ab εἰμί, de quibus cf. Il. Pr. Ζ 336. Herodiani autem

151.

E. M. 63, 18: ἄλιας: ἔστιν ἅλις καὶ πλεονασμῷ τοῦ α ἄλιας· ἔστι δὲ μονῆρες τὸ ἐπίρρημα· οὐδὲν γάρ ἐστιν εἰς ας ἐπίρρημα προπαροξύτονον, ἀλλ' ἢ ὀξύτονον ἑκάς ἀγκάς ἢ παροξύτονον ὡς τὸ «ἀτρέμας ἧσο» (Β 200). οὕτως Ἡρωδιανός.

*152.

Steph. B. 383, 21: Κρήτην τὴν νῆσον Κρεήτην ἔφη Ἀρχίλοχος κατὰ πλεονασμόν.

153.

E. M. 666, 35, Ep. Hom. 335, 11: πετεηνός: ὁ Ἡρωδιανὸς τὸ πετηνόν ὡς ῥηματικὸν διὰ τοῦ η̄ ἐκ τοῦ πετῶ πετήσω πετηνόν καὶ πλεονασμῷ τοῦ ε̄ ποιητικῶς πετεηνόν. πάντοτε δὲ ὁ ποιητὴς διὰ τοῦ ε̄ καὶ η̄ προφέρει.

[152ᵃ]

Schol. ad Od. μ 417: θεείου: εἴγε ἀπὸ τοῦ θείου διαίρεσις, διὰ τί τὸ θεείου διὰ διφθόγγου; φαμὲν οὖν ὅτι πλεονασμός ἐστι τοῦ ε̄ ὡς εἷς ἕεις.

[152ᵇ]

Ep. Hom. 412, 8: τεόν: τὸ κοινὸν σόν, Δωρικὸν τεόν· πέπονθε γὰρ πλεονασμὸν τοῦ ε̄ καὶ τροπὴν τοῦ σ̄ εἰς τ̄, ἀλλ' ἐπὶ τῶν πρωτοτύπων τροπὴ μόνη γίνεται σύ τύ· ἐπὶ δὲ τῶν κτητικῶν οὔτε ἡ τροπὴ χωρὶς πλεονασμοῦ οὔτε ὁ πλεονασμὸς ἄνευ τῆς τροπῆς παρὰ Δωριεῦσι σόν τεόν, σῇ τεῇ «ἤδη γάρ με καὶ ἄλλο τεὴ ἐπίνυσσεν ἐφετμή» (Ξ 249).

---

esse ex dictione: οὐκ ἔστι πλεονασμός, ἀλλά cf. E. M. 44, 5 concludimus. Ex eodem fonte derivata sunt haec: E. M. 252, 54: δεδμήατο: δαμῶ δμῶ δευτέρας συζυγίας, δέδμηκα δέδμημαι ἐδέδμηντο καὶ Ἰωνικῶς δεδμέατο — ὁ κανών· ταῦτα δὲ τὰ Ἰωνικὰ συστέλλουσι τὴν προπαραλήγουσαν — καὶ ἐκτάσει τοῦ ε̄ εἰς η̄ δεδμήατο χρόνου ὑπερσυντελίκου et ibid. l. 46: δεδέχαται: ἐκ τοῦ δέχω δέξω δέδεχα δέδεγμαι δέδεξαι δέδεκται καὶ Ἰωνικῶς δαδέχαται καὶ πλεονασμῷ τοῦ ῑ δειδέχαται. Sed non ab Herodiano est quod ibid. 50 traditur: δεδαίαται: δαίω τὸ μερίζω, ὁ παθητικὸς παρακείμενος δέδαιμαι δέδαιται καὶ τὸ Ἰωνικὸν δεδαίαται καὶ ὤφειλεν συσταλῆναι ἡ προπαραλήγουσα, ἀλλὰ διὰ τὸ μέτρον ἔμεινε τὸ ῑ «διχθὰ δεδαίαται», nam grammaticum δεδαίαται sic potius declinasse opinor δέδασμαι δέδασται καὶ ἀποβολῇ τοῦ σ̄ δέδαται καὶ Ἰωνικῶς δεδάαται καὶ ἐπενθέσει τοῦ ῑ δεδαίαται collato eius de ἐδήδαται adnotamento in E. M. 316, 25.

ad fr. 151. ἀγκάς pro ἐμπάς scripsit Lob. El. I 409, qui affert etiam Io. Alex. 38, 11: τὰ εἰς ᾱς — ὀξύνεται — τὸ μέντοι πέλας βαρύνεται καὶ τὸ ἀτρέμας· τὸ δὲ ἄλιας παρ' Ἱππώνακτι προπαροξύνεται ἀπὸ τοῦ ἅλις πλεονάσαν τῷ ᾱ.

ad fr. 153. cf. Choer. Ep. in Psalm. 110, 6, Lob. Rhem. 188 accentum in πετεηνός, qui secundum Herodiani praeceptum in E. M. 614, 40 ὁ πλεονασμὸς τὸν οἰκεῖον τόνον φυλάσσει, ἡ δὲ διαίρεσις ἀλλάσσει si quidem diaeresis est mutari debebat, non retractum esse propter characterem suspicatur, sed Herodiano πετεηνός est pleonasmus poeticus, idem Lobeckius etiam θέειον huic canoni refragari adnotat, sed Lehrsius Herod. p. 60 iure admonet hanc regulam non posse non apud ipsum Herodianum suas cautiones habuisse.

---

ad fr. [152ᵇ]. cf. Apollon. de pron. 105, qui τεΐν statim ex τίν μετ' ἐπενθέσεως τοῦ ε̄ exsistere iubet, quum in Ep. Hom. 409, 28 ex τίν τείν et τεΐν per dialysin repetatur; Herodianum idem atque Apollonium sensisse arbitror.

154.

E. M. 31, 43: αἰέλουρος: τοῦτο οὐκ ἔστι πλεοναςμός, ἀλλ' ἀντίθεςις· παρὰ γὰρ τὸ αἰόλον καὶ τὴν οὐράν ἐτυμολογεῖται αἰέλουρος. οὕτως Ἡρωδιανὸς περὶ παθῶν.

155.

E. M. 790, 20: φέρενα: τοῦτο κατὰ διάλεκτον· οἱ γὰρ Αἰολεῖς λέγουςι τὴν φερνήν φέρεναν, ἴςως προςφυέςτερον παρὰ τὸ φέρειν· προίξ γάρ ἐςτιν. ἦν γὰρ ἠλογημένον τὸ φερνή. τὰ γὰρ εἰς νη λήγοντα διςύλλαβα ἔχοντα πρὸ τέλους τὸ ρ βαρύνεται οἷον Τάρνη, πτέρνη· μόνον τὸ φερνή ὀξύνεται. ἐὰν δὲ δώςῃ τις τόνον μὴ πλεοναςμὸν Αἰολικὸν εἶναι καὶ εἴπῃ φερένη καὶ μιμήςηται τὸ Ἑλένη, ἀπολέλυται τὸ ἠλογημένον. περὶ παθῶν.

*156.

E. M. 261, 14: δειελός: Ἰλιάδος Φ (232) «εἰςόκεν ἔλθῃ δειελὸς ὀψὲ δύων» ἡ δείλη δειελός εἴρηται ὡς ἑςπέρα ἕςπερος, ὠνή ὦνος, χολή χόλος· ςύνηθες Ἴωςι τὸ ε πλεονάζειν ἥλιος ἠέλιος, δειλινόν δειελινόν οἷον «δειελινὸν κλίνοντος ὑπὸ ζόφον ἠελίοιο» (Apollon. Rhod. I 452).

*157.

Ep. Hom. 178, 18: ἐλεόθρεπτος: τὰ εἰς ος λήγοντα οὐδέτερα κατ' ἀρχὴν ςυντιθέμενα ἐκβάλλει τὸ ς οἷον πάθος παθολόγος, εἶδος Εἰδοθέα, ςκύτος ςκυτοτόμος «ςκυτοτόμων ὄχ' ἄριςτος» (Η 221), ἦθος ἠθολόγος. διὸ παρὰ τὸ ἔλος ὤφειλεν ἐλόθρεπτος, ἀλλ' ἐγένετο πλεοναςμὸς τοῦ ε· οὐ γὰρ παρὰ τὴν γενικὴν τὴν ἔλεος· οὐ γὰρ εἴωθεν γενικὴ ςυντίθεςθαι· τὸ θυοςκόος κατὰ πλεοναςμὸν τοῦ ς λέγομεν.

*158.

St. B. 612, 15: Τελμηςςός: ὁ πολίτης Τελμηςςεύς· καὶ δρᾶμα Ἀριςτοφάνους Τελμηςςεῖς. — λέγεται καὶ τετραςυλλάβως Τελεμηςςεῖς, ὡς αὐτὸς ἐν αὐτῷ «πῶς ἂν τις ἂν οὖν, ἢ τί ποιήςας, ὦ Τελεμηςςεῖς;» καὶ πάλιν «φέρε δὴ τοίνυν, ταὖθ' ὅταν ἔλθῃ, τί ποιεῖν χρή μ', ὦ Τελεμηςςεῖς». ἔςτι δὲ τὸ μέτρον ἀναπαιςτικὸν τετράμετρον καταληκτικόν, οὗ πρὸ τῆς τελευταίας ςυλλαβῆς ἀνάπαιςτος τάττεται, ςπανιάτατα δὲ ςπονδεῖος.

ad fr. 155. Locum sic exhibui, ut Lehrsius ad Herod. p. 114 emendavit.

ad fr. *156. Initio δείελος sequuntur verba Ἀττικοὶ τὸ δίελος, quae ut inania omisi, Eustath. 1235, 38 habet: ἡ παρ' Ἀττικοῖς ὀψία δείλη, hoc fragmentum Herodianeum esse consequitur ex Arcad. 55, 4: τὰ διὰ τοῦ ελος μονογενῆ προπαροξύνεται, εἰ μὴ πάθος τι γένοιτο — τὸ δειελός τὸ δειλινόν ὀξύνεται sc. propter pleonasmum vocalis ε. Caeterum accentum ex hoc ipso Arcadii canone, quum in E. M. proparoxytonos vocabulum scriptum sit, mutavi.

ad fr. *157. De sigma pleonastico in compositione cf. e. g. Herod. in E. M. 790, 40 φερέςβιος.

ad fr. *158. Meinekius adnotat: quadrisyllabae huius nominis formae exempla habentur etiam in Catal. trib. no. 79 et no. 132 non igitur metri causa ab Aristophane inventa est. Sed error Herodiani videtur.

159.

E. Or. 64, 5: ἐλεφαίρω: παρὰ τὸ ἔλπω τὸ ἐλπίζω ἄλλο παραγωγὸν ἐλπαίρω καὶ πλεοναςμῷ τοῦ ε̄ ἐλεπαίρω, τροπῇ τοῦ π̄ εἰς φ̄ ἐλεφαίρω. κυρίως τὸ ταῖς ἐλπίςιν ἀπατᾶςθαι. οὕτως Ἡρωδιανός. λέγει δὲ δύναςθαι τὸ ἐλεφαίρω παρὰ τὸ ζῷον εἰρῆςθαι.

160.

E. Or. 61, 24: ἐρινεός cημαίνει τὴν ἀγρίαν cυκῆν. ἀπὸ τοῦ ἐρίζω γίνεται ἐρινός καὶ κατὰ πλεοναςμὸν τοῦ ε̄ ἐρινεός παρὰ τὸ ἐριςτικὸν εἶναι τὸ δένδρον. ἀνέρχεται γὰρ εἰς τοίχους καὶ εἰς ἕκαςτον τόπον ἔν τε πέτραις καὶ ὕδαςιν. οὕτως Ἡρωδιανὸς καὶ Εὐδαίμων.

*161.

E. M. 385, 54: ἐτεός ὁ ἀληθής ἐκ τοῦ ἐτός κατὰ πλεοναςμὸν τοῦ ε̄. ἐκ τοῦ εἰμὶ τὸ ὑπάρχω ἐτός. τὸ γὰρ ἀληθὲς ὑπάρχον ἐςτὶ καὶ πεπηγὸς καὶ ὂν ὥςπερ τὸ ψεῦδος οὐκ ὑπάρχον.

*162.

E. M. 726, 17: ςτερρός: βούλονταί τινες ἀπὸ τοῦ ςτερεός εἶναι ςυγκοπῇ ςτερός καὶ πλεοναςμῷ τοῦ ἑτέρου ρ̄ ςτερρός. ἐμοὶ δὲ δοκεῖ μᾶλλον τὸ ςτερεός ἀπὸ τοῦ ςτερρός εἶναι. τὰ γὰρ εἰς ναι ἀπαρέμφατα ποιεῖ εἰς ροc ὀνόματα ἰςοςύλλαβα οἷον μιῆναι μιαρός, ῥυπῆναι ῥυπαρός, διῆναι διερός, ςταθῆναι ςταθερός, οὕτω ςτῆναι ςτερός καὶ ςτερρός.

[159ᵃ]

Il. Pr. Ε 163: ἀέκοντας: ςτέρηςίς ἐςτι τοῦ ἑκόντα τὸ ἀέκοντα· διὸ δαςυντέον τὸ ε̄· πταίει οὖν Νικίας ψιλῶν τὸ ε̄. οἴεται γὰρ τῷ ἄκοντα ἐπεντίθεςθαι τὸ ε̄. ὅπερ οὐκ ἔςτι· τὸ γὰρ ἄκοντα ςυναλοιφή ἐςτι τοῦ ἀέκοντος.

[160ᵃ]

Il. Pr. Α 508: μητίετα: ἀπὸ τοῦ μητῖτα κατὰ πλεοναςμὸν τοῦ ε̄ καὶ ςυςτολῇ τοῦ ῑ ἀπὸ εὐθείας τῆς μητίτης κλητικὴ γέγονε μητίετα· καὶ ὁ τόνος ἐπὶ τοῦ αὐτοῦ τόπου ἔμεινε μετὰ τὸν πλεοναςμόν. cf. Α 175.

[160ᵇ]

Il. Pr. C 538: δαφοινεόν: ὀξύνεται· ἐπὶ γὰρ τῶν εἰς οc ὀνομάτων ὁ πλεοναςμὸς τοῦ ε̄ φυλάςςει τὴν ἐπὶ τέλους ὀξεῖαν κενός κενεός, ἀδελφός ἀδελφεός.

---

ad fr. 159. Ad originationem ab ἐλέφας inductus videtur Od. τ 565. Transiit in E. M. auctore suppresso.

ad fr. 160. Locum praeeunte Larchero ex E. M. 373, 54 et Gud. 207, 53 sic supplevi pro παρὰ τὸ ἐριςτικὸν εἶναι τὸ δένδρον πέτραις καὶ ὕδαςιν.

ad. fr. 161. cf. Il. Pr. C 410: τὸ ἐτός ὡς θετός, ὃ cημαίνει τὴν ὕπαρξιν, ἐξ οὗ τὸ ἀληθές, ὃ καὶ γίνεται ἐτεός.

ad fr. *162. Ex disputationis conformatione βούλονταί τινες — ἐμοὶ δὲ δοκεῖ μᾶλλον et ex argumento Herodianea origo comprobatur. Canonem de adiectivis in ροc verbalibus transscripsit Choer. Epim. in Psalm. 126, 11 sed inepte propter pleonasmum epsili comparat cum ςτερεός ἱερός cf. Lob. El. I 252. Apud Zonaram subscriptum est huic praecepto p. 1668 οὕτως Ὦρος ὁ Μιλήςιος περὶ

*163.

St B. 471, 13: Νέδη πόλις Ἀρκαδίας: Εὐφορίων δὲ Νεδέην αὐτήν φησι.

164.

E. M. 765, 33: τριακόντεος: ὥσπερ γίνεται ἐπὶ τῆς γενικῆς τῶν πληθυντικῶν γερόντων γεροντέων, οὕτω καὶ ἐπὶ τῆς γενικῆς τῶν ἑνικῶν τριάκων τριάκοντος τριακόντεος κατὰ πλεονασμόν. περὶ παθῶν.

165.

E. M. 227, 3: γέροντες γερόντων καὶ πλεονασμῷ τοῦ ε̄ γεροντέων οὐχ ὡς ναυτῶν καὶ ναυτέων. τοῦτο διαίρεσίς ἐστι καὶ οὐ πλεονασμός. ὁ γὰρ τόνος διελέγχει· εἰ μὲν γὰρ περισπᾶται, δῆλον ὅτι διαίρεσις· εἰ δὲ βαρύνεται, δῆλον ὅτι πλεονασμὸς καὶ οὐ διαίρεσις. οὕτως Ἡρωδιανός.

*166.

Ep. Hom. 239, 1, E. M. 507, 15: ἀρνῶν ἐκ κεφαλέων (Γ 273): ὁ κανών· οἱ Αἰολεῖς διὰ τοῦ α̅ω̅ν̅ κεφαλάων, οἱ δὲ Δωριεῖς διὰ τοῦ ε̅ω̅ν̅ κεφαλέων· ὁ δὲ Ζηνόδοτος γράφει «ἀρνέων ἐκ κεφαλέων» ὡς κτητικόν τὸ ἀρνέων λαβών· κακῶς δέ· κανὼν γάρ ἐστιν ὁ λέγων, τὸ κτητικὸν ἐπὶ τῶν σωματικῶν μερῶν λαμβανόμενον κατὰ τεθνηκότος θέλει παραλαμβάνεσθαι οἷον βοεία κεφαλή ἢ τεθνηκότος, καὶ ἀνθρώπειος πούς ὁ τοῦ τετελευτηκότος· οὐ γὰρ ἐπὶ ζώντων εἴποι τις ἄν· διό καὶ μέμφονται Ζηνοδότῳ, ἐπειδὴ τὸ «ἀρνέων ἐκ κεφαλέων» ἀνεγίνωσκεν ἀρνέων κτητικόν· κτητικῇ γάρ φωνῇ ἐχρήσατο ὡς ἐπὶ ζώντων

[160c]

Il. Pr. Ψ 160: τὰ εἰς ος λήγοντα ὀνόματα, παρὰ ῥῆμα γινόμενα, καθαρεύοντα καὶ τῷ ε̄ παραληγόμενα ὀξύνεσθαι θέλει, φωλεύω φωλεός, ὀχεύω ὀχεός καὶ ἐν πλεονασμῷ τοῦ ε̄ ὀχσεός, καὶ παρὰ τὸ σωρεύω δὲ ὁ σωρεός· τό δὲ σωρός κατὰ συγκοπὴν ἀπετελεῖτο. καὶ παρὰ τὸ λοχεύω δὲ ὁ λοχεός ἔσται κατ' ὀξεῖαν τάσιν «ὁ δ' ἐκ λοχεοῖο πάϊς» (Hes. Theogn. 178). ἀλλ' οὖν γε βαρυτόνως οἱ πλείους ἀνέγνωσαν, πλεονασμόν ἐκδεξάμενοι τοῦ ε̄, ὥστε παρὰ τὴν λόχου γενικὴν «ἐκ λόχου ἀμπήδησε» (Il. Λ 379) λόχοιο γενέσθαι καὶ λοχέοιο.

πάθους, sed iure Henr. Kleist in dissertatione de Philoxeni grammat. Alex. studiis etymologicis p. 35 hunc locum ex Etym. Orionis excriptum, ab Orione autem ex Herodiani libro περὶ παθῶν excerptum esse iudicat.

ad fr. 164. cf. Lob. El. I 422, Proll. 316 et Addenda.

ad fr. 165 et *166. Parum accurate Herodiani sententia relata est, nam sine dubio eos tantum genetivos, qui ex contractione circumflexum acceperunt, dissolvi posse putavit, eos vero, quorum circumflexus eliticus est velut ἀρνῶν, a diaeresi exclusos existimavit neque in his pleonasmus ei licitus videbatur, nam Zenodoteum ἀρνέων non ut Aristonicus opinabatur ex ἀρνῶν genetivo nominis, sed ex ἀρνείων possessivo repetivit. Haec certe sententia adnotamenti Epimerismorum est, si locum valde corruptum sic restituas ut feci in Philologo XXI p. 389, ubi Lobeckium locum aliter emendasse in El. II 98 monui. Verba corrupta hic ut ap. Cramerum scripta sunt, pono: ὁ δὲ Ζηνόδοτος γράφει τὸ

ἀρνῶν, οὐκ ἔπαθε δὲ τὸ ἀρνέων πλεονασμὸν οὐδὲ διαίρεσιν ἐκ τοῦ ἀρνῶν, ἀλλὰ ἔλλειψιν τοῦ ῑ ἐκ τοῦ ἀρνείων.

167.

E. M. 224, 50: γεμέωσι δὲ παστάδες: γέμωμεν γέμητε γέμωσι καὶ πλεονασμῷ ποιητικῷ τοῦ ε̄ γεμέωσιν. οὕτως Ἡρωδιανός.

168.

E. M. 133, 34: ἀπτερέως παρ' Ἡσιόδῳ ὥσπερ τὸ ἀψοφέως. σημαίνει δὲ τὸ αἰφνιδίως· ἀποπτέρων ἀπτέρων ἀπτέρως ἀπτερέως. οὕτως Ἡρωδιανός.

[167ᵃ]

Il. Pr. Ψ 361: προπαροξυτονητέον τὸ μεμνέῳτο· γράφεται δὲ καὶ σὺν τῷ ῑ τὸ ω. οὕτω δὲ καὶ ὁ Ἀσκαλωνίτης, ἐκ τοῦ μεμνέοιτο ἡγούμενος αὐτὸ εἶναι. παρὰ μέντοι Ξενοφῶντι ἄνευ τοῦ ῑ ἐστὶν ὁ σχηματισμὸς καὶ προπερισπᾶται, ἐν Κύρου παιδείας πρώτῳ (6, 3) «ἀλλ' ὅτε τὰ ἄριστα πράττοι, τότε μάλιστα τὸν θεὸν μεμνῷτο». τὸ δὲ ἀνάλογον διὰ τοῦ η̄ προσκειμένου τοῦ ῑ παρ' Ἀριστοφάνει ἐν Πλούτῳ δευτέρῳ (992) «ἵνα τοὐμὸν ἱμάτιον φορῶν μεμνῇτό μου» καὶ πάλιν προπερισπαστέον.

[167ᵇ]

Schol. A ad Il. Ξ 241: ἐπίσχοιες: οὕτως τὴν γραφὴν παρατίθεται ὁ Ἡρωδιανὸς ἐν τῷ ιζ' τῆς καθόλου καὶ λέγει ἀπὸ τοῦ ἐπίσχοις πλεονασμὸν εἶναι τοῦ ε̄ ἢ συστολὴν τοῦ ἐπισχοίης.

[168ᵃ]

E. M. 146, 19: ὁ Ἡρωδιανός φησιν ἐν τῇ καθόλου πλεονάζειν τὴν ει δίφθογγον καὶ γίνεται ἀρνός ἀρνειός ὡς ἀμνός ἀμνειός.

[168ᵇ]

Arcad. 45, 1: τὰ εἰς ειος ὑπερδισύλλαβα μὴ πλεονάζουσης τῆς ει διφθόγγου προπαροξύνεται Αἰάντειος Ὁμήρειος γαλήνειος Ἱππάρχειος· τὸ δὲ ἀδελφειός ἀπὸ τοῦ ἀδελφός πλεονάζει τὸ ει.

λαι δίφθογγον ὡς κτητικὸν αὐτὸ λαβὼν et in fine οὐκ ἔπαθε πλεονασμὸν ἀλλὰ διαίρεσιν.

ad fr. 167. Accentum γεμῶμεν γεμῆτε γεμῶσι mutavi cf. Lob. El. I 426, ad Buttm. II 338, Rhem. 147.

ad fr. 168. Sic scripsi pro ἀπωτέρω ἀπτέρω collato E. M. 183, 20 τὸ ἀψοφέως ἀπὸ τοῦ ἄψοφοι ἀψόφων τὸ ἐπίρρημα ἀψόφως καὶ πλεονασμῷ τοῦ ε̄ ἀψοφέως· διαιρεῖσθαι δέ οὐκ ἔστιν. ὅμοιον δέ τούτου καὶ τὸ ἀπτερέως παρ' Ἡσιόδῳ ἀπὸ τοῦ πτερέως τὸ ταχέως — duce Lob. El. I 419 coll. p. 38 et El. II 98 not. 98. Ex eodem fonte manavit Ep. Hom. 374, 3 προφρονέως. πρόφρων πρόφρονος πρόφρονες προφρόνων προφρόνως, εἶτα ποιητικῶς προφρονέως πλεονασμῷ τοῦ ε̄ ὡς ἀψοφέως. ἀπὸ γὰρ τοῦ ἄψοφοι ἀψόφων ἀψόφως καὶ ἀψοφέως.

ad fr. [167ᵃ]. cf. Lob. El. I 426.

ad fr. [167ᵇ]. cf. Lob. El. II 225 et Pros. Cath. 469, 14.

ad fr. [168ᵃ et ᵇ]. cf. Lob. El. I 430. De ἀρειή ex E. M. 139, 24 comperimus Herodianum in Catholica accentum abnormem dixisse, sed utrum cum

169.

E. M. 659, 46: Πελοπηῖϲ: ὡϲ παρὰ τὴν Κέκροπι δοτικὴν γίνεται Κεκροπίϲ Αἰθίοπι Αἰθιοπίϲ, οὕτω Πέλοπι Πελοπίϲ καὶ πλεοναϲμῷ τοῦ η̅ Πελοπηῖϲ ὡϲ τὸ ποίμνιον ποιμνήϊον καὶ τάφοϲ τάφιοϲ καὶ ἐπιτάφιοϲ ταφήϊον «Λαέρτῃ ἥρωϊ ταφήϊον» (Od. β 99). περὶ παθῶν.

*170.

Ep. Hom. 255, 7: Καδμηΐδι γαίῃ (Hesiod. op. 161): ὥϲπερ παρὰ τὸ Δάρδανοϲ ἐκπίπτει πατρωνυμικὸν εἰϲ ι̅ϲ̅ Δαρδανίϲ καὶ παρὰ τὸ Πρίαμοϲ Πριαμίϲ, οὕτωϲ ἔδει καὶ παρὰ τὸ Κάδμοϲ Καδμίϲ. τὸ ἄρα Καδμηῖϲ ἐπλεόναϲε τὸ η̅. ὅτε οὖν φηϲιν ὁ Ἴβυκοϲ «παρελέξατο Καδμίδι κούρᾳ», τὸ ὀφειλόμενον ἀπέδωκεν.

*171.

St. B. 666, 14: Φίλυρεϲ ἔθνοϲ πρὸϲ τῷ Πόντῳ: τὸ θηλυκὸν Φιλυρίϲ καὶ Φιλυρηῖϲ πλεοναϲμῷ τοῦ η̅.

*172.

St. B. Βρύξ: τὸ θηλυκὸν Βρυγίϲ καὶ Βρυγηῖϲ ὡϲ Καδμηῖϲ.

173.

Eustath. 468 extr.: Ὅμηροϲ τὸν πολίτην πολιήτην φηϲίν, ὅπερ Ἰωνικὸν εἶναι δοκεῖ κατὰ τὸ Μαϲϲαλιήτηϲ Ἀπολλωνιήτηϲ, οἰκιήτηϲ, ἅπερ κεῖνται παρὰ τῷ Ἡρωδιανῷ.

St. B. 43, 1: τὸ πολιήτηϲ πλεοναϲμὸν ἔχει τοῦ η̅ ὡϲ τὸ μυθιήτηϲ, ὅπερ οὐδ᾽ ἐθνικόν, καὶ τὸ Ἰουλιήτηϲ ἀπὸ τοῦ Ἰουλίτηϲ. τὸ δὲ Βαργυλιήτηϲ καὶ Μαϲϲαλιήτηϲ τέτραπται.

*174.

E. M. 698, 9: πωγωνιήτηϲ: πώγων πώγωνοϲ πωγωνίτηϲ καὶ πλεοναϲμῷ τοῦ η̅ πωγωνιήτηϲ ὡϲ πολιήτηϲ· ἢ παρὰ τὸ πωγωνία πωγωνιάτηϲ καὶ κατὰ τροπὴν πωγωνιήτηϲ. λέγουϲι δέ τινεϲ, ὅτι ἀπὸ τῶν εἰϲ ων ληγόντων οὐκ ἔχει γεγονέναι πωγωνία. Κράτηϲ δ᾽ οὖν ἐν

ad fr. 169. Verba extrema ὡϲ τὸ ποίμνιον κτλ. addidi ex Ep. Hom. 374, 9, E. M. 748, 38, quae de ταφήϊον dicta sunt, separatim protulit.

ad fr. *170. Hoc Herodianeum esse ex superiore fragmento consequitur et ex sermone cf. e. g. Mon. 7, 26 Ἀλκαῖοϲ δὲ καὶ ω ἀποφαίνεται τὸ ὄνομα ὠρανὸϲ λέγων — ὥϲτε τὸ ἐπιζητούμενον παρ᾽ αὐτῷ λελύϲθαι et 8, 24 μήποτε οὖν Δωριεῖϲ διὰ τοῦ α̅ προφερόμενοι αὐτὸ (sc. Ἄρτεμιϲ) κατά τι κατορθοῦϲιν. Ἄρταμιϲ γὰρ λέγουϲιν ὡϲ τὸ δύναμιϲ καὶ Σεμίραμιϲ. 14, 21 ὁ μέντοι Ἀνακρέων καὶ χαριτόειϲ εἶπεν ἀποδοὺϲ τὸ ἐντελὲϲ τῇ λέξει. — Quae St. B. fr. *171 et *172 praebet, Herodianea esse elucet, addere licet 320, 12 Θυνιάϲ νῆϲοϲ. λέγεται καὶ Θυνὴ καὶ Θυνίϲ καὶ Θυνηῖϲ.

ad fr. 173. Eustath. et St. B. ex eodem fonte hausisse clarum est, sed exhibui locos, sicut scripti sunt, quamquam utrumque adnotamentum connectere potui. Ἰουλιήτηϲ ὡϲ πολιήτηϲ commemorat St. B. etiam 335, 13 Ἰουλίϲ.

ad fr. *174. Hoc Herodiani esse fr. proximum docet, inserui verba, quae omissa esse intellectus probat: καὶ πλεοναϲμῷ τοῦ η̅ — καὶ κατὰ τροπὴν πωγωνιήτηϲ, porro cum Meinekio fr. com. I 82 ed. min. pro Κράτηϲ γοῦν: δ᾽ οὖν.

Eustath. 539, 18 ex ἀρή cum pleonasmo diphthongi ε̅ι̅ an cum E. M. l. c. ex ἀρέα ab Ἀρέωϲ genetivo propagato inserto ι̅ ortum putaverit, nescimus.

Μετοίκοις λειποπωγωνία ἔφη. δύναται οὖν, ὥςπερ οἰκία οἰκιάτης, οὕτω πωγωνία πωγωνιάτης καὶ πωγωνιήτης γενέςθαι.

*175.

Ep. Hom. 298, 32: Νυςήϊον: ἀμφίβολον· εἰ γὰρ παρὰ τὸ Νύςιον, πλεοναςμός ἐςτι τοῦ η̄· εἰ δὲ παρὰ τὸ Νῦςα, ὤφειλε μὲν εἶναι Νύςειον, ἀλλ' ὥςπερ παρὰ τὸ ἄρειον ἀρήϊον αὐξήςει γέγονεν, οὕτω Νυςήϊον, ὥςτε δύναται διαίρεςις εἶναι καὶ ἐπέκταςις, ἀλλ' οὐ πλεοναςμός. τὸ δὲ γαιήϊος ἀπὸ τοῦ γαῖα γαῖϊος ἐν πλεοναςμῷ καὶ τὸ «πολεμήϊα» παρὰ τὸ πόλεμος πολέμια. ὅταν οὖν εἴπῃ «πολεμήϊα τεύχεα» (Η 193) πλεονάζει τὸ η̄.

176.

Theogn. Cr. II 91, 21: κρήηνον τὸ ἐπιτέλεςον· γέγονε δὲ παρὰ τὸ κραίνω· ὁ ἀόριςτος ἔκρανα· τὸ προςτακτικὸν κρᾶνον καὶ Ἰωνικῶς τροπῇ τοῦ ᾱ εἰς η̄ κρῆνον καὶ ἐν πλεοναςμῷ τοῦ η̄ κρήηνον. οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν.

177.

Ep. Cram. I 342, 26: ἀριθμός: παρὰ τὸ ἄρω τὸ ἁρμόζω — Ὅμηρος «ἄρςαντες κατὰ θυμόν» (Il. Α 136) — γίνεται ἁρμός καὶ πλεοναςμῷ τοῦ ς̄ ἀρςμός καὶ τροπῇ τοῦ ς̄ εἰς θ̄ ἀρθμός καὶ πλεοναςμῷ τοῦ ῑ ἀριθμός. ἁρμογὴ γὰρ μονάδων ὁ ἀριθμός. οὕτως Ἡρωδιανός· ὁ δὲ πατὴρ αὐτοῦ ὁ Ἀπολλώνιος παρὰ τὸ ἀλίζω τὸ ςυναθροίζω ἀλιςμός καὶ τροπῇ τοῦ ς̄ εἰς θ̄ ἀλιθμός καὶ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον ἀριθμός· οἱονεὶ ἡ ςυνάθροιςις τῶν μονάδων. — E. Or. 26, 19.

[176ᵃ]

Mon. 46, 6: βοτρυδόν: τὰ εἰς δον λήγοντα ἐπιρρήματα ὀξυνόμενα οὐ θέλει ἀπὸ τῶν εἰς υς̄ ληγόντων ὀνομάτων παράγεςθαι καὶ πρὸ τέλους ἔχειν τὸ υ. μονῆρες ἄρα τὸ βοτρυδόν. — ὁ μέντοι Εὐφορίων παρὰ τὸ εἰς υς παραγωγὸν ποιήςας ἐπίρρημα οὐκ ἔδωκε πρὸ τέλους τὸ ῠ, ἀλλὰ τὸ η̄,

πάντα δέ οἱ νεκυηδὸν ἐλευκαίνοντο πρόςωπα.

---

ad fr. *175. Locum emendavit Lobeck. Proll. 471, qai quamquam pleonasmum in γαιήϊος quod sic etiam in E. M. 223, 12 explicatur reprobat, tamen de origine Herodianea non dubitare sinit totius adnotamenti conceptio, cum qua cf. E. M. 176, 45 ἀφέωκα· τὸ θέμα ἀμφίβολον. E. M. 566, 34 λιμήρη Ἐπίδαυρον: τοῦτο διccόν ἐςτιν· ὁπότε μὲν — ἡ παρά κτλ. E. M. 619 35 οἰχνεῖν ἀμφίβολον et vocabulum ἐπέκταςις, quod Herodianus intellectu simplicis ἔκταςις usurpare amat.

ad fr. 176. Post ἔκρανα ut a Theognosto adiecta verba ὡς φαίνω ἔφανα et post κρᾶνον — φάνον, quae desunt in simillimo loco E. M. 536, 7, An. Paris. III 318, 20 omisi. De re cf. Lob. El. I 436.

ad fr. 177. Post verba Homerica est lacuna οπ......, quae fortasse ex Il. Pr. l. c. ὅπερ ψιλοῦται explenda est. Pro πλεοναςμῷ τοῦ δ scripsi ς̄ collato E. M. 500, 48 οἱ Ἀττικοὶ τρέπουςι τὸ ς̄ εἰς θ̄ τὸ κλαυςμός κλαυθμός λέγοντες καὶ τὸ ἀριςμός ἀριθμός. Verba ἁρμογὴ — ἀριθμός accesserunt ex E. Or. 26, 19, Apollonii explicatio ab ipso Herodiano adiecta fuisse videtur.

*178.

Ep. Hom. 365, 1: πυκνά: οἱ μὲν τὸ πυκνός ἐνδείᾳ τοῦ ῑ λέγουσιν ἐκ τοῦ πυκινός, οἱ δὲ πυκινός ἐν πλεονασμῷ τοῦ ῑ ἐκ τοῦ πυκνός. ἡμεῖς δὲ λέγομεν, ὅτι τὸ πύκα γέγονεν ἐκ τοῦ πυκνός· ἀπὸ τοῦ πυκνός ὀνοματικὸν ἐπίρρημα πυκνά «πυκνὰ μάλα στενάχων» (C 318), ἐλλείψει τοῦ ν̄ πύκα· γίνεται γὰρ ἔλλειψις στοιχείου ὡς ταχέα τάχα, σαφέα σάφα, οὕτως πυκνά πύκα. τὸ δὲ πυκνός γίνεται ἀπὸ τοῦ πτύσσω πτυκνός ἐλλείψει τοῦ τ̄ ὡς ἴσχω ἰσχνός. ἀπὸ δὲ τοῦ πύκα γίνεται παραγωγὴ διὰ τοῦ ῑνος πυκινός· ἀπὸ γὰρ ἐπιρρημάτων γίνονται παραγωγαὶ διὰ τοῦ ινος συνεσταλμένου τοῦ ῑ ἐχθεσινός, πρωϊνός, περυσινός, ὀψινός καὶ παρὰ τὸ τῆτες ἐπίρρημα τητινὸς παρὰ Ἀττικοῖς ὡς ἄδην ἀδινός.

179.

E. M. 41, 44: ἀΐζηλος: ὁ Ἡρωδιανὸς ἐς τὸ περὶ παθῶν λέγει εἶναι αὐτὸ οὕτως. δῆλος ἄδηλος πλεονασμῷ τοῦ ῑ καὶ τροπῇ ἀΐζηλος.

[179a]

Il. Pr. Ω 228 et περὶ Ἀττικῶν προσῳδιῶν E. M. 804, 11: φωριαμός: εἴτε παρὰ τὸ τοὺς φῶρας ἀπείργειν ἢ ἀπὸ τοῦ τὰ φάρη φυλάσσειν ἡ προκειμένη λέξις παρῆκται, ἔσται κατ' ὀξεῖαν τάσιν φωραμός καὶ πλεονασμῷ τοῦ ῑ φωριαμός.

[179b]

Theogn. 57, 14: αἰζήϊος πλεονάσαν τὸ ῑ, οὐ τὸ η̄, ἀνεβίβασε τὸν τόνον, ὥς φησιν Ἡρωδιανὸς ἐν τῇ καθόλου.

[179c]

Mon. 43, 31: ἐσθίω: τὰ εἰς ω̄ λήγοντα ῥήματα ὁριστικὰ ἐνεστῶτος χρόνου, εἰ λάβοι ἐπέκτασιν τοῦ ῑ, περισπᾶσθαι θέλει χαίρω χαριῶ, ἐρεύθω ἐρευθιῶ, φλέγω φλεγιῶ, κνήθω κνηθιῶ, κνίφω κνιφιῶ· ἀλλὰ μόνον τὸ ἐσθίω βαρύνεται· τὸ γὰρ δείδιε οὐχ, ὥς τινες οἴονται, ἀπαι-

---

ad fr. *178. Herodiani esse et dictio ἡμεῖς δὲ λέγομεν, de qua iam saepius monuimus et res demonstrant. de πύκα ex πυκνά orto cf. Io. Alex. 28, 31 seqq., de adiectivis in ῑνος ab adverbiis ductis Arcad. 65, 12. Omisi autem verba ab epitomatore inculcata post ἰσχνός: τὸ δὲ πτύσσω παρὰ τὸ πέτω τὸ πίπτω τὸ ἐπιπίπτειν τινί· πέτω πετύσσω καὶ πτύσσω· οὐδὲν γὰρ ἄλλο ἐστὶ τὸ πτύσσειν ἢ τὸ ἐπιπίπτειν ἕτερον ἑτέρῳ· παρὰ τὸ πτύσσω πτύξω πτύξ καὶ ἀποβολῇ τοῦ τ̄ πύξ ὡς ἀλλάξω ἀλλάξ καὶ ἐναλλάξ, κουρίζω κουρίξω κουρίξ· δήκω δήξω δήξ δάξ καὶ ὀδάξ. λήγω λήξω λήξ καὶ λάξ τὸ τῷ λήγοντι μέρει παίειν.

ad fr. 179. In lemmate scripsi pro ἀΐδηλος ἀΐζηλος et post pro ζῆλος ἄζηλος: δῆλος ἄδηλος. Nam de ἀΐζηλος B 318 «τὸν μὲν ἀΐζηλον θῆκε θεός» sermo fuisse videtur neque dubitandum est, quin etiam Zenodoteae scripturae ἀρίδηλος mentio iniecta fuerit. Hoc autem in Ep. Cr. I 15, 28 sic explicatur: ἀρίζηλος ἐκ τοῦ ἀρί ἐπιτατικοῦ καὶ τοῦ δῆλος πλεονασμῷ τοῦ σ̄ ἀρίσδηλος καὶ ἐπειδὴ τὸ ζ ἐκ τοῦ σ̄ καὶ δ σύγκειται, τρέπεται τὸ δ καὶ σ̄ εἰς ζ καὶ γίνεται ἀρίζηλος, quamquam alii ἀπὸ τοῦ ζῆλος ἀρίζηλος· οἱ γὰρ ἄξιοι ζήλου ἄγαν ἔκδηλοι E. M. 142, 30 cf. Lehrs ad Herod. p. 457 et Merckel ad Apoll. Rhod. CLXXII.

180.

E. M. 220, 9: γαλόῳ: οἱ μὲν λέγουσιν ὅτι ἔστι γάλως, εἶτα διαλύσει τοῦ ῶ γάλοως ὡς τὸ «ἐξ Ἀθόω δ' ἐπὶ πόντον ἔβη» (Ξ 229). ὁ δὲ Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν λέγει, ὅτι ἐστὶν εὐθεῖα ἡ γάλως. κλίνεται δὲ τῆς γάλω· ὁ κανών· τὰ βαρύτονα κατὰ ἀποβολὴν τοῦ ϲ̄ κλίνονται τῆς Κέω. — ἡ δοτικὴ τῇ γάλῳ καὶ πλεονασμῷ τοῦ ο̄ γαλόῳ· διὰ τοῦτο καταβιβάζει τὸν τόνον, ἐπειδὴ οὐδέποτε ἐπὶ τέλους κειμένου τοῦ ῶ τρίτη ἀπὸ τέλους τίθεται ἡ ὀξεῖα χωρὶς τῶν Ἀττικῶν. κλίνεται δὲ καὶ γάλως γάλωτος ὡς γέλως γέλωτος.

181.

E. M. 347, 9: ἐξ Ἀθόω: «ἐξ Ἀθόω δ' ἐπὶ πόντον ἐβήσετο» Ἰλιάδος (Ξ 229) πλανώμενοί τινες ἀναγινώσκουσιν ἐξ Ἄθοω· οὐ γὰρ δύναται τρίτη ἀπὸ τοῦ ῶ πίπτειν ἡ ὀξεῖα· οὐ γὰρ ἔχει πρὸ τοῦ ῶ τὸ ε ὡς τὸ πόλεων. ἀμφίβολον· εἰ μὲν γὰρ παρὰ τὸ Ἄθως Ἄθω, ἐστὶ πλεονασμὸς τοῦ ο̄· εἰ δὲ εἴρηται Ἀθόως Ἀθόω, οὐκ ἔτι πλεονάζει. Ἡρωδιανὸς περὶ παθῶν.

τεῖ θέμα τὸ δειδίω. εἰ δὲ καὶ ἀπαιτήσῃ, ἐκ παρακειμένου ἂν εἴη γινόμενον.

[179d]

St. B. 379, 3: Κοτιάειον: — τινές φασι Κοσιάειον ὀφείλει· δοκεῖ δὲ ἀπὸ τοῦ Κόσα Κοσάειον ὡς τοῦ Μίδα Μιδάειον καὶ προσθέσει τοῦ ῑ Κοσιάειον καὶ τροπῇ Κοτιάειον.

[179e]

St. B. 62, 1: Ἀκουιτανοί: ἔοικε τὸ ῑ κατὰ πλεονασμὸν ἔχειν.

[179f]

St. B. 608, 9: Ταῦρος: τὸ ἐθνικὸν Ταυριανός πλεονασμῷ τοῦ ῑ ὡς Ζυγιανός.

[181a]

Io. Al. 37, 31: τὸ δοάν ὀξυνόμενον πλεονασμὸν ἔχει τοῦ ο δήν δάν δοάν.

---

ad fr. 180. Omisi ἔστι δὲ ἡ ἀνδρός ἀδελφή post ἡ γάλως ut ab epitomatore adiecta. Vorbis τῶν Ἀττικῶν intellegi πόλεως ἵλεω adnotavit Lob. El. I 471. cf. Ep. Cr. I 146, 10 ἀμφὶ δὲ μιν γαλόῳ (Χ 473) ἐπενθέσει τοῦ ο̄· γάλως γὰρ καὶ «ἐξ Ἀθόω», Ἄθω γάρ. ἐν δὲ τῷ λαγωός οὐκ ἐπένθεσις τοῦ ο̄, ἀλλὰ δισσὴ ἡ χρῆσις· λαγώς γὰρ καὶ λαγωός, οὐχ, ὡς Τρύφων οἴεται, ταῦτα Βοιωτῶν εἰσι διαλέκτου. ἐκεῖνοι γάρ, φασί, τῷ υ προσνέμουσι τὸ ο ὑμῖν οὐμῖν, κύνες κούνες.
ad fr. 181. In fine pro Ἄθοος Ἀθόου scripsi cum Lob. El. I 472 Ἀθόως Ἀθόω. cf. St. B. 36, 10 Ἄθως: εἴρηται δὲ καὶ Ἄθοος ὡς Κῶς Κόος. λέγεται δὲ καὶ κατὰ συναίρεσιν Ἄθους. ἡ κλίσις διττή, καὶ Ἄθωος καὶ Ἄθω.

---

ad fr. [179f]. De his dubitanter Herod. ap. St. B. 17, 2 τὸ Ταυριανός καὶ Σκορπιανός καὶ Ζυγιανός ἀπὸ τῶν Σκόρπων καὶ Ταύρων καὶ Ζυγῶν παράγεσθαι δοκοῦσι, δυνάμενα καὶ αὐτὰ ἀπὸ τῶν προτέρων παράγεσθαι τοπικῶν, Ζυγίων, Σκορπίων, Ταυρίων.

*182.

St. B. 641, 16: Τύμωλος: οὕτως ὁ Τμῶλος κατὰ ποιητικὸν μετασχηματισμόν.

183.

E. Gud. 287, 10, E. M. 481, 16: ἰωή: ἡ φωνή· παρὰ τὸ ἴω γίνεται ἰὴ καὶ πλεονασμῷ τοῦ ω ἰωὴ ἡ διικνουμένη εἰς τὰς ἀκοάς. οὕτως Ἡρωδιανός.

*184.

Ep. Hom. 86, 26, E. M. 157, 26: ἀσπιδιώτης: εἰ μὲν ἀπὸ τῆς ἀσπίδος ἀσπιδίτης, δηλονότι πλεονασμῷ τοῦ ῶ· εἰ δὲ παρὰ τὸ ἀσπίδιος ἔνθεν «ὑπασπίδια» (e. g: Ν 158) παραγωγόν, οὐ πλεονάζει ὥσπερ ἴδιος ἰδιώτης καὶ ἥλιος ἡλιώτης καὶ ἀφηλιώτης, οὕτως ἀσπίδιος ἀσπιδιώτης.

E. Or. 30, 7: ἀγροιώτης: ἀγρός ἀγρότης ὡς δῆμος δημότης πλεονασμῷ τοῦ ῑ ἀγροίτης καὶ προσθέσει τοῦ ω ἀγροιώτης.

*185.

St. B. 493, 6: Ὁμόλιον πόλις Μακεδονίας καὶ Μαγνησίας. τὸ δὲ Ὁμολώϊον κτητικόν ἐστι κατὰ πλεονασμὸν τοῦ ῶ.

[182ᵃ]

Il. Pr. Ο 365: τὸ ἦτε ξείνων θέμις ἐστί (Od. ι 268) δασύνεται, τὸ δὲ ἠΰτε ψιλοῦται.

[182ᵇ]

Ep. Cr. I 313, 5: τὰ εἰς ῶ λήγοντα ῥήματα εἴτε βαρυτονεῖται εἴτε περισπᾶται, διὰ τοῦ ῠ βραχυνομένου ἐπεκτείνεται παρὰ τοῖς Ἴωσιν οἷον κινῶ κινύω, φορῶ φορύω, ἐξ οὗ κατὰ παρένθεσιν Δωρικὴν τοῦ ν̄ φορύνω.

---

ad fr. *184. Similia habet St. B. 134, 25 Ἀσπίς: τὸ ἐθνικὸν Ἀσπιδίτης τῷ ἔθει τῶν Αἰθιοπικῶν πόλεων καὶ Λιβυσσῶν· τὸ δ' ἀσπιδιώτης παρὰ τῷ ποιητῇ (Β 554, Π 167) κατὰ πλεονασμὸν τοῦ ω· ἔστι δὲ τοῦτο παρὰ τὸ ἀσπίδιον· Μένανδρος «ἀσπίδιον ἐπριάμην τι καὶ μαχαίριον». τὸ δὲ ἀσπιδίτης Σοφοκλῆς ἐν Ναυπλίῳ καταπλέοντι «ἀλλ' ἀσπιδίτην, ὄντα καὶ πεφραγμένον». Conferri possunt St. B. 474, 7 νῆσος: ὁ ταύτην οἰκῶν νησίτης, τοῦ δὲ νησίον νησιώτης; p. 512, 20 πατρίς: τὸ ἐθνικὸν ὤφειλε πατρίτης· ἄμεινον δὲ τὸ πατριώτης; 470, 13 Ναύκρατις πόλις Αἰγύπτου, ὡς πολίτης Ναυκρατίτης, καὶ Ναυκρατιώτης ὡς Πηλουσιώτης, ἴσως ἀπὸ τοῦ Ναυκράτιον ἢ Ναυκρατία ὡς Ἰταλία Ἰταλιώτης. — De ἀγροιώτης (quod ex E. M 12, 40 emendavit Larcher) cf. St. B. s. ἀγρός· ἀγρότης καὶ ἀγροιώτης.

---

ad fr. [182ᵃ]. cf. E. M. 440, 11 τὸ ἢ ἀντὶ τοῦ ὡς προσθέσει τοῦ τε καὶ πλεονασμῷ τοῦ ῡ γίνεται ἠΰτε· δεῖ δὲ γινώσκειν ἠΰτε ἐν διαστάσει· κανὼν γάρ ἐστιν ὁ λέγων, ὅτι οὐκ ἔστιν ἐπινοῆσαι τὸ η̄ καὶ ῡ ἐν μιᾷ συλλαβῇ χωρὶς εἰ μὴ ἐν κλίσει ῥήματος ὡς αὐδῶ ηὔδων, αὐχῶ ηὔχουν· ἀναγκαίως οὖν ἡ διάστασις τοῦ ἠΰτε ὁμοίως τῷ γρηῢς καὶ νηῢς, cum quibus congruit fere Apoll. de adv. 559 seqq.

ad fr. [182ᵇ]. Ex compluribus de parectasi vocalis ῠ in verbis (E. M. 115, 13 ἀνύω, E. M. 111, 14; 150, 48, Ep. Cr. I 322, 7) adnotamentis hoc recepi, quia iam vox epectasis (cf. Mon. 43, 31 ἐσθίω) Herodiani memoriam excitat. huc accedit, quod pleonasmum literae ν in verbis Doricum vocat etiam ap. Eustath. 562, 43.

186.

E. M. 176, 45: ἀφέωκα: τὸ θέμα ἀμφίβολον· ὁ παρακείμενος ἀφεῖκα, εἶτα ἐλλείψει τοῦ ῑ καὶ πλεονασμῷ τοῦ ω̄ ἀφέωκα. ἄλλοι ὥςπερ παρὰ τὸ πτῶ γίνεται πέπτηκα καὶ πέπτωκα κατὰ τροπὴν τοῦ η̄ εἰς ω, οὕτω καὶ ἧκα πλεονασμῷ τοῦ ε̄ ἕηκα καὶ τροπῇ τοῦ η̄ εἰς ω̄ ἀφέωκα καὶ ὁ παθητικὸς παρακείμενος κατὰ τὸ τρίτον ἀφέωνται. οὐ δεῖ δὲ τὰ ἀμφιβαλλόμενα παραλαμβάνειν. οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν.

187.

Ep. Cram. II 338, 24: ἀπαιωρήσας: ἐκ τοῦ αἴρω τὸ κουφίζω πλεονασμῷ τοῦ ω̄ αἰωρῶ ὥςπερ ἀπὸ τοῦ ἔθω εἶθα εἴωθα καὶ ἀφεῖκα ἀφέωκα ἢ ἀπὸ τοῦ ἀφῆκα πλεονασμῷ τοῦ ε̄ ἀφέηκα καὶ τροπῇ τοῦ μακροῦ εἰς μακρὸν ἀφέωκα, καὶ ἀφέωνται κατὰ πάθος. ὁ Ἡρωδιανὸς ταῦτα ἐν τῷ κατὰ πάθη (?).

188.

E. Gud. 269, 3: ἰάλεμος: ἔστιν ἵημι τὸ πέμπω, ἐκ τούτου γίνεται ἵημος, τροπῇ τοῦ η̄ εἰς ε̄ ἵεμος καὶ πλεονασμῷ τῆς α̅λ̅ συλλαβῆς ἰάλεμος καὶ ἰαλεμῆσαι ἐπὶ τοῦ θρηνῆσαι. οὕτως Ἡρωδιανός.

[186ᵃ]

Schol. A ad Il. Γ 272: ἄωρτο. — τοῦ ἄρω ὁ παρακείμενος ἦρκα, ὁ παθητικὸς ἦρμαι, ὑπερσυντέλικος ἤρμην, τὸ τρίτον ἦρτο, συστολῇ ἄρτο, ἐπενθέσει τοῦ ω ἄωρτο ὥςπερ εἶθα εἴωθα. οὕτως Ἡρωδιανὸς ἐν τῷ β′ τμήματι τῷ περὶ παθῶν Διδύμου.

[188ᵃ]

E. Or. 57, 10: ἐτήτυμον: ἐτεόν ἔτυμον καὶ πλεονασμῷ τῆς τ̅η̅ συλλαβῆς ἐτήτυμον.

ad fr. 186. Cum Lobeckio El. I 480 verba οὐ δεῖ δὲ τὰ ἀμφιβαλλόμενα παραλαμβάνειν in fine posui, quia his verbis refelluntur ii, qui ἧκα pro perfecto aoristi simili habuerunt. Hinc concludi etiam potest Herodianum alteram explicationem quam Philoxeni fuisse ex Ep. Cr. I 57, 10 comperimus praetulisse. Ceterum necesse fuit pro ἀλλ᾽ ὥςπερ scribere ἄλλοι.

ad fr. 187. Lob. El. I 481 not. post αἴρω excidisse arbitratur huiuscemodi verba: αἶρα καὶ πλεονασμῷ αἰώρα, ἐξ οὗ αἰωρέω, equidem αἰωρῶ apposui et post εἴωθα propter antecedens fragm. inserui καὶ ἀφεῖκα ἀφέωκα.

ad fr. 188. Omisi quae ex alio loco huc de ἰήϊος vel ἰήιος illata sunt (nam ad hoc vocabulum pertinent ὅτε μὲν ἐπὶ ἡλίου λέγεται, δασύνεται ἐπὶ τῆς ἀφέσεως τῶν βελῶν). In E. M. 462, 53 etiam altera originatio huic, quae sola in E. Gud. exstat, praemissa est: ἔστιν ἵημι, ἐκ τούτου ἶηος, εἶτα ἰήεμος, τροπῇ τοῦ η εἰς α καὶ πλεονασμῷ τοῦ λ ἰάλεμος et in fine pro οὕτως Ἡρωδιανός subscriptum est: οὕτω Φιλόξενος περὶ μονοσυλλάβων, ὥς φησιν Ὠρίων. Quum autem in E. Orionis nihil de voce ἰάλεμος traditum sit et constet Herodianum saepe Philoxeni scripta respicere, in E. M. pro Ὠρίων scribendum videtur Ἡρωδιανός. De re cf. Lob. Proll. 98 et 158.

ad fr. [188ᵃ]. Reperitur eo loco literae Є, ubi plura Herodianea proferuntur.

*189.

E. M. 282, 32: ἐδολιοῦϲαν: δολιῶ ὁ παρατατικὸϲ ἐδολίεον ἐδολίουν· τὸ τρίτον τῶν πληθυντικῶν ἐδολιοῦϲαν. καὶ ὤφειλεν εἶναι ἐδολίεον ἐδολίουν ὥϲπερ ἐποίεον ἐποίουν. ἀλλ' οἱ Βοιωτοὶ ἐπὶ τῶν μὴ ἐχόντων τὴν μετοχὴν εἰϲ ϲ̄ ὀξύτονον ποιοῦϲι τὸ τρίτον τῷ πρώτῳ ἰϲοϲύλλαβον οἷον ἐμάθομεν ἐμάθοϲαν, εἴδομεν εἴδοϲαν, ἐπὶ δὲ τῶν ἐχόντων τὴν μετοχὴν εἰϲ ϲ̄ ὀξύτονον ποιοῦϲιν ἔνδειαν ϲυλλαβῆϲ καὶ φυλάττουϲι τὴν παραλήγουϲαν τῆϲ γενικῆϲ τῶν μετοχῶν οἷον ἐκοϲμήθημεν ἐκοϲμήθηϲαν ἐκόϲμηθεν ὡϲ τὸ «αὐτὰϲ ἐπεὶ κόϲμηθεν» (Γ 1).

190.

ὑποπετριδίων ὀνείρων: Ὕμνου εἰϲ Διοϲκούρουϲ πρώτῳ Ἀλκμὰν ταύτῃ τῇ διὰ τοῦ ῑδιοϲ παραγωγῇ ἐχρήϲατο, ᾗπερ χρῶνται οἱ γραμματικοὶ ὡϲ τύμβοϲ τυμβίδιοϲ παῦροϲ παυρίδιοϲ, μοῖχοϲ μοιχίδιοϲ,

---

[190a]

Eustath. 890, 9: φαϲὶν Ἀπίων καὶ Ἡρόδωροϲ, ὅτι ἔοικεν ὁ Ῥοδίοϲ ποταμὸϲ παρὰ τὸν ῥόον ὠνομάϲθαι πλεονάϲαντοϲ τοῦ δῑ ὡϲ καὶ ἐν τῷ πίδαξ. πίαξ γὰρ παρὰ τὸ πιεῖν. καὶ ἐν τῷ πόρδαλιϲ καὶ πάρδαλιϲ· παρὰ τὸ προάλλεϲθαι γὰρ καὶ παράλλεϲθαι.

---

ad fr. *189. Quamquam similis sententia ap. Eustath. 1759, 36 Heraclidi tribuitur, tamen hoc fragmentum ab Herodiano profectum opinor propter extremam partem de κόϲμηθεν, quae fere congruit cum Il. Pr. Δ 222 ἔδυν πληθυντικόν ἐϲτι ϲυγκοπὲν ἀπὸ τοῦ ἔδυϲαν. — εἰ δέ τιϲ λέγοι, ὅτι τὰ ἑνικὰ καὶ τὰ πληθυντικὰ ὁμοφωνοῦντα καὶ ὁμόχρονά ἐϲτιν οἷον ἔλεγον ἐγὼ καὶ ἔλεγον ἐκεῖνοι, ἴϲτω ὅτι ἐκ ϲυγκοπῆϲ ἐϲτι τοῦτο τοῦ ἔδυϲαν· ἐν δὲ τοῖϲ τοιούτοιϲ τρίτοιϲ ἡ ϲυγκοπὴ ἀναδέχεται λῆξιν τὴν αὐτὴν τῇ παραληγούϲῃ τῆϲ γενικῆϲ τῆϲ κατὰ τὴν μετοχήν, ἔϲταϲαν ἔϲταν, ϲτάντοϲ γάρ — ἐκοϲμήθηϲαν ἐκόϲμηθεν, κοϲμηθέντοϲ γάρ. cf. praeterea Choer. Dict. 535, 21 seqq., E. M. 426, 1 ἤλθοϲαν. Ahrens de dial. Aeol. 210 not. 3. Lob. El. I 485.

ad fr. 190. Codicis scriptura haec est: Διονύϲιοϲ ὁ Ϲίδιοϲ (cod. V ap. Gaisf. habet Ϲίδιτοϲ, DM ϲι with δ above) πρῶτον (cod. V πρῶτοϲ) ταύτῃ τῇ ἐπιβολῇ ἐχρήϲατο, ᾗπερ χρῶνται οἱ γραμματικοί, ὡϲ τύμβοϲ τυμβίδιοϲ, παῦροϲ παυρίδιοϲ, ϲχίδιοϲ, πτερόν πτερίδιοϲ. ἐχρῆν οὖν εἰπεῖν καὶ τῶν ὑποπτεριδίων ὑπὲρ τῶν ὑποπετεριδίων. Lobeckius Proll. 357 sic locum emendandum existimavit: Διονύϲιοϲ ὁ Ϲυρακόϲϲιοϲ πρῶτον ταύτῃ τῇ ἐπιβολῇ ἐχρήϲατο· οἷϲ γὰρ χρῶνται οἱ γραμματικοὶ ὡϲ ὁμοίοιϲ τύμβοϲ τυμβίδιοϲ, παῦροϲ παυρίδιοϲ, μοῖχοϲ μοιχίδιοϲ, διαφέρει ἀπὸ μακρᾶϲ ἀρχόμενα. ἐχρῆν οὖν ὑποπτέρων ἢ ὑποπτερύγων. Lucem accepit hic Herodiani locus reperto fragmento hymni Alcmanici in Dioscuros (cf. Philolog. XXI p. 126 et XXII p. 1 seqq., ubi Bergkius p. 14 nostrum locum disceptavit,

ad fr. [190a]. Licet de Ῥοδίοϲ et πίδαξ credamus, tamen πάρδαλιϲ et πόρδαλιϲ vocabulorum portentosa originatio ab Herodiano aliena putanda est; huc accedit, quod pleonasmus syllabae et simplicis consonae ab Eustathio confunduntur. — Ep. Cr. 176, 26 ἑλκεϲιπέπλουϲ: τὸ ο̄ ἐν ταῖϲ ϲυνθέϲεϲι πολλάκιϲ εἰϲ τὸ ε μεταβάλλομεν καὶ τὴν ϲι ϲυλλαβὴν προϲλαμβάνομεν οἷον ἕλκω ἑλκόπεπλοϲ ἑλκεϲίπεπλοϲ· πρῶτοϲ πρωτόλαοϲ Πρωτεϲίλαοϲ, πηγόϲ πηγόμαλλοϲ πηγεϲίμαλλοϲ. ἔνιοι δὲ ἀπὸ μελλόντων αὐτὰ ϲχηματίζουϲι τῶν διπλῶν μὲν ἀναλυομένων, τοῦ δὲ ε παρεμπίπτοντοϲ οἷον ἕλξω ἑλξίπεπλοϲ καὶ ἑλκεϲίπεπλοϲ, πήξω πηξίμαλλοϲ καὶ πηγεϲίμαλλοϲ non Herodiani est, qui in compositis a verbis barytonis ε̄ nativum, non ex ο mutatum habuit; si in his quid Herodianeum est, altera explicatio ἕλξω ἑλξέπεπλοϲ ἑλκεϲίπεπλοϲ magis conveniat iis, quae ap. Theogn. p. 81 tradit. cf. etiam Ep. I 431, 9 φθιϲίμβροτοϲ.

οὕτως πτερόν πτερίδιος. ἐχρῆν οὖν εἰπεῖν καὶ τῶν ὑποπτέρων ὀνείρων τῶν ὑποπτεριδίων καὶ ὑπερθέσει τῶν ὑποπετριδίων. οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν.

191.

E. M. 256, 20: δεξιτερός: ὁ Ἡρωδιανὸς λέγει, ὅτι συνεξέδραμε τῷ ἄριστος ἀριστερός καὶ τὸ δεξιός δεξιτερός. τοῦτο γὰρ συνεκδρομή, οὐ πλεονασμός, ὥσπερ, καθὰ παρὰ τὸ πρόβατον γίνεται προβάτερον, οἷος οἱότερον, ὡς λέγει Σώφρων. τοῦτο γὰρ οὐ λέγεται πλεονασμός, ἀλλὰ συνεκδρομὴ τοῦ προβάτερον. οὕτω δεξιτερός ὡς ἀριστερός.

192.

E. M. 537, 31: κρήδεμνον: ὁ Ἡρωδιανὸς λέγει, κρήδεμνον λέγεται παρὰ τὸ κάρη καὶ δέμω τὸ κατεσκευασμένον καὶ πεποιημένον εἰς κεφαλὴν τῶν νέων.

193.

E. Gud. 97, 18: ἄφνω: γέγονε παρὰ τὸ ἀφανής ἀφανῶς ὡς

---

cuius sententiam recte enucleavit. Iure vir illustrissimus de intellectu initii desperat, quod sicut nunc legitur, sensu caret. Equidem suspicor in verbis principalibus Alcmanem et hymnum in Dioscuros diserte memoratos fuisse et ea, quae primitus exstabant, grammatici describentis ignorantia et librarii neglegentia foede perversa esse. In Διονύσιος latere arbitror Διοσκούρους et πρῶτος vel πρῶτον ex πρώτῳ immutatum esse, ειδιος autem esse διὰ τοῦ ιδιος, quod verbis ταύτῃ τῇ ἐπιβολῇ superscriptum in antecedentem lineam illatum est. quare scribendum opinatus sum Ὕμνου εἰς Διοσκούρους πρώτῳ (sic etiam Apoll. de pron. 334 librum primum indicat) et poetae nomen Ἀλκμάν excidisse et pro ἐπιβολῇ suspicor παραγωγῇ vel παρολκῇ (cf. Il. Pr. Υ 357) vel ἐπεκτάσει (cf. Lehrs q. ep. p. 33, ubi ex Apollonii lexico profertur νηπύτιοι: — ἐπέκτασίς ἐστι τοῦ νήπιοι) ponendum esse, nam innuit Herodianus ὑπόπτερος iam satis fecisse et terminationem ιδιος pro ος per quandam abundantiam usurpatam esse. In reliquis Bergkii emendationem amplector. Ab epitomatoribus autem pro iis, quae non intellexerunt, nomina grammaticorum inculcata esse iam supra (fr. 9) vidimus, ubi ex Ἀσπληδόνα fecerunt Ἀσκληπιάδην.

ad fr. 191. pro τό ἄριστος ἀριστερός scripsi τῷ, pro καὶ post ὥσπερ καθά, pro πρόβασιν — προβάτιον: πρόβατον προβύτερον et post pro προβάτεον iterum προβάτερον. Sic sententia optime procedit: δεξιτερός a δεξιός ad similitudinem adiectivi ἄριστος ἀριστερός formatum esse pari modo atque οἱότερος ad analogiam formae προβάτερον. Cur autem προβάτερον minus audax et quasi legitimam habuerit, ea fuit causa, quod πρόβατον natura sua primitus adiectivum est, cui se merum substantivum accommodavit. Etiam Ahrensius de dial. Dor. 388 not. προβάτερον scribendum esse suspicatus est, Lobeckius vero El. I 335 not. 10 proposuit: ὥσπερ καὶ τὸ πρόβατον γίνεται προβάτειον οἱός οἱάτειον. Iam Arist. poet. 21 commemorat δεξιτερός pro δεξιός: ἐξηλλαγμένον ἐστὶν ὅταν τοῦ ὀνομαζομένου τό μὲν καταλείπῃ τό δέ ποιῇ οἷον τό «δεξιτερὸν κατὰ μαζόν» ἀντὶ τοῦ δεξιόν.

ad fr. 192. verba κάρη καὶ ex iis, quae in E. M. praecedunt: κρήδεμνον — παρὰ τό κάρη καὶ τό δέω τό δεσμεύω καρήδεμνον καὶ συγκοπῇ κρήδεμνον τὸ τὴν κεφαλὴν δεσμεῦον, inserui, nam quin haec Herodiani sententia fuerit, dubitari non potest comparata Il. Pr. Π 548: παρὰ τό καρή ὀξυνόμενον καρῆθέν ἐστι καὶ κρῆθεν ἐν συγκοπῇ.

ad fr. 193. Pariter de hoc sentit Apollon. de adv. 580. — Idem fere traditur in E. Orion. 17, 19 auctore tacito: ἄφνω· παρὰ τό ἀφανής ἀφανῶς ἔδει περισπωμένως· ἐξέστη τὸ ς καὶ μετέστη ὁ τόνος· ἐπειδὴ τὰ εἰς ω λήγοντα ἐπιρρήματα δισύλλαβα, μὴ ὄντα Δώρια, βαρύνονται, πόρρω, κάτω, ἔξω. Ab Herodiano profectum videtur etiam ap. Orion. p. 33, 19 βλάξ· μαλακός καὶ παρώνυμον

εὐςεβής εὐςεβῶς, εὐγενής εὐγενῶς καὶ ςυγκοπῇ καὶ ἀποβολῇ τοῦ ε̄ καὶ ἀναδρομῇ τοῦ τόνου διὰ τὸν χαρακτῆρα. οὕτως περὶ παθῶν.

*194.

Ep. Cr. I 369, 13: τὸ ἰάπτω καὶ τὸ ᾱ ἐκβάλλει «μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν» (Α 454). ὡς δὲ παρὰ τὸ ἴξω ἴξαλος «ἰξάλου αἰγός» (Δ 105), κονίςω κονίςαλος, οὕτω καὶ ἴψω ἴψαλος, ἀφ' οὗ παρὰ Cτηςιχόρῳ «ἀνίψαλον παῖδα» τὸν ἀβλαβῆ.

*195.

Choer. Dict. 438: τὸ ἄκμων ςύνθετόν ἐςτι παρὰ τὸ ᾱ ἐπιτατικὸν μόριον καὶ καμών ἀκάμων καὶ κατὰ ςυγκοπὴν ἄκμων οἱονεὶ ὁ πάνυ κάμνων.

196.

E. M. 394, 34: Εὐξαντίδος γενεῆς: Εὐξάντιος· τὸ πατρωνυμικὸν Εὐξαντιάδης, τὸ θηλυκὸν Εὐξαντιάς Εὐξαντιάδος. ἆρον τὸ ᾱ καὶ γίνεται Εὐξαντίς Εὐξαντίδος. Ἡρωδιανὸς περὶ παθῶν.

*197.

Ep. Cr. I 422, 19: Ὑρτακίδης: τῷ εἴδει πατρωνυμικόν. τὸ προκατάρχον Ὕρτακος «καὶ Ἄςιον Ὑρτάκου υἱόν» (Ν 759). τὰ δὲ ἀπὸ

μάλαξ. ςυγκοπὴ καὶ μετάθεςις τοῦ μ̄ εἰς β̄ βλάξ· οὐ γὰρ ἐδύνατο τὸ μ̄ προτάςςεςθαι τοῦ λ̄.

ad fr. *194. Hoc Herodianeum esse patet ex Il. Pr. A 567: ἔςτι ῥῆμα ἰάπτω, ὃ ςημαίνει τὸ διαφθείρω καὶ βλάπτω, ἔνθεν τὸ «πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν» καὶ μέςον αὐτοῦ κατ' ἔλλειψιν τοῦ ᾱ «μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν» (Α 454)· ἔνθεν καὶ τὸ ἴψ. ἔςτι δὲ θηρίον διατρῶγον τὰ ξύλα.

ad fr. *195. Quamquam Lobeckius El. I 221 not. 5 hoc ex confesso fictum esse dicit ut κεκάμηκα — κέκμηκα E. M. 521, 30 tamen ut locus E. M., ubi τὸ κέκμηκα οὐκ ἔςτι ἀπὸ τοῦ κμῶ, ἀλλ' ἀπὸ τοῦ κεκάμηκα diserte Herodiano adscribitur, sic etiam hoc Choerobosci adnotamentum ex Herodiano petitum videtur, praesertim si memineris eum ap. Arcad. 62, 18 ἀμνός ducere ab ἄμενος παρὰ τὸ μὴ ἔχειν μένος. Accuratius de ἄκμων disseruit Choer. etiam alio loco 819, 22 eadem vestigia premens: ἄξιόν ἐςτι ζητῆςαι, διατί ἡ ἑκών μετοχὴ ἐν τῇ ἀέκων ἀναβιβάςαςα τὸν τόνον ἔμεινε μετοχὴ καὶ οὐκ ἐγένετο ὄνομα; καὶ ἔςτιν εἰπεῖν, ὅτι ἐκ τῆς ᾱ ςτερήςεως ςυντιθεμένη καὶ φυλάττουςα τὸ τέλος φυλάττει καὶ τὸ αὐτὸ μέρος τοῦ λόγου οἷον δοῦλος ἄδουλος, φίλος ἄφιλος, ςεμνός ἄςεμνος, κακός ἄκακος, ψευδής ἀψευδής, ςαφής ἀςαφής· τὸ γὰρ τλάς Ἄτλας καὶ τὸ βάς Ἄβας φυλάξαντα τὸ τέλος καὶ μὴ φυλάξαντα τὸ αὐτὸ μέρος τοῦ λόγου, ἀλλὰ γινόμενα ὀνόματα οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔχουςι τὴν ᾱ ςτέρηςιν, ἀλλὰ τὴν πρώτην ἐπίταςιν οἱονεὶ ὁ πάνυ καρτερῶν, πάνυ βαίνων (pr. βοῶν)· ἐπειδὴ οὖν ἡ ἀέκων ἐφύλαξε τὸ τέλος τοῦ ἑκών, τούτου χάριν καὶ τὸ αὐτὸ μέρος τοῦ λόγου ἐφύλαξε καὶ ἔμεινε μετοχή. — τὸ ἄκμων ἀπὸ τοῦ ᾱ καὶ τῆς καμών μετοχῆς γενόμενον καὶ μὴ φυλάξαν τὸ αὐτὸ μέρος τοῦ λόγου, ἀλλὰ γενόμενον ὄνομα οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ τὸ α οὐ μόνον ςτερητικὸν δύναται εἶναι ἐνταῦθα, ἀλλὰ καὶ ἐπιτατικόν, ἄκμων γὰρ λέγεται ἢ παρὰ τὸ μὴ κάμνειν ἢ παρὰ τὸ πάνυ κάμνειν· ἄλλως τε δὴ καὶ τοῦ κάμνω ςυνέκοψε φωνὴν οἷον ἀκάμων καὶ ἄκμων καὶ τούτου χάριν οὐκ ἔμεινε μετοχή. Herodiano deberi videtur etiam E. Or. 17, 17: ἄτρακτος: ταράςςω ταρακτὸς· ἀτάρακτος καὶ ςυγκοπῇ ἄτρακτος; legitur enim hoc adnotamentum medium inter alia Herodianea.

ad fr. 196. Idem in Bekk. An. 850, 28 et An. Ox. IV 327 Apollonio assignatur, cum quo Herodianus ceterum de femininis patronymicorum formatione dissentiens de affectione certe huius vocabuli concinisse putandus est.

ad fr. *197. Ex praecedente fr. etiam hoc ab Herodiano profectum esse probatur.

τῶν εἰς ιος διὰ τοῦ αδης ποιεῖ τὰ πατρωνυμικά· ἐχρῆν ἄρα παρὰ τὸ Ἐριχθόνιος Ἐριχθονιάδης, ἀλλὰ κατὰ συγκοπὴν Ἐριχθονίδης.

*198.

St. B. 20, 4: Ἀγνώνεια: τὸ ἐθνικὸν Ἀγνωνείτης ὡς Μαρωνείτης τοῦ Μαρώνεια καὶ Καυκωνείτης τοῦ Καυκώνεια κατ' ἔλλειψιν τοῦ ᾱ.

*199.

St. B. 322, 2: Ἰάμνια: τὸ ἐθνικὸν ἔδει Ἰαμνιάτης. ἔστι δὲ καὶ Ἰαμνίτης καθ' ὕφεσιν τοῦ ᾱ. τὰ γοῦν καθ' ὕφεσιν τοῦ ᾱ διὰ διφθόγγου εἰσὶ πλὴν τοῦ Ἰαμνίτης καὶ τοῦ Δαυνίτης.

*200.

St. B. 385, 10: Κριώα δῆμος: τὰ τοπικὰ Κριῶθεν κατὰ συγκοπὴν καὶ Κριῶσε καὶ Κριῶσιν.

201.

E. M. 685, 1: πόστος: ὡς μυχός μύχατος, τρίτος τρίτατος, ἕβδομος ἑβδόματος, οὕτω πόσατος καὶ κατὰ συγκοπὴν πόστος. περὶ παθῶν.

[201ᵃ]

Arcad. 161, 10: σεσημείωται τὸ δάκνω βαρύτονον, ὅπερ ἀπὸ τοῦ δαγκάνω καὶ κατὰ συγκοπήν.

[201ᵇ]

Il. Pr. M 148: τὰ εἰς μος μετ' ἐπιπλοκῆς τοῦ χ ὀξύνεσθαι θέλει, αὐχμός, ἰωχμός. ταύτῃ καὶ πλοχμός, εἴτε συγκέκοπται εἴτε καὶ ἐντελές ἐστιν, ὀξυτονηθήσεται.

[201ᶜ]

E. Or. 57, 2, E. M. 316, 40: ἔδνα τὰ πρὸ τοῦ γάμου ὑπὸ τοῦ

ad fr. *198. Aliis locis aliter decernit St. B. 13, 8 et 295, 6 Ἀγαμμειάτης ab Ἀγάμμεια et Ἀγαμμείτης ab Ἀγάμμη repetitur pariter atque Ζηλείτης a Ζέλη et Ζελειάτης a Ζέλεια; cf. praeterea 53, 17; 527, 7; 545, 19 et 431, 15 Μαντούτης ἐστὶ κατὰ συγκοπὴν ὡς τὸ Ζελείτης. Videtur Herodianus inter utramque sententiam fluctuasse similiter atque haesitavit utrum e. g. Ἀγάμμεια prototypon, unde Ἀγάμμη per synaloephen factum sit, an paragogum ab Ἀγάμμη sit St. B. 13, 3 et 11, 15.

ad fr. *199. cf. St. B. 222, 18 Δαύνιον: τὸ ἐθνικὸν Δαύνιοι καὶ Δαυνῖται κατὰ συγκοπὴν ἀπὸ τοῦ Δαυνιᾶται et 264, 6 Ἐλαΰια: τὸ ἐθνικὸν Ἐλαυϊάτης καὶ Ἐλαυίτης ὡς Ἰαμνιάτης καὶ Ἰαμνίτης.

ad fr. *200. Si St. B. 539, 14 Πυθῶθεν ὡς Κριῶθεν sc. a Κριώ dicit, haec eadem inconstantia est, quam in fr. 198 animadvertimus; fortasse Herodianus pronunciaverat: δύναται δὲ καὶ ἐκ τοῦ Κριώ ὡς Πυθώ Πυθῶθεν. Praetermisi St. B. 466, 2 Μῶβα: ἔοικε δ' ἐνδεῖν τὸ α· ἦν γάρ Μώαβα. τὸ ἐθνικὸν Μωαβίτης, quia Uranius pro teste speciei Μῶβα profertur.

ad fr. 201. Hoc habet etiam Arcad. 50, 3 πόστος ἐκ τοῦ πόσατος. cf. Lob. El. I 225.

ad fr. [201ᵃ]. cf. Lob. El. I 224, Techn. 126.
ad fr. [201ᵇ]. cf. Lob. El. I 226.
ad fr. [201ᶜ]. Haec notatio reperitur eo literae Ε loco, ubi plura Herodianea proferri solent. Ex Herodiani libro περὶ παθῶν in E. Orionis translata videtur notatio

*202.

E. M. 498, 42: κεβλή ἀπὸ τοῦ κεφαλή γίνεται κατὰ cυγκοπήν.

203.

Schol. B ad Il. K 374, E. M. 746, 25, Philem. p. 152: τάρβοc: τριcὶ παραγωγαῖc ὁ Ἡρωδιανὸc τοῦτο ὑπέβαλε· πρῶτον ἐκ τοῦ ταράccω τάραβοc καὶ cυγκοπῇ τάρβοc παρὰ τὸ ταράccειν τὴν ψυχήν. δεύτερον ἐκ τοῦ τρέπω ὁ δεύτεροc ἀόριcτοc ἔτραπον τράποc καὶ τάρβοc. οἱ γὰρ εὐλαβούμενοι φεύγουcι. τρίτον ἐκ τοῦ τείρω τὸ καταπονῶ ὁ β′ ἀόριcτοc ἔταρον, τάροc καὶ πλεοναcμῷ τοῦ β̄ τάρβοc καὶ ῥῆμα ταρβῶ «τάρβηcάν τε» (B 268) ἀντὶ τοῦ ἐφοβήθηcαν.

204.

E. M. 767, 19, Gud. 231, 47: Ζητεῖται περὶ τοῦ δίμηνοc καὶ τρίμηνοc πόθεν ἄρα ἐcτίν, ἐκ τοῦ ὀνόματοc τοῦ δύο καὶ τρία ἢ ἐκ τοῦ ἐπιρρήματοc. καὶ ὁ μὲν Ἀπολλώνιοc λέγει, ὅτι ἀπὸ τοῦ δίc καὶ τρίc γίνεται δίμηνοc καὶ τρίμηνοc· τὸ γὰρ δίc καὶ τρίc ἐν cυνθέcει ἀποβάλλει τὸ c̄· cεcημείωται τὸ διcθανέεc (Od. μ 22) καὶ τὸ τρίcφυλλον εἶδοc βοτάνηc παρὰ Νικάνδρῳ καὶ τριcοίζυοc παρ᾽ Αἰcχύλῳ. cυντιθέμενον δὲ ἀντὶ τοῦ δύο καὶ τρεῖc λαμβάνεται, διπρόcωποc ὁ δύο πρόcωπα ἔχων καὶ τρίπουc ὁ τρεῖc πόδαc ἔχων. ὁ δὲ Ἡρωδιανὸc λέγει, τὸ δίμηνοc γενέcθαι ἀπὸ τοῦ δυόμηνοc κατὰ cυγκοπὴν καὶ τροπὴν τοῦ ῡ ὡc Ἀφροδύτη Ἀφροδίτη καὶ τὸ τρίμηνοc ἐκ τοῦ τριάμηνοc κατὰ cυγκοπήν. καὶ ποῖόν ἐcτιν ἄρα ἀναλογώτερον, τὸ ἐκ τοῦ ὀνόματοc γινόμενον ἢ τὸ ἐξ ἐπιρρήματοc; καὶ λέγομεν, ὅτι μᾶλλον τὸ ἀπὸ ὀνόματοc·

νυμφίου διδόμενα δῶρα τῇ νύμφῃ. παρὰ τὸ ἥδω τὸ εὐφραίνω ἥδανον καὶ cυγκοπῇ καὶ cυcτολῇ ἕδνον. ἥδονται γὰρ τούτοιc οἱ γαμούμενοι.

---

ad fr. *202. Hoc Herodianeum esse evincit Arcad. 107, 26 τό κεβλή ἀπὸ τοῦ κεφαλή. In An. Ox. II 456, 29 κεφαλὴν οἱ Μακεδόνεc κεβλὴν τὸ β̄ ἀντὶ τοῦ φ̄ λαμβάνοντεc ὡc ἐπὶ τῆc Βερενίκηc, Φερενίκηc γάρ ἐcτιν.

ad fr. 203. Comparari potest Ep. Cr. I 203, 16 θράττειν· γίνεται ἀπὸ τοῦ ταράττειν ἐν cυγκοπῇ τράττειν καὶ τροπῇ τοῦ ψιλοῦ εἰc δαcὺ θράττειν καὶ παρὰ τὸ τέραc τερατεία καὶ ἐν cυγκοπῇ τερτρεία καὶ τερθρεία; de θράττειν cf. Lob. El. I 219 et de τερθρεία p. 226.

ad fr. 204. Verba τὸ γὰρ δίc καὶ τρίc — ὁ τρεῖc πόδαc ἔχων inserui ex E. M. 279. 8 et E. Gud. 585, 10. Hanc enim Apollonii sententiam esse patet ex Schol. ad Od. μ: διcθανέεc: ἐν δυcὶ μέρεcι λόγου· φηcὶ γὰρ Ἀπολλώνιοc ὡc ὅτι δίc καὶ τρίc ἐν cυνθέcει ἐκβάλλει c̄ δίπουc καὶ τρίπουc. — Tum pro ἀρπάcαιc scripsi ἀντερεῖcαι ἄν. — In fine omissa sunt, quae Herodianus de iis, quae

Philoxeni de cτυγνόc, quae legitur eo loco, qui sedes est Herodiani, p. 145, 33 cτυγνόc· ὡc παρὰ τὸ ἔτραγον τραγανόc, ἔπιθον πιθανόc, οὕτω παρὰ τὸ ἔcτυγον cτυγανὸc καὶ cυγκοπῇ cτυγνόc· οἱ δὲ παρὰ τὴν Cτύγα φαcὶν εἰρῆcθαι· οἱ γὰρ ἀρχαῖοι τὰ μὲν ἀηδῆ καὶ λυπηρὰ ἀπὸ ψυχροῦ ὀνομάζουcιν, τὰ δὲ ἡδέα καὶ τερπνὰ ἀπὸ τῶν θερμῶν. τὸ οὖν cτυγεῖν καὶ φοβεῖcθαι ἀπὸ τῆc Cτυγόc, ἥπερ μυθεύεται ψυχρότατον παρέχειν ὕδωρ. καὶ ὁμοίωc ὁ cτυγνὸc παρ᾽ αὐτὴν εἴρηται. ὡcαύτωc καὶ τὸ «φόβου κρυόεντοc» (I 2) ἀπὸ τοῦ κρύουc τοῦ ψυχροῦ. τὴν δὲ τέρψιν θαλπωρὴν παρὰ τὸ τέρπεcθαι καὶ ἰαίνεcθαι. Φιλόξενοc ἐν τῷ περὶ Ῥωμαίων διαλέκτῳ. Item ex libro περὶ παθῶν videtur sequens annotatio: cπάργανον, cπαράccω cπαράγανον καὶ cπάργανον.

ἰδοὺ τὰ κατ' ἐντέλειαν παρὰ Ἀθηναίοις συντιθέμενα δεικνύουσιν ἡμῖν καὶ ταῦτα γίνεσθαι ἐκ τοῦ ὀνόματος οἷον πεντέμηνος ὀκτώμηνος. ἴσως δέ τις ἀντερεῖσαι ἂν λέγων, ἰδοὺ λέγομεν καὶ πεντάμηνος καὶ ὀκτάμηνος καὶ δῆλον ὅτι ἀπὸ τοῦ ἐπιρρήματος τοῦ πεντάκις καὶ ὀκτάκις γίνεται τὰ προκείμενα πεντακίμηνος καὶ ὀκτακίμηνος καὶ κατὰ συγκοπὴν τῆς κι συλλαβῆς πεντάμηνος καὶ ὀκτάμηνος. καὶ λέγομεν πρὸς αὐτούς, ὅτι τοῦτο ἀληθές, ἀλλὰ πολλάκις οἱ ἀριθμοὶ ἐν ταῖς συνθέσεσι καὶ παραγωγαῖς τρέπουσι τὸ τέλος εἰς ᾱ· ὥσπερ γὰρ ἀπὸ τοῦ ὀκτώ γίνεται κατὰ παραγωγὴν ὀκτάκις καὶ ἀπὸ τοῦ πέντε πεντάκις, οὕτω καὶ σύνθετον ὄνομα πεντάμηνος καὶ ὀκτάμηνος. δέδεικται οὖν τὰ προκείμενα διὰ τῶν Ἀττικῶν ὀνομάτων τοῦ πεντέμηνος καὶ ὀκτώμηνος μᾶλλον ἐκ τοῦ ὀνόματος γενέσθαι τὸ δίμηνος καὶ τρίμηνος· οὐκ ἐξ ἐπιρρήματος οὖν, ὥσπερ τινές φασιν. τὸ δὲ τετράμηνος ἐκ τοῦ ἐπιρρήματος, ὅτι τετράκις τὸ ἐπίρρημά ἐστι καὶ τέσσαρες ὁ ἀριθμός.

205.

E. M. 111, 44: ἀναστὰς ἀνστάς Ἡρωδιανός· ἀναστάντες ἀνστάντες καὶ ἀναστήτην δυϊκὸν καὶ συγκοπῇ ἀνστήτην τὸ ἀνέστησαν.

[205ᵃ]

Choer. Dict. 380, 27: κάρηαρ καρήατος καὶ κατὰ συγκοπὴν κάρητος ὡς παρὰ τῷ ποιητῇ (Od. ψ 157)

κὰδ δὲ κάρητος
οὔλας ἧκε κόμας.

[205ᵇ]

Mon. 23, 25: τὰ εἰς μεν λήγοντα πληθυντικὰ ἀεὶ θέλει καθαρὸν ἔχειν τὸ μ̄, δίδομεν, τίθεμεν, λέγομεν, νοοῦμεν. εἰ μέντοι σύμφωνον εὑρεθείη, συγκοπὴ πρὸ αὐτοῦ ὁρᾶται γινομένη ἴσαμεν ἴσμεν, ἴδομεν ἴδμεν, ἐοίκαμεν ἔοιγμεν, δέδοιγμεν, ἐπέπιθμεν.

[205ᶜ]

E. M. 428, 29: «ἤλσατο βοῦς» Ἴβυκος παρὰ τὸ ἠλάσατο.

Apollonius exceperat, disseruit: δὶς θανέες et τρὶς οἴζυος κατὰ παράθεσιν pronuncianda, τρίσφυλλον vero per pleonasmum literae ς explicandum esse ut explicatur in An. Ox. IV 309, numeralia vero velut δισχίλιοι καὶ δισμύριοι proprie quidem paratheta esse, sed συνθέτως sub uno accentu pronunciari (cf. E. M. 767, 36 τὸ δισχίλιοι καὶ τρισμύριοι ὡς ἔχοντα τὸ ς ἐν παραθέσει ἐστίν). Choer. Orth. 267, 30 Apollonii sententiam refert recisa Herodiani refutatione.

ad fr. 205. cf. Lob. El. I 229.

---

ad fr. [205ᵃ]. cf. Lob. El. I 230 cum not. 19, in qua locus Ep. I 251, 6 τὸ καρήατος οὐκ ἀπὸ τοῦ κάρηαρ recte emendatur οὐκ ἀπὸ τοῦ κάρηας.

ad fr. [205ᵇ]. cf. Lehrs ad h. l. et Lob. El. I 233 et 321, qui citat E. M. 253, 23, Ep. Hom. 214, E. M. 350, 52 et 355, 26.

ad fr. [205ᶜ]. ἆλτο Ascalonita ex ἥλατο concisum et spiritum asperum in lenem mutatum putavit Il. Pr. Z 239, Herodianus ipse lenem ex literarum syntaxi repetivit neque de syncope cogitavit Il. Pr. A 532.

*206.

St. B. 431, 1: Μανθυρέα κώμη Ἀρκαδίας· τὸ ἐθνικὸν Μανθυρεύς διὰ τὸ ἐπάλληλον τῶν δύο εε.

*207.

Choer. 178, 29: τὰ παρὰ τὸ κλέος σύνθετα εἰ μεταγένωνται εἰς ης, τὴν ποσότητα τῶν συλλαβῶν φυλάττουσι τοῦ οὐδετέρου οἷον ἀκλεής, δυσκλεής, Ἡρακλέης, Σοφοκλέης· ἐὰν δὲ γένωνται εἰς ος, μίαν συλλαβὴν συγκόπτουσι, τουτέστι τὸ ε οἷον Πάτροκλος, Ἔχεκλος, Φέρεκλος, καὶ ταῦτα τῶν ἄλλων τῶν εἰς ος οὐδετέρων φυλαττόντων τὴν ποσότητα τῶν συλλαβῶν ἐν τῇ συνθέσει κἂν εἰς ης γένωνται κἂν εἰς ος οἷον σθένος ἀσθενής, γένος εὐγενής, ῥῖγος δύρριγος, ξίφος ἄξιφος, χεῖλος ἀγκυλόχειλος.

[206^{a}]

Theogn. 123, 15: πλαίσιον: γέγονε παρὰ τὸ πέλας καὶ συγκοπῇ πλάσιος καὶ πλεονασμῷ τοῦ ι πλαίσιος. οὕτως Ἡρωδιανὸς ἐν τῇ καθόλου.

[206^{b}]

Ep. Cr. I 338, 22: τὰ εἰς ος δισύλλαβα τοῖς αὐτοῖς συμφώνοις κεχορηγημένα, παραληγόμενα τῷ ο βαρύνεται οἷον κόττος, ὄσσος, ὄρρος, κόλλος, σπόγγος· τὸ νοσσός ἐκ τοῦ νεοσσός.

[206^{c}]

E. M. 319, 27: ἔθρισε: παρὰ τὸ θερίζω κατὰ συγκοπὴν θρίζω καὶ ἀποθρίζω καὶ ἀπέθρισεν.

[206^{d}]

E. Or. 55, 6, E. M. 386, 7: ἐτάζω: ὥσπερ παρὰ τὸ μάταιον γίνεται ματαιάζω, οὕτω καὶ παρὰ τὸ ἐτεόν τὸ ἀληθές γίνεται ἐτεάζω τὸ τὴν ἀλήθειαν ἐρευνῶ καὶ ἀποβολῇ τοῦ ε ἐτάζω καὶ ἐξετάζω.

[206^{e}]

Arcad. 62, 18: τὸ ἀμνός ὀξύνεται· ἀπὸ γὰρ τοῦ α καὶ ἐπιθετικώτερον. ἄμενος γὰρ παρὰ τὸ μὴ ἔχειν μένος.

[206^{f}]

Schol. BDLV ad Il. B 461: Ἀσίῳ ἐν λειμῶνι (B 461) ἐν γενικῇ ἐκληπτέον καὶ χωρὶς τοῦ ι ὡς τὸ «ἐϋμμελίω Πριάμοιο». οὕτως Ἡρωδιανὸς ἐν τῇ καθόλου.

---

ad fr. [206^{a}]. Hanc sententiam Lob. El. I 239 auctore indignum putat.

ad fr. [206^{b}]. Haec sunt ex canone tonico, quom ex Herodiano derivatum esse scimus ex Eustath. 1746, 27.

ad fr. [206^{d}]. Similiter Choer. Ep. in Psalm. 120, 22.

ad fr. [206^{f}]. cf. Choer. 413, 11 αἱ διὰ τοῦ εω γενικαί, εἰ μὲν ἀπὸ βαρυτόνων κοινῶν γενικῶν ὦσι, προπαροξύνονται οἷον Ἀτρείδου Ἀτρείδεω, Ὀρέστου Ὀρέστεω, ἀπαθεῖς δηλονότι οὖσαι· ἐὰν γὰρ πάθωσι, πρὸ μιᾶς τοῦ τέλους ἔχουσι τὴν ὀξεῖαν οἷον Ἑρμείου Ἑρμείεω καὶ κατὰ συγκοπὴν τοῦ ε παροξυτόνως «Ἥρης Ἑρμείω τε» (Ο 214). St. B. s. Ἀσία E. M. 153, 46, Lob. El. I 256, II 96 cum not.

*208.

Choer. 318, 24: τὸ πατήρ πατέρος γίνεται κατὰ συγκοπὴν πατρός ἐν τῇ γενικῇ καὶ μήτηρ μητέρος μητρός καὶ θυγάτηρ θυγατέρος θυγατρός. τὸ δὲ ἀνήρ ἀνέρος γενόμενον κατὰ συγκοπὴν ἀνρός ἐξ ἀνάγκης ἐπλεόνασε τὸ δ καὶ ἐγένετο ἀνδρός· οὐκ ἠδύνατο γὰρ εἶναι ἀνρός χωρὶς τοῦ δ, ἐπειδὴ τὸ ν̄ πρὸ τοῦ ρ̄ οὔτε ἐν συλλήψει δύναται εἶναι οὔτε ἐν διαστάσει.

*209.

Choer. 348, 15: ἄξιόν ἐστι ζητῆσαι διατί ὥσπερ τὸ γαστήρ γαστέρος γίνεται κατὰ συγκοπὴν γαστρός, μὴ τὸν αὐτὸν τρόπον καὶ τὸ ἀστήρ ἀστέρος γίνεται κατὰ συγκοπὴν ἀστρός; καὶ ἐπιλύονταί τινες λέγοντες ὅτι, ἐπειδὴ τὸ ἀστήρ ἀρσενικόν ἐστι, τούτου χάριν οὐ πάσχει συγκοπήν, οὗτοι οὐκ ἀκριβῶς λέγουσι. καὶ γὰρ καὶ ἐπὶ ἀρσενικῶν ὁρᾶται πολλάκις ἡ τοιαύτη συγκοπὴ κατὰ τὴν γενικὴν ὡς ἐπὶ τοῦ πατήρ πατέρος πατρός καὶ ἀνήρ ἀνέρος ἀνδρός τοῦ δ μετὰ τὴν συγκοπὴν πλεονάσαντος· κρεῖττον οὖν ἐστιν ἐπιλύσασθαι οὕτως· αἱ συγκεκομμέναι γενικαὶ μιμεῖσθαι θέλουσι τὰς ὀξυτόνους εὐθείας οἷον ἡ ἀνδρός γενικὴ μιμεῖται τὴν χονδρός εὐθεῖαν καὶ πάλιν ἡ μητρός καὶ πατρός γενικὴ μιμεῖται τὴν ἰατρός εὐθεῖαν. ἐπειδὴ οὖν ἡ ἀστέρος γενική, εἰ συνεκόπτετο καὶ ἐγένετο ἀστρός, οὐκ εἶχε μιμήσασθαι εὐθεῖαν διὰ τοῦ στρος ἐκφερομένην ὀξύτονον — τὸ γὰρ Ἴστρος (ἔστι δὲ ὄνομα ποταμοῦ) βαρύνεται — τούτου χάριν ὡς μὴ ἔχουσα εὐθεῖαν ἣν ὤφειλε μιμήσασθαι, οὐ συγκόπτεται. εἰ δέ τις εἴποι ὅτι τούτῳ τῷ λόγῳ οὔτε ἡ γαστέρος γενικὴ ὤφειλε συγκοπὴν ἀναδέξασθαι καὶ γενέσθαι γαστρός, οὔτε γὰρ αὕτη ἔχει εὐθεῖαν ἣν ὤφειλε μιμήσασθαι — οὐδὲ γὰρ ἔχομεν ὡς εἴρηται εὐθεῖαν διὰ τοῦ στρος ἐκφερομένην ὀξύτονον — λέγομεν ὅτι ἐπειδὴ τὸ γαστήρ κατὰ τὴν εὐθεῖαν παραλόγως ὀξύνθη τῶν ἄλλων τῶν εἰς ηρ ὑπὲρ μίαν συλλαβὴν θηλυκῶν βαρυνομένων οἷον Δημήτηρ, εἰνάτηρ, μήτηρ, τούτου χάριν καὶ κατὰ τὴν γενικὴν παραλόγως ἀνεδέξατο συγκοπήν.

*210.

Ep. Cr. I 346, 17: πατέρα: συγκέκοπται ἡ γενικὴ καὶ δοτική,

---

ad fr. *208. Arcad. 128, 2 προστίθησιν ὁ τεχνικός, ὅτι τό μητρός καὶ ἀνδρός καὶ πατρός ἀπό τοῦ μητέρος καὶ ἀνέρος καὶ πατέρος ἐγένετο κατὰ συγκοπήν, διό οὐκ ἐφύλαξαν τόν τόνον et p. 129, 10 τό πατρός καὶ ἀνδρός καὶ τὸ μητρός συγκοπέντα ἠκολούθησε τῷ χαρακτῆρι τῶν εἰς ος δισυλλάβων γενικῶν (e. g. μηνός χηνός γραός) cf. Lob. El. I 258.

ad fr. *209. cf. Mon. 34, 24 τὰ εἰς νος λήγοντα ὀνόματα δισύλλαβα ὀξυνόμενα τῇ ου διφθόγγῳ παραληγόμενα ἐπ' εὐθείας ὁρᾶται, γουνός, ὅθεν ἡ δοτικὴ «γουνῷ ἀλωῆς», βουνός, κρουνός. δῆλον οὖν ὅτι ἡ γουνός γενικὴ οὐχ ὑγιαίνει· εὐθείας γὰρ χαρακτῆρα ἀνεδέξατο. ἔστι δὲ καὶ ἐπὶ πασῶν τῶν ἠλογημένων γενικῶν τὸ τοιοῦτον ἐπιδεῖξαι, ὡς ὅτι παραβαίνουσι καὶ τοὺς χαρακτῆρας παθοῦσαι, ad quem locum Lehrsius in hoc nostro loco vestigium huius doctrinae esse dicit. Apertum est Choeroboscum sua ex Herodiano deprompsisse, unde etiam praeceptum de anomala tonosi voc. γαστήρ fluxit, cf. Arcad. 19, 24, Mon. 16, 21. Similia tradit Choer. Ep. in Psalm. 8, 7.

ἀλλ' οὐκ ἔτι ἡ αἰτιατική, οὐ γὰρ λέγεται τὸν πάτρα· οὐδὲ ἡ γενικὴ τῶν πληθυντικῶν πλὴν Ὅμηρος «ἐξέτι πατρῶν» (Od. θ 245), ἴσως μιμούμενος τὴν ἑνικὴν γενικήν.

*211.

E. M. 778, 40: ἀπὸ τοῦ ὑπερδεής ἡ αἰτιατικὴ ὑπερδεέα καὶ συγκοπῇ ὑπερδέα.

*212.

Choer. Dict. 180, 5: τὸ Ἥρακλες ἀπὸ τοῦ Ἡράκλεες γέγονε κατὰ συγκοπὴν τοῦ ε̄.

*213.

Choer. Dict. 372, 15: τὸ χρέα καὶ κλέα ἀπὸ τοῦ χρέεα καὶ κλέεα

[213ᵃ]

Eust. 1446, 24: τοῦ ὅσσος ὤφειλε τὸ δυϊκὸν γεγενῆσθαι τὼ ὄσσεε, παθὸν δὲ ἀποκοπὴν ἢ συγκοπήν, ἄδηλον γάρ φησι (sc. Herodianus, ut videtur, in Catholica) τὸ πάθος, ἐποίησε τὸ ὄσσε.

[213ᵇ]

Choer. Dict. 463, 4: τὸ σπέεσσι συγκοπὲν καὶ γενόμενον σπέσσι διὰ μὲν τὴν δισυλλαβίαν ὤφειλεν ὀξύνεσθαι, διὰ δὲ τὸν διπλασιασμὸν τοῦ σ̄, ὅστις ἀεὶ ἐν βαρυνομέναις δοτικαῖς θεωρεῖται, κατὰ τοῦτο ἐβαρύνθη. Ἡρωδιανὸς ἐν τῇ Α ῥαψῳδίᾳ τῆς Ὀδυσσειακῆς προσῳδίας.

[213ᶜ]

Io. Alex. 29, 2: ὠκέα ὦκα, σαφέα σάφα καὶ τούτων ἀνεβιβάσθη ὁ τόνος καὶ μετὰ τὴν ὑπεξαίρεσιν τοῦ ε̄.

[213ᵈ]

Il. Pr. Ω 202: ἔκλε': τὴν κλε συλλαβὴν ὀξυτονεῖ ὁ Ἀσκαλωνίτης, ἡγούμενος τὸ πλῆρες εἶναι ἐκλέου. οὐκ ἔστι δέ, ἀλλ' ἐκλέεο τετρα-

ad fr. *210. οὐδέ pro καί scripsit et πλήν adiecit Lob. El. I 258, qui confert Eustath. 2594, 4 τὸ πατρῶν ποιητικόν ἐστιν ὡς καὶ τὸ θυγατρῶν· εἰ δέ που καὶ μητρῶν ἐστιν, ἀλλ' οὐ προφανὴς ἡ χρῆσις. Iure idem Lob. Choerob. 349, 7 causam, cur neque μῆτρα neque πάτρα dicatur, ἵνα μὴ συνεμπέσῃ τῇ μήτρᾳ καὶ πάτρᾳ εὐθείᾳ ineptam vocat.

ad fr. *211. Hoc Herodianeum esse demonstrat Arcad. 196, 10: τὸ «ὑπερδέα δῆμον ἔχοντας» καὶ «δυσκλέα Ἄργος ἱκέσθαι» καὶ «νηλέα θυμόν» οὐκ ἔστι κατὰ κρᾶσιν, ἀλλὰ κατὰ ἔνδειαν τοῦ ἑνὸς ε̄, inter quae vocabula νηλέα eo differre, quod syncope vocalis ε̄ non in accusativo tantum, sed per omnes casus propagetur adnotat Lob. El. I 264. Atque hoc observavit iam grammaticus in Ep. Cr. I 296, 1, qui fortasse est Herodianus: νηλής ἐκ τοῦ ἐλεῶ ἐλεής καὶ μετὰ τοῦ νη στερητικοῦ κατὰ συγκοπὴν νηλεής νηλής· ἔστι δὲ καὶ νηλεής, δύο γὰρ ἔχει εὐθείας, ἐξ οὗ καὶ ἡ κλητικὴ «ὦ νηλεές» «νηλεές, οὐκ ἄρα δή σοι πατὴρ ἦν». cf. Il. Pr. B 115, Eustath. 1516, 1.

ad fr. *212. Herodianum ita praecepisse patet ex Il. Pr. Λ 257: πολλά φασι διὰ τὴν συγκοπὴν ψιλοῦσθαι· ἀπεδείξαμεν δὲ ἡμεῖς ἐν ἑτέροις, ὡς καὶ δασύνεται· ἑστήκαμεν γοῦν καὶ ἕσταμεν, Ἡράκλεες Ἥρακλες cf. Mon. 47, 2.

ad fr. *213. Il. Pr. Δ 109 τό χρέεα χρέα συγκοπῇ, nam haec pars annotationis initio perversae sana videtur. Fortasse ab Herodiano profectum est E. M.

---

ad fr. [213ᵈ]. Illustravit hunc locum Lob. El. I 273 seqq.

γεγόναςι κατὰ ςυγκοπὴν τοῦ ε̄· οὔτε γὰρ δυνάμεθα λέγειν ὅτι κατὰ κρᾶςιν γεγόναςιν, ἐπειδὴ τὸ ᾱ ςυνεςταλμένον ἔχουςιν οἷον. «παλαιγενέων κλέα φώτων» (Apoll. Rhod. I 1).

214.

Theogn. 88, 16: κνήμη: ἀπὸ τοῦ κινῶ κινήςω κινήμη καὶ κατὰ ςυγκοπὴν τοῦ ῑ κνήμη· οὕτως Ἡρωδιανὸς καὶ Φιλόξενος.

215.

E. Gud. 331, 4 coll. E. M. 522, 38: κνώδαλα, ὡς λέγει Ἡρωδιανός, κυρίως μὲν τὰ τῆς θαλάςςης ζῷα διὰ τὸ ἐν ἁλὶ κινεῖςθαι κινώ-

---

ςυλλάβως. καὶ δῆλον ὅτι εἴτε ςυγκέκοπται ἡ ὀξεῖα εἴτε ἡ βαρεῖα ἡ μετὰ τὴν ὀξεῖαν, ὀφείλει πάλιν τρίτη ἀπὸ τέλους ἡ ὀξεῖα φυλάττεςθαι· οὐδὲ γὰρ χαρακτὴρ κωλύει. τὸ μέντοι «ςὺ δ' αἴδεο καί μ' ἐλέηςον» (Il. Φ 74) καὶ τὰ τοιαῦτα, πρώτης ὄντα ςυζυγίας τῶν περιςπωμένων, ἄλλης ἀναλογίας ἔχεται, ὡς ἐν ἑτέροις εἴρηται.

[213e]

Il. Pr. K 67: ἐγρήγορθαι: τὸ ἐγρήγορθαι ἀνέγνωμεν προπαροξύνοντες· οὐκ ἐχρῆν δέ. εἴτε γὰρ ςυγκοπή ἐςτι τοῦ ἐγρηγορέναι, εἴτε παθητικός, ὀφείλει παροξύνεςθαι, καθότι τὰ εἰς θαι λήγοντα ἀπαρέμφατα, ἔχοντα πρὸ τοῦ θ ἀμετάβολον, παροξύνεται, κεκάρθαι, τετίλθαι, ἐςπάρθαι· μίαν μέντοι ἀφορμὴν ὁρῶ τοῦ δύναςθαι προπαροξύνεςθαι τὸ ἐγρήγορθαι τὸ τὰ εἰς θαι λήγοντα, τῇ ορ ςυλλαβῇ παραληγόμενα, μὴ παρ' ἄλλῃ τινὶ διαλέκτῳ ὁρᾶςθαι ἢ τῇ Αἰολίδι, τέτορθαι, μέμορθαι, ἔφθορθαι· ὅθεν ἐπεὶ ἡ παράληξις Αἰολικωτέρα ἐγένετο, καὶ ὁ τόνος ὁμοίως τοῖς προκειμένοις.

[213f]

Ep. Cr. I 136, 11: ἔςεται καὶ κατὰ ςυγκοπὴν ἔςται.

287, 11 δρία: Ἡςίοδος «ἀνὰ δρία βηςςήεντα φεῦγε» (scr. φεύγουςιν Op. 530) οὐκ ἀπὸ τοῦ δρίεα κατὰ ςυγκοπήν, ἀλλ' ὥςπερ ἀπὸ τοῦ θύος γίνεται θύον καὶ μέγαρος μέγαρον, οὕτω δρίος δρίον καὶ ὡς μύρον μύρα, οὕτω δρίον δρία; sed Herodianus ut ad fr. 100 demonstravi, speciem in οc ex forma in ον repetivit, non contra, ut hic.

ad fr. 214. Hoc Herodianum dixisse Lob. El. I 277 aegre credit, exstat eadem explicatio in Choer. Ep. 187, 12.

---

ad fr. [213e]. Existimavit Herodianus ἐγρήγορθαι ex ἐγρηγορέναι exsistere posse extrito ε et ν in θ verso; aliter iudicat Lob. El. I 384 pro εἴτε ςυγκοπή ἐςτι τοῦ ἐγρηγορέναι scribendum esse putans ἐκ τοῦ ἐγρηγορθέναι.

ad fr. [213f]. Eust. 718, 3 ταύτην τὴν ςυγκοπὴν καινὴν κρίνουςιν οἱ παλαιοὶ καὶ μονήρη et 655, 10: ἰςτέον ὡς τοῦ ἔςεται ςυγκοπτομένου εἰς τὸ ἔςται λέγει τις παλαιὸς τεχνικὸς ὅτι «δοκεῖ μοι μέμφεςθαι τῇ ςυνηθείᾳ ἔςται λεγούςῃ· οὐδέποτε γὰρ τὸ τρίτον τῶν τοιούτων μελλόντων χρεωκοπεῖται παραλήγεςθαι φωνήεντι, ἵνα τις εἴπῃ τὸ καλέςεται καλέςται ἢ τὸ τελέςεται τελέςται». Quis sit antiquus technicus, praesertim vagum vocabuli παλαιός ap. Eustathium usum reputanti vix extricabile est; verba non sunt Herodianea, sed res ab eo profecta esse potest; nam nobilissimum librum περὶ παθῶν Eustath. 586, 31 παλαιὸν περὶ παθῶν ςκέμμα vocat.

δαλά τινα ὄντα. καταχρηστικῶς δὲ ἐπὶ πάντων τῶν θηρίων ἡ λέξις τίθεται.

216.

E. M. 680, 57, Favorin. 371, 1: Πόλυβος: συγκοπὴ καὶ οὐχ ὑφαίρεσις· εἰ γὰρ κατ' ἔλλειψιν ἐγένετο τοῦ ῡ, ὤφειλεν εἶναι Πολύβος ἀπὸ τοῦ Πολύβους ὡς ὠκύπους ὠκύπος, ἀρτίπους ἀρτίπος, ἀελλόπους ἀελλόπος· ἀλλ' οὐ παροξύνεται, ἀλλὰ προπαροξύνεται, ὥστε ἡ ἀπὸ τοῦ Πολύβοος ἢ ἀπὸ τοῦ Πολύβιος συγκοπῇ Πόλυβος. περὶ παθῶν.

217.

E. M. 715, 49: σῖτα ἢ ἀπὸ τοῦ σῖτος μεταπεποίηται ἢ ἀπὸ τοῦ σιτία. Ἡρωδιανὸς περὶ παθῶν.

218.

E. M. 111, 50 coll. Favorin. 112, 20: ἄντα: σημαίνει τὸ ἐξ ἐναντίας· καὶ ὥσπερ ἀπὸ τοῦ ὠκέα ὦκα, κρατέα κράτα καὶ ὑπερθέσει κάρτα καὶ σαφέα σάφα, οὕτως οὖν καὶ ἀντία οἷον «ἀντί' Ἀλεξάνδροιο θεὰ κατέθηκε φέρουσα» (Γ 425) κατὰ συγκοπὴν ἄντα. ἢ παρὰ τὸ ἀντῶ ἄντα ὡς σιγῶ σῖγα καὶ ἠρεμῶ ἠρέμα· Ἡρωδιανός.

219.

E. M. 148, 8: ἀρπεδόεσσα: ἡ ἄγαν πεδινὴ κατὰ συγκοπὴν παρὰ τὸ ἀρί συγκειμένη. πέπονθε δέ, ἵνα σημαίνηται ἡ ἄγαν ὁμαλὸς ὁδός·

[217ᵃ]

Theogn. 26, 27: τὸ Ἀλκμάν, εἰ παρὰ τὴν ἀκμὴν ἐγένετο, πεπλεόνακε τὸ λ, εἰ δὲ παρὰ τὴν ἀλκήν, πεπλεόνακε τὸ μ, εἰ δὲ παρὰ τὸ ἄλκιμος, ἐν συγκοπῇ γέγονε. οὕτως Ἡρωδιανὸς ἐν τῇ καθόλου.

[217ᵇ]

Il. Pr. A 464: τὸ μηρίον ἐντελέστερον τοῦ μήρου· ἐκ γὰρ συγκοπῆς αὐτοῦ γέγονε.

[217ᶜ]

Il. Pr. O 320: κατένωπα: Ἀρίσταρχος ὡς δῶμα ἀπ' εὐθείας τῆς ὤψ, ἥτις αἰτιατικὴν ἔχει τὴν ὦπα. ὁ δὲ Ἀλεξίων καὶ οἱ πλείους ὡς κατέναντα, οἷς καὶ βέλτιον πείθεσθαι, ἵνα ἡ ἀπὸ τοῦ κατενώπια κατὰ συγκοπὴν κατένωπα ὡς μηρία μῆρα, σιτία σῖτα.

[219ᵃ]

Arcad. 88, 14: τὸ ἐπεσβόλος παροξύνεται ἀπὸ τοῦ ἔπεσι βάλλειν.

---

ad fr. 216. Lobeck. El. I 277 accentum nihil impedire contendit, quominus Πόλυβος potius ex Πολύβοος ut χείμαρρος ex χειμάρροος quam ex Πολύβιος ortum esse sumatur.

ad fr. 218. Lobeckius El. I 267 pro ἀντία ἀντέα scribi et sequentia vocabula οἷον ἀντί' Ἀλεξανδρείας in E. M. ut ad aliud caput spectantia omitti vult, sed ex Favorin., ubi plenus Homeri versus profertur, apparet Herodianum ἄντα ex ἀντία nasci opinatum esse.

ad fr. 219. cf. Lob. El. I 291 et Schmidt fragm. Didymi p. 344.

ὁδοῦ γάρ ἐστιν ἐπίθετον. πέπονθε δὲ ὁμοίως τῷ ἐρθύρις Αἰολικῶς, ἐρίθυρις γὰρ ἡ μεγάλη θυρίς. οὕτως Ἡρωδιανὸς καὶ Δίδυμος.

220.

E. Gud. 285, 16, Ep. Cr. I 208 et 216: ἴφθιμος: τινὲς μὲν λέγουσιν, ὅτι σύνθετόν ἐστι παρὰ τὸ ἶφι καὶ τὸ θυμός ἰφίθυμος καὶ κατὰ συγκοπὴν καὶ τροπὴν τοῦ ῡ εἰς ῑ ὡς Ἀφροδύτη Ἀφροδίτη ἴφθιμος· ἀλλ' εἰ ἦν σύνθετον, ὤφειλεν εἶναι κοινὸν τῷ γένει. τὰ γὰρ σύνθετα ἐπιθετικά ἐστι κοινὰ τῷ γένει, χωρὶς εἰ μὴ μηδὲν πλέον σημαίνει τοῦ ἁπλοῦ οἷον ὁ πάνσοφος καὶ ἡ πάνσοφος, ὁ φιλόσοφος καὶ ἡ φιλόσοφος, ὁ ἄοικος καὶ ἡ ἄοικος· πρόσκειται «εἰ μὴ μηδὲν πλέον σημαίνει τοῦ ἁπλοῦ» διὰ τὸ ἐναντίος ἐναντία, ἐναλίγκιος ἐναλιγκία, ἐναντίβιος ἐναντιβία. τὸ μέντοι ἴφθιμος ἔχει θηλυκὸν «ἰφθίμη ἄλοχος Διομήδεος» (Ε 415)· οὐκ ἄρα ἐστὶ σύνθετον. ὁ δὲ Σέλευκος λέγει περὶ τοῦ ἴφθιμος πλεονασμὸν εἶναι τοῦ θ ὥσπερ παρὰ τὸ φέγγος φέγγεσθαι καὶ φθέγγεσθαι παρὰ τὸ εἰς φῶς προάγειν τὸν λόγον· ὥσπερ γὰρ παρὰ τὸ πρωΐ γίνεται πρώϊμος καὶ ὀψέ ὄψιμος, οὕτως καὶ παρὰ τὸ ἶφι ἴφιμος καὶ πλεονασμῷ τοῦ θ ἴφθιμος· καὶ ἡμεῖς συγκατατιθέμεθα τῷ Σελεύκῳ· ἡ γὰρ διὰ τοῦ ῑμος αὕτη παραγωγὴ ποικίλην ἔχει τὴν γένεσιν, καὶ γὰρ ἀπὸ ἀρσενικοῦ νόμος νόμιμος, ἀπὸ θηλυκοῦ ἀλκή ἄλκιμος, ἀπὸ οὐδετέρων κῦδος κύδιμος, ἀπὸ ἐπιρρημάτων ὀψέ ὄψιμος, πρωΐ πρώϊμος καὶ ἀπὸ τοῦ βρί ὄβριμος καὶ ἀπὸ ἐνεστώτων προσδόκιμος, καὶ ἀπὸ μελλόντων φοιτήσιμος· ἀπὸ προθέσεως οὐδέποτε· σημειῶδες τὸ «καὶ Πέριμον Μεγάδην» (Π 695) εἰ μὴ ἄρα καὶ τοῦτο ἀπὸ ἐνεστῶτος ὡς παρὰ τὸ ὠφελῶ ὠφέλιμος, περῶ πέριμος καὶ οὕτως ἂν φυλαξαίμεθα τὴν ἀπὸ τῆς προθέσεως παραγωγήν. τὰ δὲ διὰ τοῦ ῑμος παραγωγὰ ὑπὲρ δύο συλλαβὰς συνεσταλμένον ἔχει τὸ ῐ, τὸ δὲ ἴφθιμος ἐκτείνει τὸ πρὸ τέλους ῑ.

*221.

Choer. Dict. 410, 19, E. M. 460, 1: «Θῶνος παράκοιτις» (Od.

---

ad fr. 220. Iure Lehrsius, quum Herodianus in Dichr. 293, 20 ἴφθιμος a composito ἄτιμος segreget, sententiam in E. Gud. et Ep. 216 ὁ μὲν Ἡρωδιανὸς σύνθετον αὐτὸ λέγει παρὰ τὸ ἶφι καὶ θυμός ἰφίθυμος καὶ κατὰ συγκοπὴν ἴφθιμος· οἱ δὲ λοιποὶ διισχυρίζονται λέγειν ἁπλοῦν αὐτὸ εἶναι Herodiano attributam ei abiudicat. Atque omnibus locis inter se comparatis (addas An. Paris. III 271, 9 et Schol. ad Opp. Halieut. I 147) crediderim epitomatores hic turbas miscuisse et Herodianum potius omnes diversorum originationes proposuisse et quid pro quaque, quid contra dici possit, explicasse et tota re absoluta alieni sententiarum expositarum calculum adiecisse neque tamen ei, quam exscriptores ei assignant, sed quam Seleucus in Ep. 208 pronunciavit. Quare in hunc modum adnotamentum constitui: τινὲς μὲν λέγουσιν — οὐκ ἄρα ἐστὶν σύνθετον ex E. Gud. 285, 31—42, tum ὁ δὲ Σέλευκος — τὴν ἀπὸ προθέσεως παραγωγὴν ex Ep. 208 insertis verbis καὶ ἡμεῖς συγκατατιθέμεθα τῷ Σελεύκῳ· et pro ἡ δὲ διὰ τοῦ ῑμος in ἡ γὰρ mutatis, κῦδος κύδιμος supplevit Lob. Proll. 161 not. 2 et regulam de quantitate addidi ex Dichr. l. c. In An. Par. III 303 ectasis vocalis ῑ sic explicatur: παρὰ τὸ ἶφι παρήχθη ἴφιμος ὡς πρωΐ πρώϊμος, τοῦ μέσου ῑ βραχέος ὄντος καὶ κατὰ πλεονασμὸν τοῦ θ ἴφθιμος· μετὰ γὰρ τὸν πλεονασμὸν (μετα)τίθενται οἱ χρόνοι, τοῦ μὲν πρώτου συσταλέντος φύσει (μακροῦ), τοῦ δὲ ἑξῆς ἐκταθέντος.

ad fr. *221. Locus E. M. ex Choerobosco petitus et technicus citatus est Theo

δ 228)· ἢ ἀπὸ τῆς Θῶνις εὐθείας ἐγένετο Θώνιδος καὶ Θώνιος Ἰωνικῶς ὥσπερ Πάριδος Πάριος καὶ κατὰ συγκοπὴν Θῶνος, ἢ ἀπὸ τῆς Θόων Θόωνος καὶ κατὰ κρᾶσιν τοῦ ō καὶ ω εἰς τὸ ω Θῶνος· κρεῖττον λέγειν ἀπὸ τῆς Θώνιος γενικῆς κατὰ συγκοπήν. οὐδαμοῦ γὰρ ἡ Θόων εὐθεῖα εὕρηται σημαίνουσα τὸν Αἰγύπτιον ἄνδρα, ὅντινα σημαίνει ἡ Θῶνος γενική, ἀλλ' ἕτερον ἄνδρα ὡς παρ' Ὁμήρῳ «Θόωνά τε» (Ε 152). εἰ δέ τις εἴποι, διὰ τί οὐκ ὀξύνεται ἡ Θωνός γενικὴ συγκοπεῖσα ἐκ τῆς Θώνιος ὡς ἡ πατρός, μητρός, λέγομεν τὴν αἰτίαν ταύτην· αἱ συγκοπτόμεναι γενικαὶ ὀξυνόμεναι μιμοῦνται εὐθείας οἷον ἡ ἀνδρός γενικὴ μιμεῖται τὴν χονδρός εὐθεῖαν. καὶ πάλιν ἡ μητρός καὶ πατρός καὶ θυγατρός γενικαὶ μιμοῦνται τὴν ἰατρός εὐθεῖαν. ἐπειδὴ οὖν ἡ Θῶνος γενικὴ εἰ ὠξύνετο, οὐκ ἤμελλε μιμεῖσθαι εὐθεῖαν (οὐκ ἔχομεν γὰρ εὐθεῖαν εἰς νος καθαρὸν δισύλλαβον τῷ ω παραληγομένην καὶ ὀξυνομένην, βαρυνομένην δὲ ἔχομεν ὡς ἐπὶ τοῦ κῶνος, ὦνος) τούτου χάριν οὐκ ὠξύνθη ἀλλ' ἐβαρύνθη. πρόσκειται «δισύλλαβον», ἐπειδὴ ὑπὲρ δύο συλλαβὰς ἔχομεν εὐθεῖαν ὀξυνομένην οἷον κοινωνός, οἰωνός, Τιθωνός.

*222.

St. B. 628, 3: Τόμαρος ὄρος Δωδώνης, ὅ τινες Τομοῦρον καὶ τοὺς κατοικοῦντας Τομούρους· οἱ δὲ Τμάρος, οὗ τὸ ἐθνικὸν Τμάριος.

[222 a]

E. Gud. 330, 59, E. M. 523, 7: τὸ κνύζα, ὡς λέγει Ἡρωδιανὸς ἐν τῇ καθόλου, εἰ μὲν ἐπὶ τοῦ φυτοῦ, συγκοπή ἐστιν οἷον «χαμαιζήλοιο κονύζης» (Nicand. Ther. 70), εἰ δὲ ἐπὶ τοῦ παρεφθαρμένου καὶ ἐρρυπωμένου, οὐ συγκοπή ἐστιν, ἀλλ' ἀπὸ τοῦ κνύω, ἀφ' οὗ κνύος ἡ φθορά.

[222 b]

Arcad. 149, 26: γνυπῶ τὸ γονυπετῶ.

[222 c]

Il. Pr. Ξ 351: τὸ λάγνος ἔννοιαν ἔχει συνθέσεως. Eust. 1412,

dosius, quem Choeroboscus explicavit. Theodosius autem hausit ex Herodiano, ut patet comparato Arcadio 128, 20: τὸ δὲ Θῶνος ἀπὸ τοῦ Θώνιδος καὶ Θώνιος Ἰωνικῶς καὶ κατὰ συγκοπὴν Θῶνος ἢ ἀπὸ τοῦ Θόων εὐθείας Θόωνος καὶ κράσει Θῶνος. Verba E. M. κρεῖττον λέγειν — συγκοπήν continent Herodiani sententiam et quum sic ipse Herodianus, ubi alteram explicationem alteri praefert, dicere soleat, suspicio exsistit epitomatorem, quum λέγει ὁ τεχνικός diceret, Herodianum, quem fortasse ante oculos habuit, intellexisse. Apud Io. Alex. 10, 6 ἡ Θῶνος παράκοιτις σεσημείωται· εἰ γὰρ ἐκ τῆς «Θώνιος ἐν ψαμάθοις» (Nicand. Ther. 312) συνεκόπη κἂν ὠξύνετο, ὡς ἡ πατρός, μητρός. ἀλλ' οὐδὲ συνῄρηται ἐκ τῆς Θόωνος, ὥς τινες, ἀμαρτύρου scrupulum tantum, qui utrique explicationi inhaereat, ostendit neque disertis verbis decidit, utri adstipuletur. Sed in libro περὶ παθῶν idem pronunciasse putandus est atque Choeroboscus, qui quid ἀμαρτύρου Herod. ap. Io. Al. significet, accuratius exponit et quomodo accentus abnormis expediendus sit, declarat. Quod autem Lobeckius El. I 292 not. 23 Choeroboscum insulsitatis insimulat dicentem Θῶνος gravari exemplo nominativorum κῶνος ὦνος, non Choeroboscus hanc rationem invenit, sed Herodianus ipse cf. supra fr. 209 cum adnotatione et Lehrs ad Herod. p. 107.

*223.

E. M. 281, 18: δνοπαλίζω: εἴρηται παρὰ τὸ δονεῖν καὶ τὰς παλάμας δονοπαλίξαι καὶ ἐν συγκοπῇ ἢ παρὰ τὸ δονῶ καὶ πάλλω δνοπαλίζω ἀπὸ τῶν δύο ὁμοιοσήμων ὡς Ἐριχθόνιος καὶ Ἐρεχθεύς καὶ «στροφοδίνηθεν» (Il. Π 792).

*224.

E. M. 759, 19: τίπτε ἀπὸ τοῦ τίποτε κατὰ συγκοπήν· τὸ δὲ πότε ἐπιζητητικὸν χρόνου ἐστί· τὸ δὲ «τίπτε δεδάκρυσαι» (Π 7) οὐκ ἐπιζητεῖ τὸν χρόνον τοῦ δακρύειν, ἀλλὰ κατὰ παρολκὴν λαμβάνεται. παρέλκον οὖν ἐστιν.

225.

E. M. 622, 45: ἐκ τοῦ ὀλοός γίνεται ἡ κλητική. ὀλοέ καὶ κατὰ συγκοπὴν ὀλέ· ἐὰν δὲ ὀλός ᾖ ἡ εὐθεῖα, γένοιτ' ἂν ἡ κλητικὴ ὀλέ· καὶ οὐκ ἔστι συγκοπὴ οἷον «ἔχει μ' ἄχος, ὦ ὀλὲ δαῖμον» (Alcman fr. 47 Bergk.) ὡς τὸ «μαινόμενε φρένας ἠλέ» (O 128) οἱονεὶ ἀπὸ τοῦ ἠλός, ὅθεν τινὲς γράφουσι «Τρῳὰς δὲ στίχας ἠλὸς Ἄρης ὤτρυνεν» (Ε 461). τοῦτο περὶ παθῶν Ἡρωδιανός.

*226.

E. M. 283, 34: δορυξόος ἐκ τοῦ δόρυ καὶ τοῦ ξέω· οὐδεὶς δὲ λέγει Ἑλλήνων δόρυξος, ἀλλὰ δορυξόος καὶ κατὰ συγκοπὴν δορυξός. ἔστι δὲ τόπος ὅπου ξύονται τὰ δόρατα.

*227.

E. M. 425, 3: ἡ λαξός ἀπὸ τοῦ ἡ λαξόος ἡ λαξός ὡς βοηθόος βοηθός.

29: ἐκ τοῦ γόνος ἤτοι γονή οὐ μόνον ὁ λάγνος ἀλλὰ καὶ ὁ κατὰ τοὺς παλαιοὺς λάγνης ὡς οἱονεὶ λαγόνης ἤγουν πολύγονος. καὶ μέν τινες παρὰ τὸ λα ἐπιτατικὸν καὶ τὸ γυνή τὰ τοιαῦτα παρήγαγον.

---

ad fr. *223. Hoc Herodianeum esse coniicio ex simili Herodiani explicatione vocis ὀροθύνω fr. 23.

ad fr. *224. Herodianea origo et re ipsa proditur et ratione dicendi, qua grammaticus in fine adnotamenti summam expositionis brevibus iterare solet e. g. 82 οὐκ ἄρα πλεονασμός, ἀλλὰ παραγωγή fr. 76 πλάνη ἄρα κλίσεως.

ad fr. 225. Verba ὡς τὸ «μαινόμενε κτλ.» ex Epim. Cr. I 442, 12 ubi eadem fonte non nominato traduntur, adieci.

ad fr. *226. Huiuscemodi vocabula etiam a Theogn. 69, 10 proferuntur λαοξός, pro quo λαξός, et φίλοξος, pro quo φυλλοξός scribendum videtur, praeterea verba οὐδεὶς δὲ λέγει Ἑλλήνων admonent Herodiani, qui e. g. fr. 120 dicit: ἀλλὰ τί εἰρήκασιν Ἕλληνες;

ad fr. *227. Cum nominativis δορυξός λαξός, qui eliso ō accentum in ultimam proiiciunt, fortasse componendus est genetivus Κλεός pro Κλεόος a Κλεώ in E. M. 517, 25 Κλεός· Πίνδαρος οὐκ οἶδα ὅπου φησὶ Κλεός. Κλεόος καὶ συγκοπῇ Κλεός. ὀξῦναί σε δεῖ, ut locum emendavit Lobeck. El. I p. 303. Diserta accentus notatio in re pathologica admonet Herodiani.

*228.

E. M. 579, 19: Μενέλας «Μενέλας τε καὶ Ἀγαμέμνων» ἀπὸ τοῦ Μενέλαος. ἀμφίβολον εἴτε συγκοπῇ Μενέλας καὶ Δορύλας εἴτε κράσει τοῦ ο̅ καὶ ᾰ εἰς α μακρὸν ὡς ἐλέξαο ἐλέξα, ἐπρίαο ἐπρία, ἐπαιδεύσαο ἐπαιδεύσα.

229.

E. M. 624, 11: ὀμνύω: ὀμῶ ὀμονύω καὶ συγκοπῇ ὀμνύω περὶ παθῶν.

230.

E. M. 38, 45: ἐριπόλοι: δμωαί. Σιμωνίδης ἐκ τοῦ ἐριοπόλοι συγκοπῇ τοῦ ο̅. οὕτως Ἡρωδιανὸς περὶ παθῶν.

231.

E. Or. 65, 20 coll. E. M. 370, 19: ζαφελῶς: ἄγαν σφοδρῶς ἢ ἐπικότως· παρὰ τὸ ζα καὶ τὸ ὀφέλλω τὸ αὔξω γίνεται ζαόφελος καὶ συγκοπῇ ζάφελος. Ἡρωδιανός.

*232.

Ep. Cr. I 28, 16, E. M. 24, 23 (448, 1): ἀθέσφατος: ἐκ τοῦ θεός καὶ φατός ἐκ τοῦ φημί τὸ λέγω θεόφατός τις ὢν καὶ κατὰ συγκοπὴν καὶ πλεονασμὸν τοῦ σ̅ θέσφατος, ἀθέσφατος.

*233.

Ep. Cr. I 417, 17 coll. 340, 19: ὕστερος: παρὰ τὴν ὑπό ὑπότερος καὶ κατὰ συγκοπὴν ὕστερος· τὸ δὲ ο̅ συγκοπτόμενον τὸ σ̅ ποιεῖ θεόφατον θέσφατον, θεοείκελον θέσκελον· καὶ εἰ οὔτε τὰ εἰς τ̅ε̅ρ̅ο̅ς̅ τῷ υ̅ παραληγόμενα ἔχει πρὸ τοῦ τ̅ τὸ σ̅ οὔτε τὰ εἰς τ̅α̅τ̅ο̅ς̅ οἷον ἐγγύτερος ἐγγύτατος, ὀξύτερος ὀξύτατος, πῶς οὖν τὸ ὕστερος ὕστατος μετὰ

---

ad fr. *228. De dictione ἀμφίβολον Herodiano consueta iam dixi. Sed praetulisse videtur Herodianus crasin, quam solam commemorat Choer. Dict. 92, 5 ἡ γενικὴ λάαος τρισυλλάβως μετάγεται εἰς εὐθεῖαν καὶ γίνεται ὁ Λάαος ὥσπερ ὁ Καππάδοξ τοῦ Καππάδοκος καὶ ὁ Καππάδοκος καὶ λοιπὸν κατὰ κρᾶσιν Δωρικὴν τοῦ ᾰ καὶ ο̅ εἰς ᾱ μακρὸν γίνεται Λάας ὥσπερ Πτερέλαος Πτερέλας καὶ Μενέλαος Μενέλας ὡς παρ' Εὐριπίδῃ ἐν Ἀνδρομάχῃ (486)

τοῦ στρατηλάτα

Μενέλα.

cf. Lob. El. II p. 71 et quem citat, Ahrensium de dial. Dor. 199.

ad fr. 229. Ex An. Ox. II 371, 31 ζωννύω: διὰ δύο ν̅ν̅· τὰ εἰς ω περισπώμενα, διὰ τοῦ ν̅ῦ̅ῶ̅ ποιοῦντα παραγωγήν, διὰ δύο νν γράφονται οἷον χῶ χωννύω, ῥῶ ῥωννύω, ὀμῶ ὀμοννύω καὶ ὀμνύω συγκοπῇ, ubi scribi debet ὀμῶ ὀμοννύω ὀμνύω, coniicio etiam nostro loco ὀμοννύω per duplex νν exhibendum esse.

ad fr. 230. ἐριπόλοι Lob. El. I 304 pro αἰριπόλιοι.

ad fr. 231. cf. Il. Pr. I 516, Io. Alex. 39, 20.

ad fr. *232. Hoc Herodianeum esse evincit fr. 93 (E. M. 645 ὄχεσφιν): ἀπὸ τοῦ θεόφατον γίνεται θέσφατον.

ad fr. *233. Quum Herod. in Mon. 21, 15 singularem comparativi ὕστερος speciem affectione excuset, et in hoc fragmento ea ratione, qua θέσφατος ex θεόφατος Herodianus repetit, ὕστερος explicatur, probabile fit hoc ipsum doctrina eminens ab Herodiano profectum et eum locum esse, quem Herod. in Mon. significat ἴσως αἴτιον τὸ πάθος, ὡς δείκνυται ἐν ἑτέροις. Lehrsius praeter hunc locum, quem ex eius emendatione exhibui, alterum doctum adnotamentum citat ex eodem fonte haustum: Ep. p. 420, 3 (Gud. 546): ὕστατος ὄνομα γίνεται ἐκ τῆς

τοῦ c̄; τότε δέ ἐcτι τὸ c, ὁπότε τὸ ε̄, εὐcεβέcτερος εὐcεβέcτατος, cωφρονέcτερος cωφρονέcτατος· εἰ οὖν τὸ c̄ ἔχει, ἐχέτω τό ε̄, εἰ δὲ τό ῡ ἔχει, μὴ ἐχέτω τὸ c̄· ἀλλὰ λέγομεν, ὅτι τὸ πάθος αἴτιον, ὥcτε οὐκ εἴχετο τοῦ χαρακτηριcτικοῦ.

*234.

Ep. Cr. I 181, 16: **Ζείδωρος**: οἱ μὲν ἐκ τοῦ Ζειά Ζειόδωρος καὶ κατὰ cυγκοπὴν Ζείδωρος· ἄμεινον δὲ οὕτως· τὰ τρίτα πρόcωπα τοῦ ῥήματος cυντιθέμενα ἐκβάλλει τό ῑ, ἔχω ἔχεις ἔχει ἐχέθυμος, φέρω φέρεις φέρει Φέρεκλος, μένει Μένεκλος καὶ Μενέλαος· Ζέω Ζέει Ζεέδωρος καὶ Ζείδωρος.

*235.

Ep. Cr. I 263: **ληϊβοτείρης**: ὡς παρὰ τὸ Ἄκτιον Ἀκτιονίκης, Πύθιον Πυθιονίκης καὶ στάδιον σταδιοδρόμος καὶ μένει τὸ ō· οὕτω λήϊον ληϊοβότειρα ἔδει εἶναι· cυνεκόπη δὲ διὰ τὸ μέτρον· ἐπάλληλοι γὰρ εὑρίcκοντο τρεῖς βραχεῖαι καὶ κακοφωνία ἐγένετο.

*236.

E. M. 151, 39: **ἄρχμενος**: ἀρχόμενος καὶ κατὰ cυγκοπὴν ἄρχμενος· ὤφειλε δὲ ἄργμενος· φυλάξαν δέ τὸ χ̄ δοκεῖ Ἰωνικὸν εἶναι, καθό καὶ τὸ ἔργμα ἔρχμα φαcίν· ἐνεcτῶτος οὖν εἰcιν αἱ τοιαῦται μετοχαὶ cυγκοπὴν παθοῦcαι ὡς τὸ λεγόμενος λέγμενος, ὀρόμενος ὄρμενος, δεχόμενος δέγμενος· τινὲς δὲ λέγουcι παρακείμενον εἶναι.

*237.

E. M. 631, 43: «**ὄρμενον** ἐξαίφνης» Ἰλιάδος Φ (14)· ἀπὸ τοῦ ὄρω τὸ διεγείρω ὄρcω ὦρκα ὦρμαι ὡρμένος καὶ κατὰ cυcτολὴν καὶ ἀνάδοcιν τοῦ τόνου ὄρμενος ἢ ἀπὸ τοῦ ὀρόμενος ὄρμενος κατὰ cυγκοπήν.

*238.

E. M. 470, 29: **ἴκμενον**: ἴκω ἱκόμενον καὶ cυγκοπῇ ἴκμενον· cημαίνει δὲ τὸν πορευτικὸν ἢ ὑγρὸν παρὰ τὴν ἰκμάδα.

239.

E. M. 663, 54: **Περίηρς**: ἐκ τοῦ περιήρης ἆρον τὸ η̄ Περίηρς· ταύτῃ ἐάν coι προτεθῇ παρ' Ἀλκμᾶνι, ὅτι κλῖνον αὐτό, μὴ κλίνῃς· οὐ γὰρ ἀκολουθεῖ ἡ κατάληξις, εἰ γένοιτο περιήρους, πρὸς τὴν Περίηρς εὐθεῖαν. **περὶ παθῶν.**

ὑπὸ προθέcεως. πλεοναcμός ἐcτιν ἢ ἴδιος τύπος; ἴδιος τύπος. κανὼν γάρ ἐcτιν ὁ λέγων ὅτι τὸ ō cυγκοπτόμενον πέφυκε ἐφελκυcτικὸν γενέcθαι τοῦ c̄, ὡς ἐcτι θεόφατος καὶ ἐν cυγκοπῇ τοῦ ō πλεοναcμῷ τοῦ c̄ γίνεται θέcφατος. cf. etiam E. Orion. 155, 13.

ad fr. *234. Consuetudo Herodiani alteram sententiam alteri per ἄμεινον obiiciendi originem prodit et compositio vocis Ζείδωρος ex Ζεέδωρος congruit cum doctrina Herodianea ap. Theogn. 81: τὰ παρὰ βαρύτονον ἐνεcτῶτα cυγκείμενα, εἰ μὲν ὁ ἐνεcτὼς εἴη διcύλλαβος, τοῦ τρίτου προcώπου ἀποβάλλει τὸ ῑ καὶ οὕτως ποιεῖ τὴν cύνθεcιν οἷον φέρω φέρεις φέρει φερέοικος κτλ.

ad fr. *235. Ex praecedentibus fragmentis fons claret.

ad fr. *236—*238. Herodianea esse ostendit comparatio Io. Al. 22, 19.

ad fr. 239. Cum hoc comparari potest Eustath. 1542, 30, E. Or. 101, 19 μακάριος, ἐξ οὗ κατὰ cυγκοπὴν ὁ μάκαρς, quod componit St. B. 551, 3 cum Cá-

240.

E. M. 601, 20: νένωται κατὰ κρᾶςιν ἀπὸ τοῦ νενόηται ἢ ἀπὸ τοῦ νόω· — τὸ δὲ νένοται ἢ κατὰ ςυγκοπὴν τοῦ η ἀπὸ τοῦ νενόηται, ὅθεν καὶ νενοέαται Ἰωνικῶς γίνεται, ἢ ἀπὸ τοῦ νένωται κατὰ ςυςτολὴν ἢ καὶ νένοται ὡς πέποται. — ἔςτι γὰρ νῶ ῥῆμα τρίτης ςυζυγίας ὡς παρὰ Σοφοκλεῖ οἷον «Ἑλένης γάμῳ νένωται» (fr. 184 Nauck) καὶ παρὰ Ἀνακρέοντι ἡ μετοχὴ «ὁ δ' ὑψηλὰ νενωμένος» (fr. 10 Bergk) καὶ ὁ Ἄθλιος ἐν τοῖς Σαμίων ὥροις «Ἀλλὰ λέξαςθαι νένωται». καὶ πάλιν ὡς χρυςόονται χρυςοῦνται οὕτω καὶ νόονται νοῦνται. Δημόκριτος «φρενὶ θείῃ νοῦνται». καὶ νένοται ὡς πέποται. περὶ παθῶν.

[239a]

St. B. 200, 5: Γέα πληςίον Πετρῶν ἐν Ἀραβίᾳ. τὸ ἐθνικὸν Γέϊος· ἐν Πέτραις δ' ἐπιχωριάζειν κύριον ὄνομα τὸ Γέςιος. κατὰ ἀναλογίαν δ' ἔδει Γεάτης ὡς Τεγεάτης. ἔοικε δὲ Γεήςιος προϋπάρχειν ὡς τὸ Ἰθακήςιος καὶ κατὰ ςυγκοπὴν Γέςιος.

[239b]

E. Or. 57, 29: ἐχθρός: παρὰ τὸ ἔχθος ἐχθηρός καὶ ςυγκοπῇ ἐχθρός ἢ ὡς κῦδος κυδρός. Ἡρωδιανὸς ἐν τῇ Ὀρθογραφίᾳ.

[240a]

Choer. Dict. 773: τὸ τρέφοιν ὡς παρ' Εὐριπίδῃ «ἄφρων ἂν εἴην εἰ τρέφοιν τὰ τῶν πέλας» (fr. 152 Dind.) τρεφοίην ὡς περιπατοίην καὶ ἀπὸ τοῦ τρεφοίην κατὰ ςυγκοπὴν τοῦ η γέγονε τρέφοιν.

[240b]

Il. Pr. Γ 102: διακρινθεῖτε: οὕτως προπεριςπᾶται διακρινθεῖτε. ἔςτι γὰρ εὐκτικόν, κατὰ πάθος γεγονὸς ἐκ τοῦ διακρινθείητε ὁμοίως τῷ «καὶ εἴ ποθεν ἄλλ' ἐπιθεῖτε» (Od. χ 62) ὧν πάλιν πρῶτα διακρινθείη-

---

λαρς νῆςος Λιβύης cf. Bergk fr. Alcman. 148, Lob. Parall. 94, Proll. 282, El. I 329.

ad fr. 240. In constituendo fragmento secutus sum Lobeckium in El. II 114 (cf. Technol. 20, El. I 330). Caeterum vel sic incuria librarii adnotamentum valde detruncatum est. In initio addi debuit post νενόηται: ἢ ἀπό τοῦ νόω et post κατὰ ςυςτολήν: ἢ νένοται ὡς πέποται, quae verba, ut sententia proba existeret, adieci, in fine etiam repetens καὶ νένοται ὡς πέποται.

---

ad fr. [239a]. Dubitavi hunc articulum in ordinem recipere, quamquam explicandi ratio Herodianum sapit, propter Lobeckii El. I 328 dubitationem.

ad fr. [239b]. Inserui ἢ ante ὡς κῦδος, quia haec Herodiani, qui fortasse addiderat, ὅπερ καὶ ἄμεινον, sententia videtur esse. Ad eundem referendum est etiam E. M. 39, 53: αἶςχος αἰςχρός ὡς κῦδος κυδρός, ψῦχος ψυχρός. καὶ ἀπό τοῦ θηλυκοῦ ςάθη ςαθρός (?) καὶ λύπη λυπρός. οὐ γὰρ ἀπό τοῦ αἰςχηρός ςυγκέκοπται. Hinc valde dubium fit, num ab Herodiano profectum sit E. Or. 58, 1 ἐλαφρός: παρὰ τό κουφότατον ζῷον τὴν ἔλαφον· ἐλαφηρός καὶ ςυγκοπῇ ἐλαφρός.

ad fr. [240a]. Hoc in Rhematico locum habuit cf. Lob. El. I 331 et II 140.

ad fr. [240b]. Utrum synaeresin an syncopen Herodianus intellexerit, ex hoc loco non claret, sed quum Choer. Dict. 777, 22 ἐκ τοῦ δοίημεν γέγονε κατὰ ςυγκοπὴν τοῦ η δοῖμεν doceat, sic etiam Herodianum sensisse opinor.

*241.

St. B. 295, 17: Ζεφύριον: τὸ ἐθνικὸν Ζεφυριώτης. — ἔστι καὶ ἄκρα τῆς Αἰγύπτου, ἀφ' ἧς Ἀφροδίτη καὶ Ἀρσινόη Ζεφυρῖτις ὡς Καλλίμαχος. τὸ οὖν Ζεφυρίτης ἀπὸ τοῦ Ζεφυριώτης συγκοπῇ τοῦ ω ὡς τὸ Θρονίτης ἀπὸ τοῦ Θρονιώτης.

*242.

St. B. 458, 7: Μοψοπία: ὁ πολίτης Μοψόπειος διὰ διφθόγγου καὶ διὰ τοῦ ῑ· καὶ Μοψοπιεύς. Ἡρακλείδης δὲ ὁ Ποντικὸς ἐν α' Λέσχῃ Μοψοπίτης φησί, καὶ ἔδει Μοψοπιώτης· ἴσως δὲ καθ' ὕφεσιν τοῦ ω̄.

*243.

St. B. 323, 1: Ἰάων: ἐκ τοῦ Ἰάων τὸ Ἰάν.

*244.

E. M. 628, 10: ὄπισθεν: διχῶς «στῆ δ' ὄπιθεν» (Α 197) ἀπὸ τοῦ ὀπίσω ὀπίσωθεν καὶ συγκοπῇ τῆς σω συλλαβῆς· εἰ δὲ ὄπισθεν, συγκοπῇ τοῦ ω̄ καὶ μετόπισθεν Ἰλιάδος Α (82).

*245.

Ep. Cr. I 413: ὁ Ἀντίμαχος ἀπὸ τοῦ ὁ τέρενος εἶπε κατὰ συγκοπὴν τερέντερον ἀπὸ τοῦ τερενώτερος.

*246.

E. M. 13, 28: ἀγρόμενοι: ἀγειρόμενοι: ἀγείρω καὶ κατὰ συγκοπὴν ἄγρω ὥσπερ παρὰ τὸ ἐγείρω ἔγρω.

*247.

E. Or. 123, 28, E. M. 644, 2: ὄφλω γίνεται κατὰ συγκοπὴν ἀπὸ τοῦ ὀφείλω, ὅθεν καὶ βαρύνεται.

μεν καὶ διακρινθεῖμεν, ὥσπερ καὶ τὸ «ἡμεῖς δ' ἐς δεκάδας διακοσμηθεῖμεν Ἀχαιοί» (Il. B 126).

---

ad fr. *241. cf. St. B. 318, 11 s. Θρόνιον.

ad fr. *243. cf. Lob. El. p. 333, qui in loco lacunoso Stephani Λυκάων... καὶ Λυκάν ὡς μεγιστάν non cum Meinekio κατὰ συγκοπήν, sed potius Λύκος excidisse opinatur.

ad fr. *244. cf. Arcad. 129, 10: αἱ συγκοπαὶ ἀναβιβάζουσι ὀπίσωθεν ὄπισθεν, ὁμόπατρος ὄπατρος.

ad fr. *245. Hoc Herodiani esse puto, quia etiam quae sequuntur, ex eiusdem libro περὶ κλίσεως petita videntur. Caeterum quamquam iure Lobeck. El. I 334 in huiusmodi formis syncopen improbta, tamen Herodianus hanc sententiam amplexus esse existimandus est neque dubito, quin etiam ab eo derivatum sit E. M. 546. 1 παρὰ τὴν κυνός γενικὴν κυνώτερος καὶ συγκοπῇ κύντερος ὡς μέλαν μελανώτερον μελάντερον, nam hanc passionem significare videtur in Mon. 21, 22: ἀλλ' ἴσως αἴτιον τὸ πάθος ὡς δείκνυται ἐν ἑτέροις, ἔνθα καὶ περὶ τοῦ «κύντερον ἄλλο γυναικός» (λ 424) εἰ καὶ ἔστι συγκριτικόν cf. Lehrs ad h. l.

ad fr. *246. cf. Arcad. 163, 13, ubi ἄγρω omissum est.

ad fr. *247. cf. Arcad. 158, 27.

*248.

E. M. 676, 53: πλήρης: ἔστι πλεῖος πλειήρης καὶ κατὰ συγκοπὴν πλήρης.

*249.

St. B. 50, 11 et 48, 20: Αἴνεια τόπος Θρᾴκης· τὸ ἐθνικὸν Αἰνειεύς, ὃ καὶ παράσημον, ὅτι μὴ ἐνδεῖ μιᾷ συλλαβῇ τοῦ πρωτοτύπου· παρὰ μίαν γὰρ συλλαβὴν εὑρίσκεται τὰ τοιαῦτα ἐνδεῖν τοῦ πρωτοτύπου, τῆς Ἀντιοχείας Ἀντιοχεύς· ἀλλ᾽ οὐδ᾽ ἀπὸ τούτων γίνεται τὰ εἰς ευς ἀρσενικά, ἀλλὰ ἀπὸ τῶν εἰς ος. ἀπὸ γὰρ τοῦ Ἀντίοχος Ἀντιοχεύς καὶ τοῦ Σέλευκος Σελευκεύς, ὡς Ἄβρων ἐν τῷ περὶ παρωνύμων. εἰ γὰρ παρὰ τὴν Ἀλεξάνδρειαν ἦν, Ἀλεξανδρειεύς ἂν ἦν. ἀμφοῖν δ᾽ ὁ Ἀλέξανδρος ἀρχή.

250.

E. M. 279, 7: δίς καὶ τρίς: ἀπὸ τοῦ δυάκις καὶ τριάκις. καὶ λέγουσί τινες δύο συλλαβῶν ἐγένετο συγκοπή· καὶ πῶς δύναται τρισύλλαβον δύο συλλαβὰς ἐκκεκόφθαι; πρὸς τούτους λέγομεν, ὅτι ἀπὸ τοῦ δυάκις καὶ τριάκις ἆρον τὸ ᾱ καὶ τὸ κ̄ καὶ κατὰ συνίζησιν δίς καὶ τρίς. οὕτως Ἡρωδιανός.

[249a]

Mon. 41, 1: χείρων: οὐδὲν εἰς ων λῆγον συγκριτικὸν πρὸ τοῦ ω τὸ ρ̄ ἔχει, ἀλλὰ μόνον τὸ χείρων· αἴτιον δὲ τὸ πάθος.

[249b]

Schol. ad Od. π 175, Choer. Dict. 174, 9, E. M. 576, 15: μελαγχροιής: ὀξυτόνως· τοῦτο δὲ κατὰ συγκοπὴν Ἀττικοὶ μελαγχρής.

---

ad fr. *248. Quae praecedit explicatio in E. M. παρὰ τὸ πολύ πολυήρης ab epitomatore adiecta est; eam quam recepi Herodianeam esse persuadet Arcad. 25, 1 τὸ πλήρης βαρύνεται, πλειήρης (sic Lehrsius qu. ep. 156 pro πληήρης emendavit) ὡς ξιφήρης, λιγήρης et locus e libro περὶ παθῶν in E. M. 675, 29 πλειάρειν· τὸν γὰρ πλήρην οὕτως ἔφη πλειάρειν. Lobeckius potius ex πλεήρης ortum putat El. I 339, II 102.

ad fr. *249. cf. Lob. El. I 340, Parall. 25. Corruptus est locus St. B. 514, 5: ἔστι δῆλον ὡς ἀπὸ τοῦ Πειραία Πειραιάτης καὶ Πειραιείτης καὶ καθ᾽ ὑφαίρεσιν τῆς ει διφθόγγου Πειραιάτης, ubi Mein. Πειραιάτης καὶ Πειραιήτης καὶ καθ᾽ ὑφαίρεσιν τῆς αι διφθόγγου Πειρήτης scribi vult, Lobeck. vero El. II 139 Πειράτης a prototypo Πεῖρα scriptum fuisse suspicatur.

ad fr. 250. Verba καὶ λέγουσί τινες — ἀπὸ τοῦ δυάκις καὶ τριάκις accesserunt ex Cod. Parisin. 346 et Zon. 556, unde etiam auctoris nomen adiectum est. πρὸς τούτους scripsi pro τούτου, Lob. πρὸς τοῦτο. Fortasse post συνίζησιν exciderunt καὶ κατὰ συστολήν. cf. Lob. El. I 388. Schol. ad Dionys. 943, 21 τὸ δίς καὶ τρίς πέπονθε· τὸ γὰρ δυάκις καὶ τριάκις παρ᾽ Ἀριστοφάνει intellegendus videtur poeta, non grammaticus; Schoemann. de partibus orationis p. 145 dubitat, uter significetur.

---

ad fr. [249a]. Videtur autem significare syncopen diphthongi ex χερείων cf. Lob. El. I 340.

ad fr. [249b]. cf. Lob. El. I 315, II 140, Parall. 256.

251.

E. M. 52, 18: ἀκραιφνής ὁ καθαρός· κυρίως δὲ ὁ περιφανής παρὰ τὸ ἀκέραιον καὶ τὸ φαίνω ἀκεραιοφανής καὶ ἀκραιφνής συγκοπῇ. οὕτως Ὠρίων. Ἡρωδιανὸς δέ φησι μὴ γίνεσθαι δύο συλλαβῶν συγκοπήν. ἀλλ' ἀκροφανής καὶ ἀκραιφνής τοῦ ο̄ τραπέντος εἰς αι̅ ὡς ἐπὶ τοῦ μεσοπόλιος μεσαιπόλιος.

252.

E. M. 22, 30: ἄζω: ὁ Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν λέγει, ὅτι παραγωγόν ἐστιν, ἀπὸ τοῦ ἄγος ἁγίζω καὶ κατὰ συγκοπὴν ἅζω ὡς σκέλος σκελίζω, τεῖχος τειχίζω. δῆλον δὲ ἐκ τοῦ τὸν Ἀλκμᾶνα εἰπεῖν «ἁγίσδεο» ἀντὶ τοῦ ἅζεο.

253.

E. Or. 63, 26: ἕρματα: οἱ μὲν παρὰ τὸ εἴρω εἷρμα καὶ ἕρμα· οἱ δὲ παρὰ τὸ ἔρεισμα συγκοπῇ ἕρμα· οὕτως Ἡρωδιανός.

254.

E. M. 566, 44: Λιμήρη Ἐπίδαυρον· τοῦτο διссόν ἐστιν· ὁπότε παρὰ τοῦ λιμένος, λιμενήρη· ἢ παρὰ τοῦ λειμῶνος λειμωνήρη. οὕτως Ἡρωδιανός.

*255.

St. B. 392, 16: Κυλλήνη: τὸ ἐθνικὸν Κυλλήνιος. καὶ Κύλλιος λέγεται Ἑρμῆς κατὰ συγκοπὴν τοῦ Κυλλήνιος.

[253ᵃ]

E. Or. 117, 26, E. M. 618, 8: «οἶμα λέοντος ἔχει» Ἰλιάδος Π (752) ἀπὸ τοῦ οἰμῶ οἰμήσω «οἴμησε δὲ ἀλεὶς ὥστ' αἰετός» (Χ 308) οἴμημα καὶ κατὰ συγκοπὴν οἶμα.

[255ᵃ]

Arcad. 79, 24: τὰ εἰς το̅ς̅ ὀξύνεται, εἰ μὴ ἐκ πλειόνων συλλαβῶν εἰς δισυλλαβίαν μεταστῇ ὡς δύστος ὁ δύστηνος, καὶ πόστος ἐκ τοῦ πόσατος γέγονεν.

---

ad fr. 251. Verba οὕτως Ὠρίων, quae in fine posita sunt, ante Herodiani nomen inserui, nam sic in E. Or. 31, 8 ἀκραιφνές οἷον ἀκεραιοφανὲς explicatur. Caeterum haec non ipsius Orionis sententia est, sed alicuius grammatici antiquioris, quem Herodianus refutaverat. Tum pro ἢ scripsi ἀλλ'.

ad fr. 253 cf. Il. Pr. A 486: ἕρματα: τὸ ἕρματα, εἰ καὶ ἐκ τοῦ ἐρείσματα, οὐ ψιλοῦται, ὥς τινες κτλ. Caeterum pro ῥῆμα scripsi εἷρμα.

ad fr. 254. Pro Πίνδαρος Berkelius ad St. B. 273, 10 Ἐπίδαυρος scripsit, quod in Ἐπίδαυρον mutandum monuit Meinekius. St. B. habet: Ἐπίδαυρος: τινὲς δὲ Λειμήρη αὐτήν φασι, τὴν λειμῶνας ἔχουσαν. — τινὲς δὲ Λιμηρὰν Λακωνικὴν λέγουσι, μίαν τῶν ἑκατόν διὰ τὸ πολλοὺς ἔχειν λιμένας. cf. Hes. Λιμηρά.

ad fr. *255. cf. Lob. El. I 354. Ex St. B. huc fortasse trahenda sunt: 597, 1 Σωφηνή παρ' Ἀρριανῷ Σωφανηνή τετρασυλλάβως cf. Lob. Proll. 195 et 652, 1 Καλύκαδνος, ὃν Κάλυδνόν τινες καλοῦσιν.

---

ad fr. [253ᵃ]. Quum in Mon. 37, 24 Herodianus οἶμα unum bisyllabum dicit, quod diphthongum οι proxime ante exitum μα habeat, Lob. El. I 348 suspicatur

*256.

E. M. 423, 7: ἠιόεις ὁ καλὰς ἠϊόνας ἔχων οἷον «ἐπὶ ἠϊόεντι Σκαμάνδρῳ» (Ε 63) τουτέστι ἐπὶ τῷ αἰγιαλοὺς καὶ ὄχθας ἔχοντι ποταμῷ· παρὰ τῆς ἠϊόνος γενικῆς γίνεται ἠϊονόεις καὶ κατὰ συγκοπὴν ἠϊόεις· γίνεται γὰρ καὶ ἀπὸ τῆς εἰς ος γενικῆς ὡς ὕδατος ὑδατόεις ὑδατόεσσα. ἢ παρὰ τὰ ἄνθη γίνεται (παρὰ γὰρ τοῖς ποταμοῖς ἄνθη εἰσί· καὶ γὰρ ἰονοβόστρυχος εἴρηται)· ὥσπερ θύος θυόεις «θυόεν νέφος» (Ο 153), οὕτω καὶ παρὰ τὸ ἴον γίνεται ἰόεις καὶ πλεονασμῷ τοῦ η ὡς ἠείδει γίνεται ἠϊόεις ὁ ἴα ἔχων Σκάμανδρος, ἁρμόζει γὰρ ἐπὶ ποταμοῦ. πρὸς διάφορα οὖν σημαινόμενα ἢ συγκοπὴ ἢ πλεονασμός.

*257.

E. M. 109, 9: Ἀνθεμίδης: ὥσπερ παρὰ τὸ Δευκαλίων Δευκαλίωνος Δευκαλιωνίδης Δευκαλίδης, οὕτω καὶ παρὰ τὸ Ἀνθεμίων Ἀνθεμίωνος Ἀνθεμιωνίδης καὶ Ἀνθεμίδης κατὰ συγκοπήν· ἢ ἀπὸ τοῦ Ἄνθεμος Ἀνθεμίδης ὡς Δεύκαλος Δευκαλίδης καὶ Κρόνος Κρονίδης, Ὕλλος Ὑλλίδης.

[256ᵃ]

Mon. 14, 15: χαρίεις: οὐδὲν εἰς εις λῆγον ὄνομα ὑπὲρ μίαν συλλαβὴν ἀρσενικὸν τῷ ι παραλήγεται. — τὸ τοίνυν χαρίεις σημειῶδες τῷ ι χρησάμενον πρὸ τέλους. ὁ μέντοι Ἀνακρέων καὶ χαριτόεις εἶπεν, ἀποδοὺς τὸ ἐντελὲς τῇ λέξει.

[256ᵇ]

Mon. 27, 5: ἐκεῖθεν: οὐδὲν εἰς θεν λῆγον ἐπίρρημα τοπικὸν τῇ ει διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνον τὸ ἐκεῖθεν. αἴτιον δὲ τὸ πάθος· ὁ γοῦν Ἀλκαῖος κεινόθεν ἐστὶν ὅπου ἀπεφήνατο αὐτό.

αἰ γάρ κ' ἄλλοθεν ἔλθῃ, τί δὲ φῇ κήνοθεν ἔμμεναι.

[256ᶜ]

Il. Pr. Z 239: ἔτας: ὁ Ἀσκαλωνίτης τὸ ἔτης ψιλωτέον φησίν, εἰ καὶ ἐπὶ τῶν ἑταίρων τάσσεται, ἐπεὶ συγκοπὴ ἐγένετο ὡς ἀπὸ τοῦ ἤλατο ἆλτο.

---

ad fr. *256. Herodianea origo eleganti disserendi ratione demonstratur et dictione, nam hic πρὸς διάφορα οὖν σημαινόμενα dixit similiter atque supra fr. 113 πρὸς τὸ σημαινόμενον καὶ ἡ ἀποκοπή.

ad fr. *257. Nota est Herodiani consuetudo qua optionem inter duas interpretationes eligendi concedit atque sic ut posteriori principatum tribuat, quod etiam hic fecisse videtur cf. Lob. El. I 392.

---

eum subiecisse rationem τὸ πάθος i. e. συγκοπή. Atque si hoc verum est, ut videtur esse, tum locus E. Orion. ex Herodiano petitus est.

ad fr. [256ᵇ]. E. M. 321, 40: ἐκεῖθεν: οὐδὲν τῶν εἰς θεν τῇ ει διφθόγγῳ παραλήγεται πλὴν τοῦ κεῖθεν, ὅπερ ἀπὸ τοῦ ἐκεινόθεν γίνεται κατὰ συγκοπὴν καὶ τὸ ἐκεῖ ἀπὸ τοῦ ἐκεῖθι. τοῦτο δὲ ἀπὸ τοῦ ἐκεινόθι καὶ τὸ ἐκεῖσε ἀπὸ τοῦ ἐκεινόσε.

258.

E. M. 655, 15: ἅπας: ἀμφίβολον, πότερον ἀφαίρεσις ἢ πρόσοδος. οὐδέποτε δασυνόμενον ᾱ ἀφαιρεῖται. πῶς οὖν τὸ ἅπας γέγονε πᾶς; ἐπλεόνασε τὸ ᾱ. πῶς δασύνεται τὸ ᾱ; τὸ γὰρ πλεονάζον ᾱ οὐδέποτε δασύνεται. ὥστε ἀμφίβολον. ὁρῶ δὲ καὶ τὸ θροῦς ὄνομα λαμβάνον τὸ ᾱ καὶ βαρυνόμενον καὶ δασυνόμενον ἕνεκεν ἀντεμφάσεως ἐν τῷ ἄθρους. οὐκ ἄρα κεκώλυται κατὰ ταύτην τὴν ἀναλογίαν καὶ τὸ πᾶς ἅπας· ὥστε μᾶλλον εἶναι πρόσοδον ἢ ἀφαίρεσιν. ὁ δὲ Ἡρωδιανὸς βούλεται ἐκ τοῦ ἅμα πᾶς εἶναι ἐν συγκοπῇ. περὶ παθῶν.

*259.

E. M. 243, 25: γυναιμανές: ἐκ τοῦ μαίνω μανῶ καὶ τοῦ γυνή γυναικός γίνεται γυναιμανές κατὰ συγκοπήν, οὐκ ἀπὸ τῆς γύναι κλητικῆς ἔχει τὴν σύνθεσιν, ἀλλ' ἀπὸ τῆς γυναικός λέγεται γεγενῆσθαι γυναικομανές καὶ κατὰ συγκοπὴν γυναιμανές· ἢ λέγεται ὅτι ὥσπερ παρὰ τὸ τιμή γίνεται Τιμόθεος, οὕτω καὶ ἀπὸ τοῦ γυνή γίνεται γυνομανές καὶ κατὰ μετάθεσιν τοῦ ο̄ εἰς τὴν αι δίφθογγον ὥσπερ μεσοπόλιος με-

[258ᵃ]

Il. Pr. Ω 213: ἄντιτα: παραφυλακτέον, ὅτι συλλαβὴ λείπει ἤ τι τοῦ ἐντελοῦς ὄντος ἀντίτιτα.

[258ᵇ]

Arcad. 62, 8: τὸ λίχνος βαρύτονον ὡς σύνθετον παρὰ τὸ λίαν χαίνειν.

[258ᶜ]

Il. Pr. Λ 257: ὄπατρον: ψιλωτέον οὐχ ὡς οἴονται διὰ τὴν συγκοπήν· πολλὰ γάρ φασι διὰ τὴν συγκοπὴν ψιλοῦσθαι· ἀπεδείξαμεν δὲ ἡμεῖς ἐν ἑτέροις, ὡς καὶ δασύνεται· ἑστήκαμεν γοῦν καὶ ἕσταμεν, Ἡράκλεες Ἥρακλες· τί οὖν ἐκώλυεν, εἰ καὶ ἀπὸ τοῦ ὁμόπατρος ἦν, τὸ κατὰ συγκοπὴν πάλιν δασύνεσθαι; ἄμεινον οὖν λέγειν ὅτι φιλεῖ τὸ ο̄ πρὸ τοῦ π κείμενον μὴ κατὰ ἀναφορικὴν ἔννοιαν ψιλοῦσθαι.

[258ᵈ]

Arcad. 47, 18: τὸ ὅμαργος σύνθετον ἀπὸ τοῦ ὁμοῦ καὶ ἀργός· ἔστι δὲ ὄνομα κυνός.

---

ad fr. 258. Non solum extremam partem inde ab ὁ δὲ Ἡρωδιανός ab hoc profectum esse, sed totum adnotamentum clarum est; post ἀμφίβολον perspicuitatis causa inserui πότερον ἀφαίρεσις ἢ πρόσοδος; tum pro ἐμφάσεως scripsi ἀντεμφάσεως coll. Mon. 35, 30.

ad fr. *259. Quamquam Eustathius huiuscemodi praeceptum a Choerobosco traditum esse dicit 380, 7: ὡς τὸ γυναιμανής οὐκ ἀπὸ τῆς κλητικῆς συντέθειται ὁ Χοιροβοσκὸς δείκνυσιν ἐπὶ τοῦ Βακχέβακχος καὶ Ἀργειφόντης καὶ τῶν ὁμοίων, tamen, nisi E. M. ex fonte primario hausit, Choeroboscum ex Herodiano pendere manifestum est et conformatione expositionis, in qua duae sententiae com-

ad fr. [258ᵃ]. Improbat Lob. El. I 360.

ad fr. [258ᵇ]. cf. Il. Pr. Ξ 351 cum Lehrsii adnotatione. Hinc Herodiani esse suspicari licet E. Orion. 40, 19 γλίχεσθαι παρὰ τὸ λίαν ἔχεσθαι.

caιπόλιοc γυναιμανέc. ἀλλ' οὐκ ἀπὸ τῆc κλητικῆc cυντέθειται· ἀπὸ γὰρ τῆc κλητικῆc οὐ cυντίθεται· οὔτε τὸ βακχέβακχοc ἀπὸ τῆc κλητικῆc λέγεται cυντεθέν, ἀλλ' ἀπὸ τοῦ Βάκχου γέγονε Βακχόβακχε καὶ τροπῇ τοῦ ō εἰc ε̄ Βακχέβακχε ὡc ἀλοτρίβανον ἀλετρίβανον.

*260.

Ep. Cr. I 288 15: μώνυχες ἀπὸ τοῦ μονώνυχες ˙cυγκέκοπται ὑφαιρέcει τοῦ ον μώνυχεc· δύναται δὲ ἐν τῇ cυνθέcει τοῦ ὄνυχεc τὸ ō εἰc τὸ ω̄ ἐκτετάcθαι μονώνυχεc ὡc ὄνομα cυνώνυμον. ἢ ὑφέcει τοῦ ν̄, μετὰ δὲ τὴν ὕφεcιν δύναται τὸ ō καὶ τὸ ω̄ εἰc ω cυναιρεῖcθαι, ὡc χρυcόω χρυcῶ, καὶ μοώνυχεc μώνυχεc· ἢ ἀπὸ τοῦ μονόνυχεc ὑφέcει τοῦ ν̄, μετὰ δὲ τὴν ὕφεcιν τοῦ ν̄ γίνεται τῶν δύο οο εἰc τὴν ου̅ δίφθογγον κρᾶcιc μούνυχεc καὶ τροπῇ μώνυχεc ὡc βοῦν βῶν.

261.

E. M. 501, 48: κελαινεφέc: ἐπὶ μὲν τοῦ Διὸc παρὰ τὸ κελαίνω καὶ τὸ νέφοc γίνεται κελαινονεφήc ὁ τὰ νέφη μελαίνων καὶ cυγκοπῇ τῆc νο̅ cυλλαβῆc κελαινεφήc. κανὼν γάρ ἐcτιν ὁ λέγων, ὅτι καθόλου τὰ ὑπερδιcύλλαβα βαρύτονα cύνθετα ἐκκόπτει μίαν cυλλαβήν, ὅπωc ἀναλογῇ τοῖc διcυλλάβοιc χωρὶc τοῦ ἀλέξω ῥήματοc. οὐ γὰρ φύcει βαρύτονον· ὁ μέλλων γὰρ αὐτοῦ ἀλεξήcω· οἷον γανύω γανύειc γανύει Γανυμήδηc· ἰθαίνω ἰθαίνειc ἰθαίνει Ἰθαιμένηc καὶ οὐ λέγεται Ἰθαινομένηc. οὕτωc ἐκ τοῦ κελαίνω τὸ μελαίνω καὶ τὸ νέφοc γίνεται κελαινεφήc κατὰ cυγκοπὴν ὡc τανύω τανύπεπλοc. ἐπὶ δὲ τοῦ αἵματοc ἐκ τοῦ φῶ

[261ᵃ]

Il. Pr. O 619: ἠλίβατοc· ἀπὸ τοῦ ἀλιτεῖν ἐcχημάτιcται· καὶ ὤφειλεν ὅμοιον εἶναι τῷ ἠλιτόμηνοc· cυγκοπὴν δὲ ἔπαθεν.

parantur ita, ut altera praeferatur, et rebus. Nam tropen vocalis ō in αι in compositione etiam alias Herodianus commemorat e. g. fr. 251 et in fragmento Herodianeo ap. Eustath. 183 diserte pro exemplo vocalis mutatae affertur ἀλοτρίβανον ἀλετρίβανον. — Ad mancam orationem resarciendam inserui verba οὐκ ἀπὸ τῆc κλητικῆc — οὐ cυντίθεται. Similia tradit Schol. ad Dionys. 859, 24 cf. Lob. El. p. 473.

ad fr. *260. Sic locum valde depravatum auxilio Lobeckii El. I 361 restitui, ita ut non duae, ut Lobeckius opinatur, sed tres sententiae proponantur. De origine autem Herodianea propter subtilitatem in indagandis omnibus, quae inveniri possunt, rationibus dubitari non potest.

ad fr. 261. Apparet κελαινεφήc ἐπὶ τοῦ Διόc Herodianum a verbo repetivisse, quare initio pro παρὰ τὸ κελαινὸν scribendum est κελαίνω, quae fuit Herodiano altera forma verbi μελαίνω, et post pro οὕτωc ἐκ τοῦ μελαίνω ponendum esse οὕτωc ἐκ τοῦ κελαίνω τὸ μελαίνω. — Lobeck. in El. I 368 pro ὑφαίνω ὑφαίνειc ὑφαίνει ὑφαιμένηc καὶ οὐ λέγεται ὑφαινομένηc emendavit ἰθαίνω κτλ. Ex hoc fr. elucet E. M. 59, 58 ex eodem fonte fluxisse: ἀλετρίβανοc ὁ τριβεύc παρὰ τὸ τρίβειν τὰc ἅλαc· ἀλοτρίβανον οὖν καὶ ἀλετρίβανοc κατὰ τροπὴν ὡc κελαινοφήc κελαινεφήc ἀπὸ τοῦ κελαινόν καὶ τοῦ φῶ (pro φῶc)· οὐ γὰρ ἀπὸ τοῦ νέφοc.

ad fr. [261ᵃ]. E. M. 427, 40 ἠλίβατοc: ἀπὸ τοῦ ἀλιτῶ ἀλιτόβατοc καὶ cυγκοπῇ ἀλίβατοc καὶ ἐκτάcει ἠλίβατοc πέτρα, ἐφ' ἣν ἄν τιc βαίνων ἁμαρτάνει καὶ ἀποτυγχάνει.

τὸ φαίνω καὶ τοῦ κελαινόν γίνεται κελαινοφής κελαινεφής ὡς ἐπὶ τοῦ θηροφόνα θηρεφόνα· καὶ δῆλον ὅτι οὐ συγκοπή. οὕτως Ἡρωδιανός.

262.

Theogn. 81, 23: Τὰ παρὰ βαρύτονον ἐνεστῶτα συγκείμενα, εἰ μὲν ὁ ἐνεστὼς εἴη δισύλλαβος, τοῦ τρίτου ἀποβάλλει τὸ ῑ καὶ οὕτως ποιεῖ τὴν σύνθεσιν οἷον φέρω φέρεις φέρει φερέοικος, Ἐχεκράτης, Μενέλαος, χαιρέκακος· εἰ δὲ ὑπὲρ δύο συλλαβὰς βαρύτονος, ἐκκόπτει μίαν συλλαβήν, ὅπως ἀναλογοίη τοῖς δισυλλάβοις οἷον γανύω γανύεις γανύει Γανυμήδης, τανύω τανύεις τανύει τανύπεπλος, ἰθαίνω ἰθαίνεις ἰθαίνει Ἰθαιμένης ὁ ἰθαινόθυμος, ἰθαιγενής, μιαίνω μιαίνεις μιαίνει μιαιφόνος· τὸ δὲ ἀλέξω ἐν τῷ ἀλεξίκακος ἀλεξιφάρμακον οὐκ ἀποβαλὸν συλλαβὴν οὐκ ἀντίκειται· οὐ γὰρ βαρύτονον κυρίως. ὁ γὰρ ἀλεξήσω μέλλων δείκνυσι τὸν ἐνεστῶτα περισπώμενον, εἰ καὶ Ἀττικῶς βεβάρυνται ὡς καὶ τὸ αὔξω ἕψω, ὥστε οὐκ ἀπὸ βαρυτόνου, ἀλλ' ἀπὸ περισπωμένου εἶναι τὴν σύνθεσιν. σημειοῦται τὸ ἐθελόκακος ἐθελόσυχνος. οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν.

263.

E. M. 616, 56: Τὸ Οἰδίπους Ἡρωδιανὸς λέγει μὴ εἶναι ἀπὸ τοῦ οἰδήσω Οἰδησίπους κατὰ συγκοπὴν τῆς ης συλλαβῆς, ἀλλ' ἀπὸ τοῦ οἰδῶ Οἰδίπους· ἄμεινον γὰρ τὸ ἀπαθὲς τοῦ πεπονθότος.

264.

E. M. 299, 23: εἰλίπους· φησὶν ὁ Ἡρωδιανὸς ὅτι, εἴτε ἀπὸ τοῦ εἰλῶ γέγονεν ἢ ἀπὸ τοῦ εἰλίσσω εἰλίπους διὰ τοῦ ῑ· τὰ γὰρ εἰς ω λήγοντα τρισύλλαβα μίαν συλλαβὴν συγκόπτουσιν ἐν τῇ συνθέσει οἷον μιαίνω μιαιφόνος, τανύω τανύπεπλος, οὕτως οὖν καὶ εἰλίσσω εἰλίπους· σημειοῦται παρὰ τῷ Κράτητι τὸ ἐθελόσυχνος ἀπὸ τοῦ ἐθέλω· σημαίνει δὲ τὸν θέλοντα συχνάζειν· τὸ δὲ ἀλεξίκακος καὶ ἀλεξιφάρμακος ἀπὸ περισπωμένου γέγονεν· εἰ δέ ἐστιν ἀπὸ τοῦ εἰλῶ, εὐλόγως πάλιν διὰ τοῦ ῑ· τὰ γὰρ ἀπὸ περισπωμένου γινόμενα ὀνόματα ἢ διὰ τοῦ ο̅ γίνε-

ad fr. 262. Ἰθαιμένης inseruit Lob. El. I 369 pro ἰθαινάθυμος scribens ὁ ἰθαινόθυμος collatis Epim. I 61, 10. — ὥστε inserui relegans τὸ ἐθελόκακος ἐθελόσυχνος praemisso σημειοῦται in finem adnotamenti; haec enim Herodiani sententia probante Lobeckio l. c. — Ex eodem fonte manarunt praeter Ep. Cr. I 181, 16, quem locum posui in fr. 234, E. M. 579, 43: τὰ εἰς ω̅ λήγοντα ῥήματα δισύλλαβα βαρύτονα σύνθετα μετὰ τοῦ ἀμεταβόλου τρέπουσι τὸ ω̅ εἰς ε̅ οἷον φέρω φερέοικος, μένω Μενέλαος πλὴν τοῦ τέρπω τερπικέραυνος et E. M. 745, 46 τανύπεπλος: γίνεται παρὰ τὸ τανύω τανύσω (? τανύει) τανύπεπλος ὡς γανύω Γανυμήδης καὶ τανύπτερος ἡ παρατεταμένα πτερὰ ἔχουσα.

ad fr. 263. Praecedunt τὸ Οἰδίπους ὁ μὲν Θεόγνωτος (i. e. Theogn. 97, 11) ἀπὸ τοῦ οἰδήσω Οἰδησίπους κατὰ συγκοπὴν τῆς ης συλλαβῆς, quem videmus, ut fieri solet ab epitomatoribus, reprobatam tantum ab Herodiano sententiam protulisse. Hinc iudicari potest de Choer. Orth. 264, 27 Τίσανδρος: διὰ τοῦ ῑ· παρὰ γὰρ τὸν τίσω μέλλοντά ἐστιν ἢ παρὰ τὴν τιμῆς γενικὴν γέγονε Τιμήσανδρος καὶ κατὰ συγκοπὴν Τίσανδρος, quae posterior explicatio sic ab Herodiano concepta fuit ἢ παρὰ τὸν τιμήσω μέλλοντα Τιμήσανδρος, quamvis eam reiecerit.

ad fr. 264. In E. M. scriptum est ὁ Ὦρος, cuius nomen saepius cum Ἡρωδιανὸς commutatum esse constat; equidem Ἡρωδιανός posui sine haesitatione, nam comparatio cum praecedentibus fragmentis originem clare demonstrat, prae-

ται ὡς μιcῶ μιcογύνης, φιλῶ φιλόπονος ἢ διὰ τοῦ ῑ οἰδῶ Οἰδίπους, εἰλῶ εἰλίπους. τὸ οὖν Ἡγέστρατος καὶ Ἡγέλοχος διὰ ε̄ γινόμενα ὡς ἀπὸ βαρυτόνου εἰcὶν ὡς μένω Μενέλαος, εἴγε τὰ εἰς γω̄ διcύλλαβα τῷ η̄ παραληγόμενα βαρύνεται θήγω· τούτῳ τῷ κανόνι καὶ τὸ ἡγῶ, ἐξ οὗ ἡγοῦμαι, ὤφειλεν βαρύνεcθαι, ἀλλὰ περιcπᾶται· ἔcτιν οὖν Ἡγέλοχος ὡς ἀπὸ βαρυτόνου γενόμενον ὡς καὶ τὸ ἡγεμών καὶ ἡγέμαχος.

*265.

E. M. 245, 14: δαΐφρων: παρὰ τὸ δαῶ δαήcω καὶ ἐξ αὐτοῦ δαΐφρων· τὰ γὰρ ἀπὸ πρώτης cυζυγίας τῶν περιcπωμένων γινόμενα ὀνόματα ἢ τῷ ο̄ παραλήγουcιν ὡς τὸ ἁμαρτῶ ἁμαρτοεπής, μιcῶ μιcογύνης ἢ τῷ ῑ ὡς τὸ εἰλῶ εἰλίπους, οἰδῶ Οἰδίπους, ἁμαρτῶ ἁμαρτίνους· οὕτω δαῶ δαήcω δαΐφρων.

266.

E. M. 430, 24, Theogn. Cr. II 83, 7: ἡμικύκλιον: τὰ εἰς ῡς λήγοντα, ὁπόταν μὴ ἀπὸ γενικῆς, ἀπὸ δὲ εὐθείας cυντίθεται, ἀποβάλλει τὸ c̄, βραδύς βραδυήκοος, ὀξύς ὀξυήκοος, Λίβυς Λιβυφοῖνιξ, θῆλυς θηλύμορφος· οὕτως ὤφειλεν ἡμιcυκύκλιον· ἀλλὰ δῆλον ὅτι κατὰ cυγκοπὴν ταῦτα γίνεται ἡμίθεος, ἡμίφωνος, ἡμιμέδιμνον, ἡμίκραιρον τὸ ἥμιcυ τῆς κεφαλῆς καὶ τὸ ἡμιτύμβιον τὸ δίκροccον· ἀλλὰ καὶ ὁ Ἄβρων λέγει, ὅτι τὰ εἰς ῡς cυντεθέντα φυλάττει τὸ ῡ, τὸ δὲ ἥμιcυς ἐκβάλλει τὴν cῡ cυλλαβήν. εὕρηται δὲ παρὰ τοῖς παλαιοῖς cπανίως μετὰ τῆς cυ cυλλαβῆς ὡς ἐν τῷ ἡμιcύχοιρος, ἡμιcύχοινιξ. οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν.

*267.

St. B. 126, 6: Ἀρcυcία: χώρα τῶν Ψύρων καὶ Χίου — οἶνον ἔχουcα καλούμενον Ἀρcυηνόν, οὗ μέμνηται Cτράβων ιδ' (p. 645). καὶ τοὺς ἐνοικοῦντας τοιῶcδε κλητέον κατὰ cυγκοπὴν τῆς cι. ἦν γὰρ Ἀρcυcιηνός.

268.

Zon. 603, Philem. p. 46: ἔγκαcι (Il. Λ 438): ἐγκάτοιcι καὶ ἀποβολῇ τῆς τοι cυλλαβῆς ἔγκαcιν. οὐκ ἔcτι δὲ cυγκοπή, μάχεται γὰρ ἐπέκταcις cυγκοπῇ. ἐναντίον γάρ. ἄμεινον οὖν μεταπλαcμὸν λέγειν.

---

teros canon de verbis in γω̄ congruit cum Mon. 45, Arcad. 151, 18 (cf. Lob. Rhem. 151); quare non est, cur quin Ἡγέλοχος quasi a barytono repetiverit Herodianus, cum Lob. El. I 372 ambigam; Ἡγέλοχος enim ut Ἀρχέλοχος formatum putavit.

ad fr. *265. Etiam hoc fragmentum Herodianeum esse ex superioribus manifestum est cf. Schol. ad Od. 15, 509 et Ep. Cr. I 34 et 115.

ad fr. 266. Verba εὕρηται usque ad finem ex Theognosto sumpta sunt, subscriptio ex E. M. — Fortasse hic commemoratum et ab epitomatoribus omissum est Πολύμνια pro Πολυύμνια, de quo Ep. I 164, 9 in loco nostro simili: τὰ εἰς υς ὀξύτονα cυντιθέμενα ἐκβάλλει τὸ c̄ ὠκύς ὠκύμορος, ταχύποτμος, βαρυήκοος, εὐρυάγυια· cημειῶδες τὸ «Πολύμνια τ' Οὐρανίη τε» (Hes. Theogn. 78)· τὸ γὰρ ἀκόλουθον Πολυύμνια· πρόcκειται «ὀξύτονα» διὰ τὸ ἥμιcυς· τοῦτο γὰρ cυντιθέμενον ὅλην ἐκβάλλει τὴν ἐcχάτην cυλλαβήν, ημικύκλιος, ἡμίθεος cf. p. 171, 33 et 344, 21; 448, 17.

ad fr. *267 cf. Meinekium ad St. B. et Lob. El. I 350.

ἔστι γὰρ ἐγκάτοιϲ καὶ κατὰ μεταπλαϲμὸν ἔγκαϲιν ὡϲ προβάτοιϲ πρόβαϲιν, ἄϲτροιϲ ἄϲτραϲιν. οὕτωϲ Ἡρωδιανὸϲ ἐν τῷ περὶ παθῶν.

*269.

Choer. Dict. 376, 5: δύναται τὸ γουνόϲ καὶ δουρόϲ καὶ μόνον καθ' ὑπέρθεϲιν τοῦ ῡ γενέϲθαι ἀπὸ τοῦ γόνυοϲ καὶ δόρυοϲ, ἀλλὰ καὶ ἀπὸ τοῦ γοῦναϲ γούνατοϲ καὶ δοῦραϲ δούρατοϲ κατὰ ϲυγκοπὴν γουνόϲ καὶ δουρόϲ. καὶ ἰϲτέον ὅτι κρεῖττόν ἐϲτι κατὰ ϲυγκοπὴν αὐτὰ λέγειν ἤπερ καθ' ὑπέρθεϲιν τοῦ ῡ. ἐὰν γὰρ δῶμεν αὐτὰ καθ' ὑπέρθεϲιν τοῦ ῡ γεγενῆϲθαι, δηλονότι καὶ ϲυναίρεϲιϲ τοῦ ο̄ καὶ ῡ παρακολουθεῖ εἰϲ τὴν ου̅ δίφθογγον καὶ δηλονότι βαρύνεϲθαι ὤφειλον ὥϲπερ λάαοϲ λᾶοϲ καὶ κέαροϲ κῆροϲ καὶ ἔαροϲ ἦροϲ. εἰ δὲ κατὰ ϲυγκοπὴν αὐτὰ δῶμεν γενέϲθαι, ὀξύνονται ὁμοίωϲ τῷ πατέροϲ πατρόϲ, μητέροϲ μητρόϲ, ἀνέροϲ ἀνδρόϲ.

[269a]

Choer. Dict. 387: Ἰϲτέον ὅτι τινὲϲ θέλουϲιν ὀξύνειν τὴν Ἀττικὴν γενικὴν τῶν ἐνικῶν οἷον τοῦ κρεώϲ τοῦ γηρώϲ τοῦ κερώϲ ὀξυτόνωϲ λέγοντεϲ, ὅτι ἀπὸ τοῦ κρέατοϲ καὶ γήρατοϲ καὶ κέρατοϲ ἐγένοντο κατὰ ϲυγκοπὴν τοῦ ᾱ καὶ τ̄ κρεόϲ καὶ γηρόϲ καὶ κερόϲ διὰ τοῦ ο̄ ὀξυτόνωϲ τῷ λόγῳ τῶν εἰϲ οϲ διϲυλλάβων γενικῶν οἷον ὥϲπερ πατρόϲ μητρόϲ φωτόϲ μηνόϲ χηνόϲ παιδόϲ ϲπληνόϲ ϲυόϲ φρενόϲ γραόϲ καὶ λοιπὸν οἱ Ἀθηναῖοι ἐκτείνοντεϲ τὸ ο̄ εἰϲ ω ἐφύλαξαν τὴν ὀξεῖαν τάϲιν οἷον κρεώϲ γηρώϲ κερώϲ. τῷ δὲ Ἡρωδιανῷ οὐ δοκεῖ τοῦτο, ἀλλὰ ταῦτα βαρυτόνωϲ δοξάζει λέγεϲθαι οἷον τοῦ κρέωϲ τοῦ γήρωϲ τοῦ κέρωϲ τῷ λόγῳ τῆϲ ϲυναιρέϲεωϲ τῆϲ γενομένηϲ ἀπὸ ὀξείαϲ καὶ δύο βαρειῶν εἰϲ ὀξεῖαν βαρεῖαν οἷον κρέαοϲ κρέωϲ, γήραοϲ γήρωϲ ὥϲπερ Δημοϲθένεοϲ Δημοϲθένουϲ, Διομήδεοϲ Διομήδουϲ. κέχρηται δὲ λόγῳ τοιούτῳ· εἰ δὲ λέγεται ϲυγκοπὴν γεγενῆϲθαι ἐν τῇ γενικῇ τῇ κρέωϲ, ὤφειλε ϲυγκοπὴ γενέϲθαι καὶ ἐν τῇ δοτικῇ· καθόλου γὰρ πᾶϲα γενικὴ ϲυγκοπτομένη ἔχει καὶ τὴν δοτικὴν ϲυγκοπτομένην οἷον πατέροϲ πατρόϲ, πατέρι πατρί, μητέροϲ μητρόϲ, μητέρι μητρί, Δημήτεροϲ Δήμητροϲ, Δημήτερι Δήμητρι, ἀνέροϲ ἀνδρόϲ, ἀνέρι ἀνδρί, θυγατέροϲ θυγατρόϲ, θυγατέρι θυγατρί. εἰ οὖν τῷ κρέατι ἡ δοτικὴ ἀρχὴν οὐ δέχεται ϲυγκοπὴν τοῦ ᾱ καὶ τοῦ τ̄, ἐπεὶ κρεῖ ἤμελλεν εἶναι, νυνὶ δὲ κρέαϊ ἐϲτίν, οὐκ ἄρα δὲ οὐδὲ ἡ κρέα-

---

ad fr. 268. προβάτοιϲ πρόβαϲιν accessit ex E. M. 310, 15, ubi Herodiani nomen suppressum est. Zonaras falso habet: ἐν τοῖϲ περὶ παθητικῶν.

ad fr. *269. Hoc Choeroboscum ex Herodiano petivisse et argumentum, quod fere congruit cum Mon. 34, 20 et 32, unde in fine addi potuit: η γουνόϲ γενικὴ εὐθείαϲ χαρακτῆρα ἀπεδέξατο· ἔϲτι δὲ καὶ ἐπὶ παϲῶν τῶν ἠλογημένων γενικῶν τὸ τοιοῦτον ἀποδεῖξαι ὡϲ ὅτι παραβαίνουϲι καὶ τοὺϲ χαρακτῆραϲ παθοῦϲαι, et explicandi ratio, qua una alteri sententiae praefertur et dicendi modus, maxime notabilis est usus verbi δίδωμι, quod hoc intellectu saepius ap. Herodianum occurrit. cf. Ep. Hom. p. 122.

---

ad fr. [269a]. Hoc ex libro περὶ κλίϲεωϲ ὀνομάτων esse arbitror.

270.

E. M. 800, 47: φρόνιν: ὁ Ἡρωδιανὸς παρὰ τὴν φρόνηςιν κατὰ ςυγκοπήν.

*271.

St. B. 228, 12: Δῆμος: δημότερος ςυγκριτικόν, οὐ ςυγκοπῇ ἐκ τοῦ δημοτικώτερος, ἀλλ' ἐκ τοῦ ἐπιθετικοῦ τοῦ «δῆμον ἐόντα παρὲξ ἀγορευέμεν» (Il. Μ 213).

272.

E. M. 121, 10: ἀπειλήτην: ἀπειλῶ ἀπειλήςω ἠπείληςα ἠπειλήςάτην δυϊκῶς καὶ ςυγκοπῇ τῆς ςα ςυλλαβῆς ἀπειλήτην. ἢ ἀπὸ τοῦ ἀπειλῶ ἠπείλουν τὸ δυϊκὸν ἠπειλεῖτον ἠπειλήτην ςυςτολῇ τῆς ἀρχῆς καὶ τροπῇ τῆς ει διφθόγγου εἰς τὸ η ἀπειλήτην. Ἡρωδιανός.

*273.

E. M. 225, 7: γέλαν οἷον «γέλαν δ' ἀθάνατοι θεοί» κατὰ ςυςτολὴν λαμβάνεται ὡς ἡ μετοχὴ δηλοῖ. γελάντος γὰρ ἡ γενικὴ κατὰ ςυςτολὴν τοῦ ᾰ· τὰ δὲ ἐνδέοντα ςυλλαβῇ τρίτα πρόςωπα τῶν πληθυντικῶν καταλήγουςιν εἰς τὴν παραλήγουςαν τῆς γενικῆς τῶν μετοχῶν. οὕτω Ζηνόδοτος.

τος γενικὴ δύναται ςυγκοπὴν ἀναδέξαςθαι τοῦ ᾰ καὶ τοῦ τ̄ καὶ γενέςθαι τοῦ κρεός ὀξυτόνως κἀκεῖθεν τοῦ κρεώς ὁμοίως ὀξυτόνως κατ' ἐπέκταςιν τοῦ ο̄ εἰς ω, ἀλλ', ὡς εἴρηται, αὗται αἱ γενικαὶ κατὰ κρᾶςιν γεγόναςι καὶ βαρύνονται.

[271ᵃ]

Il. Pr. Α 80: χέρηϊ: ὡς Ἄρηϊ: γέγονε δὲ οὕτως. ἔςτι τι χερείονος γενικὴ καὶ αἰτιατικὴ «χερείονά περ καταπέφνων» (Il. Ρ 539)· ὃν οὖν τρόπον τὴν χερείονα αἰτιατικὴν ςυγκόψας ἔφη «ἀλλὰ τὸν υἱὸν ἐγείνατο εἶο χέρεια» (Il. Δ 382), πληθυντικῶς δὲ τὰ χερείονα χέρεια «χέρεια δὲ χείρονι δόςκεν» (Il. Ξ 400), τοῦτον τὸν τρόπον καὶ χερείονι χέρειϊ καὶ ἐπεὶ κακόφωνόν ἐςτι, τροπὴ ἐγένετο τῆς ει διφθόγγου εἰς τὴν η.

[271ᵇ]

Il. Pr. Λ 395: εὑρέθη τὸ πλέες καὶ τὰ ἀπ' αὐτοῦ κινήματα. τοῦ «πλέονές κεν μνηςτῆρες» (Od. ς 247) ςυγκοπή ἐςτιν ἡ πλέες φωνή.

[273ᵃ]

Il. Pr. Δ 222: κατὰ τεύχε' ἔδυν: ςυςταλτέον τὸ ἔδυν. πληθυντι-

---

ad fr. 270. cf. Lob. El. I 376. Fortasse in E. M. adnotamentum mutilatum est, et plenius ap. Eustath. 1465, 42 servatum est: οὐ πάνυ δῆλον εἴτε πρωτότυπον τὸ φρόνις ἢ ςυγκέκοπται ἐκ τοῦ φρόνηςις.

ad fr. *271. Cum Lobeckio El. I 393 scripsi pro eo, quod in Codd. est ἐκτοπῇ, ςυγκοπῇ ἐκ τοῦ δημοτικώτερος.

ad fr. *273. Lobeckius hoc γέλαν dialecti cuiusdam proprium habet. El. I 379 cf. ad Buttm. 13. Herodianeum esse docet comparatio cum Il. Pr. Δ 222, quare aut Zenodotus iunior Herodianum exscripsit aut nomen Ζηνόδοτος ex Ἡρωδιανός corruptum est.

*274.

E. M. 754, 3: τέτλαμεν: τοῦτο δύναται εἶναι καὶ cυγκοπῇ καὶ κινήcει· βεβήκαμεν βέβαμεν, τετλήκαμεν τέτλαμεν. ἀξιοῖ Φιλόξενος εἶναί τι καὶ τέτλημι ῥῆμα. περὶ παθῶν.

κὸν γάρ ἐcτι cυγκοπὲν ἀπὸ τοῦ ἔδυcαν· τὸ δὲ ἑνικὸν ἐκτατέον ἔδυν «δῦ δέ μιν Ἄρηc» (Il. P 210). ὅμοιόν ἐcτιν αὐτῷ καὶ τὸ «ἀλλήλοιcιν ἔφυν ἐπαμοιβαδόν» (Od. ε 481). εἰ δέ τιc λέγοι, ὅτι τὰ ἑνικὰ καὶ τὰ πληθυντικὰ ὁμοφωνοῦντα καὶ ὁμόχρονά ἐcτιν οἷον ἔλεγον ἐγὼ καὶ ἔλεγον ἐκεῖνοι, ἴcτω ὅτι ἐκ cυγκοπῆc ἐcτι τοῦτο τοῦ ἔδυcαν. ἐν δὲ τοῖc τοιούτοιc τρίτοιc ἡ cυγκοπὴ ἀναδέχεται λῆξιν τὴν αὐτὴν τῇ παραληγούcῃ τῆc γενικῆc τῆc κατὰ τὴν μετοχήν, ἔcταcαν ἔcταν, cτάντοc γάρ, ἔβηcαν ἔβαν, βάντοc γάρ. ἐκοcμήθηcαν ἐκόcμηθεν, κοcμηθέντοc γάρ· «φάνεν δέ οἱ εὐρέεc ὦμοι» (Od. c 68) φανέντοc γάρ· ἔφυμεν ἔφυτε ἔφυcαν, ἔφυν, ἐπεὶ φύντοc· ἔδυμεν ἔδυτε ἔδυν, ἐπεὶ δύντοc.

[274a]

Il. Pr. B 777: ἕcταcαν: δαcυντέον τὸ ἕcταcαν, ὑπερcυντέλικοc γάρ ἐcτι cυγκεκομμένοc.

[274b]

Mon. 44, 27: οἶcθα: ὅcα εἰc θα λήγει δεύτερα πρόcωπα ἐπεκτεταμένα, ταῦτα ἀποβολῇ τῆc θα cυλλαβῆc καταλείπει ῥητὸν τὸ ῥῆμα οἷον

ad fr. *274. Idem fere Schol. ad Od. υ 311 ex hoc loco a Lobeck. El. I 380 emendatum.

ad fr. [273a]. cf. M 33 ἴεν ἀπὸ τοῦ ἴεcαν cυγκοπή, ὡc ἀπὸ τοῦ ἐτίθεcαν ἐτίθεν Schol. A ad 273 ξύνιεν: οὕτωc ἡ Ἀριcτάρχειοc διὰ τοῦ ε ξύνιεν ὡc «αὐτὰρ ἐπεὶ κόcμηθεν» (Il. Γ 1) μέμνηται δὲ αὐτοῦ καὶ ἐν τῷ ιζ´ ὁ Ἡρωδιανόc. E. M. 104, 31 ἀνέcταν: «θεοὶ δ᾽ ἅμα πάντεc ἀνέcταν» ὁ δεύτεροc ἀόριcτοc ἔcτην ἔcτηc ἔcτη ἔcτημεν ἔcτητε ἔcτηcαν καὶ κατὰ cυγκοπὴν Αἰολικὴν ἔcταν καὶ ἀνέcταν. E. M. 401, 43 ἔφαν: οἱ Βοιωτοὶ ἐπὶ τῶν ἐχόντων τὴν μετοχὴν εἰc c ὀξύτονον ἔβημεν ἔβαν. οὕτωc ἐκ τοῦ φημί τὸ λέγω ὁ παρατατικὸc ἔφην· τὸ πληθυντικὸν ἔφαμεν, τὸ τρίτον ἔφαcαν καὶ Βοιωτοὶ ἔφαν. Et Choeroboscus Dict. 535, 21 sua ex Herodiano deprompsit. Similia de tertia pluralis aor. I passivi in Ep. Cr. I 429, 4 coll. E. M. 532, 32. ὁ ἀόριcτοc ἐκοcμήθηcαν, εἶτα ἀφαιρέcει τοῦ ε καὶ cυγκοπῇ γίνεται κόcμηθεν· ὁμοίωc καὶ τὸ τράφεν δευτέρου ἀορίcτου τρίτον τῶν πληθυντικῶν Δωρικῶc καὶ Ἰωνικῶc καὶ τὰ ὅμοια. καὶ τὸ φάανθεν ἀπὸ τοῦ φαίνω ὁ παθητικὸc πρῶτοc ἀόριcτοc ἐφάνθην, τὸ τρίτον τῶν πληθυντικῶν ἐφάνθηcαν καὶ ποιητικῶc ἢ Αἰολικῶc ἢ Δωρικῶc φάανθεν πλεοναcμῷ τοῦ α. ἔθοc γὰρ ἔχουcιν οἱ Αἰολεῖc καὶ Δωριεῖc τὰ ῥήματα ἔχοντα τὴν μετοχὴν εἰc c ὀξύτονον cχηματίζειν τὰ τρίτα τῶν πληθυντικῶν ὡc τὰ οὐδέτερα τῶν μετοχῶν μὴ ὀξύτονα (sic pro ὡc τὰ μὴ ἔχοντα, quae verba in E. M. desunt, scribendum videtur) ὥcπερ καὶ τὸ κόcμηθεν. καὶ τὸ «ἀπέφθιθεν ἐcθλοὶ ἑταῖροι» (Od. ε 110) ἀπὸ τοῦ φθίμι φθίcω ἔφθικα, ἔφθιμαι, ἐφθίθην, ἐφθίθημεν, ἐφθίθηcαν καὶ Βοιωτικῶc ἔφθιθεν. cf. Ahrens dial. Aeol. p. 210 not. 6.

ad fr. [274a]. cf. Il. Pr. M 55, 56.

ad fr. [274b]. πάθοc, quod significatur, est syncope ex οἴδηcθα vel εἴδηcθα: Choer. Dict. 592, 23: γέγονε τὸ οἶcθα τοῦτον τὸν τρόπον· τὸ οἶδα οἴδημι λέγουcιν οἱ Αἰολεῖc, τούτου τὸ δεύτερον οἴδηc καὶ κατ᾽ ἐπέκταcιν τῆc θα cυλλαβῆc οἴδηcθα ὥcπερ ἦcθα καὶ κατὰ cυγκοπὴν οἶcθα. Ep. I 331 (An. Paris. III 328, 16; 351, 25, E. M. 618, 15) ἔcτιν εἰδῶ περιcπώμενον καὶ εἴδω βαρύτονον, ὁ μέcοc παρακείμενοc οἶδα, τοῦ δὲ περιcπωμένου ὁ μέλλων εἰδήcω. παραγωγὸν εἰ-

*275.

Ep. Cr. I 366, 20, E. M. 667, 29: πεφυζότες: ἀπὸ τοῦ πέφυγα ἡ μετοχὴ πεφυγώς· ὁ γοῦν Ἀλκαῖος μετατιθεὶς τὸ ϲ̄ εἰς τὸ ν̄ κατὰ πλεοναϲμὸν ἑτέρου γ̄ φηϲὶ «πεφύγγων». οἱ δὲ νεώτεροι Ἴωνες τῷ ζ̄ ἀντὶ τοῦ γ̄ χρῶνται, ὅθεν καὶ τὸ φύγω φύζω καὶ τὸ πέφυγα πέφυζα καὶ τὸ πεφυγότες πεφυζότες. κατὰ τὴν αὐτὴν ἀντιστοιχίαν καὶ τὸ ὀλίγον ὄλιζον λέγουσιν. ἢ ὥσπερ ἀπὸ τοῦ κίσσα ῥῆμα κισσῶ, οὕτω καὶ ἀπὸ τοῦ φύζα φυζῶ φυζήσω πεφύζηκα πεφυζηκώς καὶ συγκοπῇ πεφυζώς, πεφυζηκότες καὶ συγκοπῇ πεφυζότες· οὐ δύναται γὰρ εἶναι μέσος παρακείμενος· οὐδέποτε γὰρ μέσος παρακείμενος διὰ δύο συμφώνων κατὰ σύλληψιν ἐκφέρεται οὐδὲ διὰ διπλῶν χαρακτηρίζεται. ἀλλ' ἄμεινον τὸ πρῶτον.

*276.

Ep. Cr. I 268, 27: λελιχμότες: παρ' Ἡσιόδῳ «γλώσσῃσι δνοφερῇσι λελιχμότες» (Theogn. 826) μετοχὴ πληθυντικὴ παρακειμένου κατὰ συγκοπήν. ἔστι γάρ τι περισπώμενον λιχμῶ, οὗ ὁ παρακείμενος λελίχμηκα καὶ ἡ μετοχὴ λελιχμηκώς καὶ κατὰ συγκοπὴν λελιχμώς· οὐ δύναται γὰρ εἶναι μέσος παρακείμενος· οὐδέποτε γὰρ μέσος παρακείμενος διὰ δύο συμφώνων κατὰ σύλληψιν ἐκφέρεται, ἔνθεν οὔτε ἀπὸ τοῦ χραισμῶ οὔτε ἀπὸ τοῦ ὀλισθῶ μέσοι γεγόνασι παρακείμενοι ὥσπερ οὐδὲ ἀπὸ τοῦ λιχμῶ, ἵνα μὴ διὰ δύο συμφώνων ἐξενεχθῶσιν.

277.

E. M. 199, 52: βλείς: Ἐπίχαρμος «τυρῷ βλείς»· φασὶν οἱ μὲν ἀπὸ τοῦ βληθείς καὶ κατὰ συγκοπὴν τοῦ η̄ καὶ θ̄ βλείς. ἢ ἀπὸ τοῦ βλῆμι ὁ δεύτερος ἀόριστος ἔβλην οἷον «πόθεν δ' ὠλκὸς εὐπετὲς ἔβλης». ἡ μετοχὴ βλείς. κίνημα γὰρ καὶ οὐ συγκοπή. οὕτως Ἡρωδιανὸς περὶ παθῶν.

λέγῃσθα λέγῃς, βάλῃσθα βάλῃς, ᾖσθα ᾖς. μόνον δὲ οἶσθα τοιοῦτον οὐκ ἀνεδέξατο. αἴτιον δὲ τὸ πάθος.

---

ad fr. *275. Tenor expositionis, cuius iam saepe meminimus, Herodianum prodit; epitomator Epimerismorum in eo Herodiani sententiam pervertisse videtur, quod dicit μετατιθεὶς τὸ ϲ̄ εἰς ν̄ κατὰ πλεοναϲμὸν ἑτέρου γ, nam Herodianum de πεφύγγων non aliter indicasse atque Heraclidem ap. Eustath. 1596, 5 πεφύγγω esse praesens ex perfecto transformatum ex Il. Pr. M 125 κεκλήγοντες apparet. Caeterum causa, cur πεφυζότες perfectum medium esse non possit, accessit ex E. M., unde explendus fuit locus Epim. λελιχμότες insertis ante ἔνθεν οὔτε verbis οὐ δύναται γὰρ εἶναι — κατὰ σύλληψιν ἐκφέρεται: de ὀλίγον ὄλιζον cf. St. B. Ὀλιζών: Θεσσαλοὶ ὡς ἱστορεῖ Δημοσθένης ἐν κτίσεσι, τὸ μικρὸν ὄλιζον καλοῦσι.

ad fr. *276. Idem etiam Herodianum de μεμυζότε, quod Eustath. ex ipso 1746, 20 profert τὸ μυζῶ, ἐξ οὗ τὸ «μεμυζότε μυδαλέω τε» παρὰ Ἀντιμάχῳ, sensisse probabile est.

δημι τὸ δεύτερον εἴδης καὶ κατ' ἐπέκτασιν τῆς θα συλλαβῆς εἴδησθα καὶ κατὰ συγκοπὴν τῆς δη καὶ τροπῇ Αἰολικῇ τοῦ ε̄ εἰς ο οἶσθα.

*278.

E. M. 230, 50: **γηράς**: λέγεται ὅτι ἀπὸ τοῦ γηράσας κατὰ cυγκοπὴν γηράς. οὐκ ἔcτι δέ, ἀλλ' ἐντελὴς ἡ κλίcις· ἀπὸ τοῦ γηρῶ γίνεται γήρημι, ἡ μετοχὴ γηρὰς ὥcπερ ἵcτημι ἱcτάς, τὸ ἀπαρέμφατον γεράναι ὡς ἱcτάναι, ἡ γενικὴ γηράντος ὡς ἱcτάντος οἷον «γηράντων ἀνδρῶν» καὶ ἡ δοτικὴ «γηράντεccι τοκεῦcιν» (Hesiod. op. 186) ἀντὶ τοῦ τοῖς γηρῶcιν, ἡ αἰτιατικὴ «γηράντας τιμᾶν». ἔcτι δὲ πρώτης καὶ δευτέρας cυζυγίας τὸ γηρῶ· ὥcπερ πιμπλῶ πιμπλᾷς καὶ πιμπλεῖς, οὕτως οὖν καὶ γηρῶ γηρᾷς καὶ γηρεῖς. ἡ μετοχὴ «γηρεὶς ἐν οἰκίοιcιν», ἡ γενικὴ γηρέντος ὥcπερ τιθέντος οἷον Ξενοφάνης «ἀνδρὸς γηρέντος πολλὸν ἀφαυρότερος».

*279.

E. M. 39, 40: **αἴcυλος**: παρὰ τὸ cυλῶ ἄcυλος πλεοναcμῷ τοῦ ἐπιτατικοῦ α̅ ὡς τὸ ἀχανὲς πέλαγος τὸ λίαν κεχηνός, καὶ πλεοναcμῷ τοῦ ι̅ αἴcυλος οἱονεὶ ὁ πάνυ cυλῶν.

*280.

Choer. Dict. 98, 16: οἱ Αἰολεῖς τὸ τάλας **τάλαις** λέγουcι καὶ τὸ μέλας μέλαις καὶ τὸ Θόας Θόαις προcτιθέντες τὸ ι̅, τὸ δὲ Αἴας Αἴαις οὐ λέγουcι διὰ τὴν ἐπαλληλίαν τῆς αι διφθόγγου· ηὑρίcκετο γὰρ ἀλλεπάλληλος ἡ αι̅ δίφθογγος καὶ ἐκ τούτου κακόφωνος ἐγένετο ἡ λέξις.

[279ᵃ]

Mon. 46, 2: τὸ ἀεί παρ' Ἀττικοῖς αἰέν παρὰ Δωριεῦcιν, αἰν παρ' Αἰολεῦcι.

[279ᵇ]

Theogn. 12, 26: **χαίτη**· γέγονε ἀπὸ τοῦ κρατῶ κράτη, ἐκβολῇ τοῦ ρ̅ καὶ τροπῇ τοῦ κ̅ εἰς χ̅ καὶ πλεοναcμῷ τοῦ ι̅ χαίτη. οὕτως **Ἡρωδιανὸς ἐν τῇ ὀρθογραφίᾳ**.

---

ad fr. *278. Vel comparatio cum antecedente fr. probat etiam hoc Herodiancum esso: οὐκ ἔcτι δέ, ἀλλ' ἐντελὴς ἡ κλίcις, io quibus ἀλλ' inserui, respondent verbis κίνημα γὰρ καὶ οὐ cυγκοπή. Atque quae traduntur, prorsns congruunt cum fr. Herodinoeo io Cr. An. IV 339 τὸ γηράς γηράντος καὶ τὸ γηράναι τὸ ἀπαρέμφατον ἀπὸ δευτέρας τῶν εἰς μι̅· τὸ δὲ γήρηcι καὶ «ἀνδρὸς γηρέντος» ἀπὸ πρώτης. cf. Schol. ad Il. P 197, Lob. ad Buttm. p. 13 et 138, El. I 384. — Pro γηρεὶς ἐν οἰκέουcιν scripsit Sylb. οἰκίοιcιν.

ad fr. *279. Hoc Herodianeum esse docet Arcadius 56, 17 τὸ αἴcυλος προπαροξύνεται ὡς cύνθετον ἀπὸ τοῦ α̅ καὶ τοῦ cυλῶ ὁ πολλὰ cυλῶν. — Quae in E. M. sequuntur: ἀντὶ δὲ τοῦ ι̅ ἔcτιν ὅτε καὶ τὸ η̅ πλεονάζει οἷον ἀήcυλος. πῇ μὲν αἴcυλος λέγεται πλεοναcμῷ τοῦ ι̅, πῇ δὲ ἀήcυλος πλεοναcμῷ τοῦ η̅, num ex eodem-fonte derivata sint, dubium est. Similiter in Il. Pr. C 410 αἴητον κατὰ πλεοναcμὸν τοῦ ι̅ ex ἄητον explicat.

ad fr. *280. Quamquam quod hic de cacophonia iteratae diphthongi αι traditur, non verum esse demonstravit Lob. Parall. p. 21, tameo de origine Herodianea non dubito, cf. quod Herodianus in Epimerismis ap. Choer. 592, 3 φαίνεται λέγων de τάλαις et μέλαις Aeolicis. Ahrens de dial. Aeol. p. 70.

*281.

E. M. 262, 18: δείους: ἀπὸ τῆς δέους γενικῆς καὶ σπέους γίνεται κατὰ πλεονασμὸν τοῦ ῑ δείους καὶ σπείους οἷον «χλωροὶ ὑπὸ δείους» (Il. O 4) καὶ «ἦ ῥα κατὰ σπείους» (Od. ι 330).

*282.

Ep. Cr. I 156, 31, An. Par. III 338, 2, E. M. 334, 39: εἷο: ἔστιν ἐμοῦ, σοῦ, οὗ. αὗται αἱ γενικαὶ γίνονται κατὰ διάλυσιν ἐμέο σέο ἕο, καὶ ἐπειδὴ αἱ διαλελυμέναι γενικαὶ οὐδέποτε τὰ δύο φωνήεντα ἔχουσι μακρὰ ἢ βραχέα, ἀλλὰ τὸ μὲν ἓν μακρόν, τὸ δὲ ἕτερον βραχὺ οἷον Ἀτρείδεω Πηλείδεω Ὠκεανοῖο ποταμοῖο, τούτου χάριν ἐπλεόνασε τὸ ῑ ποιητικῶς καὶ λέγεται ἐμεῖο σεῖο εἷο.

283.

E. M. 620, 44: ὀκνείω (Ε 255). οὐκ ἔστι πλεονασμός. λέγει γὰρ ...... ὅτι ἔστιν ὀκνῶ καὶ κατὰ Ἴωνας ὀκνέω καὶ πλεονασμῷ τοῦ ῑ ὀκνείω· οὐκ ἔστι δὲ οὕτως, ἀλλὰ κατὰ παραγωγήν· ὥσπερ παρὰ τὸ θάλπω γίνεται θαλπείω, ῥιγῶ ῥιγείω, οὕτως ὀκνῶ ὀκνείω. περὶ παθῶν.

284.

E. M. 449, 22: θείομεν (Α 143) ἐνθῶμεν ἐμβαλῶμεν. Ἰστέον ὅτι ἥμαρτε Ζηνόδοτος ἀρεσάμενος τὸ θείω ἐνεστῶτα εἶναι, ἀφ᾽ οὗ τὸ θείομεν· ἔστι δὲ ὑποτακτικὸν δευτέρου ἀορίστου ἔχον διαίρεσιν καὶ πλεονασμὸν «ὄφρ᾽ ἂν ἐγὼ βείω» (Ζ 113) καὶ τὸ ἐὰν στῶ «μή πως με περιστείως᾽ ἕνα πολλοί» (Ρ 95)· ὥσπερ δαμῶ δαμείω, οὕτω θῶ θέω καὶ παρὰ Σαπφοῖ

[281ᵃ]

Il. Pr. Λ 641: τὸ κυκειῶ περισπαστέον· τοῦ γὰρ κυκεῶνά ἐστιν ἀποκοπὴ καὶ ἐπλεόνασε τὸ ῑ.

[281ᵇ]

Il. Pr. Λ 551: κρειῶν: περισπαστέον· ἡ γὰρ κρεῶν γενικὴ ἐπλεόνασε τὸ ῑ, ἥτις περισπᾶται διὰ τὸ ἔχειν ἐντελεστέραν τὴν κρεάων.

[281ᶜ]

Il. Pr. K 281: εὐκλεῖας: προπερισπαστέον· ἐκ γὰρ τοῦ εὐκλέας ἐγένετο κατ᾽ ἐπένθεσιν τοῦ ῑ.

---

ad fr. *281 cf. E. M. 723, 28, Choer. Dict. p. 392.

ad fr. *282. cf. Io. Alex. 11, 27 αἱ ἐκ τούτων (sc. ἐμοῦ σοῦ οὗ) διαλυθεῖσαι ἢ πλεονάσασαι τῷ ῑ πρὸ μιᾶς ἔχουσι τὸν τόνον ἐμέο ἐμεῖο.

ad fr. 283. Lacunae signum post γάρ posui, quia nomen grammatici fortasse Φιλόξενος vel Δίδυμος vel Ἀπολλώνιος excidisse apparet, cf. Lehrs ad Il. Pr. Δ 228. De re cf. Lob. Rhem. 92 et 195.

ad fr. 284. Idem habet extremis verbis omissis Favorinus 239, 10, qui pro ἀρνησάμενος praebet rectum ἀρεσάμενος. Caeterum initio pro Ἡρωδιανός scripsi

---

ad fr. [281ᶜ]. προπερισπαστέον scripsi cum Lob. El. II 54, qui alios εὐκλεῖας ex εὐκλεέας duobus epsilis in ει contractis natum putasse ostendit cf. E. M. 392, 22 εὐκλεής: ἡ αἰτιατικὴ τῶν πληθυντικῶν τοὺς εὐκλεέας καὶ κατὰ συναίρεσιν εὐκλεῖας ἢ ἀπὸ τοῦ εὐκλέας ἐπενθέσει τοῦ ῑ.

«ὅττινας γὰρ εὖ θέω, κεῖνοί με μάλιςτα cίνονται». τοῦτο ἐν πλεοναςμῷ «θείω ἀναρπάξας» (Π 437)· εἶτα ἀκολουθεῖ θείωμεν καὶ κατὰ cυcτολὴν θείομεν ὡς τὸ καταβείωμεν cυcτολῇ «δεῦρ' ἐς τοὺς φίλους καταβείομεν» (Κ 97) «μὴ ἴομεν Δαναοῖcι μαχηcόμενοι» (Μ 216) «ἀλλ' ἄγε δὴ φιλότητι τραπείομεν» (Γ 441). οὕτως Ἡρωδιανός. ἐν ἄλλοις δὲ ἀπὸ τοῦ θῶ θείω ὡς ὄψω ὀψείω καὶ τελῶ τελείω.

*285.

E. M. 575, 27: μεθείω (Γ 414) ἀμελήcω καταλείψω ἢ ἀπὸ τοῦ μεθῶ μεθείω ὡς τελῶ τελείω.

286.

Zon. 638: εἵαται κάθηνται οἷον «εἵαται ἄγχι νεῶν» (Κ 161) ἀπὸ τοῦ ἕαται πλεοναςμῷ τοῦ ι ὥσπερ κέαται «δοιαὶ γάρ τε πίθοι κατακείαται» (Ω 527) πλεοναςμῷ τοῦ ι. οὕτως Ἡρωδιανός.

287.

Zon. 641: εἴληφα ἔλαβον: ἀπὸ τοῦ λήβω τὸ λαμβάνω λέληφα καὶ ἀποβολῇ τοῦ λ ἔληφα καὶ πλεοναςμῷ τοῦ ι εἴληφα· ὡςαύτως καὶ

[287ᵃ]

Choer. Dict. 596, 5: τὰ Ἀττικὰ παρακείμενα ἐν τῷ ὑπερσυντελίκῳ χρονικῶς μεγεθύνονται οἷον ἀλήλιφα ἠληλίφειν, ὀμώμοκα ὠμωμόκειν, ἀγήοχα ἠγηόχειν, ἐνήνοχα ἠνηνόχειν, ὄπωπα ὠπώπειν, ὄλωλα ὠλώλειν, ὄρωρα ὠρώρειν, ὄδωδα ὠδώδειν πλὴν τοῦ ἐλήλυθα, ἐληλύθειν γὰρ ὁ ὑπερσυντέλικος διὰ τοῦ ε̄, ὅθεν ἀναλογώτερόν φαcι τὸ παρὰ Καλλιμάχῳ «ὅθεν εἰληλούθειν» ὡς τρέψαν κατὰ τὸν ὑπερσυντέλικον τὴν ἀρχὴν τοῦ παρακειμένου.

Ζηνόδοτος et in fine adnotamenti pro οὕτω ζήτει posui οὕτως Ἡρωδιανός, qui fortasse in Catholica vel in Rhematico alteram explicationem, secundum quam θείω praesens paragogum esse putabatur cf. An. Par. III 335, 3 θείομεν: ἔστιν θῶ, τούτου παραγωγὸν θείω ὡς ὄψω ὀψείω, τελῶ τελείω, οὕτω καὶ θῶ θείω καὶ θείομεν amplexus est. Atque eadem inconstantia in sequente E. M. fragmento, in quo ἢ inserui, conspicitur, quare Herodiano assignare non dubitavi. Dixi de E. M. articulo θείομεν in Philol. XXI p. 390.

ad fr. *285. cf. An. Par. III 365, 22 ἐφείω ἐπιβάλλω, ἐπενέγκω, καὶ ἔστιν ἐνεστὼς εἴω καὶ ἐν συνθέσει ἐφείω.

ad fr. 286 cf. Choer. 697, 19.

ad fr. 287. Ex Herodiano hausit Choer. 552, 3 (cf. Orion. 55, 12) ἀπὸ τοῦ λήβω τὸ λαμβάνω γίνεται λήψω λέληφα καὶ ἀπὸ τοῦ λήχω τὸ λαγχάνω λήξω λέληχα καὶ ἀπὸ τοῦ μείρω τὸ μερίζω μερῶ μέμαρκα μέμαρμαι μέμαρται· καὶ ἐπὶ τοιούτων τῶν παρακειμένων οἱ Ἀθηναῖοι ἀποβάλλουσι τὸ ἐν τῇ ἀρχῇ σύμφωνον καὶ προστιθέασι τὸ ι μετὰ τοῦ ε καὶ λέγουσιν εἴληφα καὶ εἴληχα καὶ εἵμαρται, ἐξ οὗ εἱμαρμένη οἱονεὶ ἡ πᾶσι μεμερισμένη, ἵνα μὴ εὑρεθῇ ἀπὸ φωνήεντος ἀρχόμε-

---

ad fr. [287ᵃ]. Ut quae Constantin. Lascaris βιβλίον γ' περὶ τῶν παρῳχημένων ἐκ τοῦ πολυμαθοῦς Ἡρωδιανοῦ se ex Herodiano excerpsisse dicit, quamvis ex Choerobosco sumpta tamen ad Herodianum auctorem referenda sunt, sic etiam haec Choerobosci ex Herodiano petita esse videntur. de ἐληλύθειν cf. praeterea p. 600, 8. — Saepissime Herodianus in orthographia, ubi de scriptura per ει et ι agit, pleonasmi vocalis ε̄ mentionem facit e. g. νείαιρα, νείατος, Ἀργειφόντης, ἐρείπια, κλειτύς, sed haec afferre nolui, quum loci in fragmentis orthographiae plene proferendi sint.

τὸ εἴληχα· ἀπὸ τοῦ λήχω λέληχα καὶ εἴληχα. Ἡρωδιανὸς περὶ πάθους.

288.

E. M. 8, 26: ἀγείρατος: γέρας ἡ τιμή. ἀγέρατον καὶ πλεονασμῷ τοῦ ῑ ἀγείρατον. οὕτως Ἡρωδιανὸς περὶ παθῶν.

289.

E. M. 144, 20: Ἀρκείσιος ὁ ἥρως ὁ πάππος Ὀδυσσέως· παρὰ τὸν ἀρκέσω μέλλοντα Ἀρκέσιος καὶ Ἀρκείσιος. οὕτως Ἡρωδιανός.

[287[b]]

Choer. Dict. 596, 27: ἕστηκα ὁ μέσος παρακείμενος καὶ ὤφειλεν εἶναι ὁ μέσος ὑπερσυντέλικος ἑστήκειν, ἵνα συνάρξηται τῷ μέσῳ παρακειμένῳ, ἀλλ' ἐγένετο εἱστήκειν διὰ τῆς ει διφθόγγου διὰ τὴν τοιαύτην αἰτίαν· ἔστιν ὁ ἐνεστὼς τοῦ ἕστηκα ἑστήκω, ἐξ οὗ τὸ ἑστήξω ἑστήξειν «ἑστήξειν δὲ τὸ τεῖχος ἐπ' ἀρχαίοισι θεμέθλοις» παρὰ Καλλιμάχῳ ἐν Ὕμνοις (in Apollin. 15). τούτου, φημὶ δὴ τοῦ ἑστήκω ἐνεστῶτος, δεύτερον καὶ τρίτον πρόσωπον ἑστήκεις ἑστήκει διὰ τοῦ ε̄ ἤμελλε συμπεσεῖν τῷ δευτέρῳ καὶ τῷ τρίτῳ προσώπου τοῦ ἑστήκειν ὑπερσυντελίκου· ἵνα μὴ οὖν συνεμπέσῃ ὁ ὑπερσυντέλικος κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον τῷ δευτέρῳ καὶ τρίτῳ προσώπῳ τοῦ ἐνεστῶτος, τούτου χάριν προσλαμβάνει τὸ ῑ καὶ γίνεται εἱστήκειν εἱστήκεις εἱστήκει διὰ τῆς ει διφθόγγου.

[288[a]]

Il. Pr. Ω 8: πείρων: Πάμφιλος περισπᾷ, λέγων τὴν πρόσθεσιν τοῦ ῑ μὴ ἐξαλλάσσειν τὸν τόνον· εἰ δὲ περῶ οἶδεν ὁ ποιητὴς τὸ ῥῆμα καὶ περόωσι (Od. ζ 272) καὶ «περάᾳ μέγα λαῖτμα» (Od. ε 174) δῆλον ὅτι καὶ πειρῶν. ὁ μέντοι Ἀρίσταρχος βαρύνων ἀναγινώσκει ὡς κείρων. φησὶ γοῦν οὕτω γενόμενος ἐπὶ τοῦ «παννυχίη μὲν ῥ' ἥγε καὶ ἠῶ πεῖρε κέλευθον» (Od. β 434)· τὸ πεῖρε διδάσκει ἡμᾶς καὶ τὴν πείρων μετοχὴν βαρύνειν· ὡς γὰρ ἔκειρε κείρων οὕτως ἔπειρε πείρων· εἰ γὰρ περιεσπᾶτο, ἦν ἂν ὁ παρατατικὸς ἐπείρα«. ἔστιν οὖν διττὸν τὸ ῥῆμα καὶ τὸ μὲν σὺν τῷ ῑ οὐ περισπασθήσεται.

[288[b]]

Arcad. 93, 18: τὸ Εἷλως ἀπὸ τοῦ Ἕλως.

[288[c]]

Arcad. 200, 9: εἵως ἀντὶ τοῦ ἕως.

[288[d]]

Arcad. 44, 28: τὸ φατειός κατὰ πλεονασμὸν ἔσχε τὴν δίφθογγον.

νος ὁ παρακείμενος καὶ ἀπὸ βραχείας et p. 574, 18 additur: λέγω λέλεχα λέλεγμαι εἴλεγμαι.

*290.

An. Ox. I 370, 4, Par. III 344, 18, E. Gud. 456, 1, E. M. 668, 20, Eustath. 101, 5: Πειρίθοος: διὰ τῆς ει διφθόγγου, ὅτι ὁ Ζεὺς ὁμοιωθεὶς ἵππῳ περιέτρεχε μητέρα τούτου Δῖαν καὶ οὕτως συνεγένετο αὐτῇ καὶ ἐκεῖθεν οὗτος ἐτέχθη· παρὰ οὖν τὸ περιθέειν γέγονε Περίθοος καὶ ἐν πλεονασμῷ τοῦ ῑ Πειρίθοος. ἄλλως τε ἐπειδὴ οἱ Δωριεῖς Πηρίθους λέγουσι διὰ τοῦ η̄· ἔθος δὲ ἔχουσι τὴν ει̅ δίφθογγον εἰς η̄ τρέπειν ὡς πολλάκις εἴρηται οἷον πλείων πλήων καὶ μείων μήων. ἰστέον δὲ ὅτι κατὰ δύο τρόπους τοῦτο ἡμάρτηται· πρῶτον μὲν ὅτι ἀπὸ πλεονασμοῦ ἔχει τὸ ῑ· οὐδέποτε δὲ ἡ περὶ πρόθεσις πλεονάζει τὸ ῑ· δεύτερον δὲ ὅτι διὰ τοῦ η̄ γράφεται παρὰ τοῖς Δωριεῦσιν· οὐδέποτε δὲ οἱ Δωριεῖς τρέπουσι τὴν ει δίφθογγον εἰς τὴν η̄ τὴν ἔχουσαν ἀπὸ πλεονασμοῦ τὸ ῑ οἷον τὸ ξένος ξεῖνος λεγόμενον οὐ λέγουσι διὰ τοῦ η̄ ξῆνος· εἰ οὖν τὸ Πειρίθοος ἀπὸ πλεονασμοῦ ἔχει τὸ ῑ, δῆλον ὅτι παραλόγως παρὰ τοῖς Δωριεῦσι διὰ τοῦ η̄ γράφεται.

*291.

E. M. 537, 17, E. Gud. 344, 23: κρέσσων: ὡς ἀπὸ τοῦ ταχύς γίνεται ταχίων καὶ τρίτος τύπος θάσσων, οὕτω καὶ ἀπὸ τοῦ κρατύς γίνεται κρατίων καὶ ὁ τρίτος τύπος κράσσων καὶ τροπῇ τοῦ ᾱ εἰς ε̄ κρέσσων καὶ πλεονασμῷ τοῦ ῑ κρείσσων· οὐδέποτε δὲ πρὸ δύο σσ δίφθογγος εὑρίσκεται οἷον φρίσσω, ἑλίσσω, ἀΐσσω πλὴν τοῦ κρείσσων καὶ τοῦ ῥήματος τοῦ ἐξ αὐτοῦ γενομένου καὶ χωρὶς τοῦ λεύσσω, σημαίνει δὲ θεωρῶ, καὶ τοῦ γλαύσσω, σημαίνει δὲ τὸ φωτίζω. ταῦτα διὰ τῶν δύο σσ̅ ἐκφέρονται, ἐπειδὴ τετάρτης συζυγίας εἰσὶ τῶν βαρυτόνων. ἡ δὲ τετάρτη συζυγία τῶν βαρυτόνων διὰ τοῦ ζ̄ ἢ δύο σσ̅ ἐκφέρεται.

292.

E. M. 99, 9: «ἀναρροιβδεῖ μέλαν ὕδωρ» (Od. μ 104): ἀντὶ τοῦ ἀναρροφεῖ· πλεονασμῷ τοῦ ῑ ἀναρροιφεῖ καὶ ἐπενθέσει τοῦ δ̄ ἀναρροιβδεῖ,

[292a]

Il. Pr. A 493: τὸ τοῖο προπερισπαστέον· τὸ γὰρ τοῦ Θεσσαλικῶς παραυξηθὲν ἐγένετο τοῖο ὡς καλοῦ καλοῖο.

---

ad fr. *290. Locum exhibui ut emondatus est ab Ahrensio de dialecto Doric. p. 160 not. 10, qui vir illustrissimus recto hoc praeceptum ab Herodiano profectum esse suspicatus est.

ad fr. *291. Herod. περὶ μον. 40, 21: κρείσσων — λέγεται δὲ καὶ κρέσσων μὴ πλεονάζοντος τοῦ ῑ, ad quem locum Lehrsius affirmat hunc nostrum articulum ex comparatione eorum, quae Herodianus de κάρρων in E. M. et E. Gud. dicat, Herodiani esse. cf. An. Par. III 327, 35.

ad fr. 292. In codice μέγα exstat pro μέλαν.

---

ad fr. [292a]. Herodianus formae τοῖο pariter atque Buttmannus § 35 adn. 6 τόο, unde τοῖο ῑ inserto natum sit, praestruxisse videtur cf. Schol. ad Hesiod. Scut. 23: γίνεται τοῦ ἀνθρώπου διαλυθὲν ἀνθρωπόο· ἀλλ' ἔστι κανὼν ὁ λέγων, ὅτι ἐν ταῖς διαλελυμέναις γενικαῖς, ἡνίκα συστέλλεται ἡ λήγουσα, ἐκτείνεται ἡ παραλήγουσα· ἡνίκα δὲ ἐκτείνεται ἡ λήγουσα, συστέλλεται ἡ παραλήγουσα οἷον

τραπέντος τοῦ δασέος φ εἰς τὸ ψιλὸν β̄ οἷον «τρὶς μὲν γάρ τ᾽ ἀνίηςιν ἐπ᾽ ἤματι, τρὶς δ᾽ ἀναρροιβδεῖ» (Od. μ 105). Ἡρωδιανός.

*293.

E. M. 689, 53: προπάροιθεν ἐπίρρημα τοπικὸν ἐκ τῆς πρό προθέσεως καὶ τοῦ πάροιθεν· τοῦτο ἐκ τοῦ πάρος πάροθεν καὶ πλεοναςμῷ τοῦ ῑ.

294.

E. M. 622, 39: ὁλοοίτροχος Ἰλιάδος Ν (137): Πτολεμαῖος καὶ Ἀριστόνικος ψιλοῦςι παροξύνοντες, ἀκούοντες τὸν ἐπὶ τὸ τρέχειν ὀλοόν. ἐπένθεςις δὲ τοῦ ῑ περιττή· οἱ δὲ δαςύνουςιν, ἵν᾽ ᾖ ὅλος τροχοειδὴς καὶ κατὰ πᾶν μέρος ἀςτήρικτος. Δημόκριτος δὲ τὸ κυλινδρικὸν ςχῆμα ὀλοοίτροχον καλεῖ. περὶ παθῶν Ἡρωδιανός.

*295.

Choer. 516, 4: εἰώθαςιν οἱ Αἰολεῖς προςτιθέναι τό ῡ φωνήεντος ἐπιφερομένου ὡς ἐπὶ τοῦ ἕαδεν εὔαδεν καὶ πάλιν τὸ ἠώς ἀώς λέγουςιν οἱ Δωριεῖς, οἱ δὲ Αἰολεῖς τοῦτο λέγουςιν αὔως προςτιθέντες τὸ ῡ. καὶ πάλιν ἀάτην αὐάτην λέγουςιν οἱ Αἰολεῖς, ςυμφώνου δὲ ἐπιφερομένου οὐδέποτε προςτιθέαςιν ῡ οἱ Αἰολεῖς· τὸ γὰρ νόςος νοῦςος καὶ Ὄλυμπος Οὔλυμπος ποιητικά εἰςι καὶ οὐκ Αἰολικά· τοῦ δὲ ρ̄ ἐπιφερομένου πολλάκις προςτιθέαςι τὸ ῡ οἱ Αἰολεῖς οἷον αὔρηκτος, ἄρρηκτος γάρ· δῆλον οὖν ὅτι φωνῆέν ἐςτι καὶ οὐ ςύμφωνον.

[292ᵇ]

Arcad. 100, 11: τὰ διὰ τοῦ ο̄ᾱ ςπάνια καὶ κατὰ πάθος γενόμενα παρ᾽ Ἀττικοῖς προπαροξύνεται οἷα ὄα, χροία χρόα. τὰ δὲ ἐν ἐπενθέςει ὀξύνεται ςτοιά ςτοά, ῥοιά ῥοά.

---

ad fr. *293 cf. Io. Al. 35, 1 τὸ πάροιθεν πλεονάςαν τὸ ῑ.

ad fr. 294. Hic articulus coniunctus est in E. M. cum adnotamento de ὀλέ, quod posuimus fr. 225 et in fine τοῦτο περὶ παθῶν Ἡρωδιανός subscriptum est. Quamquam haec subscriptio ad posteriorem tantum de ὀλέ partem pertinere videtur, tamen etiam prior pars, quae exstat etiam in Schol. AB ad Iliad. l., ex Herodiano deprompta sit, nam saepius epitomatores diversos Herodiani locos in unum adnotamentum conflarunt velut in E. M. 226, 49 Herodiani de genetivo γεροντέων et de γερόντεος praecepta in unum corpus coniuncta sunt. Huc pertinet fortasse notatio in E. Or. 162, 24: φοινός παρὰ τόν φόνον φονός ἐςτιν ὀξυτόνως καὶ πλεοναςμῷ τοῦ ῑ φοινός.

ad fr. *295 cf. Il. Pr. A 554 εὔκηλον: τὸ εὔκηλον ψιλοῦται κατὰ δύο λόγους, καὶ ὅτι τό ῡ ἐπεντιθέμενον ψιλοῖ τὰ δαςυνόμενα φωνήεντα, ὅρος οὖρος, ὅλος οὖλος κτλ. Ξ 340 τὸ εὔαδεν ὁ Ἀςκαλωνίτης ψιλοῖ, λέγων ὡς ὅτι τὰ δαςυνόμενα ἐν τῇ ἐπενθέςει τοῦ ῡ ψιλοῦται ὡς ὅλος οὖλος· οὕτως οὖν καὶ τό ἕαδεν εὔαδεν γένοιτο ψιλούμενον.

κοχλίεω καὶ κοχλίαο· ἐπεὶ οὖν τοῦ ἀνθρώπου ἡ λήγουςα ςυνεςτάλη, ἐκινδύνευε δὲ ςυςτέλλεςθαι καὶ ἡ παραλήγουςα, τούτου χάριν ἐπλεόναςε τὸ ῑ, ἵν᾽ ἐκταθῇ ἡ παραλήγουςα, τῆς ληγούςης ςυςτελλομένης.

*296.

Ep. Cr. I 2, 11 (E. M. 172, 17), Ep. 67, 10: αὐτάρ καὶ ἀτάρ, ποῖόν ἐςτιν ἀναλογώτερον; καὶ λέγομεν ὅτι κατὰ πλεοναςμόν ἐςτι τὸ αὐτάρ· κανὼν γάρ ἐςτιν ὁ λέγων, ὅτι παρεπόμενόν ἐςτι τῇ ἐκ τοῦ ᾱ ςυνεςτώςῃ διφθόγγῳ μετὰ τὴν ἀπόςταςιν τοῦ ὑποτακτικοῦ φωνήεντος ἐκτείνειν τὸ ᾱ οἷον κλαίω κλάω, αἰετός ἀετός· εἴπερ οὖν καὶ ὁ αὐτάρ ςύνδεςμος ἔνδειαν εἶχεν τοῦ ῡ ἐν τῷ ἀτάρ, παρείπετο ἂν καὶ ἡ τοῦ ᾱ ἐπέκταςις· πρότερος οὖν ὁ ἀτάρ, δεύτερος ὁ αὐτάρ πλεοναςμῷ· ὁ δὲ πλεοναςμὸς κοινός, οὐκ Αἰολικὸς ὡς ὀδός οὐδός «ἐπεὶ ἦ φατ' ἀριςφαλέ' ἔμμεναι οὐδόν» (ρ 196) καὶ Ὄλυμπος Οὔλυμπος καὶ «ἄρτον οὖλον ἑλών» (ρ 343)· ἦν γὰρ ὅλον. νόςος νοῦςος.

297.

Ep. Cr. I 88, 23: αὔω: εἰ μὲν τὸ ξηραίνω δηλοῖ, γέγονε παρὰ τὸ ὕω τὸ βρέχω καὶ τὸ ςτερητικὸν ᾱ ἀύω αὔω· εἰ δὲ τὸ φωνῶ, παρὰ τὸ ἄω τὸ πνέω, ὥς φηςιν Ἡρωδιανός, ἔνθεν καὶ αὐλός τὸ φωνητικὸν ὄργανον, ἐκ γὰρ τοῦ πνεύματος ἐξέρχεται ἡ φωνή.

298.

E. Gud. 223, 5: εὔχομαι: ὁ Ἡρωδιανός, ὅτι ἴςως ἐκ τοῦ ἔχω πεποίηται κατὰ πλεοναςμὸν τοῦ ῡ· οἱ γὰρ εὐχόμενοι ἀξιοῦςιν ἔχειν ὧν βούλονται.

299.

E. Or. 57, 31: εὖνις: ὁ ἐςτερημένος τινὸς παρὰ τὴν ἑνός γενικήν· ὁ γὰρ παρώνυμος χαρακτὴρ ἀπὸ γενικῆς γίνεται. οὕτω παρὰ τὴν ἑνός γενικὴν ἕνις καὶ πλεοναςμῷ τοῦ ῡ εὖνις. οὕτως εὗρον ἐν τῷ περὶ παθῶν.

300.

Zon. 614: ἐδεύηςεν: ἀπὸ τοῦ δεῶ δεήςω ἐδέηςα ἐδέηςε καὶ πλεοναςμῷ τοῦ ῡ ἐδεύηςεν. Ἡρωδιανὸς περὶ παθῶν.

[299ᵃ]

Arcad. 111, 5: βαρύνεται τὸ ἔνη, ὀξύνεται τὸ Θενή πόλις καὶ τὸ εὐνή μετὰ τοῦ ῡ.

---

ad fr. *296. Herodianeam originem prodit quaestio ποῖόν ἐςτιν ἀναλογώτερον, quam deprehendimns in fr. 46 et 45, cui respondetur verbis Herodiano consuetis καὶ λέγομεν ὅτι. — Idem habent An. Ox. II 349, 24, ubi pro exemplis productae post abiectam vocalem syllabae proponuntur κεφάλαιον κεφαλάδιον, οὔραιον οὐράδιον.

ad fr. 297. Non solum extrema pars, cui Herodiani nomen additum est, ab eo profectum est, sed totum, nam consuetudo est epitomatorum auctorem quem exscripserunt, nominare demum, postquam plura excerpserunt cf. e. g. fr. 258. cf. Il. Pr. Λ 461 αὖε: ψιλῶς· τέτακται γὰρ ἐπὶ τοῦ φωνεῖν. ὅταν δὲ ἐπὶ τοῦ ξηραίνειν ἢ ἅπτειν, τότε δαςυντέον· ἔςτι γὰρ ςύνθετον (τὸ ἀφαύω addit Lehrsius, Lobeckius Technol. 11 παρὰ τὸ ᾱ ςτερητικὸν καὶ τὸ ὕω τὸ βρέχω).

ad fr. 300. pro δέω scripsi δεῶ ex Arcad. 164, 10. cf. E. M. 315, 56 et 258, 45, Ep. Cr. I 174, 6.

301.

Favorin. Ecl. 94, 1: ἀλεύας: μετοχή· ἀλέω ἀλεύω· τὸ δὲ ἀλέω ἀπὸ τοῦ ἀλῶ· οἱ γὰρ φεύγοντες πλανῶνται· ἡ μετοχὴ ἀλεύας καὶ «ἀλεύατο κῆρα μέλαιναν» (Γ 360). οὕτως Ἡρωδιανὸς περὶ παθῶν.

*302.

Choer. 487, 12: ἀπὸ τοῦ ξέω προσερχομένου τοῦ ϲ πρὸ τοῦ ω γίνεται ξέσω καὶ ἀπὸ τοῦ ἱππεύω ἱππεύσω ὁμοίως, ἀπὸ δὲ τοῦ χέω οὐ γίνεται ὁ μέλλων προσθέσει τοῦ ϲ χέσω διὰ τὸ μὴ συνεμπεσεῖν τῷ κακοφώνῳ τῷ ἀπὸ τοῦ φορτικοῦ χέζω, ἀλλὰ χεύσω γίνεται ὁ μέλλων καὶ τοῦ ῡ πρὸ τοῦ ϲ προσελθόντος.

*303.

Choer. 546, 9: ἔστι πλέω, χέω πνέω, ῥέω δι' ἑνὸς φωνήεντος καὶ πλεονάζει ὁ μέλλων τὸ ῡ καὶ γίνεται πλεύσω, χεύσω, πνεύσω, ῥεύσω.

304.

E. M. 239, 9: γουνῷ ἀλωῆς: παρὰ τὸ γένω ῥῆμα γίνεται γένος βαρύτονον ὡς λέγω λόγος, ὅπερ σημαίνει τὸ γεγεννημένον· ὁ δὲ γεννητικὸς γονὸς ὀξυτόνως, πλεονασμῷ τοῦ υ γουνὸς ὁ γεννητικὸς τόπος, ὁ γόνιμος καὶ κάρπιμος. Ἡρωδιανός.

305.

† E. Or. 63, 34: ἐριούνιος: παρὰ τὸ ὀνῶ ἐριόνης ἐστὶ καὶ πλεονασμῷ τοῦ ῡ ἐριούνης· τὸ δὲ ἐρί ἐπιτατικόν ἐστιν· ἐριούνης οὖν ὁ μεγάλως ὠφελῶν. Ἡρωδιανός.

306.

E. M. 641, 2: οὐλή: ὁ Ἡρωδιανὸς παρὰ τὸ εἰλῶ τὸ συστρέφω γίνεται ὀλή καὶ οὐλή ἡ συνεστραμμένη σάρξ· τὸ γὰρ ἐναντίον ἀπὸ τοῦ διελκύσαι ἕλκος λέγεται.

*307.

Ep. Cr. I 302, 29: οὖλος: σημαίνει τὸν ὅλον «ἄρτον τε οὖλον ἑλών» (Od. ρ 343) καὶ πλεονασμῷ τοῦ ῡ· σημαίνει καὶ τὸ μαλακὸν «οὔλας ἧκε κόμας» (Od. ζ 231) καὶ «οὔλων τε ταπήτων» (Π 224) παρὰ τὸ εἰλῶ τὸ συστρέφω, ἔνθεν καὶ τὸ ἑλίσσω, παρὰ τοῦτο ὄλος καὶ οὖλος· σημαίνει καὶ τὸ ὀλέθριον παρὰ τὸ ὄλω τὸ ὄλλυμι, ὥστε εἴτε ὀλέθριον εἴτε μαλακὸν εἴτε τὸ ὅλον, ἐπὶ πάντων ὁ πλεονασμός τοῦ ῡ γέγονεν, ὅθεν, ἐπεὶ ποικίλα σημαίνει τὸ οὖλος, ἄδηλον ἡγοῦνται ἐν τῷ

---

ad fr. 301. scripsi περὶ παθῶν pro περὶ παθητικῶν.
ad fr. 304. Tacito auctore exstat in E. Orion. 38, 22.
ad fr. 305. Similia habet E. M. 374, 20 et 375, 3, ex quo posteriore loco hoc affero: ἰστέον ὅτι τὸ ἐρί συντιθέμενον ἢ μακροσύλλαβον ἐπιφέρεται οἷον ἐρίτιμος, ἢ διπλοῦν οἷον ἐρίζηλος· διὰ τοῦτο καὶ τὸ ἐριούνιος ἐπλεόνασε τὸ ῡ. τὸ αὐτὸ δὲ καὶ ἐπὶ τοῦ ἀρί μορίου.
ad fr. 306. Ex sequentibus inserui ὀλή καί. Epitomator enim per ἢ explicationem adiecit, quae eadem est atque Herodianea.

«βάcκ' ἴθι οὖλε ὄνειρε» (Β 8), πότερον τὸν ἐπὶ ὀλέθρῳ πεμπόμενον ἢ τὸν μαλακόν.

*308.

Ep. Cr. I 327, 21: οὔνομα: πλεονάζει τὸ ῡ· τὸ γὰρ ὁλόκληρον «ὡς ὄνομ' ἐξηπάτης' ἐμόν» (Od. ι 414)· τὰ γὰρ ἀπαθῆ παρατιθέμενα δηλοῖ τὰ πεπονθότα, Οὔλυμπος, Ὄλυμπος γάρ.

*309.

Ep. Cr. I 301, 18: οὖρος: εἴτε τὸν ἄνεμον cημαίνει εἴτε τὸ ὄρος, τὸ ῡ πλεονάζει· ἀλλ' εἰ μὲν cημαίνει τὸν ἄνεμον, γίνεται παρὰ τὸ ὄρω τὸ ὁρμῶ, ὄρος οὖρος· εἰ δὲ τὸ ἕτερον, εὔδηλον ὄρος οὖρος.

*310.

Ep. I 301, 21: οὐρά: παρὰ τὸ ὄρω τὸ ὁρμῶ ὀρά καί πλεοναcμῷ τοῦ υ οὐρά ὡς παρὰ τὸ κείρω κορά καὶ κουρά· παρὰ τὸ ὄρω τὸ ὁρμῶ γίνεται παρορμητικὸς τῶν ζῴων ἡ οὐρά· καὶ αὐτὸς ὁ ποιητὴς λέγει (Υ 170)

οὐρῇ δὲ πλευράς τε καὶ ἰςχία ἀμφοτέρωθεν
μαςτίεται, ἑὲ δ' αὐτὸν ἐποτρύνει μαχέςαςθαι.

*311.

Ep. Cr. 308, 29: οὐρούς: παρὰ τὸ ὀρούω πλεοναcμῷ τοῦ ῡ· δι' αὐτῶν γὰρ διεγείρονται καὶ καθέλκονται αἱ νῆες εἰς τὴν θάλαccαν.

*312.

Ep. Cr. I 315, 18: οὐρεύς: παρὰ τὸ ὄρος ὀρεύς ὡς ἡνίοχος ἡνιοχεύς· λέγεται γὰρ ἐν ὄρεςι μᾶλλον δύναςθαι ἐργάζεςθαι, κατὰ πλεοναςμὸν τοῦ ῡ οὐρεύς.

[312ª]

Arcad. 40, 2: τὸ μονιός ὀξύνεται ὡς τριςύλλαβον· εἰ δὲ τὸ ῡ πλεονάςῃ, προπαροξύνεται· μούνιος γάρ.

[312ᵇ]

Arcad. 158, 6: βόλω καὶ βούλω, ὅθεν βούλομαι, βαρύνεται.

[312ᶜ]

Ep. Cr. I 313, 10: ὄρουσε: ἔστι ῥῆμα ὄρω· καὶ ὥσπερ ἀπὸ τοῦ πλήθω πληθύω, οὕτω καὶ ἀπὸ τοῦ ὄρω ὀρύω καὶ πλεονασμῷ τοῦ ō Βοιωτικῶς γίνεται ὀρούω. οἱ γὰρ Βοιωτοὶ τότε πλεονάζουςι τὸ ō τῷ ῡ στοιχείῳ, ἡνίκα τὸ ῡ οὐχ ὑποτάςςεται φωνήεντι οἷον κύνες κούνες καὶ τὸ κῦμα κοῦμα. οὕτως καὶ τὸ ἤλευθα ἐλήλυθα εἰλήλυθα καὶ πλεοναςμῷ τοῦ

ad fr. *309. Il. Pr. Β 153 οὐρούς: καὶ τὸ κοῦρος θοῦρος οὖρος ἐπὶ τοῦ ἀνέμου περιςςὸν ἔχει τὸ ῡ. In nostro loco omissa sunt οὖρος ὁ ὄρος Il. Pr. Α 554 et ἐπίουρος παρὰ τὸ ὁρᾶν Il. Pr. Ν 450, de quo E. Or. 66, 11 ἐπίουρος φύλαξ παρὰ τὸ ἐφορᾶν πλεοναςμῷ τοῦ ῡ ἐπίουρός τις ὤν.

ad fr. [312ᶜ]. cf. Ahrens de dial. Aeol. p. 180 not. 5. pro εἴληθα scripsi ἤλευθα ἐλήλυθα εἰλήλυθα.

*313.

Choer. 378, 16: τὸ καρχαρόδουν καὶ τιμήειν ἀπὸ τοῦ καρχαρόδον καὶ τιμῆεν γεγόναςι κατὰ πλεοναςμὸν τὸ μὲν τοῦ ῡ, τὸ δὲ τοῦ ῑ.

*314.

Ep. Cr. I 282, 4: ἔςτι βαρύτονον μάχω, ἀφ' οὗ τὸ μάχομαι· ἔςτι δὲ καὶ μαχῶ, ἀφ' οὗ τὸ μαχεούμενος, ὅπερ μετὰ τὴν διαίρεςιν ἐξαίρετον πάθος ἀνεδέξατο τὸν πλεοναςμόν. — ἢ μαχειόμενοι· διάφορος γὰρ ἡ γραφή.

315.

E. M. 18, 46 collat. Thesaur. Corn. Cop. Aldin. fol. 3, quem locum affert Peyron ad E. M.: Ἀδραςτεϊδῶν: Ἄδραςτος κύριον, Ἀδραςτίδης Ἀδραςτιδῶν, καὶ πλεοναςμῷ τοῦ ε Ἀδραςτειδῶν οἷον «Ἀδραςτειδῶν θάλος». οὕτως Ἡρωδιανὸς περὶ παθῶν.

316.

E. M. 619, 35: οἰχνεῖν ἀμφίβολον· ἢ παρὰ τὸ ἴχνος ἰχνῶ καὶ πλεοναςμῷ τοῦ ō οἰχνῶ ἢ παρὰ τὸ οἴχω οἰχνῶ ὡς ὀρέγω ὀριγνῶ, κεδῶ κιδνῶ, περῶ περνῶ. ἔχεις δὲ ἀμφότερα εἰς τὸ περὶ παθῶν.

*317.

St. B. 628, 10: Τομεύς πόλις πρὸς τῇ Ὀδηςςῷ· ὁ πολίτης Το-

ο εἰλήλουθα καὶ τὸ πληθυντικὸν εἰληλούθαμεν καὶ ἐν ςυγκοπῇ εἰλήλουθμεν· ἡνίκα δὲ ὑποτάςςεται τὸ ῠ φωνήεντι, οὐ πλεονάζουςι τὸ ο οἷον εὐνή αὐλή.

[317ᵃ]

Il. Pr. C 501: ἵςτωρ: ἀπὸ τοῦ εἴδω εἴςω ἵςτωρ ἐλλείψαντος τοῦ ε, ἐπεὶ τῷ ῑ τὸ ςτ ἐπεφέρετο, ὡς ἐν τῷ ἱςτῶ ἱςτίον ἵςτημι. ὅθεν καὶ δαςύνεται.

[317ᵇ]

Il. Pr. Z 244: ἔνεςαν· ὡς ἔλεξαν· οὕτως καὶ Ἀρίςταρχος· ἀληθὲς γάρ ἐςτιν ὡς πᾶς παρῳχημένος διςύλλαβος παθὼν κατὰ τὴν ἀρχὴν καὶ βραχεῖαν ἀναδεξάμενος ἀναδίδωςι τὸν τόνον, κατεῖχε κάτεχε· οὕτως

---

ad fr. *313 cf. Lob. Parall. 248, Mehlhorn p. 84 not. 7. Schol. ad Apollon. I 404 τὸ κιόειν ἀντὶ τοῦ κιόεν κατὰ Ἰωνικὴν πρόςθεςιν τοῦ ῑ.

ad fr. *314 cf. Lob. Rhem. p. 148.

ad fr. 315. scripsi περὶ παθῶν pro περὶ παθητικῶν. — Caeterum in vicissitudine vocalis ῑ et diphthongi ει explicanda magna pars orthographiae versata est, cuius generis hic nihil profero illi libro omnia reservans.

ad fr. 316. περῶ περνῶ accessit ex Ep. Cr. I 302, 27 et 362, 4 ubi: ςεςημείωται τό περνῶ, διότι τό ν̄ ἐπεντιθέμενον τοῖς ῥήμαςιν, ἐὰν παραλήγηται τῷ ε̄, τρέπει αὐτό εἰς ῑ, ὀρέγω ὀριγνῶ, κεδῶ κιδνῶ. οὕτως περῶ τό πωλῶ περνῶ. ἐχρῆν οὖν τραπῆναι τό ε̄, ἔμεινε καὶ ταύτῃ ςεςημείωται.

ad fr. *317. ›Alia detracti epsili exempla velut κλίςιον a κλείω, ὀρίτροφο in orthographia perponentur.

---

ad fr. [317ᵃ]. cf. ἵςκοντες Il. Pr. Π 41 et supra fr. [46ᵇ].
ad fr. [317ᵇ]. cf. Il. Pr. Δ 151.

μίτης καὶ Τομῖτις τὸ θηλυκόν. ὤφειλε δὲ ὡς Ἀταρνείτης διὰ διφθόγγου γράφεσθαι.

*318.

E. M. 662, 55: πέπυσμαι· ἀπὸ τοῦ πεύθω πεύσω πέπευκα· ὁ παθητικὸς πέπευσμαι· ἆρον τὸ ε̅ πέπυσμαι· εἰ δέ τις εἴποι, ὅτι ἀπὸ τοῦ πυνθάνω δύναται εἶναι, εἰπὲ ὅτι τὰ διὰ τοῦ α̅ν̅ω̅ ἄκλιτά εἰσιν.

*319.

Choer. 629, 15: ἡ ε̅υ̅ δίφθογγος τὸ ε̅ ἀποβάλλει καὶ τὸ δίχρονον φυλάττει ἐν τῷ δευτέρῳ ἀορίστῳ, ὀφείλει γὰρ ὁ δεύτερος ἀόριστος διχρόνῳ παραλήγεσθαι· φεύγω ἔφυγον, τεύχω ἔτυχον, πεύθω ἔπυθον, ἐξ οὗ τὸ ἐπυθόμην, ἐλεύθω ἤλυθον καὶ κατὰ συγκοπὴν ἦλθον.

*320.

E. M. 819, 13: ψύθος τὸ ψεῦδος· ἐκβολῇ τοῦ ε̅ ψύδος καὶ τροπῇ τοῦ δ̅ εἰς θ̅ ψύθος.

*321.

E. M. 84, 40: ἀμνίον: Ὅμηρος Ὀδυσσείας γ (444) «Περσεὺς δ' ἀμνίον εἶχε» τὸ αἱμαδόχον ἀγγεῖον, παρὰ τὸ αἱμνίον τὸ τοῦ αἵματος δεκτικὸν ἀποβολῇ τοῦ ι̅.

*322.

St. B. 303, 11: Ἡραια: τὸ ἐθνικὸν Ἡραιεύς· λέγεται καὶ χωρὶς τοῦ ι̅ ὡς Νικαεύς.

*323.

St. B. 514, 3: Πειραιός: Πειραιεύς· λέγεται καὶ κτητικῶς Πειραϊκός μετὰ συστολῆς τοῦ α̅.

*324.

E. M. 66, 25: Ἄλκαος: ὃν τρόπον οἱ Ἴωνες ἐκβάλλουσι τὸ ι̅ τῶν κτητικῶν ἤγουν τῆς ε̅ι̅ διφθόγγου, τὸν αὐτὸν τρόπον οἱ Αἰολεῖς

οὖν ἀνέγνωμεν «ἥμενον εἰσεῖδε» (Il. Ξ 158) προπερισπωμένως, τὸ δὲ ἕτερον «τὰ φρονέων μνηστῆρσι μεθήμενος, εἴσιδ' Ἀθήνην» (Od. α 118) προπαροξυτόνως.

[324a]

Il. Pr. Λ 301: Ἀσαῖον: παρὰ τὸ αἶσα γέγονεν, καὶ ἐξέστη πρότερον τὸ ι̅.

---

ad fr. *318. Vel dictio ἆρον τὸ ε̅ originem prodit.

ad fr. *319. Hoc cum priore comparatum de fonte dubitare non sinit.

ad fr. *321. Schol. Od. γ 444 ex Herodiano derivatum Herodiani esse hoc fr. evincit.

ad fr. *322. Unum tantum huius generis exemplum ex St. B. prompsi, cf. praeterea eundem 479, 13 Νῦσαι: τὸ ἐθνικὸν λέγεται καὶ Νυσαῖος ἐξ αὐτοῦ Νυσαιεύς καὶ Νυσαεύς ἄνευ τοῦ ι̅; 839, 17 Πυθώ: Πυθήϊος καὶ Πυθαιεύς καὶ Πυθαεύς ὡς Κρηταεύς. de hoc et sequente fr. cf. praesertim Lobeck. ad Phryn. p. 39 seqq.

ad fr. *324. Herodiani esse concluditur ex Il. Pr. Θ 217 τὸ κηλέῳ ὡς μελέῳ· γέγονε δέ παρὰ τὸ κᾶλον καὶ κῆλον κήλειον ὡς παρὰ τὸ μῆλον μήλειον δέρος καὶ Ἰωνικῶς κήλεον καὶ κηλέῳ· ἐκεῖνο γοῦν ἐντελές ἐστι τὸ «σὺν πυρὶ κηλείῳ χάριν Ἕκτορος» (Il. Ο 744).

τῆς αι διφθόγγου ἐκβάλλουσι τὸ ι οἷον Θηβαῖος Θήβαος, ἀρχαῖος ἄρχαος, Ἀλκαῖος Ἄλκαος.

*325.

Ep. Cr. I 440, 7: χείρ· ἡ κλίσις διττὴ χειρός καὶ χερός· ἀναλογώτερος δὲ ἡ τὴν δίφθογγον ἔχουσα λόγοις τρισί, τῷ ἀπὸ γενικῆς, τῷ ἀπ' εὐθείας, τῷ ἀπὸ στοιχείων· ἀπὸ γενικῆς οὕτως· πᾶσα γενικὴ εἰς ρος λήγουσα παρὰ ἀρσενικὰ ἢ θηλυκὰ ὀνόματα μονοσύλλαβα ἀποβολῇ τοῦ ος ποιεῖ τὴν εὐθεῖαν, ψαρός ψάρ, κηρός κήρ «φωρὸς δ' ἴχνια φὼρ ἔμαθε», θηρός θήρ, Νωρός Νώρ ἔθνος, οὕτως χειρός χείρ· ἡ χέρ ἄλεκτος· ἀπὸ εὐθείας οὕτως· πᾶσα εὐθεῖα μονοσύλλαβος εἰς ρ λήγουσα ἀρσενικοῦ ἢ θηλυκοῦ ὀνόματος προσθέσει τοῦ ος τὴν γενικὴν ποιεῖ. ἀπὸ στοιχείων δὲ οὕτως· τηνικαῦτα ἀποπίπτει φωνῆεν ἐν τῇ κλίσει, ὅτε εἰς c λήγει ἡ εὐθεῖα, κτείς κτενός, εἷς ἑνός, βοῦς βοός, νεῦς νεώς, γραῦς γραός. τὸ δὲ χείρ εἰς ρ λήγει οὐκ εἰς c· ἐκ πάθους ἄρα τὸ χερός ἦν. ἰστέον δὲ ὅτι ὁ ποιητὴς φυλάξας τὴν δίφθογγον ἐν παντὶ ἀριθμῷ καὶ ἐν πάσῃ πτώσει οἷον «αἱματόεσσα δὲ χείρ» (Ε 82) καὶ «χειρὸς ἑλόντε» (Α 323) καὶ «χειρί τέ μιν κατέρεξε» (Α 361) καὶ «χεῖρ' ἕλε δεξιτερήν» (α 121) καὶ «σπόγγῳ δ' ἀμφὶ πρόσωπα καὶ ἄμφω χεῖρ' ἀπομόργνυ» (C 414) καὶ «χεῖρές τ' ὀφθαλμοί τε» (Ρ 387) καὶ «χειρῶν δ' ἁψάμενος» (Κ 377) καὶ «χεῖρας τ' ἀλλήλων λαβέτην» (Ζ 233) διήλλαξεν ἐν τῇ πληθυντικῇ δοτικῇ «χερσὶ μὲν οὔτοι ἔγωγε μαχήσομαι» (Α 298), οὐκέτι δὲ χειρσί· τοῦτο δὲ ἐν παραγωγῇ οὐ χέρεσσιν εἶπεν ἀλλὰ χείρεσσι «τοίω τὼ χείρεσσι ὑφ' ἡμετέρῃσι» (Ε 559) καὶ σχεδὸν ἐμήνυσεν ἡμῖν τὸ αἴτιον· οὐδέποτε γὰρ μετὰ τοῦ χ εὑρίσκεται δίφθογγος καταλήγουσα εἰς ρ συμφώνου ἐπιφερομένου οἷον «χάρμα» (Γ 51), «ἐν χόρτῳ» (Λ 773), «χέρνιβα δ' ἀμφίπολος» (α 136)· καὶ πῶς ἀναπολουμένου τούτου τοῦ λόγου καὶ ἐπὶ τοῦ φ — καὶ γὰρ οὐδὲ μετὰ τοῦ φ εὑρίσκεται δίφθογγος καταλήγουσα εἰς ρ συμφώνου ἐπιφερομένου οἷον φάρμακον, φροντίδος εὑρείης «στῆθος καὶ χείλεα φύρσω» (c 21), «κείμενον ἐν φέρτρῳ» (C 236) — ἡ φθειρσὶ δοτικὴ συνέστη παρὰ Ἀρχιλόχῳ «φθειρσὶ μοχθίζοντα»; λέγομεν οὖν ὅτι ἡ χείρ ἐπὶ τῆς γενικῆς καὶ χειρός καὶ χερός κατ' ἀποβολὴν τοῦ ι, ἡ δὲ φθειρός οὐ διὰ τοῦ ε οὐδὲ φθερσίν.

[324^b]

Il. Pr. H 64: μελάνει: ὡς οἰδάνει ὁ Ἀσκαλωνίτης· ἐκ γὰρ τοῦ μελαίνει, φησίν, ἐνδείᾳ τοῦ ι ἐγένετο.

ad fr. *325. Hoc aduotamentum, cuius prior pars ox Catholicae ea parte, ubi de monosyllabis agitur (p. 398, 9), sumpta videtur, Herodianeam originem et doctrina et colore prodere iam in Praef. p. CXXIX exposuimus. Ante ἢ θηλυκὰ addidi παρὰ ἀρσενικά, pro ὀνομαστικὴν substitui vocem Herodianeam εὐθεῖαν et pro ἀναλυομένου τούτου τοῦ λόγου scripsi ἀναπολουμένου et in fine pro οὐ διὰ τοῦτο οὐδὲ φθειρσίν exhibui οὐ διὰ τοῦ ε οὐδὲ φθερσίν.

ad fr. [324^b]. Lob. Rhem. 235 do μελάνω assentitur Herodiano, sed οἰδάνω omniaque similia ἀζάνω ἀλδάνω cum οἰδαίνω ἀζαίνω ἀλδαίνω a communi stirpe quasi duplici partu edita esse existimat.

*326.

Choer. 132, 11: πολλάκις οἱ Δωριεῖς τῶν εἰς εις διὰ τῆς ει διφθόγγου ἀποβάλλουσι τὸ ῑ οἷον χαρίεις χαρίες, τιμήεις τιμῆες, Μαλόεις Μαλόες· τοιοῦτοι γάρ εἰσι καὶ παρὰ Καλλιμάχῳ «ὁ δὲ ἀείδων Μαλόες ἦλθε χορός» ἀντὶ τοῦ Μαλόεις. Μαλόεις ἐστὶν ὁ Λέσβιος.

*327.

Ep. Cr. I 443, 7: ὑφαιροῦσιν οἱ Ἴωνες τὸ ῑ τῶν κτητικῶν οἷον ἀπὸ τοῦ χαλκός χάλκειος χάλκεος, Ἕκτωρ Ἕκτορος Ἑκτόρειος «Ἑκτόρεον δὲ χιτῶνα» (Β 416).

*328.

St. B. 451, 14: Μίδεια πόλις ἐν Ἄργει. — λέγεται καὶ χωρὶς τοῦ ῑ Μιδέα.

*329.

St. B. 50, 17: Αἴνεια: τὸ ἐθνικὸν Αἰνεάτης ὡς Κόρσεια Κορσεάτης, Ὕδρεια Ὑδρεάτης, Ὀρνειαί Ὀρνεάτης, Κεγχρειαί Κεγχρεάτης τοῦ ῑ σιγηθέντος.

[326ᵃ].

Io. Alex. 15, 25: αἱ εἰς ες λήγουσαι εὐθεῖαι πληθυντικαὶ οὐδέποτε ὀξύνονται Πάριδες μῆνες Αἴαντες χωρὶς εἰ μὴ ἐκ πάθους εἶεν διὰ τό βιοπλανές «οἵ τε βιοπλανὲς ἀγρὸν ἐπ' ἀγροῦ φοιτῶσιν» (Callim.) καὶ τὸ ἐπιτηδές «ἐς δ' ἐρέτας ἐπιτηδὲς ἀγείρομεν» (Α 142).

[327ᵃ]

Arcad. 38, 24: τὰ διὰ τοῦ αλεος παραγωγὰ ὑπὲρ τρεῖς συλλαβάς ἐστι καὶ παροξύνεται χωρὶς εἰ μὴ ἔνδειαν ἔχῃ τοῦ ῑ ἀπὸ κτητικοῦ ὀνόματος οἷον νηφαλέος, αὐαλέος, σμερδαλέος, θαρσαλέος· πρόσκειται εἰ μὴ ἔχῃ ἔνδειαν τοῦ ῑ ἀπὸ κτητικοῦ ὀνόματος διὰ τὸ δαιδάλειος δαιδάλεος, κονισάλειος κονισάλεος· ὅσα δὲ ἀπὸ τῶν κτητικῶν ἐγένετο κατ' ἔνδειαν τοῦ ῑ, καὶ προπαροξύνονται, Ἀγαμεμνόνεος, Ἑκτόρεος, Νεστόρεος, τέλεος, χάλκεος, χρύσεος.

---

ad fr. *326. cf. Ahrens de dialecto Doric. p. 173 cum aot. 2.

ad fr. *327. cf. Il. Pros. Θ 217, quom locum in adaotatioae ad fr. 324 attuli. Alii ac fortasse Herodianus ipso alio loco hanc ellipsin Aeolicam aomiaaverunt: Ep. Cr. I 436, 24: χρύσεος: ἀποβάλλει τὸ ῑ τῆς ει διφθόγγου· τὰ διὰ τοῦ ειος κτητικὰ ὑπὲρ δύο συλλαβὰς οἱ Αἰολεῖς διὰ τοῦ εος προφέρουσιν οἷον φλόγειος φλόγεος, σιδήρειος σιδήρεος, χάλκειος χάλκεος, χρύσειος χρύσεος.

ad fr. *329. Etiam aliis locis St. B. huius affectioais meminit: 409, 15 Λαμπέτεια: τὸ ἐθνικὸν δύναται καὶ Λαμπειάτης καὶ δίχα τοῦ ῑ; in quibusdam nominibus cum ellipsi etiam trope vocalis ᾱ in ω coniuncta est Ἡράκλεια Ἡρακλειώτης καὶ Ἡρακλεώτης p. 304, 3. Huius generis exempla proponam in ea parte, quae est de trope vocalium.

---

ad fr. [326ᵃ]. Ab hoc anomalo ἐπιτηδές diserte distinguit Io. Al. 30, 15 adverbialo ἐπίτηδες: τὸ ἐπιτηδές ὀνοματικῶς ὀξυνόμενον, ἐπιρρηματικῶς προπαροξυνόμενον cf. Eustath. 67, 36, Choer. Dict. 447, 10, Lob. El. I 264.

ad fr. [327ᵃ]. cf. Mon. 4, 12, ubi diserte τὸ δαιδάλεος καὶ κονισάλεος κτητικῇ Ἰωνικῇ ἐστιν ἐνδείᾳ τοῦ ῑ ὁμοίως καὶ Ἑκτόρεος καὶ Νεστόρεος.

*330.

St. B. 374, 9: Μύρλεια: τὸ ἐθνικὸν Μυρλεανός καθ' ὕφεσιν τοῦ ῑ.

*331.

Choer. 629, 29: ἡ ει δίφθογγος ἐν τῷ δευτέρῳ ἀορίστῳ ἀποβάλλει τὸ ε̄ καὶ φυλάττει τὸ ῑ, λείπω ἔλιπον, πείθω ἔπιθον, λείβω ἔλιβον χωρὶς τῶν δισυλλάβων τῆς ε' συζυγίας οἷον κείρω κερῶ ἔκαρον, ἐξ οὗ τὸ ἐκάρην, φθείρω φθερῶ ἐφθάρην.

*332.

Choer. Dict. 606, 14: τὸ ἐτετύφεσαν λέγουσιν οἱ Ἴωνες ἄνευ τοῦ ῑ κατὰ τὴν παραλήγουσαν καὶ ἐγεγράφεσαν καὶ ἐπὶ τῶν λοιπῶν ὡσαύτως, οἷστισι καὶ οἱ Ἀττικοὶ πολλάκις ἀκολουθοῦσιν ἐπεποιήκεσαν λέγοντες· ὁ δὲ κανὼν ταῦτα πάντα μετὰ τοῦ ῑ ἀπαιτεῖ οἷον ἐπεποιήκεισαν, ἐγεγράφεισαν διὰ τῆς ει διφθόγγου, ἐπειδὴ ἐκ τοῦ ἐτετύφειμεν καὶ ἐπεποιήκειμεν καὶ ἐγεγράφειμεν διὰ τῆς ει διφθόγγου τροπῇ τῆς μεν εἰς σαν γίνονται.

*333.

Choer. Dict. 527, 33: τὸ ὀψείω ὅπερ σημαίνει τὸ ἐπιθυμίαν ἔχω τοῦ θεωρῆσαι, ὀφεῖλον εἶναι ἐν τῷ παρατατικῷ ὤψειον διὰ τῆς ει διφθόγγου ἐγένετο ὤψεον παρὰ Σώφρονι κατ' ἀποβολὴν τοῦ ῑ οἷον «ἐγὼν δέ τοι καὶ πάλιν ὤψεον (Ahrens fr. 39)».

*334.

Ep. Cr. I 367, 13: ποίη: ὅτε τὸ ο̄ μόνον ἔχει, οὐκέτι τὸ ᾱ· τὸ γὰρ ο̄ τὸ η̄ αἰτεῖ οἷον ὀγδόη θόη πνόη· ἐὰν γὰρ λέγῃς διὰ τοῦ α ὀγδόα, Δωρίζεις· τὸ στοά οὐχ ὑγιῶς ἔχει τὸ ο̄· ἢ γὰρ Δώριόν ἐστι ἢ ἐλλείπει τὸ ῑ, καὶ δῆλον· τὸ γὰρ περίστοιον τὸ ῑ ἔχει· ποία οὖν ἐστιν, οὐ πόα· ἡ γὰρ οι δίφθογγος αἰτεῖ τὸ ᾱ οἷον ἀλλοῖος ἀλλοία,

---

[332ᵃ]

Arcad. 148, 13: πᾶν ῥῆμα βαρύνεται ἢ περισπᾶται, γράφω, τύπτω, ποιῶ, βοῶ. ὀξύνεται δὲ οὐδέποτε κατὰ τὴν κοινὴν συνήθειαν, εἰ μὴ παρὰ Δωριεῦσι τὰ συνῃρημένα ἀπαρέμφατα εἰς ειν ἀφαιρέσει τοῦ ῑ ποιέν ἀντὶ τοῦ ποιεῖν, δασμοφορέν ἀντὶ τοῦ δασμοφορεῖν.

ad fr. *334. Hoc Herodianeum esse et res probat et dictio. Nam Herodiano consuetum est praecepta sua quasi ad praesentem quendam auditorem pronunciare cf. e. g. E. M. 663, 54 Περίηρς fr. 239. Si hoc loco ubi in στοά ῑ deficere dicitur Herodianus secum ipse ap. Arcad. 100, 13 τὰ ἐν ἐπενθέσει ὀξύνεται, στοιά στοά, ῥοιά ῥοά dissentire videtur, hoc sic expediendum arbitror, ut ap. Arcadium ad originem, hoc loco ad usum spectaverit. Atque ut de ῥῳδιός (fr. 13) dixit ad originem integrum, ad usum affectum esse, sic pronunciare potuit, ῑ in στοιά non origine insitum esse, sed usu huic voci ita inhaerere, ut species στοά pro elliptica habenda sit. Fortasse ex Herodiano fluxit notatio in E. Or. 83, 11

ad fr. [332ᵃ]. cf. Choer. 496, 1 τοιοῦτοι δέ εἰσιν οἱ Δωριεῖς, λέγω δὴ πολλάκις εὑρίσκονται ἀποβάλλοντες τῆς ει διφθόγγου τὸ ῑ οἷον συρίζεις συρίσδες ὡς παρὰ Θεοκρίτῳ «ἁδὺ δὲ καὶ τὺ συρίσδες». E. M. 249, 29.

ὅμοιος ὁμοία· ποία ἄρα· ἐὰν οὖν λέγῃς πόα, ἔλλειψίς ἐστι τοῦ ῑ ὡς τὸ χροία χρόα.

*335.

E. M. 679, 25: ποιῶ: ἰστέον ὅτι οἱ Ἀθηναῖοι ἀποβάλλουσι τὸ ῑ λέγοντες ποῶ· καὶ ἀποροῦσί τινες λέγοντες ὅτι, εἰ ἄρα οἱ Ἀθηναῖοι ἐν τῷ κλαίω καὶ καίω ἀποβάλλοντες τὸ ῑ ἐκτείνουσι τὸ δίχρονον, διατί καὶ ἐν τῷδε ἀποβάλλοντες τὸ ῑ οὐκ ἐκτείνουσι τὸ ο̄ εἰς τὸ ω̄. καὶ ἔστιν εἰπεῖν, ὅτι οἱ Ἀθηναῖοι ἀποβάλλοντες τὸ ῑ τὸν αὐτὸν τόνον φυλάττουσιν ἐν τῷ κλάω κάω· τὸ δὲ ποιῶ καὶ μετὰ τὴν ἀποβολὴν τοῦ ῑ ἀναγκάζεται περισπᾶσθαι· εἰ δὲ ἐξετάθη τὸ ο̄ εἰς τὸ ω̄, οὐκ ἠδύνατο περισπᾶσθαι· τὰ γὰρ διὰ τοῦ ω̄ω̄ μὴ ἔχοντα ὀνόματα προϋποκείμενα βαρύνονται· μὴ ἔχοντα δὲ ὀνόματα εἶπον διὰ τὸ ἐρωῶ. λέγουσι δέ τινες, ὅτι οὐ πάντως οἱ Ἀθηναῖοι ἀποβάλλοντες τὸ ῑ καὶ τὸν αὐτὸν τόνον φυλάττουσιν· ἰδοὺ γὰρ τὸ χροιά γινόμενον παρ' αὐτοῖς κατὰ ἀποβολὴν τοῦ ῑ βαρύνεται· ἔστι δὲ εἰπεῖν, ὅτι οὐκ ἐγένετο ἀπὸ τοῦ χροιά ὀξυτόνου, ἀλλ' ἀπὸ τοῦ χροία βαρυτόνου· καὶ γὰρ τὸ χροιά χροία λέγεται βαρυτόνως· ἢ ἀπὸ τοῦ χροῦς χροός γέγονεν ἡ χρόα Ἀττικῶς καὶ ἐκεῖθεν χροιά ἐν ὀξείᾳ τάσει.

336.

E. M. 281, 33, Zon. 565: δοάσσατο: παρὰ τὸ δοιός δοιάζω ὡς ἵππος ἱππάζω, λίθος λιθάζω. ὁ μέλλων δοιάσω ἐδοιασάμην ἐδοιάσατο καὶ πλεονασμῷ τοῦ σ̄ Αἰολικῶς ὡς ἔσεται ἔσσεται ἐδοιάσσατο καὶ ἀποβολῇ τοῦ ῑ δοάσσατο. οὕτως Ἡρωδιανός.

*337.

Choer. 772, 2: Ὥσπερ ἐν ταῖς εἰς ω̄ ληγούσαις δοτικαῖς οὐ προσγράφουσιν οἱ Αἰολεῖς τὸ ῑ οἷον Ὁμήρω ἀνθρώπω, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν εὐκτικῶν πολλάκις ἀποβάλλουσι τὸ ῑ. ἔστι γὰρ λάχοιμι λάχοις λάχοι· τοῦτο γίνεται Ἀττικῶς λαχοίη κατὰ πλεονασμὸν τοῦ η̄ καὶ προσθήκῃ τοῦ σ̄ τὸ δεύτερον λαχοίης καὶ τροπῇ τοῦ σ̄ εἰς τὸ ν̄ λαχοίην ὥσπερ ἐτύφθη ἐτύφθης ἐτύφθην, καὶ ἀποβάλλουσιν οἱ Αἰολεῖς τὸ ῑ καὶ λέγουσι λαχόης.

*338.

St. B. 284, 3: Εὔβοια: τὸ ἐθνικὸν Εὐβοιεύς καὶ Εὐβοΐς τὸ θηλυκόν· καὶ Εὐβοεύς χωρὶς τοῦ ῑ, καίτοι τὰ ἀπὸ τῶν εἰς α̅ παραγόμενα εἰς ε̄ῡσ̄ φυλάττει τὴν παραλήγουσαν. διὸ καὶ τὸ Ἀλεξάνδρεια οὐ προϋπ-

eo loco posita, ubi sedes Herodianeorum praeceptorum: κολεός παρὰ τό κεκοιλάνθαι ἤτοι κοιλανθῆναι.

ad fr. *335. Hoc ab Herodiano profectum esse docta explanatio ostendit, de barytonesi verborum in ωω cf. Theogn. 149, 17 (Pros. Cath. 456, 24, ubi in fine canonis ex hoc loco addas καὶ τοῦ ἐρωῶ ἀπὸ τοῦ ἐρωή); χροία χρόα hoc accentu etiam ap. Arcadium p. 100, 12 proferuntur (Pros. Cath. 301, 21). Caeterum pro διατί καὶ ὧδε scripsi καὶ ἐν τῷδε.

ad fr. 336. In fine hae ineptiae, quas omisi, exstant: ἄλλοι δὲ ἀπὸ τοῦ δοκῶ δοκάζω δοκάσσατο ἀποβολῇ τοῦ κ̄· ὥστε οἱ μὲν ἔλλειψιν τοῦ κ̄, οἱ δὲ τοῦ ῑ, ἵνα μὴ παρ' ἄλλου ὡς καινὸν ἀκούσῃς.

ad fr. *338. cf. Lob. El. II 20 et 140.

ἄρχει τοῦ Ἀλεξανδρεύς, ἔδει γὰρ Ἀλεξανδρειεύς, ἀλλ' ἀπὸ τοῦ Ἀλέξανδρος ὡς Τάρcoc Ταρcεύς.

*339.

Choer. 832, 22: οἱ Ἀθηναῖοι τὸ ῑ τὸ ἐν διφθόγγῳ ἀποβάλλειν πεφύκαcιν οἷον κλαίω κλάω, ποιῶ ποῶ καὶ τὸ τετυφυῖα καὶ γεγραφυῖα τετυφῦα γεγραφῦα λέγουcιν.

340.

E. M. 638, 54: οὖαc cημαίνει τὸ οὖc. παρὰ τὸ αὔω τὸ φωνῶ γίνεται αὖαc· καὶ τροπῇ τοῦ ᾱ εἰc ο̅ οὖαc, τὸ τῆc φωνῆc ἀντιληπτικὸν αἰcθητήριον. κλίνεται οὔατοc ὡc δέραc δέρατοc· ἐκ δὲ τούτου γίνεται κατὰ ἀποβολὴν τοῦ ῡ ὄαc καὶ κατὰ κρᾶcιν οὖc καὶ κατὰ Δωριεῖc ὦc. τὸ δὲ ἀμφῶεc νεοτευχὲc παρὰ Θεοκρίτῳ (I 28) γίνεται οὕτωc· ὡc παρὰ τὸ οὖδαc γίνεται τὸ οὖδοc καὶ παρὰ τὸ γῆραc γῆροc καὶ παρὰ τὸ κῶαc κῶοc, οὕτω καὶ παρὰ τὸ ὦαc ὦοc. εἶτα πάλιν ὥcπερ παρὰ τὸ εἶδοc εὐειδήc, γένοc εὐγενήc, οὕτω καὶ παρὰ τὸ ὦοc γίνεται ἀμφωήc. ἀπὸ γὰρ τῶν εἰc α̅c̅ οὐ γίνεται cύνθετον εἰc η̅c̅, ἀλλὰ ἀπὸ τῶν εἰc ο̅c̅. περὶ παθῶν.

*341.

Choer. 248, 21: τὸ πόc οἷον «ὦ πὸc ἄγ' ἱεμένοιcιν» ἀπὸ τοῦ πούc γέγονε κατὰ ἀποβολὴν τοῦ ῡ καὶ τὸ ἀελλόποc οὐκ ἔcτι φύcει εἰc ο̅c̅, ἀελλόπουc γὰρ ἦν, καὶ κατὰ ἀποβολὴν τοῦ ῡ ἀελλόποc γέγονεν.

*341^{2}.

Ep. Cr. I 122, 25: δοῦραc ἡ γενικὴ δούρατοc καὶ ἐν cυγκοπῇ δουρόc, ὑφέcει τοῦ ῡ δορόc

ἀντίον δορὸc
ὀρνύμενοc Ἀχιλλέωc.

καὶ ἡ δοτικὴ «cὺν δορὶ cὺν ἀcπίδι» (Arist. Pac. 356)

[339ᵃ]

Theogn. 49, 30: τὰ εἰc υ̅ι̅ο̅c̅ λήγοντα δύο ἐcτίν, υἱόc καὶ γυιόc. ταῦτα δὲ οἱ Ἀττικοὶ ἄνευ τοῦ ῑ γράφουcιν.

---

ad fr. *339. cf. Lob. El. II 25.

ad fr. 340. Locum sic exhibui, ut emendatus est a Lehrsio ad Mon. p. 46. cf. Eustath. 1896, 5: ἰcτέον ὅτι τὸ οὔατα Ἰωνικὴν ἐπένθεcιν ἔχει τοῦ ῡ. εὐθεῖα γὰρ αὐτοῦ ἑνικὴ ὄαc καθ' Ἡρωδιανὸν ὡc φόαc, διὸ καὶ cυναιρεθέντα εἰc φῶc καὶ ὦc, ἃ δὴ μόνα ἐν οὐδετέροιc εἰc ω̅c̅ λήγει, διὰ τοῦ τ̅ κλίνεται. cf. Lob. El. II 107.

ad fr. *341. Poetae verba praebui, ut Lobeckius Parall. 86 scribenda proposuit pro ὡc πὸc ἔχει μαινομένοιcι. Quod Lobeckius arbitratur Herodianum in E. Gud. 352, 31 et ap. Theogn. An. Cr. II 135 negare omnino vocabula monosyllaba in ο̅c̅ reperiri, non verum est, epitomatores parum accurate excerpserunt. Herodianus sic fere dixerat: εἰc οc ὄνομα μονοcύλλαβον οὐκ ἔcτιν εὑρεῖν, τὸ γὰρ πόc γέγονε κατὰ ἀποβολὴν τοῦ ῡ. Choeroboscus autem genuinam Herodiani sententiam refert.

ad fr. *341^{2}. Particulam eius adnotamenti, quod Lehrsius ad Mon. p. 118 emendavit et illustravit, hic posui, reliqua satius est ad librum περὶ κλίcεωc ὀνομάτων relegare.

αἱ δὲ παρὰ Τρύφωνι εὐθεῖαι δόρ καὶ δούρ, ἀφ' οὗ δορός καὶ δουρός, κακίζονται.

342.

Theogn. 88, 9: ὄλβος παρὰ τὸ ὅλος καὶ πλεονασμῷ τοῦ β̄ ὄλβος. οὕτως Ἡρωδιανὸς περὶ παθῶν.

*343.

E. M. 204, 28: βόλιτον: βόλβιτον δὲ Ἴωνες οἵ τε ἄλλοι καὶ Ἱππῶναξ οἷον «βολβίτου κασιγνήτην», εἶτα «ναὶ τὸν Ποσειδῶ καὶ βολίτινον θάτερον» (Arist. Ran. 295) κατὰ παραγωγήν· πλεονασμῷ τοῦ β̄.

[342a]

Choer. Dict. 572, 18: ἡ ε̄ῑ δίφθογγος καὶ ἡ ε̄ῡ δίφθογγος ἀποβάλλουσιν ἐπὶ τοῦ Ἀττικοῦ παρακειμένου τὸ προτακτικὸν φωνῆεν τοῦτ' ἔστι τὸ ε̄ καὶ φυλάττει ἡ μὲν ε̄ῑ δίφθογγος τὸ ῑ, ἡ δὲ ε̄ῡ τὸ ῡ οἷον ἀλείφω ἤλειφα καὶ ἀλήλιφα, ἐλεύθω ἤλευθα ἐλήλυθα, ἡ δὲ ο̄ῡ δίφθογγος τὸ ὑποτακτικὸν ἀποβάλλει, τοῦτ' ἔστι τὸ ῡ καὶ φυλάττει τὸ ο̄ οἷον ἀκούω ἤκουα καὶ ἀκήκοα, ἐπειδὴ οἱ Ἀττικοὶ μᾶλλον τὸ ο̄ χαίρουσιν ἤπερ τὸ ε̄ καὶ δῆλον εἴγε ἐν τῷ κέκλεφα καὶ λέλεχα καὶ πέπεμφα τὸ ε̄ εἰς ο̄ τρέπουσι κέκλοφα καὶ λέλοχα καὶ πέπομφα λέγοντες καὶ πάλιν ἐπὶ τοῦ ἀγήοχα τὸ ο̄ ἐπλεόνασε καὶ οὐχὶ τὸ ε̄ καὶ πάλιν ἔστιν ἐδῶ ἤδεκα ἐδήδεκα ἐδήδοκα καὶ ἐνέγκω ἤνεχα καὶ ἐνήνεχα καὶ ἐνήνοχα.

[342b]

Mon. 7, 25: τὸ οὐρανός Ἀλκαῖος ἀποφαίνεται λέγων καὶ ἄνευ τοῦ υ ὀρανός. — καὶ Σαπφώ·

ψαύην δ' οὐ δοκίμωμ' ὀράνω δυσπάχεα.

---

ad fr. *343. Etiam l. 23 simile quid legitur, βόλβιτον τὴν παντοδαπὴν κόπρον. βόλιτον γὰρ ἦν. καὶ πλεονασμῷ τοῦ β̄, κυρίως δὲ ἡ βοῦς. Sed nostrum locum propter testimonia Herodiani doctrinam prudentia proponere malui, omissis iis, quae ab epitomatore adiecta videntur: εἴρηται δὲ οἱονεὶ βοὸς λιτόν, τὸ ἁμάρτημα κοπρῶδες et post πλεονασμῷ τοῦ β̄. ὡς φέρω φέρβω.

---

ad fr. [342a]. Quamquam quae a Choerobosc. de perfecto Attico traduntur, fere omnia ab Herodiano petita sunt, tamen hoc praeceptum in ordinem recipere nolui, quia in fine pauca ut Herodianea fierent, immutavi: Choeroboscus enim ἀγήοχα inserta syllaba γ̄ο̄ et ἐδήδοκα inculcata syllaba δ̄ο̄ nata esse vult, de ἐδήδοκα autem habemus Herodiani placitum in E. M. 316, 25, cum quo Choer. paullo ante p. 572, 13 congruit ἐδῶ ἐδήσω ἤδεκα ἐδήδεκα καὶ κατὰ τροπὴν τοῦ ε̄ εἰς τὸ ο̄ ἐδήδοκα. Quare hoc posui et in ἀγήοχα nihil nisi pleonasmum vocalis ο̄ Herodianum statuisse sumpsi, pariter atque traditur a Moschop. Sched. p. 187: ἦχα καὶ Ἀττικῶς ἄγηχα καὶ πλεονασμῷ τοῦ ο̄ ἀγήοχα. τὴν γὰρ τρίτην συλλαβὴν οἱ Ἀττικοὶ παρακείμενοι συνεσταλμένον θέλουσιν ἔχειν, ἀλήλιφα, ἀκήκοα, ἐλήλυθα. Mirum sane foret, si Herodianus qui solet eam explicationem, quae quam paucissimas passiones requirit, praeoptare, pleonasmum syllabae γο adoptaverit, cuius γ̄ nihil officii habiturum esset nisi ut extemplo evanesceret. cf. Lob. El. I 476 sqq.

*344.

E. M. 63, 13: ἀλιβδύειν: τὸ καταδύειν εἰς θάλασσαν, μεταφορικῶς δὲ τὸ κρύπτειν καὶ ἀφανίζειν· παρὰ τὴν ἅλα καὶ τὸ βδύειν Αἰολικῷ πλεονασμῷ τοῦ β̄ ὡς σίδη σίβδη, ἀλιδύειν ἀλιβδύειν. Λυκόφρων (v. 351) «εἱρκτῆς ἀλιβδύσασα λυγαίας δέμας».

*345.

Choer. 623, 19: ἤμβροτον: ἁμαρτῶ ἥμαρτον καὶ κατὰ ὑπερβιβασμὸν τοῦ ρ̄ καὶ τροπῇ τοῦ ᾱ εἰς ο̄ καὶ πλεονασμῷ τοῦ β̄· τὸ δὲ β̄ ἐπλεόνασεν, ἐπειδὴ τὸ μ̄ πρὸ τοῦ ρ̄ οὔτε ἐν συλλήψει δύναται εἶναι οὔτ' ἐν διαστάσει.

*346.

E. M. 578, 32: μέμβλωκε: «τῷ δ' αὖτε φιλομμειδὴς Ἀφροδίτη Αἰεὶ παρμέμβλωκε» Ἰλιάδος Δ (11) ἀντὶ τοῦ παραμένει, πάρεστιν· ἀπὸ τοῦ μολῶ μολήσω μεμόληκα καὶ κατὰ συγκοπὴν μέμληκα καὶ διὰ τὸ ἀσύντακτον πλεονασμῷ τοῦ β̄ γίνεται μέμβληκα καὶ τροπῇ τοῦ η̄ εἰς ω μέμβλωκα. ἢ ἀπὸ τοῦ μέλω μεμέληκα καὶ μεμέλωκα καὶ κατὰ συγκοπὴν καὶ πλεονασμῷ τοῦ β̄ μέμβλωκα.

347.

E. Or. 156, 20, coll. Ep. Cr. I 419, 2: ὑγρόν: οἱ μὲν παρὰ τὸ ὑδρός κατὰ μετάθεσιν ἀπὸ τοῦ ὕδος ὡς πηγή, πηδή γὰρ ἦν, καὶ γάμος ἀπὸ τοῦ δάμος ὁ δαμαστικὸς τῶν θηλειῶν, ὅθεν τὰς παρθένους ἀδαμάστους λέγουσιν «παρθένος ἀδμής» (ζ 209)· ὁ δὲ Ἡρωδιανὸς παρὰ τὸν ὕσω μέλλοντά φησιν ὑρός καὶ πλεονασμῷ τοῦ γ̄ ὑγρός καὶ ὑγρόν ὡς ἐν τῷ ἄγνοια καὶ ἀγρός καὶ ἀνάγκη.

*348.

Ep. Cr. I 160: ἐρίγδουπος: πλεονάζει τὸ γ ὡς ἐν τῷ ἄγνοια, ἀνάγκη καὶ σύριγξ καὶ σάλπιγξ.

*349.

Ep. Cr. I 167, 6: ἔγχος: ὄνομα ῥηματικὸν παρὰ τὸ ἔχω ἔχος καὶ ἔγχος πλεονασμῷ τοῦ γ· ἠρέμα οὖν παρετυμολογεῖ Ὅμηρος παρατιθεὶς τὸ ῥῆμα «ἔγχος ἔχ' ἑνδεκάπηχυ» (Θ 494)· πλεονάζει δὲ τὸ γ ὡς ἐν τῷ λόγχη, παρὰ τὸ λόχος λόχη καὶ λόγχη ἢ εἰς λόχον ἐπιτήδειος· καὶ τὸ

---

ad fr. *344. cf. E. Or. 143, 7, E. M. 712, 10 σίβδαι αἱ ῥοαί πλεονασμῷ τοῦ β̄. Lobeck. Aglaoph. 1034 not. 44. Fortasse etiam ab Herod. profecta est notatio E. Or. 130, 32 ὄμβρος· παρὰ τὸ ὁμοῦ ῥεῖν ὁμόροος ὅμορος, συγκοπὴ καὶ πλεονασμὸς ὄμβρος. Nam inter alias Herodianeas legitur.

ad fr. *345. cf. infra fr. 690 ἐμβραμένη i. q. εἱμαρμένη.

ad fr. *346. Eustath. in loco a Lobeckio ad Buttm. II p. 243 not. allato: τὸ μεμέληκε πλεονασμῷ τοῦ β̄ καὶ τροπῇ τοῦ η̄ p. 439, 23. Lob. Parall. p. 95.

ad fr. 347. Ex verbis E. Or., quae Herodiani nomen praecedunt ὑδρόν τι ὂν apparet ab Herodiano alteram sententiam prolatam fuisse eodem modo, quo fit in Epim., et tum ipsius oppositam; etiam verba ὡς ἐν τῷ ἄγνοια, quod corrupto ἀγνός scriptum est, ex Epim. addidi.

ad fr. *349. Hoc docta explanandi ratione Herodianeum esse evincitur, λίαν etiam in λίχνος syncopatum putavit Herod. ap. Arcad. 62, 8; de diplasiasmo et

γλίχεcθαι παρὰ τὸ λίαν ἔχεcθαι λίχεcθαι καὶ γλίχεcθαι· καὶ τὸ γλαμᾶc παρὰ Ἀττικοῖc, λαμᾶc γάρ· καὶ παρὰ τὸ κερῶ, ἀφ' οὗ καὶ τὸ «κερόωντό τε οἶνον» (Od. θ 470) καὶ cυγκοπῇ κρῶ, διπλαcιαcμῷ κικρῶ, πλεοναcμῷ τοῦ γ̄ κιγκρῶ, ἀφ' οὗ παρὰ τῷ Cώφρονι (Ahrens fr. 2) «ἐγκίκρα ὡc εἴω» καὶ τὸ βράχω βρόχοc βρόγχοc, δίυγροc γὰρ ὁ τόποc· παρὰ τὸ χῶ τὸ cημαῖνον τὸ χωρῶ χαλῶ, οἱ γὰρ χαιρόμενοι ἐν ἀνέcει, διπλαcιαcμῷ καγχαλῶ πλεοναcμῷ τοῦ γ̄· καὶ τὸ ἔλεγχοc ὁ ἔλην ἐν ἑαυτῷ ἔχων καὶ λαμπρύναc τὸ ψεῦδοc· καὶ τὸ ἀγρόc, ἀρῶ γὰρ τὸ ἀροτριῶ, ἀρόc καὶ ἀγρόc· καὶ τὸ ὀργή, παρὰ γὰρ τὸ ὄρω ἐcτὶ τὸ cημαῖνον τὸ ὁρμῶ, παρ' ὃ τὸ ὀρίνω· «τοῦ δ' ὠρίνετο θυμόc» (I 595) «ὄρινε δὲ κῆρ Ὀδυcῆοc» (ρ 216), ὀρὴ καὶ ὀργή.

350.

E. M. 167, 28: ἀτρύγετοc: παρὰ τὸ τρύειν πλεοναcμῷ· ἄτρυτοc γὰρ ἀτρύετοc καὶ πλεοναcμῷ τοῦ γ ἀτρύγετοc. οὕτωc Ἡρωδιανόc.

*351.

E. M. 223, 13, St. B. 206, 17: γέγειοc: ὁ ἀρχαῖοc· παρ' Ἑκαταίῳ καὶ Καλλιμάχῳ «ἢ ῥ' ὅτι τὼc ὁ γέγειοc ἔχει λόγοc» »ἦχι γέγεια Ἄνθεα μήκωνόc τε» παρὰ τὸ γέα τὸ διὰ τοῦ ε̄ γίνεται κτητικῷ τύπῳ γέϊοc καὶ διπλαcιαcμῷ καὶ cυναιρέcει γέγειοc· ἢ παρὰ τὸ γέα γέειοc καὶ πλεοναcμῷ τοῦ γ̄ γέγειοc.

*352.

E. M. 771, 35: τυγχάνω ἀπὸ τοῦ τεύχω ἐcτὶ παραγωγὸν καὶ οὐ πλεοναcμόc, ὡc φεύγω φυγγάνω, ἐρεύγω ἐρυγγάνω.

*353.

Ep. Cr. I 71, 1: ἀνδρόc: τὸ πάθοc ἐνταῦθα πλεοναcμόc· τῶν δὲ παθῶν τὰ μὲν ἀναγκαῖα, τὰ δ' οὔ· τὰ δὲ οὐκ ἀναγκαῖα οἷον κατ' ἐμοῦ κατ' ἐμεῖο, ὑπέρ ὑπείρ, κατά καταί. τὰ δὲ ἀναγκαῖα διὰ τὴν cύνταξιν ὡc ἐνταῦθα· οὐδέποτε γὰρ ἔcτιν εὑρεῖν πρὸ τοῦ ρ̄ cύμφωνον ἄλλο ἐν διαcτάcει πλὴν αὐτὸ πάλιν τὸ ρ̄· ἀναγκαῖοc οὖν ἐνταῦθα ὁ

---

pleonasmo in κιγκρῶ cf. fr. 39; verbum χῶ etiam a St. B. 699, 7 memoratur. Caeterum praeter leviora menda sustuli χαιρῶ scribens χωρῶ et λαμπρίαc τοῦ ψεύδουc exhibens λαμπρύναc τὸ ψεῦδοc; eadem originatio verbis tantum mutatis exstat etiam in E. Or. 54, 27, E. M. 327, 15; post ὁρμῶ inserui verba παρ' ὃ τὸ ὀρίνω. Pariter in Ep. Cr. II 332, 12 ἀγρόc: παρὰ τὸ ἀρῶ ἀρόcω ἀρόc καὶ ἀγρόc.

ad fr. *351. E. M. aut ex pleniore Stephani exemplari, apud quem haec leguntur γῆ ἀπὸ τοῦ γέα κραθέν. ἀφ' οὗ τὸ γέγειοc κτητικὸν πλεοναcμῷ τοῦ γ̄, aut ex ipso Herodiano hausit. E. Magni locum emendavit Bentleius ad Callim. fr. 103, 1. Eam tantum, quam etiam St. B. habet, explicationem praebet etiam Choerob. Orth. 189: γέγειοc cημαίνει τὸ ἀρχαῖον διὰ τῆc ει διφθόγγου καὶ κατὰ πλεοναcμὸν τοῦ γ̄ γέγειοc. cf. Lob. El. I 168.

ad fr. *353. Mon. 34, 7. οὐδεμία γενικὴ εἰc ῥοc λήγουcα πρὸ τοῦ ρ ἔχει τὸ δ̄, ἀλλὰ μόνον τὸ ἀνδρόc. αἴτιον δὲ τὸ πάθοc. ἐν τοῖc περὶ καθολικωτέραc προcῳδίαc εἴρηται cf. Arcad. 128, 3, Choer. Dict. 318, 24 (Pros. Cath. 406, 17). Similis locus est Ep. Cr. I 46, 3 ἡ γενικὴ ἀνέροc καὶ ἐν cυγκοπῇ καὶ πλεοναcμῷ ἀναγκαίῳ ἀνδρόc. οὐ γὰρ δύναται cυcτῆναι ν̄ καὶ ρ ἐν διαcτάcει εἰ μὴ ἐν δυcὶ λέξεcιν ὡc ἐν τῷ «ἄλλοι μέν ῥα» (B 1). (Sic pro εἰ μὴ ἐν διαcτάcει scribendum esse apertum est). ἐπειcόδῳ τοῦ δ ὕδωρ. ἐχθοδοπῆcαι. Quo in loco quum ὕδωρ afferatur, quod sic ab Herodiano explicatum esse ex E. Or. scimus, etiam ἐχθοδοπῆcαι ex eodem

πλεοναςμός τοῦ δ̄ καὶ οὐκ ἄλλου ςυμφώνου, ἐπειδὴ τῷ ν̄ ἐν διαςτάςει ςύμφωνόν τι ἀπὸ τῆς τρίτης ςυζυγίας ἕπεςθαι φιλεῖ οἷον ἄντρον ἄνθος ἀνδάνω.

354.

E. Or. 156, 18, Ep. Cr. I 57, 14: ὕδωρ: παρὰ τὸ ὕω τὸ βρέχω ὗωρ καὶ πλεοναςμῷ τοῦ δ̄ ὕδωρ. οὕτως Ἡρωδιανός. καὶ «ἐχθοδοπῆςαι» (A 518)· ἦν γὰρ ἐχθοοπῆςαι οἱονεὶ ἐχθρῶς τοὺς ὦπας προςενέγκαςθαι· ὁ δὲ πλεοναςμὸς οὗτος κατὰ μεταςχηματιςμόν, καὶ κατὰ ποιητικὴν δὲ ἄδειαν πλεονάζει τὸ δ ὡς ἐν τῷ «εἰωθότες ἔδμεναι ἄδδην» (Є 203) καὶ «ἔδδειςεν δ' ὁ γέρων» (A 33) καὶ κατ' ἀναγκαίαν ςύνταξιν ἀνδρός ὡς χονδρός.

355.

E. M. 66, 35: ἀλκυδών: ἀλκυών πλεοναςμῷ τοῦ δ̄ καὶ ἔςτι μονῆρες· οὐδὲν γὰρ εἰς ων καθαρὸν λῆγον πλεοναςμῷ τοῦ δ̄, ἀλλὰ μόνον τοῦτο. Ἡρωδιανός.

*356.

Ep. Cr. I 378 25: πολυδίψιον (Δ 171): τὸ δ̄ ἐπλεόναςεν ἐνταῦθα, ὅπερ ἀγνοήςαντές τινες ἱςτορίαν ἀναπλάττουςιν, ὅτι Ἴναχος οὐκ ἔςχεν ὕδωρ καὶ ἐξηράνθηςαν αἱ πηγαί· ἀλλὰ τὸ πολυβλαβὲς μᾶλλον δηλοῖ· καὶ ἔςτι πλεοναςμὸς τοῦ δ̄· τοιοῦτο δ' ὁρᾶται καὶ ἐπὶ τοῦ Ἑκηβελέταο· ἀγνοοῦντες γὰρ πλεοναςμὸν εἶναι τῆς τη̄ ςυλλαβῆς ἀναπλάςςουςι τὰ περὶ τὸν δράκοντα, ὃν ἑκατὸν ἰοῖς ἐπάταξεν· οὐκ ἔςτι δὲ οὕτως, ἀλλ' ὃν λέγουςιν Ἑκάεργον Ἑκηβόλον, ἐν πλεοναςμῷ εἶπεν Ἑκατηβόλον ὡς ἔτυμος ἐτήτυμος. ὁμοίως δὲ κἀκεῖνο ἐπλάνηςε «θάνατος δέ τοι ἐξ ἁλὸς αὐτῷ» (λ 134)· ἐπεὶ γὰρ ἡ ἐξ καὶ τὴν ἀπό τινος ςχέςιν ςημαίνει, ἐκ Κρήτης, ἐκ Ῥόδου, οὕτω καὶ τὸ ἐξ ἁλός παραλαμβάνοντες ἀνέπλαςαν τὸ κέντρον καὶ τὴν τρυγόνα. Δημήτριος δὲ ἐπὶ τοῦ πολυδίψιον τὸν δέ ςύνδεςμον ἐδέξατο καὶ κατὰ ὑπέρθεςιν ἐλάμβανε, ὅπερ ςπάνιόν ἐςτι, «καί κεν ἐλέγχιςτος πολυδίψιον Ἄργος ἱκοίμην», ἵν' ᾖ Ἄργος δέ.

---

fonte fluxisse putamus et de hac voce adnotamentum, cum quo mire congruit Buttm. in Lexil. I p. 124, ex Ep. p. 57 Orionis praecepto adiunximus; dubitavi tamen addere, quod ὕδωρ et ἐχθοδοπῆςαι praemissum est addere: ἄχερδος παρὰ τὸ χείρ χερός· ἔςτι δέ φυτὸν τραχύ, ὃ μὴ δύναται χερὶ δρεφθῆναι, quamquam etiam hoc eiusdem originis fortasse est, etiam in E. Orion. p. 20, 6 ἄχερδος βοτάνη ἣν οὐκ ἔςτι τῇ χειρὶ ἑλεῖν. ἀκανθώδης γάρ inter Philoxeni etymologias profertur, quem Herodianus ut in multis aliis secutus esse potest. Choer. Epim. in Psalm. 8, 17 ἄχερδος ob pleonasmum literae δ̄ affertur, qui locus congruit fere cum fr. 353 et 354.

ad fr. 354. Ep. locum emendavi ope E. M. 405, 50.

ad fr. *356. In E. M. 320, 2 παρὰ τὸ ἑκάς καὶ τὸ βέλος γίνεται ἑκαβελέτης καὶ πλεοναςμῷ τῆς τη̄ ςυλλαβῆς ἑκατηβελέτης ὡς ἔτυμος ἐτήτυμος et ἑκηβελέτης καὶ πλεοναςμῷ τῆς ᾱτ̄ ἑκατηβελέτης duae explicationes propositae sunt; si hic ἑκατηβόλον ex ἑκηβόλον ortum dicitur, id sic interpretandum est, ut tacite ἑκηβόλον ex ἑκαβόλον natum esse significetur. Pro κἀκείνῳ ἐπλεόναςε scripsi, quod sententia flagitat, κἀκεῖνο ἐπλάνηςε; Herodian. in Od. Pr. λ 134 ἐξ non per ἀπό, sed per ἔξω explicavit. De coniunctione δέ cf. Lehrs qu. ep. p. 41 et de epitheto ipso Nitzsch Beiträge zur Geschichte der epischen Poesie p. 440 not. 167.

*357.

Ep. Cr. I 79, 9, E. M. 70, 12, E. Gud. 38, 51: ἁλοςύδνη: καὶ ἐπ' αὐτῆς τῆς θαλάςςης «νέποδες καλῆς ἁλοςύδνης» (Od. δ 404)· λέγεται δὲ ἐπιθετικῶς καὶ ἐπὶ τῶν νηρηΐδων καὶ τῶν φωκῶν παρὰ τὴν ἁλός γενικὴν καὶ τὸ δύνω μεταθέςει ἁλοςύδνη ἢ κατὰ τῆς ἁλὸς δύνουςα «μητρὸς δ' ἐκ Θέτιδος, καλλιπλοκάμου ἁλοςύδνης» (Υ 207). ἐπὶ δὲ τῆς θαλάςςης ὡς γηθόςυνος γηθοςύνη, ἁλόςυνος ἁλοςύνη καὶ πλεοναςμῷ τοῦ δ ἁλοςύδνη.

*358.

E. M. 723, 5: ςπένδω: παρὰ τὸ ςπείω ςπένδω παραγωγὴ καὶ οὐ πλεοναςμὸς ὡς κυλίω κυλίνδω, ἀμείρω ἀμέρδω.

*359.

St. B. 685, 23: Χάλυβες: λέγεται καὶ μετὰ τοῦ δ Χαλυβδικός τὸ κτητικόν. Λυκόφρων (v. 1109) «Χαλυβδικῷ κνώδοντι».

*360.

St. B. 120, 9: Ἀρκαδία: ἐκάλουν τοὺς Ἀρκάδας καὶ Ἀρκαδιώνδας τοῦ δ πλεονάςαντος.

361.

Zon. 1122 coll. E. M. 477, 22: ἰςθμός: παρὰ τὸ ἴω ἴςω ἰςμός καὶ πλεοναςμῷ τοῦ θ ἢ παρὰ τὸ ἵημι. οὕτως Ἡρωδιανός.

*362.

E. M. 683, 15: πορθμός: ὥςπερ ἀπὸ τοῦ κείρω γίνεται κορμός, οὕτω καὶ ἀπὸ τοῦ περῶ γίνεται πορμός καὶ πλεοναςμῷ τοῦ θ πορθμός ἡ μεταξὺ δύο ἠπείρων θάλαςςα.

*363.

E. M. 141, 26: ἄρω ἦρμαι ἁρμός ὡς κείρω κορμός καὶ πλεομαςμῷ τοῦ θ ἀρθμός ὡς περῶ πορμός καὶ πορθμός.

*364.

Ep. Cr. I 26, 27, E. M. 153, 3: ἆςθμα: ὤφειλεν εἶναι παρὰ τὸ ἄω ἆςμα ὡς ξύω ξύςμα, πλεοναςμῷ τοῦ θ ἆςθμα ὡς παρὰ τὸ χῶ τὸ χωρῶ χών καὶ κατ' ἐπένθεςιν τοῦ θ χθών ἡ πάντα χωροῦςα. τὸ

[360ª]

Eustath. 1746, E. Gud. 330, 59: ἀρέςκεται (ὁ Ἡρωδιανὸς ἐν τῇ καθόλου) ὥςπερ ἑρπύω ἑρπύζω καὶ μύω μύζω, τρύω τρύζω, οὕτως εἶναι καὶ κνύω κνύζω, ἐξ οὗ καὶ τὸ κνυζῶ ὁμοίως τῷ δίζω διζῶ.

ad fr. *360. cf. Lob. ad Aiac. p. 489.
ad fr. 361. cf. Schol. ad Od. ς 300.
ad fr. *364. Ad χθών inserui ex E. Gud. 565, 52 (Ep. Cr. I 438, 10, An. Par. III 328, 24, E. M. 809, 11) ἡ πάντα χωροῦςα, sic enim Meinekius pro πάντας emendavit ad St. B. 699, 7, ubi χώρα ἡ μερικὴ γῆ παρὰ τὸ χῶ ῥῆμα, ἀφ' οὗ καὶ χών καὶ χθών ἡ χωρητικὴ γῆ. Eadem vocis φθέγγεςθαι originatio occurrit in E. M. 792, 35 in loco, ubi Herodianus diserte nominatur.

χθαμαλή παρὰ τὸ χαμαὶ χαμαλή καὶ τὸ φθέγγεϲθαι ὁμοίωϲ παρὰ τὸ φῶ τὸ εἰϲ φῶϲ ἄγειν τὰ τοῦ νοῦ. οὕτω δὲ ἔχειν φαμὲν καὶ τὸν πορθμόν, παρὰ γὰρ τὸν πορμόν.

*365.

E. M. 768, 33, Gud. 535, 40: «τριχθά τε καὶ τετραχθὰ διέϲχιϲεν» (Od. ι 71) ἐπίρρημα ποϲότητοϲ παρήχθη ἐκ τοῦ τρίχα βαρυτόνου, ϲημαίνει δὲ τὸ τριχῶϲ. τὰ εἰϲ χα ἐπιρρήματα ἐπὶ ποϲότητοϲ λαμβανόμενα βαρύνεται, εἰ δὲ εἴη ὑπὲρ δύο ϲυλλαβὰϲ προπαροξύνεται οἷον δίχα, διάνδιχα, τρίχα καὶ τέτραχα καὶ πλεοναϲμῷ τοῦ θ τετραχθά ὀξυτόνωϲ· τὰ εἰϲ χα λήγοντα ἐπιρρήματα ἔχοντα τὸ χ πρὸ τοῦ θ ὀξύνεται.

366.

Zon. 611 collato E. M. 312, 11 et E. Gud. 158, 36: ἐγρηγορῶ: ἀπὸ τοῦ ἐγείρω ἤγερκα, ὁ μέϲοϲ παρακείμενοϲ ἤγερα καὶ Ἀττικῶϲ ἐγήγερα καὶ τροπῇ τοῦ ε εἰϲ ο καὶ πλεοναϲμῷ τοῦ ρ ἐγρήγορα καὶ ἐγρήγορθα προϲθέϲει τοῦ θ· ἀπὸ τοῦ ἐγρήγορα γίνεται ἐγρηγορῶ καὶ ἀπὸ τοῦ ἐγείρω κατὰ ϲυγκοπὴν ἔγρω. Ἡρωδιανὸϲ περὶ παθῶν.

367.

E. Or. 111, 16: ὅρκοϲ: παρὰ τὸ ἀρκεῖν τὸ βοηθεῖν· ὥϲπερ γὰρ βοηθήματι αὐτῷ ἐχρῶντο οἱ ἀδικούμενοι κατὰ μετάθεϲιν τοῦ α εἰϲ ο ὡϲ ἐν τῷ ὀκριόειϲ παρὰ τὰϲ ἄκραϲ καὶ ἐξοχὰϲ καὶ Ὄθρυϲ τὸ ὄροϲ ὡϲ Ἄθρυϲ, ὅθεν ἐϲτὶ μακρότερον ἀθρεῖν· οἱ δὲ παρὰ τὸ εἴργω· ἐπιϲχετικὸϲ γάρ ἐϲτι τῶν ὑπερβαίνειν βουλομένων ὥϲτε εἶναι μετάθεϲιν τοῦ γ εἰϲ τὸ κ ὡϲ παρὰ τὸ γῆρυϲ κηρύϲϲω. ἐγώ, φηϲὶν Ἡρωδιανόϲ, ἡγοῦμαι πλεοναϲμὸν εἶναι τοῦ κ· ὅροϲ γάρ τίϲ ἐϲτιν· οἱ γὰρ ὀμνύντεϲ ὁρίζονται καὶ ὁμολογοῦϲιν.

368.

St. B. 485, 4: οἶκοϲ: Ἡρωδιανὸϲ μὲν παρὰ τὸ εἴκω, ἐν ᾧ εἴκομεν. δύναται δὲ εἶναι τὸ ἴδιον ἐνδιαίτημα παρὰ τὸ οἷον τὸ μόνον ἐῶ μονούμενοϲ κατὰ πλεοναϲμὸν τοῦ κ ὡϲ ὅροϲ ὅρκοϲ.

369.

E. M. 634, 11: ὀρϲολόποϲ ὀρϲοοπόϲ, ἵνα λάβῃ τὸ λ. περὶ παθῶν.

370.

Eustath. ad Dionys. v. 858: Τελμιϲϲόϲ ἡ πόλιϲ πλεοναϲμὸν

---

ad fr. *365. Bis scripsi pro ἐπὶ μεϲότητοϲ ex Io. Alex. 33, 11 ἐπὶ ποϲότητοϲ. Caeterum Herodianus ut idem Io. Al. 39, 5 adverbia μεϲότητοϲ nominavit adverbia a genotivo plurali ducta: τὰ καλούμενα τῆϲ μεϲότητοϲ ἀπὸ γενικῶν πληθυντικῶν.

ad fr. 366. Accesserunt ex Etymologicis ἐγρήγορθα et ἐγρηγορῶ, quod vel emmste ap. Zonar. requiritur. Similia habet etiam Choerob. 594, 33.

ad fr. 367. Ex dicendi forma ἐγὼ ἡγοῦμαι patet etiam quae praecodunt ab ipso Herodiano profecta esse.

ad fr. 368. Etiam alteram ab οἷοϲ originationem Herodiani esse non dubium e t. In E. Or. 118, 1 originatio ab εἴκω Herodiani orthographiae assignatur.

ἔπαθεν ἐπεντεθέντος τοῦ λ̄· ἐκλήθη γὰρ ἀπὸ Τεμισσοῦ τοῦ Ἀπόλλωνος, ὥς φησιν Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν.

371.

E. M. 66, 16: Ἀλκμήνην: παρὰ τὴν ἀλκὴν Ἀλκήνη καὶ πλεονασμῷ τοῦ μ̄ Ἀλκμήνη ὡς Ἄλκμων Ἀλκμάων ἢ παρὰ τὴν ἀκμὴν Ἀκμήνη καὶ Ἀλκμήνη· οὐδὲν γὰρ ἔχομεν εἰπεῖν ἐπὶ τούτου πλέον· κύριον γάρ ἐστι τὸ ὑποκείμενον. οὐ δεῖ γὰρ ἐπὶ τῶν κυρίων ἐτυμολογίας λαμβάνειν. οὕτως Ἡρωδιανὸς περὶ παθῶν.

*372.

St. B. 562, 9: Σηλυμβρία πόλις Θρᾴκης, κέκληται δὲ ἀπὸ Σήλυος. βρία γὰρ κατὰ Θρᾷκας ἡ πόλις ὡς Πολτυμβρία ἡ Πόλτυος πόλις.

373.

E. M. 236, 4: γναθμός: ὁ Ἡρωδιανὸς γνάθος καὶ πλεονασμῷ τοῦ μ̄ γναθμός.

[372ᵃ]

Ep. Cr. I 431, 9: φθισίμβροτος: παρὰ τὸν μέλλοντα φθίσω· οἱ δὲ μέλλοντες διὰ τοῦ ῑ τὴν σύνθεσιν λαμβάνουσιν, ὅθεν τὸ φθισίμβροτος, τερψίμβροτος, Πεισίστρατος, ὅθεν καὶ ἑλκεσίπεπλος καὶ ἀλφεσίβοιαι· οὐκ ἐχυρὸν δὲ τοῦτο λέγειν ἐπὶ πάντων· τὸ γὰρ Περσεφόνη ἔχει τὸ ε̄, ἀλλὰ δύναται πλεονασμὸς εἶναι τοῦ σ̄· καὶ τὸ ὀρσοθύρη ἔχει τὸ ō, ἀλλὰ δύναται παρὰ τὸν ἐνεστῶτα τὸν ὄρσω καὶ τὸ περσέπολις δύναται Δώριον εἶναι παρὰ ἐνεστῶτα περθέπολις. καθόλου δὲ τὰ παρὰ τὸ βροτός προσλαμβάνει τὸ μ̄ ἐν τῇ συνθέσει, τερψίμβροτος, Στησίμβροτος· ἀφείλετο γὰρ ἐν τῷ βροτός τὸ μ̄. παρὰ γὰρ τὸ μείρω μορτός, ὑπερθέσει μροτός, ἐπενθέσει τοῦ β̄ μβροτός. διὰ δὲ τὸ μὴ δύνασθαι συστῆναι μβ διὰ τὴν ἀσυνταξίαν, ἐξέστη τὸ μ̄. ὅτε οὖν συντίθεται, ἀπεδόθη. δύναται γὰρ προηγεῖσθαι τὸ μ̄ τοῦ β̄ ἐν διαστάσει, οὐκέτι δὲ κατὰ σύλληψιν· ἓν παραιτούμεθα τὸ «ἀσπίδος ἀμφιβρότης» (B 389) διὰ τὴν κακοφωνίαν.

---

ad fr. *372. cf. St. B. 446, 18 Μελσημβρία.

---

ad fr. [372ᵃ]. Quamquam praeceptum colorem Herodianeum prae se fert (οὐκ ἐχυρόν, ἐξέστη, ἀπεδόθη), tamen quia originatio vocis βροτός differt ab ea, quae ἐν Ἐπιμερισμοῖς Ἡρωδιανοῦ fuisse traditur: παρὰ τό μείρω μορός καὶ πλεονασμῷ τοῦ τ̄ μορτός καὶ ὑπερθέσει τοῦ ρ̄ μροτός καὶ ἐπεὶ τὸ μ̄ πρὸ τοῦ ρ̄ οὔτε κατὰ σύλληψιν οὔτε κατὰ διάστασιν ἔστιν εὑρεῖν, τέτραπται τό β̄ καὶ γέγονε βροτός — in ordinem recipere dubitavi. Caeterum propter sententiam inserui post Περσεφόνη verba ἔχει τὸ ε̄, ἀλλὰ et post ὀρσοθύρη: ἔχει τό ō ἀλλά, nam dici debuit inveniri quaedam a futuro derivata, quae non ῑ habeant, sed etiam ε̄ et ō, sed haec etiam aliter explicari posse neque necessario a futuro repetenda esse, ante ἐνεστῶτα περθέπολις adieci παρά et pro τοῦ β̄· ὅπερ διὰ τὸ μὴ δύνασθαι β̄μ̄ διὰ τὴν ἀσυνταξίαν exhibui: τοῦ β̄ μβροτός· διὰ δὲ τὸ μὴ δύνασθαι συστῆναι μ̄β̄ κτλ.

*374.

Ep. Hom. 202, 5: θυμός: ὥσπερ ἀπὸ τοῦ ὄρω πλεονασμῷ τοῦ μ̄ ὁρμὴ καὶ ἀπὸ τοῦ ὄδωδα ὀδὴ καὶ ὀδμὴ καὶ ὥσπερ ἀπὸ τοῦ γνάθος γναθμός καὶ ὥσπερ ἀπὸ τοῦ ἔχω ὀχός καὶ ὀχλός καὶ μοχλός, οὕτως ἀπὸ τοῦ θύω ἐπεισόδῳ τοῦ μ̄ θυμός ὁ ἀεὶ ἐν κινήσει τυγχάνων.

*375.

E. Or. 91, 9, E. M. 570, 28: λόχμη θάμνος, ὕλη, σύνδενδρος τόπος. παρὰ τὸ λοχᾶν ἐν αὐτῷ τοῦτ' ἔστιν ἐνεδρεύειν ἐν τοῖς τοιούτοις τόποις· λοχῶ οὖν λόχη καὶ πλεονασμῷ λόχμη· ὁ δὲ Φιλόξενος παρὰ τὸ λάζω ῥῆμα εὐληπτοτέρων ὄντων τῶν δασέων. ὁ μέλλων λάξω, ὄνομα λαγμός ὡς παρὰ τὸ κράζω κράξω κραγμός, τοῦ δὲ γ̄ εἰς χ̄ μεταπεσόντος λαχμός, τούτου τὸ θηλυκὸν λόχμη.

*376.

E. Or. 149, 21, E. M. 727, 54: στιγμή: παρὰ τὸ στίζω στιγμή καὶ πλεονασμῷ τοῦ μ̄· ὡς δὲ φοιτῶ φοιτίζω, οὕτω στῶ στίζω τὸ τὸν διακεχυμένον καὶ πεπλανημένον λόγον στῆσαι· ὁ δὲ Φιλόξενος στίζειν τὸ τῆς ἐν τῇ ἀναγνώσει φορᾶς στάσιν ποιεῖν. στίζω στίξω στιγμή.

377.

Ep. Cr. I 83, 6 et 41, 1: ἀνία ἡ λύπη οἱονεὶ ἡ ἄνευ τοῦ ἰαίνειν οὖσα ἡ μὴ ἰαίνουσα· Ἡρωδιανὸς δὲ ἡ ἄνευ ἰάσεως. παρὰ τὸ ἰῶ τὸ θεραπεύω καὶ ὑγιάζω γίνεται ἴα καὶ κατὰ στέρησιν καὶ πλεονασμὸν τοῦ ν̄ ἀνία· ἐστέρηται γὰρ τῆς ἰάσεως· καὶ πολλάκις πέφυκε πλεονάζειν τὸ ν̄ ἐν ταῖς στερήσεσι οἷον ἀαιδής ἀναιδής, ἀαίμων ἀναίμων.

378.

Ep. Cr. I 337, 13, E. Or. 127, 14, E. M. 660, 10: πένθος: ὁ Ἡρωδιανὸς παρὰ τὸ πάθος φησὶ γεγενῆσθαι πλεονασμῷ τοῦ ν̄ καὶ τροπῇ τοῦ ᾱ εἰς ε̄ πένθος, ὡς βάθος βένθος.

379.

Eustath. 1687, 12: Ἡρωδιανὸς ἐκ τοῦ λήχω τὸ λαγχάνω παράγων τὸ λέλογχα τροπῇ τοῦ η̄ εἰς ο̄ ὁμοίως τῷ πήθω πέποθα λέγει καὶ πλεονάζειν ἐν αὐτοῖς τὸ ν̄ ὡς καὶ ἐν τῷ κέχανδα.

[379ᵃ]

E. M. 146, 3: Ἀρναῖος ὄνομα κύριον — παρὰ τὴν ἀράν ἀραῖος

ad fr. 377. Locum Epim. p. 41 (E. M. 109, 57, E. Gud. 58, 18) cum altero coniunxi, quia in eo Herodiani sententia accuratius exposita est. In E. Or. 18, 6 sic traditur: ἀνία, ἀνιατός τις οὖσα, ἡ δυσίατος· τὸ γὰρ αν̄ οὐ μόνον στέρησιν δηλοῖ, ἀλλὰ καὶ τὸ δυ̅ς̅. Fortasse ad Herodianum referendum est E. Orion. 18, 12: ἀμείνων παρὰ τὸ μείων ὁ μὴ ἐλάσσων τινός. ἔστι δὲ πλεονασμῷ τοῦ ν̄ οἷον ἀμείων τις ὤν, habet hoc etiam Choer. Orth. 176, 6 altera etiam originatione proposita: ἡ παρὰ τὸ μένω γέγονεν ἀμένων καὶ πλεονασμῷ τοῦ ῑ ἀμείνων ὁ μὴ μένων, ἀλλὰ ὑπὸ πάντων· περιάρπαστος γενόμενος δι' ἐξοχήν (E. M. 82, 40 ὑπὸ πάντων αἱρόμενος), quae non Herodianea videtur.

380.

E. M. 194, 32: βέλεμνα: βέλη· ἔςτι δὲ παρὰ τὸ ῥῆμα βέλλω βέλος βέλεμος ὡς ἔχω Ἔχεμος Τήλεμος. πλεοναςμῷ τοῦ ν̄ βέλεμνος βέλεμνον. Ἡρωδιανὸς περὶ παθῶν.

381.

E. M. 181, 44: «ἀχνάςδημι κάκως» παρὰ Ἀλκαίῳ (fr. 125 Bergk): ἔςτιν ἄχω παραγωγὸν ἀχάζω καὶ τροπῇ τοῦ ζ εἰς c̄ καὶ δ πλεοναςμῷ τοῦ ν̄ ἀχνάςδημι. οὕτως Ἡρωδιανὸς περὶ παθῶν.

382.

E. M. 673, 27: πιτνῶ: ἀπὸ τοῦ πέτω πιτνῶ ὡς ὀρέγω ὀριγνῶ. ὡς γὰρ λέγει περὶ παθῶν Ἡρωδιανός, οὐ δύναται εἶναι ἀπὸ τοῦ πίπτω κατὰ πλεοναςμὸν τοῦ ν̄, ἐπειδὴ μετὰ δύο ἀντιςτοίχων μόνον τὸ ρ τίθεται οἷον ἐχθρός.

383.

Eustath. 562, 43: τὸ δαμνᾶν ἔχει πλεοναςμὸν τοῦ ν̄ Δώριον, ὁποῖος καθ' Ἡρωδιανὸν καὶ ἐν τῷ ἐλαύω ἐλαύνω, δύω δύνω καὶ τοῖς ὁμοίοις.

*384.

E. M. 10, 10: ἀγινῶ: ἐκ τοῦ ἄγω τὸ φέρω γίνεται πλεοναςμῷ τοῦ ν· πέφυκε γὰρ πλεονάζειν τὸ ν̄ ἐν ῥήμαςι· καὶ εἰ μὲν εὑρεθῇ φωνῆεν ἀλλεπάλληλον, φυλάττεται ἡ βαρεῖα τάςις οἷον θύω θύνω, δύω δύνω· ἐπὰν δὲ μὴ εὑρεθῇ ἀλλεπάλληλον φωνῆεν, ἀλλὰ ςύμφωνον πρὸ τοῦ ν̄, περιςπᾶται οἷον ἵκω ἱκνῶ, οἴχω οἰχνῶ· οὕτως ἀγνῶ καὶ ἀγινῶ καὶ πλεοναςμῷ τοῦ ν ὁ εὐκταῖος τῇ μητρὶ γινόμενος. οὕτως Ἡρωδιανὸς ἐν τῇ ἀνωμάλῳ προςῳδίᾳ.

[381a]

Choer. 584: Ἡρωδιανός φηςιν, ὅτι ἐν τῷ τέμνω τέτομα καὶ κάμνω κέκαμα τὸ ν̄ τὸ πλεονάςαν κατὰ τὸν ἐνεςτῶτα ἀπεβλήθη κατὰ τὸν μέςον παρακείμενον.

ad fr. 380. ἔςτι δὲ παρὰ τὸ ῥῆμα βέλλω scripsi pro ἔςτι δὲ καὶ ῥῆμα παρὰ βέλος. Pro Τήλεμος exspectatur nomen a verbo derivatum e. g. θελεμός a θέλω, sed fortasse Τήλεμος tantum propter exitus similitudinem adiicitur.

addidi ἀψύχου et pro ἐπεπέcθην exhibui ἐφέcπετο; porro post ἐάλη omisi verba ἤναccε «καὶ πλείcτοιc ἤναccε λεοῖc», quae corrupta videntur ex Β 580 «πολὺ δὲ πλείcτουc ἄγε λαούc» ut ab hoc loco aliena et pro iis posui ἧδον ἕαδον Ξ 340, quod in nostro loco ut in Il. Pr. Ν iam desideravit Lehrsius. cf. Choer. 625, 6 ἤδε καὶ κατὰ διάλυcιν τοῦ η̄ εἰc ε̄ καὶ α γίνεται ἕαδα ὥcπερ ἥλω ἐάλω.
ad fr. *467. cf. Choer. 601, 1.

ad fr. [466[b]]. cf. Anecd. Par. III 314, 30 Ἀργεϊ: ἰcτέον ὅτι αἱ τοιαῦται δοτικαί, ἐὰν μὲν ἔχωcιν ἐπιφερόμενον cύμφωνον, διαιροῦνται οἷον «Διομήδεϊ Παλλὰc Ἀθήνη» (Ε 1), εἰ δὲ φωνῆεν, οὐ διαιροῦνται οἷον «cῷ θάρcει, ὅτ' ἐμὸν δολιχόcκιον» (Ζ 126), ἐὰν μὴ μέτρον κωλύcῃ «χαριζομένη πόcεϊ ᾧ» (Ε 71). τινὰ δὲ χωρὶc μέτρου παρήλλακται οἷον «πρῶτα μελικρήτῳ μετέπειτα δὲ ἡδέϊ οἴνῳ» (Od. κ 519, λ 27, ν 69).

δίφθογγος, ἐπειδὴ οἱ Ἴωνες τὴν ει δίφθογγον εἰς δύο εε διαλύουσιν ὡς ἐν τῷ εἴργω ἐέργω, ἀλλὰ διὰ τοῦτο οἱ Ἴωνες ἐν τῷ πρώτῳ προσώπῳ τὴν ει δίφθογγον εἰς εα διαλύουσιν οἷον ᾔδειν ᾔδεα, ἐπειδὴ τὸ ε οὐκ ἔστι χαρακτηριστικὸν τοῦ πρώτου προσώπου τῶν ἑνικῶν, τὸ δὲ ᾱ ναὶ οἷον τέτυφα, ἔτυψα· τούτου χάριν ἐν τῷ πρώτῳ προσώπῳ τὴν ει δίφθογγον εἰς τὴν ε̄ καὶ α διαλύουσιν· ἐν δὲ τῷ τρίτῳ εἰς δύο ε̄ε, ἐπειδὴ τὸ ε̄ χαρακτηριστικὸν εὑρίσκεται καὶ δευτέρου καὶ τρίτου προσώπου τῶν ἑνικῶν οἷον ἔτυπτες ἔτυπτε, ἔλεγες ἔλεγε.

468.

E. Gud. 156, 49, E. M. 307, 36: ἑάων: ὁ [Ἡρωδιανὸς ἑός ὁ ἀγαθός, ἀφ' οὗ τὸ θηλυκὸν ἑή, τὸ πληθυντικὸν ἑαί ἑῶν καὶ ἐν διαλύσει ἑάων «θεοὶ δωτῆρες ἑάων» (θ 325) ὡς πυλάων.

*469.

Ep. Cr. I 399, 3: τευ: «ὥς τέ τευ ἢ παρὰ πάμπαν ἀνείμονος ἠὲ πενιχροῦ» (Od. γ 348) τὸ τευ ὄνομα νῦν ἀόριστον, τὸ δὲ «τεῦ δμῶες εἰς ἀνδρῶν; τεῦ δ' ὄρχατον» (ω 257) πυσματικόν ἐστι. τὸ μὲν οὖν πρῶτόν ἐστι τοῦ, ὅπερ σύνηθες Ἀττικοῖς, ὃ κατὰ διάλυσιν τέο «τέο μέχρι ὀδυρόμενος» (Ω 128), συναλειφόμενον δὲ γίνεται τεῦ ὡς ἐμοῦ ἐμεῦ, σοῦ σεῦ ἐκ τοῦ ἐμέο καὶ σέο· τὸ τεοῦ τετόλμηκεν Ἀρχίλοχος «τεοῦ χολούμενος» (fr. 93 B) εἰπεῖν ἀντὶ τίνος. ἡ δοτικὴ τέῳ καὶ τὸ ἀόριστον αὐτοῦ ὅτεῳ καὶ ἐπὶ γενικῆς «ὅττεό σε χρή» (α 124). τοῦτο τὸ ὄνομα αἰτιατικὴν καὶ ὀρθὴν οὐκ ἔχει· ὡσαύτως καὶ ἐπὶ τῶν πληθυντικῶν «ὅτεών τε πόλιν καὶ γαῖαν ἱκάνω» (κ 39) καὶ «ὀτέοισιν» (Ο 491).

*470.

Choer. 663, 4: οὐδέποτε ὁ μέλλων ὁριστικὸς διαλύεται, ἄρα οὖν γαμέω καὶ τελέω ἐντέλειαί ἐστιν ἐνεστῶτος τοῦ γαμῶ καὶ τελῶ. εἰσὶ δὲ ἐνεστῶτες ἀντὶ μελλόντων· πρόσκειται «ὁριστικόν», ἐπειδὴ τὸ εὐφρα-

---

[470ᵃ]

Mon. 10, 7: τὰ εἰς ων περισπώμενα, εἰ λέγοιτο ἐν πλείοσι συλλαβαῖς, διὰ τοῦ ō λέγεται, Δημοφόων, Καλλίμαχος «νυμφίε Δημοφόων, ἄδικε ξένε», Καλλικόων, Εὐφορίων «κακώτερε Καλλικόωντος», Ἱπποθόων, Εὔμολπος Δόλιχός τε καὶ Ἱπποθόων μεγάθυμος». τὸ μέντοι Ποσειδῶν ἢ Ποσειδέων ἢ Ποσειδάων.

[470ᵇ]

Il. Pr. P 65: δηῶν: περισπαστέον, ἐπεὶ καὶ ἐν ἑτέροις λέγει κατὰ διαίρεσιν σὺν τῷ ο «ἔγχεϊ δηϊόων» (Il. C 195).

---

ad fr. *469. cf. Schol. ad Od. β 114: τῷ ὅτεῳ: ὅτεῳ ὡς Πηνέλεῳ. τὸ γὰρ τῷ μετὰ τὸ γενέσθαι ὅτῳ διῃρέθη ὡς τὸ ὅτου ὅτεο καὶ ἐν πλεονασμῷ τοῦ τ̄ «εἰρήσεται ὅττεό σε χρή» (Od. α 124), de ἐμέο σέο ἕο Io. Al. 23, 16, Lob. El. I 422 et II 97.

νέειν ἀπαρέμφατον γίνεται κατὰ διάλυσιν «εὐφρανέειν ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν» (Ε 688).

*471.

Choer. 585, 3: ἤϊα: εἴω τὸ πορεύομαι· ὁ μέσος παρακείμενος εἷα καὶ κατὰ ἔκτασιν Ἀττικὴν τοῦ ε̄ εἰς η̄ ἦα διὰ τοῦ η̄ καὶ κατὰ διάλυσιν τοῦ ῑ ἤϊα ὡς παρὰ τῷ ποιητῇ «ἤϊα πολλὰ θεοὺς γουνούμενος» (δ 433), οὗ τὸ τρίτον πρόσωπον ἤϊε «ὁ δ' ἤϊε νυκτὶ ἐοικώς» (Α 47).

*472.

Ep. Cr. I 182, 19: «ἤ τε ξείνων θέμις ἐστίν» (ι 268)· τοῦτο ἐν πλεονασμῷ τοῦ ῡ ἠΰτε ἀναγκαίως τοῦ η̄ ψιλωθέντος· τὸ γὰρ ῡ πλεονάζον ψιλοῖ τὰ πρὸ ἑαυτοῦ φωνήεντα· καὶ πῶς δεῖ ἀναγινώσκειν ηὖτε ἢ ἠΰτε; ἐν διαστάσει δεῖ ἀναγινώσκειν, ἐπειδὴ κανών ἐστιν ὁ λέγων, ὅτι οὐκ ἔστιν ἐπινοῆσαι τὸ η̄ καὶ τὸ ῡ ἐν μιᾷ συλλαβῇ χωρὶς εἰ μὴ ἐν κλίσει ῥηματικῇ ὡς τὸ αὐδῶ ηὔδων καὶ αὐχῶ ηὔχουν. ἀναγκαία ἄρα ἡ διάστασις τοῦ ἠΰτε ὁμοίως τῷ γρηῢς καὶ νηῢς.

473.

Choer. 332: λέγει ὁ Ἡρωδιανὸς ὅτι οὐδέποτε εὑρίσκομεν ἐν χρήσει ταύτην τὴν δοτικὴν διάστασιν ἔχουσαν τοῦ ο̄ καὶ ῑ· οὐδὲ γὰρ

[470c]

Mon. 12, 19: οὐδὲν εἰς ῡρ λῆγον οὐδέτερον μονοσύλλαβον, ἀλλὰ μόνον τὸ πῦρ· ὅπερ Σιμωνίδης καὶ ἕνεκα μέτρου δισυλλάβως ἀπεφήνατο «τοῦτο γὰρ μάλιστα φῆρες ἔστυγον πύϊρ».

[470d]

Il. Pr. Δ 228: Πειραΐδαο: ἐν τέσσαρσι συλλαβαῖς προφέρεται (? Ἡρωδιανός) τὴν εὐθεῖαν τοῦ πατρωνυμικοῦ καὶ οἱ ἄλλοι. Τυραννίων δὲ τρισυλλάβως, λέγων ὡς ὅτι οὐδὲν πατρωνυμικὸν παρὰ τῷ ποιητῇ ἔχει πρὸ τέλους διεσταλμένον τὸ ῑ ἀπὸ ἑτέρου φωνήεντος οἷον Πανθοΐδης, Βοηθοΐδης, Πηλεΐδης· οὐδ' ἄρα τοῦτο. ὑπὲρ δὲ τοῦ τετρασυλλάβως ἀναγινώσκειν ἔχομεν ἐκεῖνο λέγειν, ὡς ὅτι ἐντελές ἐστι τὸ κατὰ διάλυσιν τοῦ ῑ, καὶ ὅτι οὐκ ἔχομεν τοιοῦτό τι πατρωνυμικόν, ὃ κατὰ σύλληψιν ἐξηνέχθη τοῦ ᾱ καὶ τοῦ ῑ πρὸ τέλους· παρὰ τὸ Πείραιος οὖν Πειραΐδης ἐγένετο.

[473a]

Il. Pr. Γ 198: ὀΐων: Ἀρίσταρχος δισυλλάβως ὡς αἰγῶν καὶ Πτολεμαῖος ὁ Ἀσκαλωνίτης· Ἀριστόνικος δὲ τρισυλλάβως «ὅς τ' ὀΐων μέγα

---

ad fr. *472. Quamquam simillima leguntur ap. Apollon. de adverb. 560, tamen hoc praeceptum Herodiano assignavi, quia forma et conceptio adnotamentis in libro περὶ παθῶν convenientissima est et ex Il. Pr. Ο 365 et Α 554 apparet hoc modo Herodianum de hac specie indicasse.

---

ad fr. [473a] cf. Lob. El. II 18 seqq. Choer. 409, 32: τὸ οἶς οἰός οὐκ ἔπαθεν ἐν τῇ γενικῇ συναίρεσιν, ἀλλ' ἐν τῇ εὐθείᾳ μόνον οἷον ὄϊς οἶς καὶ λοιπὸν

εὑρίςκεται ἐν χρήςει ἡ τριςύλλαβος δοτικὴ ἐπὶ τούτων, φημὶ δὲ ἡ Λητόϊ καὶ Cαπφόϊ, ἀλλ' ἡ διςύλλαβος οἷον ἡ Λητοῖ καὶ Cαπφοῖ.

*474.

Ep. Cr. I 347, 17: οἱ Ἴωνες καὶ οἱ ποιηταὶ τὰς εἰς ου̅ ληγούςας γενικὰς ἀπὸ τῶν εἰς ης εὐθειῶν γινομένας διὰ τοῦ εω προφέρουςιν οἷον Ξέρξης Ξέρξου Ξέρξεω, Ἀτρείδης Ἀτρείδου Ἀτρείδεω ἐναντίως τοῖς Βοιωτοῖς καὶ Αἰολεῦςιν· ἐκεῖνοι γὰρ διὰ τοῦ αο ποιοῦςι· τὸ ᾱ ἐκπῶϋ»· ὁ μέντοι Πτολεμαῖος οὐχ ὑγιὲς αἴτιον ἐπιφέρει τῆς διςυλλάβου ἀναγνώςεως· φηςὶ γὰρ ὅτι ἡ εὐθεῖα μονοςύλλαβός ἐςτιν οἷς ὡς αἴξ. διαμαρτάνει δέ· οὐδέποτε γὰρ ὁ ποιητὴς μονοςυλλάβως εἶπε τὴν εὐθεῖαν, διςυλλάβως δὲ «τοῖςι δ' ὄϊς λάςιος» (Il. Ω 125) καὶ «μῆλ' ὄϊές τε καὶ αἶγες» (Od. ι 184) καὶ «Τειρεςίῃ δ' ἀπάνευθεν ὄϊν» (Od. κ 524)· ἕνεκα δὲ μέτρου «οἰὸς ἄωτῳ» (Od. α 443) καὶ «οἰῶν τε βληχήν» (Od. μ 226). ὥςτε εἰ καὶ ἐνθάδε μέτρον οὐ κωλύει, οὐδὲν ἦν ἐμποδὼν παραδέξαςθαι τὴν τοῦ Ἀριςτονίκου ἀνάγνωςιν. καὶ γὰρ ἄλλως τὸ ὄϊς ἀναλογώτερον ἔςται διςύλλαβον ὂν τοῦ μονοςυλλάβου· πολλὰ γὰρ τὰ εἰς ις̅ λήγοντα ἐπ' εὐθείας, οὐδὲν δὲ εἰς οις, ὅτι μὴ μόνον τὸ οἷς καὶ παρὰ Ἀττικοῖς τὸ φθοῖς.

[473ᵇ]

Arcad. 165, 6: τὸ οἴω οἴομαι κατὰ διάςταςιν τοῦ ῑ ὀΐω γίνεται.

Mon. 24, 6: τὸ οἶδα οἱ περὶ Ἀλκαῖον ὄϊδα λέγουςι τριςυλλάβως.

St. B. 359, 5: Ἡρωδιανὸς ὑπομνηματίζων τὸ περὶ γενῶν Ἀπολλωνίου «ἔςτιν ὅτε μετὰ τὴν διαίρεςιν ἔκταςις γίνεται ὀΐομαι, ὄϊγον, ὄϊδα παρ' Αἰολεῦςιν ἀντὶ τοῦ οἶδα».

Theogn. 61 16: τὸ κοῖλος εὕρηται καὶ ἐν διαλύςει κόϊλος.

[473ᶜ]

Arcad. 121, 25: τὸ πλοῖον προπεριςπᾶται ὡς πάςχον διαίρεςιν Αἰολικῶς· πλόϊον γὰρ λέγεται.

[473ᵈ]

Il. Pr. A 129: δῶςι πόλιν Τροΐην: ἔςτι τὸ τῆς χρήςεως τῆς Ὁμηρικῆς ἰδίωμα παραφυλάξαι οὕτως, ὡς ὅτι εἴ που λέγει τό Τροία διςυλλάβως, οὐδέποτε ἐπιφέρει τὸ πόλις, οἷον «εἰςόκε περ Τροίην διαπέρςομεν» (Il. I 46) καὶ «ἔνθα κεν ὑψίπυλον Τροίην ἕλον υἷες» (Il. Π 698) καὶ «Τροίῃ ἐν εὐρείῃ» (Il. Ω 256) καὶ ἀλλαχοῦ. ἐπὶ μέντοι τούτων τῶν δύο ὁμοιοπτώτως ἐπήνεγκε τὸ πόλιν τῷ Τροΐην «δῷςι πόλιν Τροΐην» καὶ τὸ «ἤτοι ἀμφὶ πόλιν Τροΐην» (Od. λ 510).

ad fr. *474 cf. Choer. 413, 11, Ahrens de dial. Aeol. 203 cum not. 1.

ἀπὸ τῆς ςυνῃρημένης εὐθείας ἐκλίθη ἡ οἰός γενικὴ καὶ τούτου χάριν ὡς μὴ οὖςα ἡ γενικὴ τριςύλλαβος δυνάμει, ἀλλὰ κυρίως διςύλλαβος ὠξύνθη.

ad fr. [473ᵇ] cf. Lehrs ad Mon. p. 21, 10, Herodian. in Epimerism. Choer. 592, 3 ubi οἱ Αἰολεῖς τὸ Προίτου καὶ κοίλου διαλύουςι καὶ λέγουςι Προΐτου καὶ κοΐλου, quae eadem exempla habet Io. Al. 6, 19.

τεινόμενον· πᾶcα γὰρ γενικὴ ὀνόματος εἰς φωνῆεν λήγουcα καὶ περιττοcυλλαβοῦcα τῆς ἰδίας εὐθείας ἢ ἐκτείνει τὴν παραλήγουcαν καὶ cuστέλλει τὴν λήγουcαν οἷον καλός καλοῦ καλοῖο, cοφός cοφοῦ cοφοῖο. ἢ ἐκτείνει τὴν λήγουcαν καὶ cuστέλλει τὴν παραλήγουcαν οἷον Ἀτρείδεω, Πριαμίδεω, Πηληϊάδεω.

*475.

Choer. Dict. 389, 10: τὸ κρέα ἀπὸ τοῦ κρέαα γέγονε κατὰ κρᾶcιν τῶν δύο αα εἰς ἓν ᾱ μακρὸν ὥcπερ Ναυcικάα Ναυcικᾶ. τὸ γὰρ «κρέα λυγκὸς ἔταμνε» (Callimach. Dian. 88) ἀπὸ τοῦ κρέατα γέγονε κατὰ ἀποκοπὴν τῆς τα cυλλαβῆς, cυνεcταλμένον γὰρ ἔχει τὸ ᾰ.

*476.

Choer. Dict. 408, 16: λᾶος: ἀπὸ τριcυλλάβου γενικῆς λάαος ἐγένετο λᾶος, κράcεως παρακολουθηcάcης τῶν δύο ᾱᾱ εἰς ἓν ᾱ, μακρὸν δηλονότι, διὸ καὶ προπεριcπᾶται οἷον «λᾶος ὑπὸ ῥιπῆς» (Μ 462).

*477.

E. M. 24, 48: Ἀθηνᾶ: Ἀθήνη Ἀθηναία ὡς δίκη δικαία. καὶ ὥcπερ Ναυcικάα κατὰ κρᾶcιν τῶν δύο ᾱᾱ εἰς ᾱ μακρὸν γίνεται Ναυcικᾶ, οὕτω καὶ ἀπὸ τοῦ Ἀθηναία ἀποβολῇ τοῦ ῑ γίνεται Ἀθηνάα καὶ κράcει τῶν δύο αα εἰς ᾱ μακρὸν Ἀθηνᾶ καὶ περιcπᾶται.

*478.

E. M. 163, 43: ἔcτιν ἀάτη καὶ κατὰ κρᾶcιν γίνεται ἄτη.

---

ad fr. *475. Hoc Choeroboscum ex Herodiano petivisse docent Il. Pr. Λ 385 κέρα ἀγλαέ: — οἱ δὲ ἐξέτεινον τὸ α πάλιν πληθυντικὸν ἐκδεχόμενοι — cυναλοιφὴν ἐκδεχόμενοι τοῦ κέραα. περὶ δὲ τῆς τοιαύτης ἀναγνώcεως δεδήλωται ἡμῖν, ὁπότε διελάβομεν περὶ τοῦ «κέρα ἐκ κεφαλῆς» (Δ 404, ad quem locum cf. Lehrsium). Dichr. 282, 4 καθόλου τὰ τρία δίχρονα τὰ ἐκ cυναλοιφῆς ἐκτείνεcθαι θέλει, ἀέκων ἄκων, κρέαα κρέα, κέραα κέρα· εἰ μέντοι ἀποκοπήν τινα δέξεται τῆς τα cυλλαβῆς, τοῦ κέρατα κέρα καὶ κρέατα κρέα cυνεcταλμένον ἐcτὶ τὸ δίχρονον.

ad fr. *476. Il. Pr. Μ 462: λᾶος: περιcπαcτέον ὡς κλῆρος. ἀπὸ γὰρ εὐθείας πέπτωκε διcυλλάβου κατὰ τὴν τοῦ ποιητοῦ χρῆcιν. καὶ ὤφειλε τριcυλλαβεῖν ἡ γενική, cυναλοιφὴν δὲ λαβοῦcα βαρύνεται. cf. Choer. Dict. 93, 27, Io. Alex. 19, 1, Arcad. 128, 13; 134, 15 et 24.

ad fr. *477. cf. Dichr. 288, 6 τὸ Ἀθηνᾶ καὶ μνᾶ καὶ Δανᾶ καὶ ὅcα τοιαῦτά ἐcτι κατὰ πάθος. Mon. 7, 32. Accuratius res exposita in An. Par. IV 250, 22 ἰcτέον ὅτι τὸ Ἀθηνᾶ περιcπᾶται, διότι κρᾶcιν ἔπαθε τῶν δύο αα. ἔcτι μὲν γὰρ ἡ πρωτότυπος αὐτῆς εὐθεῖα Ἀθήνη, ἐξ ἧς κατὰ cυcτολὴν Ἀθάνα γέγονεν, ᾧ καὶ Cοφοκλῆς χρῆται καὶ Εὐριπίδης καὶ ἕτεροι πολλοί. ἐπεὶ δὲ πολλὰ τῶν εἰς ᾱ καὶ εἰς ῆ θηλικῶν διὰ τοῦ αια προφέρονται οἷον ἁμαξαία ἡ ἅμαξα καὶ cεληναία ἡ cελήνη, οὕτω κατὰ παραγωγὴν Ἀθηναία ἐλέχθη ἡ Ἀθήνη· ἐξελόντες δ᾽ ἔτι οἱ ὕcτερον ἐκ τοῦ Ἀθηναία τὸ ῑ Ἀθηνάα εἶπον ὥcπερ καὶ τὴν ἐλαίαν ἐλάαν Ἀττικῶς, τοῦτο μὲν οὖν ἄχρηcτον εἴαcαν, κρᾶcιν δὲ ποιηcάμενοι τῶν δύο αα Ἀθηνᾶν καλοῦcι περιcπωμένως Arcad. 98, 7 et 96, 24.

ad fr. *478. Mon. 42, 25 cημειῶδες τὸ ἄτη ἐκτεῖνον τὸ α. λέγεται δὲ καὶ τριcυλλάβως ἐν cυcτολῇ, ὡς παρὰ τῷ Κυρηναίῳ «εἴτε μιν Ἀργείων χρὴ καλέειν Ἀάτην». τὸ δὲ αἴτιον τῆς ἐκτάcεως ἐν τῇ διcυλλάβῳ προφορᾷ ἐν ἑτέροις εἴπομεν. cf. Lob. El, II 50: «patet eum (sc. Herodianum) ἄτη non nativum putasse, tunc enim causa disserendi nulla erat, sed affectione aliquapiam corruptum, hoc est, ni fallor, crasi τῶν δύο αα, quae integra emergunt in verbo ἀάω et hinc transfluxero in nomen anapaesticum ἀάτη».

*479.

Choer. 529, 22: ἔϲτιν ἐβόαον καὶ κατὰ κρᾶϲιν τοῦ α καὶ ο εἰϲ τὸ ω γίνεται ἐβόων ὥϲπερ ἐλούϲαο ἐλούϲω, τούτου τὸ δεύτερεν πρόϲωπόν ἐϲτιν ἐβόαεϲ καὶ κατὰ κρᾶϲιν τοῦ ᾱ καὶ ε εἰϲ ᾱ μακρὸν γίνεται ἐβόαϲ ὡϲ τὰ ἐμά τἀμά.

530, 11: πάλιν ἐϲτὶν ἔζαον καὶ κατὰ κρᾶϲιν τοῦ ᾱ καὶ ο εἰϲ ω γίνεται ἔζων, εἶτα τὸ δεύτερον πρόϲωπόν ἐϲτιν ἔζαεϲ καὶ κατὰ κρᾶϲιν Δωρικὴν τοῦ ᾱ καὶ ε εἰϲ η γίνεται ἔζηϲ. τὸ γὰρ ᾱ καὶ ε εἰϲ η κιρνῶϲιν οἱ Δωριεῖϲ οἷον τὰ ἐμά τἠμά. οὕτω καὶ τὸν ἐνεϲτῶτα λέγομεν, ὅτι Δωρικὴν κρᾶϲιν πεπονθὼϲ γίνεται ζῇϲ διὰ τοῦ η καὶ ι ὥϲπερ πεινῇϲ διψῇϲ.

*480.

Ep. I 191, 19: τοῦ ἠύδα τὸ δυϊκὸν ηὐδάτην· πῶϲ οὖν «προϲαυδήτην» (Λ 136); ὡϲαύτωϲ ἐφοίτων ἐφοιτάτην, ἀλλὰ «πάντοϲε φοιτή-

[479ᵃ]

Il. Pr. Є 163: ἀέκονταϲ: — τὸ ἄκοντα ϲυναλοιφή ἐϲτι τοῦ ἀέκοντοϲ.

[479ᵇ]

Dichr. 297, 17: τὸ ἀργόϲ ἐκτεινόμενον ἐκ τοῦ ἀεργόϲ ἐϲτι ϲυναληλιμμένον.

[479ᶜ]

Ep. Cr. I 5, 10, E. M. 172, 34: αὔτωϲ ἐϲτὶν ἐπίρρημα μεϲότητοϲ καὶ ψιλοῦται πρὸϲ ἀντιδιαϲτολὴν ἑτέρου ϲημαινομένου τοῦ οὕτωϲ· ὁμοίωϲ δέ, εἰ τὸ μάτην ϲημαίνει, ψιλοῦται, τὸ γὰρ ϲτερητικὸν ᾱ ψιλοῦται. ἔϲτιν οὖν ἐτόϲ καὶ ϲημαίνει τὸ ἀληθέϲ. τὸ γὰρ ἀληθὲϲ ὑπάρχει, τὸ δὲ ψεῦδοϲ οὐκ ὑπάρχει. καὶ μετὰ τοῦ ϲτερητικοῦ ᾱ ἄετοϲ καὶ ἀνεβίβαϲε τὸν τόνον, τὰ γὰρ εἰϲ τοϲ διϲύλλαβα ἀναβιβάζουϲι τὸν τόνον ἐν τῇ ϲυνθέϲει καὶ κλίνεται ἀέτου, ἡ εὐθεῖα τῶν πληθυντικῶν οἱ ἄετοι ἀέτων καὶ ἐξ αὐτοῦ ἐπίρρημα μεϲότητοϲ ἀέτωϲ καὶ κράϲει τοῦ αε εἰϲ τὴν αυ δίφθογγον αὔτωϲ ὡϲ ἀέρα αὖρα καὶ γρᾶεϲ γραῦϲ καὶ νᾶεϲ ναῦϲ.

ad fr. *479. comparari potest etiam Schol. ad Od. θ 477 τῆ: τὸ τῆ ῥῆμα προϲτακτικόν ἐϲτι παρὰ ποιηταῖϲ εἰρημένον χρόνου ἐνεϲτῶτοϲ καὶ παρατατικοῦ. καὶ ἔϲτιν ἀπὸ θέματοϲ τοῦ τῶ ὡϲ λῶ λῇϲ λῇ, ζῶ ζῇϲ ζῇ, οὕτω τῶ τῇϲ τῇ. τούτου ὁ παρατατικὸϲ ἔτων ὡϲ ἔζων. τὸ δεύτερον καὶ τρίτον ἔτηϲ ἔτη ὡϲ ἔζηϲ ἔζη. ἐκ τούτου τοῦ τρίτου κατὰ ἀποβολὴν τοῦ ε γίνεται προϲτακτικὸν ὡϲ ἐχρύϲου χρύϲου.

ad fr. *480. Docta expositio Herodianum prodit neque tamen plene eius sententia explanata est, nam ex fragm. 272 in E. M. 121, 10: ἀπειλήτην ϲυγκοπῇ τῆϲ

ad fr. [479ᶜ]. Hoc quamvis dubitanter assignavi Herodiano propter similem locum in Il. Pr. Ϲ 410: Φιλόξενοϲ φηϲὶ τὸ ἄητον ϲύνθετον εἶναι παρὰ τὸ ἐτόϲ ὡϲ θετόϲ, ὃ ϲημαίνει τὴν ὕπαρξιν, ἐξ οὗ τὸ ἀληθέϲ, ὃ καὶ γίνεται ἐτεόϲ — τὸ παρὰ μηδενὶ οὖν ὑπαρκτόν, τουτέϲτι μέγα, ἄετον καὶ ἄητον. καὶ δῆλον ὅτι ἀπολέλυται ὁ τόνοϲ· ὁρᾶται γὰρ ϲύνθετα τοιαῦτα βαρυνόμενα, ἄρρητον, ἄκλητον, ἄκμητον· οὕτωϲ ἄητον; sed accentus mentio et dictio ὁρᾶται Philoxeni placitum ab Herodiano allatum esse demonstrant; de αὖρα ex ἀέρα nato simile habent An. Ox. II 335, 10.

την» (Μ 266), ἐϲυλᾶτον ἐϲυλάτην «τεύχεα ϲυλήτην» (Ν 202). καὶ οἱ Ἀττικοὶ διὰ τοῦ ᾱ χρῶνται «φοιτάτην ποτ' εἰϲ διδαϲκάλου» καὶ πάλιν «τὼ δ' οὐκ ἐβοάτην» ἔϲπων ἔϲπαϲ «ἐϲπάτην γνάθον εὔχρηϲτον». φαμὲν οὖν, ὅτι μικτῇ γίνεται διαλέκτῳ. Δωριεῖϲ γὰρ τὸ ἐφοίτα ἐφοίτη λέγουϲι καὶ τὸ ἐϲύλα ἐϲύλη καὶ τὸ ηὔδα ηὔδη· ὁ γοῦν Cτηϲίχορόϲ φηϲι «ποταύδη», ὃ λέγει ὁ ποιητὴϲ «προϲηύδα». τὸ μὲν οὖν ὅλον Δώριον φοιτήταν, γέγονε δὲ φοιτήτην μικτόν· τὸ αὐτὸ καὶ ἐπὶ τοῦ «τεύχεα ϲυλήτην» (Ν 202) καὶ «προϲαυδήτην».

*481.

Choer. 388, 14: ἰϲτέον ὅτι τῷ κρέατι κοινῶϲ κατὰ ἀποβολὴν τοῦ ῑ Ἰωνικῶϲ γίνεται τῷ κρέαϊ καὶ κατὰ ϲυναίρεϲιν τοῦ ᾱ καὶ ῑ εἰϲ τὴν ᾳ δίφθογγον γίνεται τῷ κρέᾳ Ἀττικῶϲ. ἰϲτέον δὲ ὅτι ἅμα ϲυναίρεϲιϲ ἐγένετο, ἅμα καὶ ἔκταϲιϲ διὸ καὶ τὸ ῑ ἀνεκφώνητόν ἐϲτι· τὸ γὰρ ῑ, ἡνίκα εὑρεθῇ ἢ μετὰ τοῦ η̄ ἢ μετὰ τοῦ ω ἢ μετὰ τοῦ ᾱ μακροῦ ἐν μιᾷ ϲυλλαβῇ, ἀνεκφώνητον εὑρίϲκεται οἷον τῷ Χρύϲῃ τῷ ϲοφῷ, τῇ Μηδείᾳ.

Ἄξιον δέ ἐϲτι ζητῆϲαι, διατί ὥϲπερ ἐπὶ τοῦ κέραϊ καὶ γήραϊ γίνεται κατὰ ϲυναίρεϲιν τοῦ ᾱ καὶ ῑ εἰϲ τὴν ᾳ δίφθογγον κρέᾳ καὶ γήρᾳ, μὴ τὸν αὐτὸν τρόπον ἐπὶ τοῦ ναΐ καὶ γραΐ γίνεται κατὰ ϲυναίρεϲιν νᾳ καὶ γρᾳ. ἔϲτιν οὖν εἰπεῖν τὴν ἀπολογίαν ταύτην· πᾶϲα δοτικὴ ἑνικῶν εἰϲ ῑ ἀνεκφώνητον λήγουϲα τὴν γενικὴν ἔχει ἰϲοϲύλλαβον τῇ εὐθείᾳ οἷον τῷ κοχλίᾳ ὁ κοχλίαϲ τοῦ κοχλίου, τῷ ϲοφῷ ὁ ϲοφόϲ τοῦ ϲοφοῦ, τῇ μνᾷ ἡ μνᾶ τῆϲ μνᾶϲ, τῷ γήρᾳ τὸ γῆραϲ τοῦ γήρωϲ, τῷ κρέᾳ τὸ κρέαϲ τοῦ κρέωϲ· τὸ γὰρ κρέαοϲ καὶ γήραοϲ πρὸϲ τὸ κρέαϊ καὶ γήραϊ ἐϲτίν. εἰ οὖν ἐγένοντο ταῦτα κατὰ ϲυναίρεϲιν, ἤμελλον ἔχειν τὸ ῑ ἀνεκφώνητον, ὅπερ ἐϲτὶν ἄτοπον· οὐδὲ γὰρ ἔχουϲιν ἰϲοϲύλλαβον τὴν γενικὴν τῇ εὐθείᾳ ὡϲ ναῦϲ ναόϲ, γραῦϲ γραόϲ. τούτου οὖν χάριν οὐ

[481ᵃ]

Io. Al. 18, 27: παῖδεϲ παίδων: βαρύνεται ἴϲωϲ ἐπειδὴ ὡϲ ἀπὸ ἐντελεϲτέρου τοῦ πάϊϲ γέγονεν ὡϲ μὴ εἶναι φύϲει διϲύλλαβον. δᾷδεϲ δᾴδων: δαΐδεϲ δαΐδων γὰρ τριϲυλλάβωϲ τὸ ἐντελέϲ.

[481ᵇ]

Io. Al. 7, 20: τῶν ἀρϲενικῶν ἐν μὲν τοῖϲ εἰϲ ξ̄ λήγουϲι τὸ Θρᾷξ περιϲπᾶται, ἐπεὶ καὶ ἐντελέϲτερον αὐτοῦ τὸ Θράϊξ διϲύλλαβον.

ϲα ἡ ἀπὸ τοῦ ἠπείλουν τροπὴ τῆϲ ει̅ εἰϲ τὸ η̅. Ἡρωδιανόϲ hic omissa esse suspicari licet huiuscemodi verba: ἡ φοιτήτην ϲυγκοπῇ ἐκ τοῦ φοιτηϲάτην καὶ τὸ αὐτό ἐπὶ τῶν ἄλλων.

ad fr. *481. cf. Il. Pr. Λ 385: κέρα ἀγλαέ: ϲὺν τῷ ῑ ἔγραψάν τινεϲ τὸ κέρᾳ ἵνα ᾖ δοτική, ὁμοίωϲ τῷ «δέπᾳ μελιηδέοϲ οἴνου» (γ 46, ubi nunc δέπαϲ) καὶ «γήρᾳ ὑπὸ λιπαρῷ» (Od. λ 136). οὕτωϲ δὲ καὶ δοκεῖ ἐπικρατεῖν ἡ παράδοϲιϲ, ὡϲ καὶ Ἀλεξίων ἀξιοῖ. cf. Lob. El. II 300 seqq.

ad fr. [481ᵇ]. cf. Il. Pr. Ι 605: λόγοϲ ἐϲτίν, ὡϲ πᾶϲα εὐθεῖα ἀρϲενικοῦ ὀνόματοϲ ἐν τῇ τελευταίᾳ δύο ἔχουϲα φωνήεντα ταῦτα ἐκφωνεῖ χωρὶϲ τοῦ Θρᾴξ.

συναιροῦνται ταῦτα κατὰ τὴν δοτικήν, ἵνα μὴ εἰς ῑ ἀνεκφώνητον λήγωσιν κατὰ τὴν δοτικὴν καὶ ἔχοντα τὴν γενικὴν περιττοσύλλαβον τῆς εὐθείας.

*482.

Choer. 92, 5: ἡ γενικὴ λάαος τρισυλλάβως μετάγεται εἰς εὐθεῖαν καὶ γίνεται ὁ Λάαος ὥσπερ ὁ Καππάδοξ τοῦ Καππάδοκος ὁ Καππάδοκος καὶ λοιπὸν κατὰ κρᾶσιν Δωρικὴν τοῦ ᾱ καὶ ō εἰς ᾱ μακρὸν γίνεται Λάας ὥσπερ Πτερέλαος Πτερέλας καὶ Μενέλαος Μενέλας, ὡς παρ' Εὐριπίδῃ ἐν Ἀνδρομάχῃ (486) «τοῦ στρατηλάτα — Μενέλα».

*483.

E. M. 598, 23: ὥσπερ ἀπὸ τοῦ ταναόποδος γίνεται ταναύποδος κράσει τοῦ ᾱō εἰς τὴν ᾱῡ, σημαίνει δὲ σύροντα τὸν πόδα, οὕτως ἀπὸ τοῦ ναῦς ναός γίνεται ναόφι καὶ κατὰ κρᾶσιν «ναῦφιν ἀμυνόμενοι» (Ν 700) ἀντὶ τοῦ ἐκ τῶν νεῶν ἀποσοβοῦντες.

*484.

Choer. 386, 9: ἐπὶ γενικῆς τῶν εἰς ᾱς οὐδετέρων ἀποβάλλουσι τὸ τ̄ οἱ Ἴωνες οἷον κρέατος κρέαος, γήρατος γήραος, κέρατος κέραος καὶ λοιπὸν οἱ Ἀττικοὶ συναιροῦσι τὸ α καὶ ο εἰς ω καὶ λέγουσι τοῦ κρέως, τοῦ γήρως καὶ κρέως.

*485.

Choer. 882, 34: τὸ ἐκρέμασο γίνεται κατὰ ἀποβολὴν τοῦ ς̄ Ἰωνικῶς ἐκρέμαο καὶ κατὰ κρᾶσιν Ἀττικὴν τοῦ ᾱō εἰς ω ἐκρέμω «ἦ οὐ μέμνῃ ὅτε τ' ἐκρέμω ὑψόθεν, ἐκ δὲ ποδοῖιν» (Ο 18). μηδεὶς δὲ οἰέσθω

[484[a]]

Io. Al. 7, 31: τὸ σῶς ἀπὸ τοῦ σάος συνῄρηται καὶ περισπᾶται.

[484[b]]

Il. Pr. Γ 35: ὦχρος: οὕτως ὦχρος ὡς ὦμος εἰς ἀποφυγὴν τοῦ ἐπιθετικοῦ. τάχα δὲ καὶ ἄχροός ἐστιν, ὃ ἐν ὑπερθέσει γίνεται ἄοχρος καὶ κατὰ συναλοιφὴν ποιεῖ τὸ ὦχρος βαρυνόμενον.

[484[c]]

Schol. V ad Il. Η 238: αἱ Ἀριστάρχου βῶν, ἡ Ἀριστοφάνους βοῦν, ἡ Ἡρωδιανοῦ βῶ, ὡς Βορέαο «Βορέω ὑπ' ἰωγῇ» (Od. ξ 533).

ad fr. *482 cf. supra fr. 228.

ad fr. *483 cf. Il. Pr. Ε 289: ταλαύρινον: Ἀρίσταρχος ψιλοῖ τὸ ρ̄· οὐ γάρ φησι σύνθετον δεῖ νοεῖν τὸν σχηματισμόν, ἀλλὰ κατὰ ἁπλῆν ἔννοιαν, τὸν εὔτολμον καὶ ἰσχυρόν. ὁμοίως δὲ καὶ Ἀριστοφάνης· Τρύφων δὲ σύνθετον αὐτὸ ἐκδέχεται παρὰ τὸ ταλαόν καὶ τὴν ῥινόν, ὁμοίως τῷ ταναόποδα ταναύποδα.

ad fr. [484[a]]. Il. Pr. Ε 887: μόνον τὸ σῶς περισπώμενον μονοσύλλαβον εἰς ω̄ς̄ λῆγον ἀρσενικὸν γεγονὸς ἢ ἐκ τοῦ σόος, ὡς οἴεται Φιλόξενος, ἢ ἐκ τοῦ σάος, ὅπερ κρεῖττον.

ad fr. [484[b]] cf. E. Or. 170, 8: ὦχρος. χροῦς χρόος ἄχροος. ἐστὶ δὲ κακόχρους, καθ' ὑπέρθεσιν τοῦ ō ἄοχρος. συναλοιφὴ τοῦ ο̄ καὶ ε̄ εἰς ω̄ ὦχρος.

τὸ ἐκρέμω ὡς ἀπὸ τοῦ εἰς ω̄ εἶναι ὡς ἀπὸ τοῦ κρεμῶ κρεμᾷς, ἐπειδὴ κρεμῶμαι καὶ ἐκρεμώμην ἤμελλεν εἶναι τὸ παθητικὸν ὥσπερ βοῶμαι ἐβοώμην· νῦν δὲ κρέμαμαι καὶ ἐκρεμάμην ἐστὶν ὥσπερ ἵσταμαι ἱστάμην· ἄλλως τε εἰ ἦν ἀπὸ τῶν εἰς ω, ἐκρεμῶ ἤμελλεν εἶναι περισπωμένως ὥσπερ ἐβοῶ, νῦν δὲ ἐκρέμω ἐστὶ παροξυτόνως.

*486.

Choer. 253, 19: τὸ ζώς ἀπὸ συναιρέσεως ἐγένετο· ἀπὸ γὰρ τοῦ ζωός τοῦ ζωοῦ ἐγένετο καὶ κατὰ κρᾶσιν ὁ ζώς τοῦ ζῶ τῆς βαρείας καὶ ὀξείας εἰς ὀξεῖαν συναιρεθεισῶν ὥσπερ ἐπὶ τοῦ ἑσταώς ἑστώς, βεβαώς βεβώς, Νηρηΐς Νηρῄς.

*487.

Choer. 389, 17: ἰστέον ὅτι τὸ κρεῶν ἀπὸ τοῦ κρεάων γέγονε κατὰ κρᾶσιν τοῦ ᾰ καὶ ω̄ εἰς τὸ ω̄, διὸ καὶ περισπᾶται.

*488.

E. M. 291, 9: τὸ ἀείδω ᾄδω κράσει τοῦ ᾱ καὶ ε̄ καὶ συναιρέσει τοῦ αϊ εἰς τὴν ᾱͅ δίφθογγον.

*489.

Choer. 498, 20: ἔστι βοάω καὶ κατὰ κρᾶσιν τοῦ ᾰ καὶ ω̄ εἰς ω γίνεται βοῶ. τούτου τὸ δεύτερον πρόσωπον βοάεις, τὸ δὲ ᾰ καὶ ε εἰς α μακρὸν κιρνᾶται παρ' ἡμῖν καὶ παρὰ τοῖς Ἀθηναίοις οἷον τὰ ἐμά τἀμά· οὕτως οὖν καὶ βοάεις βοᾷς κατὰ κρᾶσιν τοῦ ᾰ καὶ ε̆ εἰς τὸ ᾱ μακρὸν καὶ μένει τὸ ῑ προσγεγραμμένον· παρὰ μὲν τοῖς Δωριεῦσιν εἰς η κιρνᾶται τὸ ᾰ καὶ ε̆ οἷον τὰ ἐμά τἠμά· οὕτως οὖν καὶ ἐν τῷ ὁράεις ποιοῦσι τὸ α καὶ ε̆ εἰς η̄ κατὰ κρᾶσιν καὶ λέγουσιν ὁρῇς καὶ πάλιν διψάεις διψῇς, πεινάεις πεινῇς καὶ μένει τὸ ῑ προσγεγραμμένον· κέχρηνται δὲ τούτοις ἀπὸ Δωρίδος διαλέκτου οὖσι καὶ οἱ Ἀθηναῖοι· φημὶ δὲ τὸ πεινῇς καὶ διψῇς καὶ ὁρῇς. μὴ νομίσωμεν δὲ ὅτι τὸ ᾰ παρ' ἡμῖν, φημὶ δὲ ὡς ἐν τῷ πεινᾷς καὶ διψᾷς καὶ ὁρᾷς, ἐτράπη παρὰ τοῖς Δωριεῦσιν εἰς η̄ ἐν τῷ πεινῇς καὶ διψῇς καὶ ὁρῇς· οὐδέποτε γὰρ τὸ παρ' ἡμῖν α εἴτε μακρὸν εὑρεθῇ εἴτε βραχύ, τρέπεται εἰς η̄ παρὰ τοῖς Δω-

---

[486ᵃ]

Arcad. 109, 22: τὸ ἐριώλη ἡ μεγάλη πνοὴ ἀπὸ τοῦ ἐρί καὶ τοῦ ἄω τὸ πνέω βαρύνεται.

[488ᵃ]

Arcad. 21, 25: τὸ ἱλᾶς περισπᾶται ἀπὸ τοῦ ἱλάεις.

[488ᵇ]

Arcad. 22, 3: τὸ ἀλλᾶς ἔχει τὸ ἀλλάεις ἐντελέστερον.

ad fr. *486. cf. Il. Pr. Ε 887.
ad fr. *487. cf. Il. Pr. Λ 551: κρειῶν: περισπαστέον· ἡ γὰρ κρεῶν γενικὴ ἐπλεόνασε τῷ ῑ, ἥτις περισπᾶται διὰ τὸ ἔχειν ἐντελεστέραν τὴν κρεάων.
ad fr. *489. Quod ὁρῇς Atticum esse dicitur, id spectare videtur ad Homerica ὁρῆαι et ὁρῆτο.

ριεῦει· τοὐναντίον γὰρ τὸ η εἰς α μακρὸν τρέπουςιν οἷον ἡδύ ἁδύ «ἁδύ τι τὸ ψιθύριςμα», ἀλλ' ὡς εἴρηται κρᾶςις Δωρικὴ τοῦ α καὶ ε εἰς η. τοιοῦτόν ἐςτι καὶ τὸ ἐν τῇ κοινῇ διαλέκτῳ ἐπικρατῆςαν, λέγω δὲ τὸ ζῆς.

490.

Choer. 488, 33: ἰςτέον ὅτι τὸ κρεοῖν ἀπὸ τοῦ κρεάοιν γέγονε κατὰ κρᾶςιν τοῦ ᾰ καὶ τῆς οι διφθόγγου εἰς τὴν οι δίφθογγον, διὸ καὶ περιςπᾶται. ἐὰν δὲ θελήςωςι λέγειν ὅτι κρᾶςις παρηκολούθηςε τοῦ ᾰ καὶ ο εἰς ῶ, ὀφείλει διὰ τοῦ ω γενέςθαι τοῖν κρεῷν προςγραφομένου τοῦ ῑ· ἡ δὲ παράδοςις διὰ τῆς οι διφθόγγου ἐπίςταται τὴν λέξιν.

*491.

Choer. 160, 25: ἰςτέον ὅτι γέγονε Δημοςθένεα κατὰ κρᾶςιν τοῦ ε καὶ ᾱ εἰς η Δημοςθένη ὥςπερ τείχεα τείχη, βέλεα βέλη. δεῖ γινώςκειν ὅτι ἐὰν εὑρεθῇ τὸ ε ἔχον προηγούμενον φωνῆεν, τότε τὸ ε καὶ α εἰς η κιρνῶνται καὶ εἰς ᾱ μακρὸν οἷον εὐφυέα εὐφυᾶ, ὑγιέα ὑγιῆ καὶ ὑγιᾶ. ἐὰν δὲ εὑρεθῇ ἔχον προηγούμενον ςύμφωνον, τότε τὸ ε καὶ α εἰς η μόνως κίρνανται οἷον Δημοςθένεα Δημοςθένη, εὐγενέα εὐγενῆ.

[490a]

Arcad. 86, 24: τὸ ὑμνάοιδος, ἐπάοιδος, λυράοιδος προπαροξύνεται· τὰ δὲ ἐξ αὐτῶν ὀξύνεται, ὑμνῳδός, ἐπῳδός, λυρῳδός.

[490b]

Il. Pr. Υ 72: ςῶκος: εἰςὶν οἳ ἀξιοῦςι καὶ καθότι ςύνθετόν ἐςτι βαρύνεςθαι αὐτό. ἐκ γὰρ τοῦ ςάοικος γεγενῆςθαι τὴν κρᾶςιν· οὕτω δὲ δώςουςι καὶ προςκείμενον τῷ ῶ τὸ ῑ, τῆς παραδόςεως οὐχ οὕτως ἐχούςης.

[491a]

Io. Al. 8, 5: τὰ εἰς η θηλυκὰ μονοςύλλαβα ἐκ ςυναιρέςεως περιςπᾶται, γέα γῆ, νέα νῆ, πλέα πλῆ.

[491b]

Io. Al. 9, 5: τὰ θηλυκὰ ὑπὲρ μίαν ςυλλαβὴν περιςπαςθέντα ἐκ ςυναιρέςεως ἔςχε τὴν περιςπωμένην ὡς τὸ ἀργυρέα ἀργυρᾶ, Ἀθηνᾶ τε καὶ μνᾶ, καὶ χαλκέα τε καὶ χαλκῆ, φωκέα φωκῆ. τοιοῦτόν ἐςτι καὶ ςηςαμῆ καὶ ἀμυγδαλῆ ἐπὶ τοῦ δένδρου, γαλῆ, κωλῆ, ςυκῆ, παρδαλῆ, μυγαλῆ, κυνῆ καὶ εἴ τι ὅμοιον.

---

ad fr. *491. cf. Io. Al. 16, 13: πᾶςα εὐθεῖα πληθυντικὴ οὐδετέρου ὀνόματος ἐντελὴς εἰς ᾱ λήγει καὶ ἐπὶ τῆς αὐτῆς ςυλλαβῆς ἔχει τὸν τόνον, ἐφ' ἧς καὶ ἡ ἑνικὴ εὐθεῖα, γράμμα γράμματα, φίλον φίλα, καλὸν καλά· κάνεον μὲν κάνεα προπαροξυτόνως, κανοῦν δὲ κανᾶ περιςπωμένως διὰ τὴν ςυναίρεςιν. αἱ δὲ εἰς η ἐκ ςυναιρέςεως εἰςὶ καὶ πρὸς τὴν ςυναίρεςιν τὸν τόνον ποιοῦνται, τείχεα τείχη· αἱ γὰρ δύο βαρεῖαι εἰς βαρεῖαν ςυναιροῦνται· τὰ εὐςεβέα δὲ τὰ εὐςεβῆ. ἡ γὰρ ὀξεῖα καὶ βαρεῖα εἰς περιςπωμένην ςυναιρεῖται. — Il. Pr. Θ 441: πᾶςα αἰτιατικὴ ἑνικὴ

---

ad fr. [491a]. cf. Mon. 7, 5, unde Ῥέα Ῥῆ addendum.

Ἀποροῦϲι δέ τινες λέγοντες, καὶ πῶϲ ἐπὶ τοῦ χάλκεα χαλκᾶ καὶ χρύϲεα χρυϲᾶ καὶ ὀϲτέα ὀϲτᾶ καὶ κανέα κανᾶ ϲυμφώνου προηγουμένου τῷ ε̄ εἰϲ ᾱ ἐγένετο ἡ κρᾶϲιϲ; ἔϲτιν οὖν εἰπεῖν, ὅτι οὐκ ἐγένετο τὸ χαλκᾶ ἀπὸ τοῦ χάλκεα κατὰ κρᾶϲιν οὔτε τὰ κανᾶ ἀπὸ τοῦ κάνεα, ἀλλὰ λέγομεν ὅτι αἱ εὐθεῖαι τούτων αἱ ἑνικαὶ διχῶϲ λέγονται καὶ ἐντελῶϲ καὶ κατὰ κρᾶϲιν. καὶ αἱ μὲν οὖν ἐντελεῖϲ εὐθεῖαι πληθυντικαὶ ἀπὸ τῆϲ ἐντελοῦϲ ἑνικῆϲ εὐθείαϲ ἐκλίθηϲαν οἷον ἀπὸ τοῦ χάλκεον χάλκεα καὶ ἀπὸ τοῦ χρύϲεον χρύϲεα καὶ ἀπὸ τοῦ ὀϲτέον ὀϲτέα καὶ ἀπὸ τοῦ κάνεον κάνεα· αἱ δὲ κατὰ κρᾶϲιν εὐθεῖαι πληθυντικαὶ ἀπὸ τῆϲ κατὰ κρᾶϲιν εὐθείαϲ τῶν ἑνικῶν εἰϲιν, οἷον ἀπὸ τοῦ χαλκοῦν χαλκᾶ καὶ ἀπὸ τοῦ χρυϲοῦν χρυϲᾶ καὶ ἀπὸ τοῦ ὀϲτοῦν ὀϲτᾶ καὶ ἀπὸ τοῦ κανοῦν κανᾶ, τουτέϲτιν ἐν τῇ εὐθείᾳ τῶν ἑνικῶν ἐγένετο ἡ κρᾶϲιϲ καὶ ἐκεῖθεν ἡ κλίϲιϲ ἐν τοῖϲ πληθυντικοῖϲ.

*492.

Choer. 213, 25: Δεῖ παραφυλάξαϲθαι, ὅτι ἐπὶ τῶν Ἀττικῶν τῶν γινομένων κατὰ ϲυναλοιφὴν ἐν τῇ γενικῇ τοῦ ε̄ καὶ ω̄ εἰϲ τὸ ω̄ οἷον τοῦ Ἐρετριέωϲ τοῦ Ἐρετριῶϲ, τοῦ Στειριέωϲ τοῦ Στειριῶϲ οἱ Ἀθηναῖοι τὰϲ αἰτιατικὰϲ ϲυναλείφοντεϲ εἰϲ ᾱ μόνον ποιοῦϲιν αὐτὰϲ οἷον τὸν Ἐρετριέα Ἐρετριᾶ, τὸν Στειριέα Στειριᾶ καὶ οὐκέτι εἰϲ η̄. καὶ λέγουϲί τινεϲ ταύτην τὴν ἀπολογίαν ὅτι ὃν τρόπον ἐποίηϲαν κρᾶϲιν οὐκ ἀπὸ

[491c]

Arcad. 126, 9: τὸ κρῆϲ ἀπὸ τοῦ κρέαϲ καὶ οὐδέτερον ὂν περιϲπᾶται.

[491d]

Io. Al. 10, 5 et 11, 1: τὸ κῆροϲ καὶ ἦροϲ ἐκ τοῦ κέαροϲ καὶ ἔαροϲ ϲυναλήλιπται, ὁμοίωϲ καὶ αἱ δοτικαὶ κῆρι καὶ ἦρι.

[491e]

Io. Al. 19, 33: τὸ φρεάτων ϲυναιρεθὲν ἐν τῇ παραληγούϲῃ ὀφείλει βαρύνεϲθαι· εἴπομεν γὰρ ὡϲ ἡ βαρεῖα καὶ ὀξεῖα εἰϲ ὀξεῖαν ϲυναιροῦνται· νῦν δὲ παραλόγωϲ περιϲπᾶται ϲυνεξελθὸν τῷ Κρητῶν θητῶν καὶ τοῖϲ ὁμοίοιϲ.

[492a]

Choer. 861: ὁ μὲν Ἡρωδιανόϲ φηϲιν, ὅτι κυρίωϲ διαίρεϲίϲ ἐϲτιν αὕτη ἡ ἐν τῷ τιθεῖϲι τιθέαϲι καὶ διδοῦϲι διδόαϲι καὶ ζεύγνυϲι ζευγνύαϲι καὶ πιϲτοῦται τοῦτο ἐκ τῶν πληθυντικῶν αἰτιατικῶν· ἰδοὺ γάρ, φηϲίν, ἐν τῷ Δημοϲθένεαϲ Δημοϲθένειϲ τὸ εα εἰϲ τὴν ει δίφθογγον ϲυναιρεῖται καὶ πάλιν ἐν τῷ ἰχθύαϲ ἰχθῦϲ τὸ υ καὶ τὸ α εἰϲ τὸ ῡ ϲυναιρεῖται καὶ πάλιν ἐν τῷ βόαϲ βοῦϲ τὸ καὶ α εἰϲ τὴν ου δίφθογγον ϲυναιρεῖται.

ἀπαθὴϲ εἰϲ ᾱ λήγουϲα βαρύνεται ὑπεϲταλμένηϲ τῆϲ τινά. ἀπαθὴϲ διὰ τὸ εὐφυᾶ διφυᾶ καὶ τὰ τοιοῦτα.

ad fr. *492. Diehr. 291, 14: πᾶϲα αἰτιατικὴ ἀπαθὴϲ εἰϲ ᾱ λήγουϲα ϲυϲτέλλεϲθαι θέλει Ἀλκμᾶνα, ποιμένα, Ἕκτορα, θώρακα, Αἴαντα, Ἀχιλλέα, βαϲιλέα. Ἀττικοὶ μέντοι ἐκτείνουϲι τὰϲ ἀπὸ τῶν εἰϲ ευϲ Ἀτρέα λέγοντεϲ καὶ ἱερέα. πρόϲκειται δὲ ἀπαθὲϲ διὰ τὸ χοᾶ καὶ Ἐρετριᾶ καὶ Πειραιᾶ καὶ Στειριᾶ. — II. Pr. Λ

τῆς κοινῆς γενικῆς, τῆς διὰ τοῦ ε̄ καὶ ō, ἀλλ' ἀπὸ τῆς Ἀττικῆς τῆς διὰ τοῦ ε̄ καὶ ω̄ οἷον Πειραιέως Πειραιῶς, Ἐρετριέως Ἐρετριῶς, Στειριέως Στειριῶς, τὸν αὐτὸν τρόπον ἐν τῇ αἰτιατικῇ οὐκ ἀπὸ τῆς κοινῆς αἰτιατικῆς ἐποίησαν τὴν κρᾶσιν, ἀλλ' ἀπὸ τῆς Ἀττικῆς, τουτέστι τῆς ἐχούσης τὸ ᾱ ἐκτεταμένον, καὶ λοιπὸν εὐλόγως εἰς ᾱ μόνον ἐγένετο ἡ κρᾶσις· τὰ γὰρ ἀναδεχόμενα κρᾶσιν τοῦ ε̄ καὶ ᾱ εἰς η̄ ἢ εἰς ᾱ μακρὸν πρὸ τῆς κράσεως συνεσταλμένον ἔχουσι τὸ ᾱ ἤγουν τὸν ὑγιέα, τὸν εὐφυέα. ἐπὶ τούτων οὖν, φημὶ δὴ τοῦ Ἐρετριᾶ, Πειραιᾶ, Στειρεᾶ εἰς α μόνως ἐγένετο ἡ κρᾶσις· τὰ γὰρ ἀναδεχόμενα κρᾶσιν τοῦ ε̄ καὶ ᾱ πρὸ τῆς κράσεως μακρὸν ἔχουσι τὸ ᾱ.

Ἰστέον δὲ ὅτι οὐκ ἔστι καταναγκαστικὸς ὁ λόγος οὗτος· πολλάκις εὑρίσκεται τὸ ε̄ καὶ ᾱ μακρὸν εἰς η κιρνάμενα ὡς ἐπὶ τοῦ Ἑρμέας Ἑρμῆς, Σωσέας Σωσῆς. ἰδοὺ γὰρ ἐνταῦθα τὸ ε̄ καὶ α μακρὸν εἰς η κίρνανται. τὸ γὰρ Ἑρμέας καὶ Σωσέας μακρὸν ἔχουσι τὸ ᾱ, ἐπειδὴ τὰ εἰς ας ἀρσενικὰ βαρύτονα μακρὸν ἔχουσι τὸ ᾱ οἷον Αἴας, Θόας, κοχλίας, Αἰνείας, γίγας, Κάλχας, χωρὶς τοῦ μέγας τοῦ ἐπιθέτου καὶ τοῦ λᾶας τοῦ προσηγορικοῦ καὶ τοῦ Αἴας παρ' Ἀλκμᾶνι· τί οὖν ἄτοπον καὶ ἐπὶ τοῦ Ἐρετριέα Ἐρετριᾶ καὶ Πειραιέα Πειραιᾶ καὶ Στειριέα Στειριᾶ, εἰ καὶ ἀπὸ τῆς Ἀττικῆς αἰτιατικῆς, φημὶ δὴ τῆς ἐχούσης τὸ ᾱ ἐκτεταμένον, ἐγένετο ἡ κρᾶσις, γενέσθαι καὶ εἰς η τὴν κρᾶσιν; κρεῖττον οὖν ἐστιν εἰπεῖν τὴν αἰτίαν ταύτην· διὰ τοῦτο ἐπὶ τοῦ Ἐρετριέα Πειραιέα Στειριέα Ἐρετριᾶ Πειραιᾶ καὶ Στειριᾶ οὐκ ἐγένετο εἰς η ἡ κρᾶσις, ἀλλ' εἰς α μόνον, ἐπειδὴ τούτων ἡ κλητικὴ εἰς φωνῆεν λήγει οἷον ὦ Ἐρετριεῦ καὶ ὦ Πειραιεῦ καὶ ὦ Στειριεῦ· οὐδέποτε δὲ τῆς κλητικῆς εἰς φωνῆεν ληγούσης ὀφείλει ἡ αἰτιατικὴ εἰς η καταλήγειν οὔτε παρ' ἡμῖν οὔτε παρὰ τοῖς Ἀθηναίοις οἷον ὦ Χρύση τὸν Χρύσην, ὦ τοξότα τὸν τοξότην, ὦ Δημοσθένη Ἀττικῶς καὶ τὸν Δημοσθένην Ἀττικῶς μετὰ τοῦ ν. «παρ' ἡμῖν καὶ παρὰ τοῖς Ἀθηναίοις» πρόσκειται, ἐπειδὴ παρὰ τοῖς Δωριεῦσιν εὑρίσκεται ἡ κλητικὴ εἰς φωνῆεν λήγουσα, τῆς αἰτιατικῆς εἰς η καταληγούσης οἷον ὦ Τυδεῦ καὶ τὸν Τυδῆ, ὡς παρὰ τῷ ποιητῇ (Δ 384) «ἔνθ' αὖτ' ἀγγελίην ἔπι Τυδῆ στεῖλαν Ἀχαιοί». τούτου χάριν ἐπὶ τοῦ Ἐρετριέα Ἐρετριᾶ, καὶ Πειραιέα Πειραιᾶ καὶ Στειριέα Στειριᾶ εἰς ᾱ μόνως ἐγένετο ἡ κρᾶσις, οὐκέτι δὲ εἰς η, ἵνα μὴ εὑρεθῇ τῆς κλητικῆς εἰς φωνῆεν ληγούσης ἡ αἰτιατικὴ εἰς η καταλήγουσα.

*493.

E. M. 265, 12: Δημάδης: ἀπὸ τοῦ Δημέας γίνεται Δημεάδης καὶ

223: Κισσῆς: ὡς Ἑρμῆς· καὶ μήποτε παρὰ τὸ Κισσός παρώνυμόν τι ἐγένετο Κισσέας καὶ κατὰ συναλοιφὴν Κισσῆς. Io. Al. 8, 27: Ἑρμῆς Θαλῆς Σωσῆς ἐκ τοῦ Ἑρμέας Θαλέας Σωσέας συνῃρημένα. — Il. Pr. O 339: Μηκιστῆ: ὁμοίως τῷ «ἔνθ' αὖτ' ἀγγελίην ἔπι Τυδῆ στεῖλαν Ἀχαιοί». καὶ ἤτοι ἀπεκόπη ἡ Μηκιστῆα αἰτιατική, ἢ Δωρικῶς κέκλιται, ὅπερ μοι δοκεῖ καὶ ἄμεινον. — De accusativo pluralis Io. Al. 20, 32: τὸ Ἐρετριέας Ἐρετριᾶς καὶ ἁλιέας ἁλιᾶς κατὰ συναίρεσιν περισπῶνται παρ' Ἀθηναίοις.

ad fr. *493. omisi verba initio posita οὐκ ἔχει τὸ ῑ, quae ad orthographiam

κατὰ cυναίρεcιν Δημάδηc καὶ ὤφειλεν εἰc η̄ γενέcθαι ἡ κρᾶcιc, ἀλλὰ διὰ τὸν χαρακτῆρα εἰc α ἐγένετο. τὰ γὰρ εἰc δηc πατρωνυμικὰ ἢ τύπου πατρωνυμικοῦ ὄντα ἢ τῷ ῑ θέλει παραλήγεcθαι ἢ τῷ α οἷον Πηλείδηc Αἰακίδηc, Εὐρυμάδηc, Πυλάδηc· οὕτωc οὖν καὶ Δημάδηc.

*494.

Choer. 417, 11: ἔcτι cπέοc cπέεοc cπέεϊ καὶ κατὰ κρᾶcιν τῶν δύο εε εἰc η̄ cπῆϊ «εὗρε δὲ cπῆϊ» (Ω 83) ὥcπερ Ἡρακλέεοc Ἡρακλῆοc «τεῖχοc ἐc ἀμφίχυτον Ἡρακλῆοc θείοιο» (Υ 145).

*495.

Choer. Dict. 164, 12: Δεῖ γινώcκειν ὅτι ἐν μὲν τοῖc δυϊκοῖc τὰ δύο εε εἰc η κίρνανται οἷον Δημοcθένεε Δημοcθένη, Διομήδεε Διομήδη, ἐν δὲ τοῖc πληθυντικοῖc εἰc τὴν ει δίφθογγον οἷον Δημοcθένεεc Δημοcθένειc, Διομήδεεc Διομήδειc, cπανίωc δὲ καὶ ἐν τοῖc δυϊκοῖc, ἀλλ' εὑρίcκονται τὰ δύο εε εἰc τὴν ει δίφθογγον κιρνάμενα οἷον ταρίχεε ταρίχει, πόλεε πόλει, ὡc παρ' Αἰcχίνῃ τῷ Cωκρατικῷ «τούτω τὼ πόλει» (λέγει δὲ περὶ Ἀθηνῶν καὶ Λακεδαιμονίων) καὶ ἐν τοῖc πληθυντικοῖc εἰc η οἷον ἱππέεc ἱππῆc, καὶ βαcιλέεc βαcιλῆc. ταῦτα δὲ Ἀττικά εἰcι καὶ ἐπὶ μόνων τῶν εἰc ευc τοῦτο ποιοῦcιν οἱ Ἀττικοί, φημὶ δὴ τὸ κιρνᾶν τὰ δύο εε εἰc η ἐν τῇ εὐθείᾳ τῶν πληθυντικῶν.

Καὶ ἄξιόν ἐcτι ζητῆcαι διὰ ποίαν αἰτίαν ἐν μὲν τοῖc δυϊκοῖc τὰ δύο εε εἰc η̄ κιρνῶνται, ἐν δὲ τοῖc πληθυντικοῖc εἰc τὴν ει δίφθογγον. ἀπολογούμεθα οὖν ἡμεῖc περὶ τούτων οὕτωc· τὸ ῑ χαρακτηριcτικόν ἐcτι τῆc εὐθείαc τῶν πληθυντικῶν, οὐ μὴν τῆc εὐθείαc τῶν δυϊκῶν οἷον φίλοι, Ὅμηροι, κοχλίαι, Αἰνεῖαι. ἐπειδὴ οὖν τὸ ῑ χαρακτηριcτικόν ἐcτι τῆc εὐθείαc τῶν πληθυντικῶν, εὐλόγωc οὖν ἐν τοῖc πληθυντικοῖc τὰ δύο εε εἰc τὴν ει δίφθογγον κίρνανται, ἐν δὲ τοῖc δυϊκοῖc εἰc τὸ η, ἐπειδή, εἰ ἐγένετο τῶν δύο εε κρᾶcιc εἰc τὴν ει δίφθογγον ἐν τοῖc δυϊκοῖc, εὑρίcκεται τὸ ῑ ἐν τῇ τελευταίᾳ cυλλαβῇ, ὅπερ ἐcτὶ γνήcιον,

spectare solent, ab hoc loco aliena, nisi forte epitomator his verbis cavere voluit, ne quis a Δῆμοc derivatum putet, a quo Δημίδηc non Δημάδηc descenderet. Sed Herodianus sic non loquitur; res autem ab eo profecta est, nam traditur in fragmento Herodianeo ex libro περὶ κλίcεωc ὀνομάτων An. Ox. IV 334, 10 Δημάδηc ἐκ τοῦ Δημεάδηc ὄν. Etiam Priscianus II 7, 37 Demades paenultimam producere perhibet (cf. Lob. Parall. p. 6). Quum autem in E. M. p. 210, 16 in loco, qui item Herodianeae originis videtur, tradatur Δημέαc Δημεάδηc καὶ κατὰ cυγκοπὴν Δημάδηc, suspicari licet Herodianum de hoc nomine dubitasse et sic fere pronunciasse: τὸ Δημάδηc ἀμφίβολον· εἰ μὲν τὸ ᾰ cυνεcταλμένον ἐcτὶν ἀπὸ τοῦ Δημέαc Δημεάδηc καὶ κατὰ cυγκοπὴν Δημάδηc, εἰ δὲ ἐκτεινόμενον ἐκ τοῦ Δημεάδηc κατὰ cυναίρεcιν. cf. Lob. El. II 82, I 254.

ad fr. *494. cf. eundem p. 179, 22, Lob. El. II 52.

ad fr. *495. In verbis οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ οὐκ ἔcτιν οὐδέτερα, ἀλλὰ θηλυκὰ alteram ex duabus a Lobeckio in El. II 56 propositis emendationibus τὸ μὲν οὐδέτερον, τὸ δὲ θηλυκόν recepi, quia paullo ante eaedem formae ταρίχει et πόλει commemoratae sunt. Altera emendatio, quam Lob. ipse praeoptat, est τὰ ῥάχει pro ταρίχει. — Similiter Theogn. p. 153, 20 οὐκ ἔcτι τῆc εὐθείαc τῶν δυικῶν τελικὸν τὸ ῑ· πίcτιc δὲ τοῦ λόγου τὸ βαcιλεύc, ὅτι ἐπὶ μὲν τῆc εὐθείαc τῶν πληθυντικῶν τὰ δύο εε εἰc τὴν ει δίφθογγον κίρναται· τὸ γὰρ ῑ εὑρίcκεται τελικὸν ἀρcενικῶν ὀνομάτων οἷον ὅμηροι, ἄνθρωποι, εἰc δὲ τὴν εὐθείαν

ὡς εἴρηται, τῆς εὐθείας τῶν πληθυντικῶν. τούτου χάριν ἵνα μὴ εὑρεθῇ τὸ ι̅ τελικὸν ἐπὶ τῆς εὐθείας τῶν δυϊκῶν, οὐκ ἐγένετο ἡ κρᾶσις τῶν δύο εε εἰς τὴν ε̅ι̅ δίφθογγον, ἀλλ' εἰς τὸ η. ἔστιν οὖν εἰπεῖν καὶ ἑτέραν τοιαύτην ἀπολογίαν· οὐδέποτε εὑρίσκεται ἐν ἀρσενικοῖς ὀνόμασι εὐθεῖα δυϊκῶν εἰς οἱανδήποτε δίφθογγον λήγουσα οἷον τὼ Αἴαντε, τὼ λέβητε, τὼ Ἀτρείδα, τὼ Ὀρέστα. ὅθεν καὶ ἐπὶ τῆς εἰς α̅ καὶ εἰς ω ληγούσης δοτικῆς τῶν ἑνικῶν, δηλονότι μετὰ τοῦ ι̅ οὔσης, ἡ εὐθεῖα τῶν δυϊκῶν οὐκ ἔχει τὸ ι̅ προσγεγραμμένον οἷον τῷ κοχλίᾳ τὼ κοχλία, τῷ ὁμήρῳ τὼ ὁμήρω. τούτων οὖν χάριν ἐν τοῖς δυϊκοῖς οὐ κίρνανται τὰ δύο εε εἰς τὴν ε̅ι̅ δίφθογγον. πρόσκειται ἀνωτέρω «ἐν ἀρσενικοῖς ὀνόμασιν» διὰ τὸ ταρίχεε ταρίχει, πόλεε πόλει· ταῦτα γὰρ διὰ τῆς ει διφθόγγου γράφεται. ἀλλ' οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ οὐκ ἔστιν ἀρσενικά, ἀλλὰ τὸ μὲν οὐδέτερον, τὸ δὲ θηλυκόν, ἄλλως τε δὲ καὶ σπάνιά εἰσιν, ἅτινα οὐκ ἔρρωνται εἰς κανόνα. ἔστι δὲ εἰπεῖν καὶ ἄλλην ἀπολογίαν τοιαύτην· ἡ εὐθεῖα τῶν πληθυντικῶν πλείοσι φωνήεσι κέχρηται πολλάκις ὡς πρὸς τὴν εὐθεῖαν τῶν δυϊκῶν οἷον τὼ ὁμήρω οἱ ὅμηροι, τὼ κοχλία οἱ κοχλίαι. ἰδοὺ ἡ εὐθεῖα τῶν πληθυντικῶν δύο ἔχει φωνήεντα, τῆς εὐθείας τῶν δυϊκῶν ἓν φωνῆεν ἐχούσης. εἰκότως οὖν ἐν μὲν τοῖς πληθυντικοῖς τὰ δύο εε εἰς τὴν ει δίφθογγον κίρνανται, ἐν δὲ τοῖς δυϊκοῖς εἰς τὸ η, ἵνα πλείονα σχῇ φωνήεντα ἡ εὐθεῖα τῶν πληθυντικῶν τῆς εὐθείας τῶν δυϊκῶν. ἡ γὰρ ε̅ι̅ δίφθογγος δύο φωνήεντά εἰσι, τὸ δὲ η ἓν ἐστιν. ἔστι δὲ εἰπεῖν καὶ ἄλλην ἀπολογίαν ταύτην· ἡ εὐθεῖα τῶν δυϊκῶν μείζονι χρόνῳ κέχρηται πολλάκις ὡς πρὸς τὴν εὐθεῖαν τῶν πληθυντικῶν οἷον τὼ ὁμήρω οἱ ὅμηροι· τὸ ω μεῖζόν ἐστι τῆς ο̅ι̅ διφθόγγου. τὰ Μηδεία αἱ Μήδειαι, τὸ α τὸ φύσει μακρὸν μεῖζόν ἐστι τῆς αι διφθόγγου. ἐπεὶ οὖν καὶ τὸ η̅ μεῖζόν ἐστι τῆς ει διφθόγγου, εἰκότως ἐν μὲν τοῖς δυϊκοῖς τὰ δύο εε εἰς η κίρνανται, ἐν δὲ τοῖς πληθυντικοῖς εἰς τὴν ει δίφθογγον, ἵνα εὑρεθῇ μείζονα χρόνον ἔχουσα ἡ εὐθεῖα τῶν δυϊκῶν ὡς πρὸς τὴν εὐθεῖαν τῶν πληθυντικῶν. ὅτι δὲ τὸ η̅ μεῖζόν ἐστι τῆς ε̅ι̅ διφθόγγου, δῆλον ἐντεῦθεν· ὥσπερ ὁ εἷς στρατιώτης ὁ δυνάμενος ἔργον δύο στρατιωτῶν ποιῆσαι ἰσχυρότερος ἐκείνων ἐστί, καὶ τὸν αὐτὸν τρόπον καὶ τὸ ἓν φωνῆεν ποιοῦν ἔργον, ὃ δύναται δύο φωνήεντα ποιῆσαι, ἰσχυρότερον ἐκείνων ἐστίν· ὅπερ γὰρ ἡ ει δίφθογγος ποιεῖ, τοῦτο καὶ τὸ η μόνον ποιεῖ. καὶ γὰρ ἡ ε̅ι̅ δίφθογγος φύσει μακρὰν ἀποτελεῖ τὴν συλλαβὴν καὶ τὸ η δὲ ὡσαύτως.

*496.

Choer. 440, 14: ἰστέον ὅτι ἡ εἰς ε̅ λήγουσα εὐθεῖα τῶν δυϊκῶν

τῶν δυϊκῶν τὰ δύο εε εἰς η̅ τὼ Δημοσθένεε τὼ Δημοσθένη, οὐκ εἰς τὴν ει δίφθογγον, ὅτι μὴ τὸ ι̅ τελικὸν τῆς εὐθείας τῶν δυϊκῶν. Io. Al. 16, 7 αἱ εἰς ε̅ι̅c̅ ἀπὸ μὲν βαρυτόνων ἑνικῶν βαρύνονται, Δημοσθένης Δημοσθένεις, ἀπὸ δὲ ὀξυνομένων ἢ περισπωμένων περισπῶνται εὐγενής εὐγενεῖς, Ἡρακλῆς Ἡρακλεῖς. τῶν δὲ τοιούτων οἱ Ἀθηναῖοι τὴν συναίρεσιν ποιοῦνται διὰ τοῦ η̅ καὶ ὁμοίως περισπῶσιν, ἱππῆς ἐκ τοῦ ἱππέες, βασιλέες βασιλῆς.

ad fr *496. Io. Al. 14, 22 τὰ δύο ε̅ε̅ εἰς η̅ συναιροῦσιν Ἀθηναῖοι «ἐγὼ δὲ

παροξυνομένη ἐν τῇ ἐντελείᾳ καὶ cυναιρουμένη περιcπᾶται οἷον εὐγενέε εὐγενῆ, εὐcεβέε εὐcεβῆ· προπαροξυνομένη δὲ ἐν τῇ ἐντελείᾳ καὶ cυναιρουμένη παροξύνεται οἷον Δημοcθένεε Δημοcθένη, Διομήδεε Διομήδη· ἰcτέον δὲ καὶ τοῦτο, ὅτι ἡ εὐθεῖα τῶν δυϊκῶν τὼ πρέcβη παρὰ τοῖc ῥήτορcι βαρυτόνωc ἀναγινώcκεται ὡc ἀπὸ τοῦ πρέcβυc πρέcβεοc πρέcβεε πρέcβη, παρὰ δὲ Ἀριcτοφάνει περιcπωμένωc (fr. 495 Dind.) «ἥκετον πρεcβῆ δύο» ὡc ἀπὸ εὐθείαc ὀξυτόνου·οἷον ὡc ἀπὸ τοῦ ὁ πρεcβεύc τοῦ πρεcβέοc τὼ πρεcβέε τὼ πρεcβῆ.

*497.

Choer. 230, 20: οὐ cυναιρεῖται ἐπὶ τῶν εἰc $\overline{\text{υc}}$ τριγενῶν ἡ εὐθεῖα τῶν δυϊκῶν. οὐδὲ γὰρ λέγομεν τὼ ἡδέε τὼ ἡδῆ ὥcπερ τὼ Δημοcθένεε τὼ Δημοcθένη. δεῖ δὲ γινώcκειν ὅτι τὸ τραχύc μόνον εὑρίcκεται cυναιρούμενον κατὰ τὴν εὐθεῖαν τῶν δυϊκῶν εἰc τὴν ει δίφθογγον παρὰ Ἴωνι τῷ τραγικῷ οἷον τὼ τραχέε τὼ τραχῆ.

498.

Choer. 217, 15: ἰcτέον ὅτι ἐπὶ τῶν εἰc $\overline{\text{ευc}}$ κυρίων ἡ εὐθεῖα τῶν πληθυντικῶν διὰ δύο εε εἰc τὴν ει δίφθογγον cυναλείφει μόνωc, ἐπὶ δὲ τῶν μὴ ὄντων κυρίων εἰc τὴν ει δίφθογγον cυναλείφει τὰ δύο εε καὶ εἰc τὸ $\overline{\text{η}}$ Ἀττικῶc, βαcιλέεc βαcιλεῖc διὰ τῆc ει διφθόγγου καὶ βαcιλῆc Ἀττικῶc διὰ τοῦ η. ἡ δὲ τούτων αἰτιατικὴ διὰ τῆc ει διφθόγγου μόνωc λέγεται, οὐκέτι δὲ καὶ διὰ τοῦ η οἷον τοὺc βαcιλεῖc τοὺc ἱππεῖc, καὶ τοῦτο εὐλόγωc, ἐπειδὴ οὔτε ἐν τῇ εὐθείᾳ τῶν πληθυντικῶν ἐcτι γνηcία ἡ κρᾶcιc ἡ τῶν δύο εε εἰc η. ἐμάθομεν γάρ, ὅτι τὰ δύο εε ἐν τοῖc πληθυντικοῖc εἰc τὴν ει δίφθογγον κίρνανται οἷον Δημοcθένεεc Δημοcθένειc, Διομήδεεc Διομήδειc. cημειοῦται δὲ ὁ Ἡρωδιανὸc παρὰ τῷ Cοφοκλεῖ τοὺc βαcιλῆc διὰ τοῦ η γραφομένουc κατὰ τὴν αἰτιατικὴν οἷον (Ai. 390) «τούc τε διcτάρχαc ὤλεcαc βαcιλῆc». ἔcτι δὲ καὶ παρὰ τῷ Ξενοφῶντι (Cyrop. I 1, 2) τοὺc νομῆc διὰ τοῦ η.

*499.

E. M. 764, 56 (E. Or. 153, 16): τρήρων ἐπὶ περιcτερᾶc ἡ δειλή· παρὰ τὸ τρεῖν· εὐλαβὲc γὰρ τὸ ζῷον. παρὰ τὸ τρέω τὸ φοβοῦμαι

[499a]

H. Pr. Θ 240: ὁ Ἀcκαλωνίτηc λέγει τὸ δῆμοc τὸ ἐπὶ τοῦ πλήθουc παρὰ τὸ δέμαc γεγενῆcθαι οἱονεὶ cῶμά τι τυγχάνον ἢ παρὰ τὸν δαcμόν. δύναιτο δ' ἄν τιc καὶ ἄλλωc ἐτυμολογεῖν, εἰ παρὰ τὸ δέω γένοιτο δέεμοc καὶ ἐν cυναλοιφῇ δῆμοc, τὸ cυνδεδεμένον πλῆθοc. τὸ γὰρ ἐναντίον λύη ἀπὸ τῆc διαλύcεωc.

τοι πεπόνηκα κομιδῆ τὼ cκέλη», «οὐκ ἐμοῦ κινοῦντοc αὐτὼ τὼ cκέλη χορεύετον», «καὶ πρόc γε τούτοιc ἥκετον πρεcβῆ δύο».

τρεερός κατὰ συναλοιφὴν τρηρός καὶ παρώνυμον τρήρων ὡς ἁβρός Ἅβρων.

*500.

Choer. 667, 25: ἔστιν ἔω καὶ κέω βαρύτονα· ταῦτα περισπωμένως γίνεται ἐῶ καὶ κεῶ· εἶτα ἐκ τούτων τῶν περισπωμένων γίνονται παραγωγὰ εἰς μι οἷον ἔημι καὶ κέημι καὶ λοιπὸν ὁ παθητικὸς ἐνεστὼς ἔεμαι καὶ κατὰ κρᾶσιν τῶν δύο εε εἰς η γίνεται ἦμαι, πῆ δὲ εἰς τὴν ει δίφθογγον κεῖμαι.

*501.

Choer. 509, 14: διὰ τοῦτο ἐν τῷ ποιεῖτε τὰ δύο εε εἰς τὴν ει δίφθογγον ἐκράθησαν καὶ οὐκ εἰς τὸ η, ἐπειδὴ τὰ εἰς μεν καὶ εἰς τε τὰ ἴσα φωνήεντα θέλουσιν ἔχειν κατὰ τὴν παραλήγουσαν οἷον τύπτομεν τύπτετε ἐτύψαμεν ἐτύψατε, βοῶμεν βοᾶτε, ἐτύφθημεν ἐτύφθητε, χρυσοῦμεν χρυσοῦτε. εἰ οὖν τὸ ποιοῦμεν διὰ δύο φωνηέντων ἐκφέρεται κατὰ τὴν παραλήγουσαν, δηλονότι ἀναγκάζεται καὶ τὸ ποιεῖτε διὰ δύο φωνηέντων ἐκφέρεσθαι κατὰ τὴν παραλήγουσαν, καὶ δῆλον ὅτι εἰς τὴν ει δίφθογγον ἐγένετο ἡ κρᾶσις καὶ οὐκ εἰς τὸ η.

*502.

Choer. 528, 20: διὰ τοῦτο ἐν τῷ ἐποίεις τὰ δύο εε εἰς τὴν ει δίφθογγον ἐκράθησαν καὶ οὐκ εἰς τὸ η, ἐπειδὴ καθόλου ἐπὶ τῶν παρῳχημένων τῶν ὁριστικῶν τὰ δεύτερα καὶ τρίτα πρόσωπα τῶν ἑνικῶν τὰ ἴσα φωνήεντα θέλουσιν ἔχειν κατὰ τὴν λήγουσαν τῶν ἰδίων πρώτων προσώπων, ἡνίκα ἰσοσυλλαβοῦσιν αὐτά, οἷον ἔτυπτον ἔτυπτες ἔτυπτε, τέτυφα τέτυφας τέτυφε, ἔτυψα ἔτυψας ἔτυψε, ἐτύφθην ἐτύφθης ἐτύφθη, ἐβόων ἐβόας ἐβόα, ἐπεποιήκειν ἐπεποιήκεις ἐπεποιήκει, ἐχρύσουν ἐχρύσους ἐχρούσου, ἵδρουν ἵδρους ἵδρου. εἰ οὖν τὸ ἐποίουν διὰ δύο φωνηέντων ἐκφέρεται κατὰ τὴν λήγουσαν, δῆλον ὅτι καὶ τὸ ἐποίεις καὶ ἐποίει ἀναγκάζονται διὰ δύο φωνηέντων ἐκφέρεσθαι κατὰ τὴν λήγουσαν, ἵνα εὑρεθῶσι τὰ ἴσα φωνήεντα ἔχοντα κατὰ τὴν λήγουσαν τῷ ἰδίῳ πρώτῳ προσώπῳ, καὶ τούτου χάριν εἰς τὴν ει δίφθογγον ἐγένετο ἡ κρᾶσις καὶ οὐκ εἰς τὸ η.

[499b]

Il. Pr. T 26: τὸ δείλη βαρυνόμενον ἔχει ἔννοιαν συνθέσεως· ἐτυμολογεῖται γὰρ παρὰ τὸ ἐνδεῖν τῇ ἕλῃ δεέλη.

---

ad fr. *501. Ob similem causam etiam ποιέεται in ποιεῖται et ἐποιεῖτο contrahuntur Choer. 675, 3: ἄξιόν ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν ἐν τῷ ποιεῖται τὰ δύο εε εἰς τὴν ει δίφθογγον κιρνᾶται καὶ μὴ εἰς τὸ η; καὶ ἔστιν εἰπεῖν τὴν ἀπολογίαν ταύτην· τὰ εἰς μαι καὶ τὰ εἰς ται τὰ ἴσα φωνήεντα θέλουσιν ἔχειν κατὰ τὴν παραλήγουσαν οἷον τύπτομαι τύπτεται, λέγομαι λέγεται, βοῶμαι βοᾶται, χρυσοῦμαι χρυσοῦται, στεφανοῦμαι στεφανοῦται· εἰ οὖν τὸ ποιοῦμαι διὰ δύο φωνηέντων ἐκφέρεται κατὰ τὴν παραλήγουσαν, δηλονότι καὶ τὸ ποιεῖται ἀναγκάζεται διὰ δύο φωνηέντων ἐκφέρεσθαι κατὰ τὴν παραλήγουσαν καὶ εὐλόγως εἰς τὴν ει δίφθογγον ἐγένετο ἡ κρᾶσις καὶ οὐκ εἰς τὸ η; 681, 15.

*503.

Choer. 562, 4: ἔςτιν εἴδω· τούτου ὁ μέςος παρακείμενος εἶδα καὶ κατὰ τροπὴν Αἰολικὴν τοῦ ε εἰς ο οἶδα, ὁ ὑπερςυντέλικος εἴδειν. τούτου τοῦ εἴδειν τὸ ε ἐν τῇ ἀρχῇ Ἀττικῶς ἐξετάθη εἰς τὸ η ὡς ἐν τῷ ἔμελλον ἤμελλον, ἐβουλόμην ἠβουλόμην, ἐδυνάμην ἠδυνάμην, εἰκάζω ᾔκαζον καὶ ἔμεινε τὸ ι προςγεγραμμένον τῷ η καὶ ἐγένετο ᾔδειν, τούτου τὸ δεύτερον ᾔδεις, τὸ τρίτον ᾔδει. ταῦτα Ἰωνικῶς διαλύεται ᾔδεα καὶ ᾔδεε καὶ Ἀττικῶς κιρνῶνται καὶ ἀποτελεῖται τὸ ᾔδη ἐγώ ὥςπερ Εὐριπίδης ἐν Ἱππολύτῳ (405) «τὸ δὲ ἔργον ᾔδη τὴν νόςον τε δυςκλεᾶ» καὶ ᾔδη ἐκεῖνος οἷον ὡς παρὰ τῷ ποιητῇ «ὃς ᾔδη τά τ' ἐόντα τά τ' ἐςςόμενα πρό τ' ἐόντα» (Α 70). ἀλλ' ἡ τοιαύτη κρᾶςις ἡ διὰ τοῦ η κατὰ τὸ πρῶτον πρόςωπον τῆς νέας Ἀτθίδος ἐςτὶν ἰδίωμα οἷον «ἐπεποιήκη ἐκεῖνος». ἐπειδὴ δὲ εὑρίςκομεν παρὰ τῷ ποιητῇ χρήςεις τοῦ τρίτου προςώπου, λέγω δὴ ᾔδη ἐκεῖνος οἷον «ὃς ᾔδη τά τ' ἐόντα τά τ' ἐςςόμενα πρό τ' ἐόντα» καὶ πάλιν «νήπιος οὐδὲ τὰ ᾔδη ἅ ῥα Ζεὺς μήδετο ἔργα» (Β 38), ὄντος δὲ τοῦ ποιητοῦ τῆς παλαιᾶς Ἀτθίδος, λέγομεν, ὅτι Ἀριςτάρχειόν ἐςτι τὸ ἁμάρτημα· ὁ γὰρ Ἀρίςταρχος εἰδὼς τοῦτο τὸ ἰδίωμα τῆς νέας Ἀτθίδος ὑπάρχον οὐκ ὤφειλεν ἐᾶςαι αὐτὸ παρὰ τῷ ποιητῇ ὄντι τῆς παλαιᾶς Ἀτθίδος.

Choer. 600, 35: οἱ Ἴωνες τὴν ει δίφθογγον τὴν οὖςαν ἐν τῷ ὑπερςυντελίκῳ διαλύουςιν ἐν τῷ πρώτῳ προςώπῳ εἰς α οἷον ἐτετύφειν ἐτετύφεα, ἐπεποιήκειν ἐπεποιήκεα τοῦ ν ἀποβληθέντος. οἱ δὲ Ἀθηναῖοι τὸ διαλυθὲν ἐκ τῶν Ἰώνων ςυναιροῦςι καὶ ποιοῦςιν εἰς η ἐπεποιήκη λέγοντες, ὅθεν καὶ τὸ «ἐκεχήνη ἐγώ» παρ' Ἀριςτοφάνει ἐν Ἀχαρνεῦςιν (10) «ὅτε δὴ ἐκεχήνη προςδοκῶν τὸν Αἰςχύλον» ὥςπερ τείχεα τείχη. καὶ πάλιν τὸ ᾔδειν οἱ Ἴωνες λέγουςιν ᾔδεα κατὰ διάλυςιν ὡς παρὰ Καλλιμάχῳ «ᾔδεα μᾶλλον ἔγωγε» ἀντὶ τοῦ ᾔδειν· καὶ λοιπὸν οἱ Ἀθηναῖοι κατὰ κρᾶςιν τοῦ ε καὶ α εἰς η ᾔδη· ὁμοίως δὲ καὶ τὸ «ἦν ἐγώ» ἀντὶ τοῦ ὑπῆρχον διαλύουςιν οἱ Ἴωνες εἰς ε καὶ α καὶ λέγουςιν ἔα ὡς παρ' Ὁμήρῳ «ἦ κε ζὼς ἀμενηνὸς ἔα χαλκοῖο τυπῇςι» (Ε 887) καὶ λοιπὸν οἱ Ἀθηναῖοι ςυναιροῦςι τὸ ε καὶ α εἰς η καὶ λέγουςι χωρὶς τοῦ ν ἦ ἀντὶ τοῦ ὑπῆρχον ὡς παρ' Ἀριςτοφάνει ἐν Ὄρνιςιν (97) «ἦ γὰρ ἐγὼ ὦ ξένοι — ἄνθρωπος» καὶ παρὰ Πλάτωνι ἡ χρῆςις εὕρηται. καὶ ἄξιόν ἐςτι ζητῆςαι τοῦτο, εἰ εὐλόγως ἐν τῷ πρώτῳ προςώπῳ οἱ Ἀττικοὶ εἰς η ποιοῦςι τὴν ςυναίρεςιν, ἐπειδὴ ἡ ἐντέλεια τὸ ε καὶ α ἔχει οἷον ἐκεχήνεα ἐκεχήνη, τὸ δὲ ε καὶ α εἰς η κιρνᾶται οἷον τείχεα τείχη, ἐν τῷ τρίτῳ προςώπῳ τῆς ἐντελείας διὰ τῶν δύο εε οὔςης, διατί εἰς η ἐποίηςαν τὴν ςυναίρεςιν οἷον ἐκεχήνεε ἐκεχήνη ἐκεῖνος καὶ μὴ εἰς τὴν ει δίφθογγον ὡς ἐπὶ τοῦ Πηλέες Πηλεῖς; ἔςτιν οὖν εἰπεῖν, ὅτι καθόλου ἐπὶ τῶν παρῳχημένων τῶν ὁριςτικῶν τὰ δεύτερα καὶ τρίτα πρόςωπα τῶν ἑνικῶν τὰ ἴςα φωνήεντα θέλουςιν ἔχειν τῷ ἰδίῳ πρώτῳ κατὰ τὴν λήγουςαν, ἡνίκα ἰςοςυλλαβοῦςιν αὐτῷ οἷον ἔτυπτον ἔτυπτες ἔτυπτε, τέτυφα τέτυφας τέτυφε, ἐποίουν ἐποίεις ἐποίει,

ἐβόων ἐβόας ἐβόα, ἐχρύσουν ἐχρύσους ἐχρύσου· εἰ οὖν τὸ πρῶτον τὸ «ἐκεχήνη ἐγώ» δι' ἑνὸς φωνήεντος ἐκφέρεται κατὰ τὴν λήγουσαν, πῶς δύναται τὸ τρίτον τὸ ἐκεχήνη ἐκεῖνος διὰ δύο φωνηέντων ἐκφέρεσθαι κατὰ τὴν λήγουσαν; ἀναγκαίως οὖν καὶ ἐπὶ αὐτοῦ ἐποίησαν εἰς η̄ τὴν συναίρεσιν.

*504.

Choer. 175, 6: ἀποροῦσί τινες, λέγοντες, τί δήποτε τὰ παρὰ τὸ κλέος σύνθετα, δηλονότι κύρια, δύο ἔχουσιν εὐθείας, μίαν ἐντελῆ καὶ μίαν συνῃρημένην οἷον Ἡρακλέης Ἡρακλῆς, τῶν ἄλλων τῶν ἀπὸ οὐδετέρων συνθέτων μίαν καὶ μόνην εὐθεῖαν ἐχόντων, σθένος Δημοσθένης, γένος Διογένης, φάος παμφαής; καὶ ἐπιλύονται λέγοντες, ὅτι ἐν τούτοις, φημὶ δὴ τοῖς παρὰ τὸ κλέος συνθέτοις, δηλονότι κυρίοις, καθαριεύουσι τὰ φωνήεντα καὶ εἰκότως ἔσχον συνῃρημένην εὐθεῖαν. τὰ γὰρ ἄλλα ὡς ἔχοντα σύμφωνον πρὸ τοῦ φωνήεντος, οἷον ἀσθενής εὐγενής, εἰκότως συναίρεσιν παθεῖν οὐκ ἠδύναντο. εἰ δέ τις ἀπορήσει, πῶς οὖν τὸ παμφαής καὶ χρυσοφαής καθαρεύοντα οὐκ ἔχουσι συνῃρημένην εὐθεῖαν; λέγομεν ὡς μὴ ὄντα κύρια οὐ συνῃρέθησαν, ἀμέλει καὶ ἐν τοῖς παρὰ τὸ κλέος συνθέτοις τὰ κύρια μόνα συναιροῦνται κατὰ τὴν εὐθεῖαν οἷον Ἡρακλέης Ἡρακλῆς, Νικοκλέης Νικοκλῆς, ἐπεὶ τὰ ἐπίθετα οὐ συναιροῦνται κατὰ τὴν εὐθεῖαν οἷον εὐκλεής δυσκλεής.

*505.

St. B. 708, 19: Ὠρεός πόλις Εὐβοίας. τούτου τὸ ἐθνικὸν διὰ τῆς ει διφθόγγου γράφεται ὡς Ζελείτης, Σαμαρείτης, Μαρωνείτης. μέμνηται τοῦ ἐθνικοῦ καὶ Χάραξ ἐν χρονικῶν ιϛ' «Ἀθηναῖοι ἅμα Χαλκιδεῦσι τοῖς ἐν Εὐβοίᾳ καὶ Μεγαρεῦσι στρατεύσαντες εἰς Ὠρεὸν Φιλιστίδην τὸν Τύραννον ἀπέκτειναν καὶ Ὠρείτας ἠλευθέρωσαν». Ἀπολλόδωρος δὲ τετρασυλλάβως φησίν, οὐ διὰ τῆς ει διφθόγγου, ἀλλὰ διὰ τοῦ ε καὶ τοῦ ι Ὠρεῖτας «οὕτω δὲ τὴν τῶν Ὠρειτῶν νυκτὸς αἱροῦσιν πόλιν». καὶ δοκεῖ ἀναλογώτερον εἶναι. τὰ γὰρ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιτης παρ-

[504ᵃ]

Il. Pr. C 100: τὸ δῆσεν δισύλλαβον ἐκδεκτέον ποιητικόν.

ad fr. *504. Arcad. 25, 12 τὰ παρὰ τὸ κλέος ἐπίθετα ὄντα ὀξύνεται εὐκλεής ἀκλεής· κύρια δὲ ὄντα ἐν μὲν τῇ ἐντελείᾳ βαρύνεται, ἐν δὲ τῇ συναιρέσει περισπᾶται Ἡρακλέης Ἡρακλῆς. Apud Choer. 172, 8—174, 32 longa expositio est, qua demonstratur adiectiva a κλέος composita et propter accentum et propter declinationem contrahi non posse; qua in disputatione complura insunt, quae ab Herodiano abhorrent; primum distinctio synaereseos (in Νηρῄς ex Νηρηΐς) a crasi (in ζωός ζώς) Herodiano ignota est; porro νηλεής a νή et ἐλεῶ, νηλής vero a λῶ derivatur contra Herodiani sententiam cf. ad fr. 211.

ad fr. *505. cf. St. B. p. 176, 23 s. Βορυσθένης: Ἕλεος Ἐλεῖτης [καὶ Ἐλείτης ὁ τὸ Ἕλος οἰκῶν, Ὠρεός Ὠρεῖτης καὶ Ὠρείτης.

ad fr. [504ᵃ]. cf. Lob. El. I 243, qui de hoc recte E. M. 138, 8 ἀντὶ τοῦ ἐδέησε κατὰ συγκοπὴν iudicare, sed Herodianum crasin dicturum fuisse arbitratur.

αγόμενα μιᾷ cυλλαβῇ πλεονάζει τῆc τοῦ πρωτοτύπου γενικῆc, Cτάγειροc Cταγείρου Cταγειρίτηc, Ἄβδηροc Ἀβδήρου Ἀβδηρίτηc, Πεντάcχοινοc Πενταcχοίνου Πενταcχοινίτηc, Δίολκοc Διόλκου Διολκίτηc· οὕτωc Ὠρεόc Ὠρεοῦ Ὠρεῖτηc καὶ κατὰ cύνοδον τοῦ ε̄ καὶ τοῦ ῑ Ὠρείτηc. οὐχ ὅμοιον δὲ τούτῳ τὸ Ζηλείτηc καὶ Cαμαρείτηc· ταῦτα γὰρ ἀπὸ τῶν εἰc ᾱ καθαρὸν ληγόντων παρῆκται.

*506.

Choer. 157, 24: τὸ ε̄ καὶ ο̄ τριχῶc cυναιροῦνται· καὶ γὰρ εἰc τὴν ου δίφθογγον, καὶ παρὰ τοῖc Ἀθηναίοιc οἷον Δημοcθένεοc Δημοcθένουc, εὐcεβέοc εὐcεβοῦc· παρὰ δὲ τοῖc Δωριεῦcι καὶ τοῖc Ἴωcιν εἰc τὴν ευ δίφθογγον οἷον Ἰδομενέοc Ἰδομενεῦc (Ν 424) «Ἰδομενεῦc δ' οὐ λῆγε μένοc μέγα» ἀντὶ τοῦ Ἰδομενέωc οὐκ ἔληγεν ἡ δύναμιc. καὶ πάλιν Ὀδυccέοc Ὀδυccεῦc (ω 397) «Ὀδυccεῦc δὲ λαβὼν κύcε χεῖρ' ἐπὶ καρπῷ» ἀντὶ τοῦ Ὀδυccέωc τὴν χεῖρα ἐφίληcε. καὶ πάλιν Ἐρέβεοc Ἐρέβευc» (Θ 868) «ἐξ Ἐρέβευc ἄξοντα κύνα cτυγεροῦ Ἀΐδαο». cπανίωc δὲ παρὰ τοῖc Ἀθηναίοιc εὑρίcκεται τὸ ε καὶ τὸ ο εἰc τὴν ει δίφθογγον cυναιρούμενα οἷον πλέον πλεῖν, δέον δεῖν, ὡc παρ' Ἀριcτοφάνει ἐν Βατράχοιc (91) «Εὐριπίδου πλεῖν ἢ cταδίῳ λαλίcτερα». καὶ πάλιν δέον δεῖν «δεῖν τόδε γενέcθαι» ἀντὶ τοῦ δέον τόδε γενέcθαι.

Choer. 391, 33: ἰcτέον δὲ ὅτι παρ' Ὁμήρῳ οὐδέποτε εὑρίcκεται ἡ γενικὴ τῶν εἰc οc οὐδετέρων εἰc ους καταλήγουcα, ἀλλ' ἢ εἰc ευc οἷον Ἐρέβευc, θάρcευc «τοίου μιν θάρcευc πλῆcε φρέναc ἀμφιμελαίναc» (Ρ 573) ἢ ἐντελῶc ἤγουν διὰ τοῦ εοc οἷον βέλεοc «βέλεοc δέ cε τείρει ἀκωκή» (Ν 251), cτήθεοc «ἀλλ' ὅτε δὴ ὄπα τε μεγάλην ἐκ cτήθεοc ἵει» (Γ 221), τείχεοc «λεξάcθων παρὰ τάφρον ὀρυκτὴν τείχεοc ἐκτόc» (Ι 67), ἄχεοc «τὸν δ' ἄχεοc νεφέλη ἐκάλυψε μέλαινα» (Ρ 591). δύο δὲ μόναc γενικὰc ἐποίηcε εἰc ουc ἐπὶ τῶν εἰc οc δηλονότι οὐδετέρων «χλωροὶ ὑπὸ δείουc» (Ο 4), ἀντὶ τοῦ ὑπὸ τοῦ δέουc καὶ «ἣ ῥα κατὰ cπείουc κέχυται» (ι 330), ἀντὶ τοῦ κατὰ τοῦ cπέουc. τοῦτο δὲ οὐκ ἐποίηcε διὰ τὸ μέτρον (καὶ εἰ εἰc ευc γὰρ ἐποίηcε ταύταc τὰc γενικάc, ἡ αὐτὴ μακρὰ εὑρίcκετο), ἀλλὰ διὰ τὴν κακοφωνίαν τῆc ἐπαλληλίαc τοῦ ε̄· ἔcτι γὰρ δέοc καὶ cπέοc· καὶ εἰ ἐγένετο ἡ γενικὴ παρὰ τῷ ποιητῇ δέευc καὶ cπέευc, ἐπαλληλία ἤμελλεν εἶναι τοῦ ε καὶ τούτου χάριν τῇ εἰc ουc γενικῇ ἐχρήcατο, φημὶ δὲ τῇ δέουc καὶ cπέουc, ἅτινα ἐν πλεοναcμῷ τοῦ ῑ γίνονται δείουc καὶ cπείουc.

ad fr. *506 De genetivo Ἰδομενεῦc cf. Il. Pr. Ν 424: Ἰδομενεύc: τινὲc περιcπῶcιν Ἰδομενεῦc ἀντὶ τοῦ Ἰδομένουc, οἱ δὲ ὡc «μέθυ χίλια μέτρα» (Il. Η 471). οἱ δὲ «μέγα ἵετο» μεγάλωc ἐπεθύμει. ἄμεινον δὲ τὸ εὐθεῖαν εἶναι ὡc τὸ «οὐδὲ Cκάμανδροc ἔληγε τεὸν μένοc» (Il. Φ 305), unde Herodianum etiam in libro περὶ παθῶν huiuscemodi formas commemorasse quidem, sed in suspicionem vocasse concluditur cf. Lob. El. II 89. De δείευc, cπείευc cf. Parall. p. 25.

*507.

Choer. Orth. 253, 7 (E. M. 517, 52): Κλεισθένης: παρὰ τὸ κλέος καὶ τὸ σθένος Κλεοσθένης καὶ κράσει τοῦ ε̅ καὶ ο̅ εἰς τὴν ε̅ι̅ δίφθογγον Κλεισθένης ὥσπερ δέον δεῖν καὶ πλέον πλεῖν.

508.

Choer. Dict. 246, 7: τὸ ἀδελφιδοῦς καὶ θυγατριδοῦς τινες μὲν ἔδοξαν ἀπὸ συναιρέσεως εἶναι οἷον ἐκ τοῦ θυγατριδεός, ἀδελφιδεός, τινὲς δὲ ἐκ τοῦ ἐναντίου δοξάζουσιν, ὅτι κατὰ διάλυσιν ἐγένοντο οἷον ἀπὸ τοῦ ἀδελφιδοῦς καὶ θυγατριδοῦς τὸ ἀδελφιδεός καὶ θυγατριδεός κατὰ διάλυσιν τῆς ου διφθόγγου, λέγοντες ὅτι οὐ δύναται τὸ ἀδελφιδοῦς καὶ θυγατριδοῦς ἀπὸ τοῦ ἀδελφιδεός καὶ θυγατριδεός γενέσθαι κατὰ κρᾶσιν, ἐπειδὴ ἡ βαρεῖα καὶ ἡ ὀξεῖα εἰς ὀξεῖαν συναιροῦνται οἷον Ζωός Ζώς, ἑσταώς ἑστώς, Νηρηΐς Νηρῄς, Βρισηΐς Βρισῄς. πῶς οὖν τὸ ἀδελφιδοῦς καὶ θυγατριδοῦς, εἰ ἐγένοντο ἀπὸ τοῦ ἀδελφιδεός καὶ θυγατριδεός, περισπῶνται καὶ οὐκ ὀξύνονται; ὤφειλον γὰρ ἀπὸ βαρείας καὶ ὀξείας συναιρεθέντα ὀξύνεσθαι καὶ μὴ περισπᾶσθαι. ἔστιν οὖν εἰπεῖν, ὅτι ἀπὸ τοῦ ἀδελφιδεός καὶ θυγατριδεός γεγόνασι τὸ ἀδελφιδοῦς κατὰ κρᾶσιν καὶ θυγατριδοῦς. οὐδὲ γὰρ δυνάμεθα λέγειν ὅτι τοὐναντίον ἀπὸ τοῦ ἀδελφιδοῦς καὶ θυγατριδοῦς γεγόνασι τὸ ἀδελφιδεός καὶ θυγατριδεός κατὰ διάλυσιν τῆς ου διφθόγγου εἰς τὸ ο καὶ ε̅, ἐπειδή, ὥς φησιν Ἡρωδιανός, οὐδέποτε εὐθεῖα διαλέλυται· τὸ γὰρ εἰς ἔεις κατὰ πλεονασμὸν ἔχει τὸ ε̅, οὐ μὴν διελύθη. ἄρα οὖν οὐδὲ τὸ ἀδελφιδοῦς καὶ θυγατριδοῦς δύναται διάλυσιν ἀναδέξασθαι καὶ ποιῆσαι τὸ ἀδελφιδεός καὶ θυγατριδεός. πρὸς δὲ τοὺς λέγοντας, ὅτι εἰ ἐγένοντο τὸ ἀδελφιδοῦς καὶ θυγατριδοῦς ἀπὸ τοῦ ἀδελφιδεός καὶ θυγατριδεός, ὤφειλον ὀξύνεσθαι, λέγομεν ὅτι πρὸς τὸν χαρακτῆρα περισπῶνται. τὰ γὰρ εἰς ους ὀνόματα ἀποστρέφονται τὴν ὀξεῖαν τάσιν καὶ ἢ βαρύνονται ἢ περισπῶνται. καὶ περισπῶνται μέν, ἡνίκα ὦσιν ἁπλᾶ οἷον βοῦς νοῦς χροῦς χαλκοῦς οὓς διπλοῦς, τριπλοῦς ἁπλοῦς Σιμοῦς πλακοῦς χωρὶς τοῦ πούς καὶ ὀδούς. ταῦτα γὰρ ὀξύνονται· βαρύνονται δέ, ἡνίκα ὦσι σύνθετα οἷον εὔχρους, εὔπλους, Ἀλκίνους, Οἰδίπους· ἐπειδὴ οὖν τὸ θυγατριδοῦς καὶ ἀδελφιδοῦς ἁπλᾶ εἰσιν, εὐλόγως περισπῶνται.

*509.

Choer. 247, 5: ἄξιόν ἐστι ζητῆσαι, εἰ ἄρα τὰ ἀπὸ ὀξείας καὶ δύο βαρειῶν συναιρούμενα εἰς ὀξεῖαν καὶ βαρεῖαν συναιροῦνται οἷον Δημοσθένεος Δημοσθένους, Πολυδεύκεα Πολυδεύκη, τείχεα τείχη, βέλεα βέλη, διατί τὸ χάλκεος χαλκοῦς καὶ χρύσεος χρυσοῦς καὶ ἀργύρεος ἀργυροῦς, ἀπὸ ὀξείας καὶ δύο βαρειῶν συναιρεθέντα οὐ συνῃρέθησαν εἰς ὀξεῖαν καὶ βαρεῖαν, ἀλλ' εἰς περισπωμένην. ἔστιν οὖν εἰπεῖν, ὅτι πρὸς τὸν χαρακτῆρα περιεσπάσθησαν. τὰ γὰρ εἰς ο̅υ̅ς̅ ὀνόματα ἁπλᾶ περισπῶνται.

ad fr. 508. cf. Io. Al. 6, 24.
ad fr. *509. cf. Io. Al. 6, 30.

*510.

Choer. 528, 10: τοῦ ἐποίουν τὸ ἐντελὲς ἦν ἐποίεον καὶ λοιπὸν κατὰ κρᾶσιν τοῦ ε καὶ ο εἰς τὴν ου δίφθογγον γίνεται ἐποίουν ὥσπερ χάλκεος χαλκοῦς· τὸ γὰρ ε καὶ ο εἰς τὴν ου δίφθογγον κιρνᾶται παρ' ἡμῖν. πρόσκειται «παρ' ἡμῖν», ἐπειδὴ παρὰ τοῖς Δωριεῦσι καὶ Ἴωσιν εἰς τὴν ευ δίφθογγον κιρνᾶται οἷον ἐποίεον ἐποίευν.

*511.

Choer. 195, 15: ἄξιόν ἐστι ζητῆσαι διὰ ποίαν αἰτίαν τὰ εἰς ις διὰ τοῦ εος κλινόμενα οὐ συναιροῦνται κατὰ τὴν γενικὴν καὶ γίνονται εἰς ους οἷον ὄφις ὄφεος, μάντις μάντεος, οὐδὲ γὰρ γίνονται ὄφους καὶ μάντους ὥσπερ Δημοσθένεος Δημοσθένους. καὶ ἔστιν εἰπεῖν, ὅτι οὐδέποτε γενικὴ εἰς ους λήγουσα γίνεται διὰ τοῦ ε καὶ ω Ἀττικῶς οἷον Δημοσθένης Δημοσθένεος Δημοσθένους, Διομήδης Διομήδεος Διομήδους, τεῖχος τείχεος τείχους, βέλος βέλεος βέλους. ἐπειδὴ οὖν τὰ εἰς ις διὰ τοῦ εος κλινόμενα κλίνονται διὰ τοῦ ε καὶ ω Ἀττικῶς οἷον ὄφεως μάντεως, τούτου χάριν οὐ δύναται κρᾶσιν ἀναδέξασθαι κατὰ τὴν γενικὴν καὶ γενέσθαι εἰς ους. ἄλλως τε δὲ οὐδ' ἐστὶ γνήσιον ἐπὶ τούτων τὸ ε τῆς κλίσεως· ὄφιος γὰρ ἦν καὶ μάντιος καὶ Ἀττικῶς γέγονεν ὄφεως μάντεως καὶ κατὰ συστολὴν ὄφεος καὶ μάντεος διὰ τοῦ ο.

*512.

E. M. 259, 28: Δεύνυσος ὁ Διόνυσος. Ἀνακρέων «πολλὰ δ' ἐρίβρομον Δεύνυσον». τοῦ ι τραπέντος εἰς ε γίνεται Δεόνυσος (οὕτω γὰρ Σάμιοι προφέρουσι) καὶ συναιρέσει Δεύνυσος ὡς Θεόδοτος Θεύδο-

[512ᵃ]

Mon. 6, 9: τὸ θεύς ἐκ συναλοιφῆς ἐστι ποιητικόν.

[512ᵇ]

Io. Al. 23, 18: ἡ ἐμεῦ συνῃρημένη παρ' Ἴωσι περισπᾶται «ἐμεῦ δ' ἕλετο μέγαν ὅρκον» (δ 746).

[512ᶜ]

Arcad. 200, 1: εὗ ἀντὶ τοῦ ἑαυτοῦ κατὰ κρᾶσιν τοῦ ε καὶ ο εἰς τὴν ευ δίφθογγον Δωρικῶς.

[512ᵈ]

E. M. 398, 45: εὗτε: ὁ μὲν Ἀπολλώνιος λέγει, ὅτι ἐκ τοῦ ὅτε γίνεται πλεονασμῷ τοῦ υ οὔτε καὶ μεταθέσει τοῦ ο εἰς ε εὖτε· ὁ δὲ Ἡρωδιανός, ὅτι ἐκ τοῦ ὅτε πλεονασμῷ τοῦ ε καὶ κράσει Δωρικῇ τοῦ εο εἰς τὴν ευ γίνεται εὗτε.

ad fr. *512. cf. E. M. 277, 37, ubi Ἰόβας, ad cuius testimonium saepius Herodianus provocat, auctor huius explicationis perhibetur.

ad fr. [512ᵃ]. cf. Arcad. 130, 20, Choer. 421, 27 qui κρᾶσιν Δωρικὴν ἢ Ἰωνικὴν appellat.

τος· ἔνιοι δέ φαςιν, ὅτι ἐπειδὴ ἐβαςίλευςε Νύςης· κατὰ δὲ τὴν Ἰνδῶν φωνὴν δεῦνος ὁ βαςιλεύς

*513.

Choer. 670, 27: ποιοῦμαι ποιεῖται καὶ κατ' ἀποβολὴν τοῦ τ̄ γίνεται ποιεῖαι καὶ κατ' ἀποβολὴν τοῦ ῑ γίνεται ποιέαι καὶ κράςει τοῦ εαι εἰς η ποιῇ περιςπωμένως· τὸ δὲ ῑ ἀπεβλήθη, ἐπειδὴ οὐδέποτε τοῦ ῑ μέςου ὄντος ςυναίρεςις γίνεται τῶν φωνηέντων· ἀμέλει ἐν «τῷ ἐμῷ» πρῶτον ἀποβάλλεται τὸ ῑ τοῦ τῷ ἄρθρου καὶ οὕτω γίνεται ἡ κρᾶςις· καὶ γὰρ τῷμῷ ἐςτίν. ἔςτι δὲ καὶ ἐκ τοῦ ἐντελοῦς τοῦ τρίτου προςώπου κινῆςαι, φημὶ δὲ τὸ ποιῇ· ἔςτι γὰρ τὸ ἐντελὲς τρίτου προςώπου ποιέεται καὶ κατὰ ἀποβολὴν τοῦ τ̄ γίνεται ποιέεαι καὶ κατὰ κρᾶςιν τοῦ ε̄ καὶ α̅ι̅ εἰς τὴν ῃ̄ γίνεται ποιέῃ ὡς τύπτεαι τύπτῃ καὶ κατὰ κρᾶςιν τοῦ ε̄ καὶ τῆς ῃ̄ διφθόγγου τῆς διὰ τοῦ η̄ καὶ ῑ εἰς τὴν ῃ̄ δίφθογγον ποιῇ.

514.

E. M. 392, 15: εὔκλεια: ὡς εὐγενής εὐγένεια, οὕτως εὐκλεής εὐκλέεια καὶ ἐνδεής ἐνδέεια καὶ κράςει εὔκλεια καὶ ἔνδεια. κρᾶςις γὰρ ἐπιφερομένου φωνήεντος καὶ οὐ ςυμφώνου· ὅπου γὰρ φωνῆέν ἐςτι, καὶ κρᾶςις, ὅπου δὲ ςύμφωνον, ςυγκοπή. Ἡρωδιανὸς περὶ παθῶν.

*515.

Choer. 180, 23: Ἡρακλῆς Ἡρακλέους Ἡρακλοῦς. ἰςτέον, ὅτι ἡ Ἡρακλοῦς γενικὴ οὐχ εὑρίςκεται ἐν χρήςει.

516.

E. Gud. 294, 37: καλήζω κατὰ διάλεκτον. οἱ Αἰολεῖς τὰ τῆς πρώτης ςυζυγίας διὰ τοῦ η̄ προφέρουςιν οἷον ἀδικέω οἱ Ἴωνες, οἱ δὲ

[512c]

Mon. 9, 23: οὐδὲν τῶν εἰς ων ὀξυτόνων διὰ τοῦ ε̅ω̅ν̅ καὶ α̅ω̅ν̅ λέγεται, τὸ δὲ Ποςειδῶν εἴρηται καὶ Ποςειδέων καὶ Ποςειδάων.

[514a]

Theogn. 65, 18, Choer. Orth. 208, 28: ἀπὸ τοῦ δέος παρωνύμως γέγονε δεεινός ὡς κλέος κλεεινός καὶ κατὰ κρᾶςιν τοῦ ε̄ καὶ τῆς ει δεινός.

[514b]

Io. Al. 15, 16: αἱ γενικαὶ τῶν δυϊκῶν εἰς ο̅ι̅ν̅ λήγουςαι ἀπὸ τῶν ὑπὲρ δύο ςυλλαβὰς εὐθειῶν πρὸ μιᾶς ἔχουςι τὸν τόνον Αἴαντε Αἰάντοιν, Πάριδε Παρίδοιν. εἰ δὲ ςυναλοιφὴ παρακολουθήςῃ, καὶ αὗται περιςπῶνται, ςκελέοιν ςκελοῖν, Δημοςθενέοιν Δημοςθενοῖν.

---

ad fr. *513. cf. Choer. 669, 18 τύπτομαι τύπτεται τύπτεαι καὶ κράςει τοῦ ε̄ καὶ ᾱ εἰς η̄ τύπτῃ ὥςπερ βέλεα βέλη et de formis μέμνῃ δύνῃ κάθῃ supra fr. 425.

ad fr. 514. Pro φαςὶ γὰρ scripsi κρᾶςις. cf. Lob. El. I 243, II 130.

ad fr. 516. Idem fere habet E. M. 845, 40 auctoris nomine suppresso, de

Αἰολεῖϲ ἀδικήω οἷον «ὦ Ψάπφ' ἀδικήει» (Sapph. I 20) ποθέω ποθήω οἷον «καὶ ποθήω καὶ μάομαι», οὕτωϲ οὖν παρὰ μὲν Ἴωϲι καλέω, παρὰ δ' Αἰολεῦϲι καλήω, παρὰ δὲ Κυπρίοιϲ καλήζω τοῦτ' ἔϲτι τὸ λέγω· τοῦτο δὲ ἡγοῦνται κατὰ ϲυγκοπὴν γεγονέναι κλήζω. οὐκ ἔϲτι δέ. εὑρίϲκομεν γὰρ αὐτὸ ϲὺν τῷ ῑ. ἀλλ' ἀπὸ τοῦ κλέοϲ κλεΐζω καὶ κληΐζω καὶ κλῄζω ὡϲ χρέοϲ χρεΐζω χρηΐζω καὶ χρῄζω. τὸ δὲ κληδών οὐκ ἔχει τὸ ῑ, ἐπειδὴ οὐκ ἔϲτιν ἀπὸ τοῦ κληΐζω, ἀλλὰ ἀπὸ τοῦ κλῶ τοῦ ϲημαίνοντοϲ τὸ καλῶ γέγονε κλήϲω καὶ κληδών. οὕτωϲ Ἡρωδιανὸϲ περὶ παθῶν.

[516^a]

Arcad. 96, 3: τὰ εἰϲ ϲ̄ᾱ ὑπερδιϲύλλαβα παρεϲχηματιϲμένα προπαροξύνεται, εἰ μὴ κατὰ ϲυναλοιφὴν εἴη ἢ ἀπὸ ὀξυτόνων εἰϲ ηϲ̄, δαφνήεϲϲα, φωνήεϲϲα. τὸ δὲ τεχνῆϲϲα ἀπὸ τοῦ τεχνήεϲϲα. καὶ τὰ ἀπὸ ὀξυτόνων εἰϲ ηϲ· χερνήϲ χερνῆϲϲα, Κρήϲ Κρητόϲ Κρῆϲϲα, θήϲ θῆϲϲα.

[516^b]

Diehr. 285, 15: τὸ Θρήικοϲ ϲυϲτέλλει τὸ ῑ, ἔχον διαλλαγήν· λέγεται γὰρ κατὰ ϲυναλοιφὴν Θρηκόϲ.

[516^c]

Mon. 40, 17: τὸ ληϲτήϲ ἀπὸ τοῦ ληϊϲτήϲ τριϲυλλάβου ἐϲτί· διὸ ἔχει προϲκείμενον τὸ ῑ.

[516^d]

Io. Al. 8, 30: τιμῆϲ τιμῆντοϲ, φθογγῆϲ φθογγῆντοϲ ϲυνῄρηται ἐκ τοῦ τιμήειϲ, φθογγήειϲ.

[516^e]

Il. Pr. Μ 202: ὑψιπέτηϲ: Ἀρίϲταρχοϲ ἐβάρυνεν εὑρὼν τὸ «ὠκυπέτα χρυϲέῃϲιν ἐθείρῃϲιν» (Il. Η 42) οὕτωϲ κεκλιμένον. ὡϲεὶ καὶ ἀπὸ τοῦ παντοπώληϲ παντοπῶλα. πρόδηλον δὲ κἀκ τῶν διαλέκτων· ὑψιπέταϲ γὰρ εὑρέθη κατὰ τροπὴν τοῦ η̄ εἰϲ τὸ ᾱ, ὅπερ ζητεῖ καὶ ἡ κλίϲιϲ καὶ ἡ βαρεῖα τάϲιϲ· τινὲϲ μέντοι ἐτόλμηϲαν ὡϲ τὸ «τιμῆϲ ἔϲεται» (Il. Ι 605), οὕτωϲ ὑψιπετήειϲ ὑψιπετῆϲ. ἀλλ' ἐπὶ μὲν τοῦ τιμῆϲ εὕρομεν αἰτιατικὴν «καὶ χρυϲὸν τιμῆντα» (Il. Ϲ 475), ἥτιϲ ἐδίδαϲκε τὸ τῆϲ εὐθείαϲ πάθοϲ· ἐπὶ δὲ τοῦ προκειμένου οὐδὲν εὕρομεν τοιοῦτο, ἔνθεν ἐπείϲθημεν τῷ Ἀριϲτάρχῳ.

[516^f]

Io. Al. 40, 26: ὁ μῶν παρ' Ἀθηναίοιϲ διαπορητικὸϲ ὢν περιϲπᾶται· ἀπὸ γὰρ τοῦ μὴ καὶ οὖν ϲύγκειται δωρικώτερον τραπείϲηϲ τῆϲ ου διφθόγγου εἰϲ τὸ ω.

χρῄζω pariter disputatur in libello περὶ ποϲότητοϲ Cr. An. Ox. II 312, 22. cf. Lehrs ad Herod. p. 131, Ahrens de dial. Aeol. 133, Lob. El. II 39, qui hic κλῄδην omissum esse observat. de Νηρηῖϲ Νηρῄϲ similibus cf. supra fr. 508.

ad fr. [516^d]. cf. Il. Pr. Ι 605, Arcad. 24, 20 τὸ ϲθενῆϲ, τεχνῆϲ, λαχνῆϲ, ζαχρῆϲ ἀπὸ ϲυναλοιφῆϲ γίνονται, Lob. El. I 342 seqq.

*517.

E. M. 279, 46: διφῶ σημαίνει τὸ ψηλαφῶ· Ἰλιάδος Π (747) «τήθεα διφῶν» ζητῶν ἐρευνῶν. Καλλίμαχος «μὴ δ' ἀπ' ἐμεῦ διφᾶτε μέγα ψοφέουσαν ἀοιδήν» (fr. 165 Bentl.). παρὰ τὸ ἅπτω ἀφή ἀφῶ καὶ διαφῶ καὶ κράσει διφῶ τὸ τῇ ἀφῇ ὑποβάλλω. τὸ δὲ ἀφῶ Ὅμηρος «καὶ ἄγκυλα τόξ' ἀφόωντα» (Z 322). ἐκ δὲ τοῦ ἀφή γίνεται ἀφῶ ἀφάσσω ὡς αἱμῶ αἱμάσσω.

*518.

Ep. Cr. I 215, 5, E. M. 467, 57: ἱερός: κατὰ κρᾶσιν ἱρός· ἡνίκα προτερεύει τοῦ ῑ τὸ ε̄, εἰς ῑ γίνεται ἡ κρᾶσις οἷον ἱέραξ ἵραξ «ὥστ' ἴρηξ ὠκυπέτης» (N 62), ἡνίκα δὲ ἐν διφθόγγῳ ἐστί, τότε ἡ ει δίφθογγος ἐπικρατεῖ οἷον ὑγίεια ὑγεία.

[517ª]

Il. Pr. K 292: ἦνιν ὡς μῆνιν. — τάχα οὖν καὶ ἦνιν ἐκτείνει ὁ Τυραννίων διὰ τὸ μέτρον, οὐχὶ διὰ τὸ πληθυντικὸν «ἤνις ἠκέστας» (Il. Z 99) καὶ γὰρ πόλῑς λέγουσι καὶ πόλῑν καὶ μάντῑς καὶ μάντῑν.

[518ª]

Choer. Orth. 266, 27: τρεῖς τὸ περισπώμενον διὰ τῆς ει διφθόγγου· καὶ ὤφειλε διὰ τοῦ ῑ γράφεσθαι, ἐπειδὴ τριῶν ἐστιν ἡ γενικὴ τῶν πληθυντικῶν καὶ τρισίν ἡ δοτική. τὰ δὲ ἔχοντα κατὰ τὴν γενικὴν καὶ δοτικὴν τῶν πληθυντικῶν ἐν τῇ παραληγούσῃ τὸ ῑ καὶ ἐν τῇ εὐθείᾳ τῶν πληθυντικῶν ἔχουσι τὸ ῑ κατὰ τὴν παραλήγουσαν οἷον πόλις πολίων πόλιες· ὄφις ὀφίων ὄφιες· εἰ οὖν τριῶν καὶ τρισίν, δῆλον ὅτι καὶ τρίες διὰ τοῦ ῑ· καὶ λοιπὸν κατὰ κρᾶσιν τοῦ ῑ καὶ τοῦ ε̄ εἰς ῑ δηλονότι μακρὸν τρῖς διὰ τοῦ ῑ ὥσπερ πόλιες πόλῑς, μάντιες μάντῑς. ἀλλὰ λέγει ὁ τεχνικός, ὅτι, ἵνα μὴ συνεμπέσῃ τῷ τρίς ἐπιρρήματι, τούτου χάριν οὐκ ἐγράφετο διὰ τοῦ ῑ, ἀλλὰ διὰ τῆς ει διφθόγγου.

ad fr. *517. ex Cod. Paris. 346 in annott. ad E. M. adieci verba καὶ ἀφῶ Ὅμηρος — ἀφόωντα et post ἐκ addidi δέ; sed quod idem cod. habet pro κράσει — κατὰ συγκοπήν reiiciendam putavi. Caeterum hoc fr. ex Herodiano fluxisse ostendit Arcad. 150, 8 σεσημείωται (sc. at perispomenoa in φω) τὸ διφῶ τὸ ζητῶ καὶ ἀμφαφῶ· καὶ ἴσως παρώνυμα ἂν εἴη ἀπὸ τοῦ ἀφή. cf. etiam E. Orion. 46, 10.

ad fr. *518. Eustath. 515, 37: τὸ ἱρεύς ψιλοῦται, ὡς ἐν τοῖς Ἀπίωνος κεῖται καὶ Ἡροδώρου συναλιφὲν ἐκ τοῦ ἱερεύς ὡς τὸ πόλιες πόλις. καὶ λέγουσιν οἱ αὐτοὶ κανόνα αἰτιολογικὸν τῆς ψιλώσεως οὐ πάνυ ἀναγκαῖον. κάλλιον οὖν λέγειν ἐψιλῶσθαι αὐτὸ ὡς Ἰωνικόν. ψιλωτικοὶ γὰρ καὶ οἱ Ἴωνες.

ad fr. [517ª]. Herodianum πόλῑς ex πόλιας coatractum putasse concludi potest inde, quod etiam ἰχθῦς ex ἰχθύας et Δημοσθένεις ex Δημοσθένεας contracta existimavit ap. Choer. 861, non igitur Herodianum secutus est Choer. 861, 9 et 27 proanncians: τὸ ῑ καὶ ᾱ οὐδέποτε κιρνᾶται ὥσπερ τὸ ε̄ καὶ ᾱ· τὸ γὰρ τοὺς μάντις καὶ τοὺς ὄφις Ἰωνικὰ οὐ γεγόνασι κατὰ κρᾶσιν ἀπὸ τοῦ μάντιας καὶ ὄφιας, ἀλλ' ὁμοφωνία ἐστὶ τῆς αἰτιατικῆς πρὸς τὴν εὐθεῖαν οἱ μάντιες μάντις, οἱ ὄφιες ὄφις. cf. Lob. El. II 105.

*519.

Choer. 196, 26: τῷ ὄφιε κατὰ τὴν ἀκρίβειαν οὐ δύναται κρᾶσιν ἀναδέξασθαι τοῦ ῑ καὶ ε̄ εἰς τὸ ῑ, ἐπειδὴ τὸ ῑ οὐκ ἔστι τελικὸν τῆς ἰδίας εὐθείας τῶν δυϊκῶν.

520.

Excerpt. E. Or. 186, 13: δῖος τὸ ἐπίθετον κτητικῷ τύπῳ ἀπὸ τῆς Διός γενικῆς δίϊος ἐστὶ καὶ συναλοιφῇ δῖος· διὸ καὶ μακρὸν τὸ ῑ. οὕτως Ἡρωδιανός.

*521.

E. M. 271, 3: Δίας: ὡς ἀπὸ τοῦ δράκων δράκοντος δρακοντίας, οὕτω καὶ ἀπὸ τοῦ Διός γίνεται Διίας καὶ κράσει Δίας.

*522.

Choer. Orth. 192, 16, E. M. 275, 6: διίφιλος: ὥσπερ παρὰ τὴν Ἄρηϊ δοτικὴν γίνεται ἀρηΐφιλος, οὕτω καὶ παρὰ τὸ Διΐ διίφιλος καὶ κράσει τῶν δύο ῐῐ εἰς ῑ μακρὸν Δίφιλος.

*523.

Choer. 195, 32 coll. 240, 15: ἄξιόν ἐστι ζητῆσαι, διατί ὥσπερ ἀπὸ τοῦ ὄφιϊ γίνεται ὄφι κατὰ κρᾶσιν τῶν δύο ῐῐ εἰς ἓν δηλονότι μακρόν, μὴ τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τοῦ Ζεύς Διός Διΐ γίνεται Δῖ κατὰ κρᾶσιν τῶν δύο ῐῐ εἰς ἓν μακρόν· ἔστιν οὖν εἰπεῖν, ὅτι οὐ δύναται γενέσθαι ἡ Διΐ δοτικὴ κατὰ κρᾶσιν τῶν δύο ῐῐ Δῖ, ἐπειδὴ οὐδέποτε ἡ δοτικὴ τῶν ἑνικῶν ἐπ᾽ ὀνομάτων μονοσυλλάβων ἐκφωνεῖ τὸ ῑ.

524.

Choer. 314, 26 et E. M. 218, 29: βῶξ ἐστιν εἶδος ἰχθύος, ὅστις ἱστορεῖται ἔχων βοήν· γέγονε δὲ τοῦτο παρὰ τὸ βοή βόαξ καὶ κατὰ

[523a]

St. B. 355, 21: Καπετώλιον: Ἡρωδιανὸς Καπετωλίειον καὶ ἐν συναιρέσει Καπετώλειον.

ad fr. 520. in Cod. Ἡρῶ (Δ supra). Similia habet E. M. 278, 13; sed explicatissime de hoc Ep. Cr. I 123, 20: Δῖος (Il. A 7) ὄνομα κύριον κτητικόν ἁπλοῦν πεπονθός· οὐδὲν γὰρ εἰς ος λῆγον κτητικὸν δισύλλαβόν ἐστιν, εἰ δέ τι δισυλλαβεῖ, τοῦτο πέπονθε· πέπονθεν οὖν τὸ δῖος ὡς τὸ Χῖος θεῖος Κεῖος. καὶ τό μὲν θεῖος καὶ Κεῖος ἐκ τοῦ θεός θεϊός καὶ Κέως Κέϊος τοῦ ε̄ καὶ ῑ συναιρεθέντων εἰς τὴν ει̅ δίφθογγον· τὸ δὲ Χῖος διὰ τοῦ ῑ· ἀπό γὰρ τοῦ Χίϊος· τὰ γὰρ ἀπὸ τῶν νήσων παραγόμενα ἐθνικὰ διὰ τοῦ ῑ παράγεται, Κνίδος Κνίδιος, Ῥόδος Ῥόδιος, Λίνδος Λίνδιος, Σάμος Σάμιος. εἰ οὖν Χῖος ἡ νῆσος, Χίϊος ὤφειλεν εἶναι τὸ ἐθνικόν, ἀλλὰ κατὰ συναίρεσιν τῶν δύο ῐῐ εἰς ἓν μακρὸν γίνεται Χῖος· τό δὲ δῖος, ὥσπερ ἀπὸ τοῦ νυχός νύχιος καὶ Στυγός Στύγιος καὶ χθονός χθόνιος, οὕτω καὶ ἀπὸ της Διός γενικῆς δίϊος καὶ κατὰ συναίρεσιν δῖος· τινές δὲ διὰ τῆς ει διφθόγγου το δῖος λόγῳ τοιῷδε κτλ., quae ex Orthographia desumpta sunt.

ad fr. *524. cf. Diehr. 282: καθόλου τὰ τρία δίχρονα τὰ ἐκ συναλοιφῆς ἐκτείνεσθαι θέλει — Θέτιϊ Θέτι «πάντα Θέτι καλλιπλοκάμῳ» (Σ 407) μήτιι μήτι «μήτι δ᾽ ἡνίοχος περιγίγνεται» (Ψ 318), ἱερεύς ἱρεύς.

ad fr. 523. Prior pars ex Choer. deprompta est, qui idem fere etiam p. 83, 23 profert; inde a verbis ὁ δὲ Ἡρωδιανὸς sunt ex E. M., ubi quae praecedunt et

κρᾶσιν τοῦ ō καὶ ᾱ εἰς ω̄ βῶξ. Ἡρωδιανὸς δέ φησι καὶ διϲυλλάβωϲ λέγεϲθαι ὡϲ Ἀριστοφάνηϲ (fr. 400 Dind.) «ἀλλ' ἔχουϲα γαϲτέρα μεϲτὴν βοάκων» καὶ Φερεκράτηϲ εἰπὼν «τί ληρεῖϲ; ἀλλὰ φωνὴν οὐκ ἔχειν Ἰχθῦν γέ φαϲι τὸ παράπαν — ἐπιφέρει, νὴ τὼ θεώ, Κοὐκ ἔϲτιν ἰχθῦϲ ἄλλοϲ οὐδεὶϲ ἢ βόαξ» (Mein. p. 110 ed. min.).

524[2].

Eust. 1896, 5 coll. Choer. 394, 25: εὐθεῖα ἑνικὴ καθ' Ἡρωδιανὸν ὄαϲ ὡϲ φόαϲ, διὸ καὶ ϲυναιρεθέντα εἰϲ φῶϲ καὶ ὧϲ ἃ δὴ μόνα ἐν τοῖϲ οὐδετέροιϲ εἰϲ ωϲ λήγει, διὰ τοῦ τ̄ κλίνεται. τὸ δὲ φόαϲ γίνεται καθ' ὑπερβιβαϲμὸν ἐκ τοῦ φάοϲ.

525.

Choer. 347, 17: βούλονταί τινεϲ ἀναπλάττειν ἀπὸ τοῦ «ἀμύνεμεν ὤρεϲιν» (Ε 486) ἀντὶ τοῦ ταῖϲ γυναιξίν εὐθεῖαν τῶν ἑνικῶν ὢρ ἀπὸ τοῦ ὄαρ γενομένην κατὰ κρᾶϲιν τοῦ ō καὶ ᾱ εἰϲ ω ὥϲπερ κρείττονα κρείττω, ὧν ἐϲτι καὶ Ἡρωδιανόϲ.

[525[a]]

Il. Pr. B 262: ἐχρῆν μὲν τὸ Πυθώ περιϲπᾶϲθαι, ἐπειδή περ Πυθόα ἐϲτί, καὶ τοῦτο ἀπῄτει ἡ ϲυναλοιφή· ἀλλὰ πάλιν τὸ πτωτικὸν ω ἀπέϲτραπται τὸν περιϲπώμενον τόνον· κατὰ τοῦτο ὠξύνετο. ταύτῃ γοῦν καὶ τοῦ χρυϲοῦϲ περιϲπωμένου τὸ δυϊκὸν ὀξύνομεν' — δεύτεροϲ δὲ λόγοϲ ἀληθήϲ ἐϲτιν, ὅτι εὐθεῖα καὶ αἰτιατικὴ ὁμόφωνοϲ οὖϲα κατὰ φωνὴν ἐν τῷ αὐτῷ ἀριθμῷ πάντωϲ καὶ τὸν αὐτὸν τόνον ἀποφέρεται οἱ ταχεῖϲ — τοὺϲ ταχεῖϲ. εἰ δὲ ἡ εὐθεῖα ὀξύνεται πάντωϲ καὶ ἡ αἰτιατική. διὰ τοῦτο οὖν ἡ μὲν αἰδῶ αἰτιατικὴ καὶ ἠῶ μὴ κρατούμεναι ὑπὸ τῆϲ ϲυνεμπτώϲεωϲ κατὰ τὴν εὐθεῖαν περιϲπῶνται, κατεχόμεναι τῷ λόγῳ τῆϲ ϲυναλοιφῆϲ, οὐχ ὑπὸ τοῦ πτωτικοῦ χαρακτῆροϲ· ἡ δὲ Λητὼ καὶ Πυθὼ καθάπερ κατεχόμεναι ὑπὸ τῆϲ ϲυνεμπτώϲεωϲ τῆϲ φωνῆϲ κατέχονται καὶ τῷ τόνῳ.

[525[b]]

Io. Al. 9, 4: τὸ Τηλεβῶϲ ἐκ τοῦ Τηλεβόαϲ ϲυνῄρηται.

---

quae sequuntur non ab Herodiano, qui profecto βόαξ non ab βοάζω βοάξω repetivit, profecta videntur. Caeterum cf. Athen. VII 286 extr. et 287 init., ubi locus Pherecratis non tam plene quam in E. M. prolatus, sed titulus fabulae Μυρμηκάνθρωποι additus est. Io. Al. 7, 24: τὸ βῶξ περιϲπᾶται, ἐπεὶ καὶ τούτου ἐντελέϲτερόν φηϲι τὸ βόαξ· μόνον γὰρ τῶν ἰχθύων φωνὴν ἀφιέναι. cf. Pros. Cath. 396, 10.

ad fr. 524[2]. Ex Choerobosco addidi extrema verba τὸ δὲ φόαϲ γίνεται κτλ., de ὄαϲ cf. supra fr. 340.

ad fr. 525. Fortasse ex Herodiano fluxit E. Or. 17, 25: ὄορεϲ αἱ γυναῖκεϲ, κατὰ ὑπέρθεϲιν παρὰ τὸ ὀαρίζειν, ἔνθεν καὶ τὸ ὀάρων, nam inter alia Herodianea relatum est in E. M. 823, 40: ὁ δὲ Ὧροϲ λέγει, ὅτι παρὰ τὸ ὁμοῦ ἀρηρέναι γίνεται ὄαρ καὶ ὑπερθέϲει ὄορ καὶ ϲυναλοιφῇ ὢρ, ubi nisi pro Ὧροϲ Ἡρωδιανόϲ

---

ad fr. [525[a]]. cf. Io. Al. 12, 31, Choer. 241, 20.

ad fr [525[b]]. Τηλεβόαϲ scripsi pro Τηλεβέοϲ. de βῶ ex βόα contracto cf. supra fr. [485[c]].

*526.

Ep. Cr. I 444, 16, Choer. Orth. 225, 33: χειροάναξ κατὰ κρᾶσιν τοῦ ο καὶ ᾱ γίνεται χειρῶναξ ὡς Ἱπποάναξ Ἱππῶναξ.

*527.

Choer. 242, 16 coll. p. 861: ἐν τῷ βόας βοῦς τὸ ο̄ καὶ τὸ ᾱ εἰς τὴν ου δίφθογγον συναιρεῖται ὡς ἐν Κόλαξιν Εὐπόλιδος «θὲς νῦν ἀγροὺς καὶ πρόβατα καὶ βοῦς» (Mein. p. 189 ed. min.) καὶ παρὰ τῷ Ἡρακλείδῃ ἐν τῇ ἀρχῇ τῆς Λέσχης.

*528.

Choer. 395, 22: τὸ «πεδία λωτεῦντα» (Μ 283) ἐὰν ἀπὸ τοῦ λωτόεντα εἴπωμεν λωτοῦντα ἤμελλεν εἶναι διὰ τῆς ου διφθόγγου· τὸ γὰρ ο καὶ ε̄ οὐδέποτε εἰς τὴν ευ δίφθογγον κίρναται, ἀλλ' εἰς τὴν ου οἷον τὸ ἐμόν τοὐμόν, προέστη προὔστη, προέβη προὔβη· ἀλλὰ λέγομεν ὅτι ἀπὸ τοῦ λωτόεντα καθ' ὑπερβιβασμὸν τοῦ ε̄ γέγονε λωτέοντα καὶ κατὰ κρᾶσιν Δωρικὴν ἢ Ἰωνικὴν τοῦ ε̄ καὶ ο̄ εἰς τὴν ευ δίφθογγον λωτεῦντα, ὥσπερ Ἐρέβεος Ἐρέβευς «ἐξ Ἐρέβευς ἄξοντα κύνα στυγεροῦ Ἀΐδαο» (Θ 368).

*529.

Choer. 242, 10: ἰστέον ὅτι κατὰ κρᾶσιν τοῦ ο̄ καὶ ε̄ εἰς τὴν ου δίφθογγον γίνεται βοῦς ὥσπερ οἱ κρείττονες καὶ οἱ ἀρείονες καὶ οἱ βελτίονες οἷον κρείττονες κρείττοες κρείττους, ἀρείονες ἀρείοες ἀρείους, βελτίονες βελτίοες βελτίους. ἰστέον δὲ ὅτι σπανία ἐστὶν ἡ χρῆσις τῆς βοῦς εὐθείας τῶν πληθυντικῶν, μᾶλλον δὲ οἱ βόες εὕρηνται. Choer. 241, 33: ἄξιόν ἐστι ζητῆσαι, διατί, ὥσπερ ἡ εὐθεῖα τῶν πληθυντικῶν γίνεται κατὰ κρᾶσιν τοῦ ο̄ καὶ ε̄ εἰς ου δίφθογγον οἷον βόες βοῦς, μὴ τὸν αὐτὸν τρόπον καὶ ἡ εὐθεῖα τῶν δυϊκῶν γίνεται κατὰ κρᾶσιν τοῦ ο̄ καὶ ε̄ εἰς τὴν ου δίφθογγον οἷον βόε βοῦ. καὶ ἔστιν εἰπεῖν, ὅτι οὐ δύναται ἡ εὐθεῖα τῶν δυϊκῶν γενέσθαι κατὰ κρᾶσιν τοῦ ο̄ καὶ ε̄ εἰς τὴν ου δίφθογγον, ἐπειδή, εἰ ἐγένετο τοῦτο, ἤμελλεν εἰς ῡ καταλήγειν, ὅπερ ἐστὶν ἀδύνατον, τὸ γὰρ ῡ οὐκ ἔστι τελικὸν τῆς εὐθείας τῶν δυϊκῶν.

[528a]

Mon. 37, 21: τὸ λουτρόν καὶ τρισυλλάβως λέγεται λοετρόν «εἰς ὅ κε θερμὰ λοετρά» (Ξ 6), ἐπεὶ καὶ τὸ ῥῆμα δισσὸν λοέω καὶ λούω «ἀλλ' ὅτε δή μιν ἐγὼ λόεον» (δ 252).

ponere vis, certe Ὠρίων, unde p. 169, 1 hoc sumptum est, scribendum videtur. His locis comparatis prior Orionis locus sic emendandus sit: παρὰ τὸ ὁμοῦ ἀρηρέναι, ἔνθεν καὶ τὸ ὀαρίζειν. cf. Eustath. 573, 29, Lob. El. II 73 seqq.

ad fr. *527. Meiu. Anall. Alex. p. 381, qui pro ἐν ἀρχῇ τῆς λέσχης scribendum proponit ἐν τῇ α' (vel δ').

*530.

Choer. 530, 27: ἔϲτιν ἐχρύϲοον καὶ κατὰ κρᾶϲιν τῶν δύο οο εἰϲ τὴν ου δίφθογγον γίνεται ἐχρύϲουν ὥϲπερ νόοϲ νοῦϲ· εἶτα τὸ δεύτερον πρόϲωπον ἐχρύϲοεϲ καὶ κατὰ κρᾶϲιν τοῦ ο καὶ ε εἰϲ τὴν ου δίφθογγον γίνεται ἐχρύϲουϲ ὥϲπερ τὸ ἐμόν τοὐμόν.

*531.

E. M. 608, 18: «νώϲατο δ' Ὀρφεύϲ» (Apoll. Rhod. IV 1409) ἀντὶ τοῦ ἐπέγνω. ἀπὸ τοῦ νοήϲατο κατὰ κρᾶϲιν τοῦ ο καὶ η εἰϲ ω ὡϲ ὀγδοήκοντα ὀγδώκοντα.

*532.

Choer. 237, 26: ἄξιόν ἐϲτι ζητῆϲαι, διὰ ποίαν αἰτίαν τὸ βοῦϲ βοόϲ οὐ κιρνᾶται κατὰ τὴν γενικήν. ἔϲτιν οὖν εἰπεῖν, ὅτι, εἰ ἐκίρνατο τὸ βοῦϲ βοόϲ κατὰ γενικήν, εἰϲ οῦϲ ἤμελλεν εἶναι οἷον πλόοϲ πλοῦϲ, νόοϲ νοῦϲ, ῥόοϲ ῥοῦϲ· τὰ γὰρ δύο οο εἰϲ τὴν ου δίφθογγον κιρνῶνται· καὶ λοιπὸν πρῶτον μὲν ἤμελλεν ϲυνεμπίπτειν ἡ εὐθεῖα τῇ γενικῇ, δεύτερον δὲ πᾶϲα γενικὴ ἀρϲενικὴ εἰϲ οῦϲ λήγουϲα θέλει ἔχειν τὴν αἰτιατικὴν εἰϲ η καταλήγουϲαν οἷον τοῦ Δημοϲθένουϲ τὸν Δημοϲθένη, τοῦ εὐϲεβοῦϲ τὸν εὐϲεβῆ, τοῦ εὐγενοῦϲ τὸν εὐγενῆ. ἀλλὰ μὴν ἡ αἰτιατικὴ οὐ καταλήγει εἰϲ η, τὸν βόα καὶ τὸν βοῦν· δηλονότι τῆϲ αἰτιατικῆϲ μὴ καταληγούϲηϲ εἰϲ η οὐδὲ ἡ γενικὴ δύναται εἶναι εἰϲ οῦϲ. διὰ τοῦτο οὖν οὐ ϲυναιρεῖται.

*533.

Choer. 244, 21: ἄξιόν ἐϲτι ζητῆϲαι, διὰ ποίαν αἰτίαν, ὥϲπερ ἀπὸ τοῦ πλόοϲ γίνεται πλοῦϲ κατὰ κρᾶϲιν τῶν δύο οο εἰϲ τὴν ου δίφθογγον καὶ ἀπὸ τοῦ νόοϲ νοῦϲ καὶ ἀπὸ τοῦ ῥόοϲ ῥοῦϲ, μὴ τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ γόοϲ καὶ θοόϲ γίνεται κατὰ κρᾶϲιν τῶν δύο οο εἰϲ τὴν ου δίφθογγον γοῦϲ καὶ θοῦϲ. καὶ περὶ μὲν τοῦ γόοϲ ἔϲτιν εἰπεῖν, ὅτι ἔχει ῥῆμα παρακείμενον τῆϲ δευτέραϲ ϲυζυγίαϲ τῶν περιϲπωμένων, τῶν ἄλλων μὴ ἐχόντων οἷον πλόοϲ πλέω πλέειϲ, ῥόοϲ ῥέω ῥέειϲ, νόοϲ νοέω νοέειϲ, θρόοϲ θροῶ θροεῖϲ. ἐπειδὴ γοῦν τὸ γόοϲ ἔχει ῥῆμα

[533ª]

Il. Pr. Δ 452: χείμαρροι: Πτολεμαῖοϲ ὁ Ἀϲκαλωνίτηϲ παροξύνει, ἐπεὶ τὸ ἑνικόν ἐϲτι χειμάρρουϲ, Νικίαϲ δὲ ὡϲ εὔζωνοι, καὶ μήποτε πιθανώτερον, ἵνα ἐκ τοῦ χειμάρροοϲ ᾖ γεγονόϲ, εἴγε μᾶλλον ἐντελέ-

ad fr. *530. de χρυϲόετε χρυϲοῦτε cf. Choer. 509, 3 et de χρυϲόεται χρυϲοῦται 675, 16.

ad fr. *531. cf. supra fr. 240.

ad fr. *533. Hunc locum exscripsit E. M. 452, 54. Ad eandem causam pertinet etiam alter locus E. M. 677, 1: πλόοϲ: ἀπὸ τοῦ πλέω γίνεται πλόοϲ καὶ πλοῦϲ. καὶ τί δήποτε τὸ γόοϲ καὶ θοόϲ (sic emendat Lob. El. II 62 pro χλόοϲ) μὴ ἐποίηϲε γοῦϲ καὶ θοῦϲ (pr. χλοῦϲ), εἴπερ τὸ πλόοϲ γίνεται πλοῦϲ καὶ τὸ νόοϲ νοῦϲ. καί φαμεν, ὡϲ τὰ ἀπαθῆ οὐκ εἰϲὶ διηνεκῆ· ὅθεν οὐδεὶϲ ἐγκαλεῖ τοῖϲ ἀπαθέϲιν· ἀλλὰ τοὐναντίον ὑπὲρ πεπονθότων ἀπολογοῦνται, quae sententia Herodiano non indigna fortasse cum praecedentibus sic comparata fuit, ut diceretur

παρακείμενον τῆς δευτέρας cυζυγίας τῶν περιςπωμένων, γοῶ γὰρ γοᾷς, εἰκότως ὡς παραλλάξαν τοῦτο πρὸς τὰ διὰ τοῦ οοc παρήλλαξε καὶ κατὰ τὸ μὴ κίρναcθαι. περὶ δὲ τοῦ θοός, ὅτι, ἐπειδὴ τῶν διὰ τοῦ οοc διcυλλάβων πάντων βαρυνομένων οἷον πλόος, ῥόος, θρόος, γόος, νόος, τὸ θοός μόνον ὀξύνεται, εἰκότως ὡς παραλλάξαν κατὰ τὸν τόνον παρήλλαξε καὶ κατὰ τὴν κρᾶcιν, καὶ οὐ κίρναται ὁμοίως τοῖς ἄλλοις· ἄλλως τε δὲ τὸ ὀφειλόμενον ἐν τῇ ἁπλότητι ἐν τῇ cυνθέcει ἀναδέχεται· ἐν γὰρ τῇ cυνθέcει κίρναται, ἐπειδὴ καὶ βαρύνεται οἷον Πάνθοος Πάνθους.

*534.

Choer. 332, 8: ἐπειδὴ πᾶcα γενικὴ εἰς ουc λήγουcα ἔχει ἄλλην γενικὴν ὥcπερ ἐντελῆ οἷον Δημοcθένεος Δημοcθένους, Διομήδεος Διομήδους, τούτου χάριν διάλυcις ἐγένετο τῆς ου διφθόγγου εἰς δύο οο καὶ ἐγένετο Cαπφόος καὶ Λητόος ἡ ἐντελὴς γενική, ἡ δὲ Cαπφοῦς καὶ Λητοῦς κατὰ cυναίρεcιν· ἰcτέον δὲ ὅτι τῇ μὲν διὰ τοῦ ουc γενικῇ κέχρηνται οἱ Ἴωνες οἷον τῆς Cαπφόος τῆς Λητόος, τῇ δὲ εἰς ουc οἱ Ἀττικοὶ καὶ ἡ κοινὴ διάλεκτος οἷον Cαπφοῦς Λητοῦς.

*535.

St. B. 36, 9: Ἄθως ὄρος Θρᾴκης. εἴρηται δὲ καὶ Ἄθοος ὡς τὸ Κῶς Κόος. λέγεται καὶ κατὰ cυναίρεcιν Ἄθους.

---

cτερον οἶδε τὸ ἑνικὸν ἐν τῇ cυνθέcει ἤπερ τὸ cυναληλιμμένον «ὅccους Ἑλλήcποντος ἀγάρροος» (Il. B 845), «cτῆ ἐπ' ὠκυρόῳ ποταμῷ» (Il. E 598), «ἐς ποταμὸν εἰλεῦντο βαθύρροον» (Il. Φ 8), «ἀψορρόου Ὠκεανοῖο» (Il. C 399). cπανίως δὲ τὸ ἕτερον «χειμάρρους κατ' ὄρεcφιν ὄπαζεν» (Il. Λ 493), «ποταμῷ πλήθοντι ἐοικὼς χειμάρρῳ» (Il. E 87). τὸ μέντοι γε ἁπλοῦν ἀεὶ ἐντελῶς ἀποφαίνεται ῥόος· «ὦθει δ' ἐν cακέϊ πίπτων ῥόος» (Il. Φ 240).

[533b]

Il. Pr. K 373: ἐΰξου: Πτολεμαῖος περιcπᾷ, λέγων ἐκ τοῦ ἐϋξόου cυνηλεῖφθαι· οὐκ ἀναγκαῖον δέ· εἰ γὰρ ἤδη τέτριπται εὔξου ὡς ἡcύχου, δῆλον ὅτι τὸ ἐΰξοος πολὺ πρότερον ἐΰξους ἐγένετο ὡς εὔνους· καὶ οὕτως τὸ εὔξου ὡς εὔνου.

[533c]

Arcad. 47, 26: τὸ φροῦδος ἀπὸ τοῦ πρόοδος cύνθετον.

[535a]

Arcad. 51, 21: μόνοικος τὸ κατὰ cυναλοιφήν (sc. ἐκ τοῦ μονόοικος).

ἄλλως δὲ καί φαμεν κτλ. De contractis in οῦc cf. Mon. 14, 35, ubi proferuntur χνοῦς, κνοῦς, χροῦς, Γλοῦς, θροῦς, φλοῦς, πλοῦς, ῥοῦς, de accentu vocis θοός Mon. 41, 29 et Choer. 245, 8. Arcad. 42, 10: τὰ εἰς πλοος ἐντελῆ τῶν εἰς πλους ληγόντων ἁπλᾶ ὄντα παροξύνονται διπλόος, τριπλόος, ἁπλόος.
ad fr. *535. cf. supra fr. 465.

*536.

Choer. 244, 5: τὸ πλακοῦς πλακοῦντος καὶ Cιμοῦς Cιμοῦντος γέγονε τοῦτον τὸν τρόπον. ἔστι δὲ πλακόεις πλακόεντος, Cιμόεις Cιμόεντος καὶ κατὰ κρᾶσιν τοῦ ε̄ καὶ ο̄ εἰς τὴν ο̄ῡ δίφθογγον γίνεται πλακοῦς καὶ Cιμοῦς, τὸ δὲ ῑ ἀπεβλήθη, ἐπειδὴ οὐ δύνανται τρία φωνήεντα ἐν μιᾷ συλλαβῇ παραλαμβάνεσθαι· τὸ γὰρ ο̄ οὐκ ἠδύνατο ἀποβληθῆναι, ἐπειδὴ οὐδέποτε μετὰ τὴν ῡῑ δίφθογγον σύμφωνον εὑρίσκεται ἐπιφερόμενον, ἀλλὰ φωνῆεν οἷον μυῖα ἅρπυια, υἱός. εἰ ἀπεβλήθη οὖν τὸ ο̄ καὶ ἐφυλάχθη ἡ ῡῑ δίφθογγος, εὑρίσκετο μετὰ τὴν ῡῑ δίφθογγον σύμφωνον ἐπιφερόμενον τὸ c̄, ὅπερ ἐστὶν ἀδύνατον. τὸ δὲ ῡ οὐκ ἀπεβλήθη, ἵνα μὴ γένηται ὑπόνοιά τις, ὅτι τὸ ο̄ καὶ ε̄ εἰς τὴν ο̄ῑ δίφθογγον κίρνανται· τὸ γὰρ ο̄ καὶ ε̄ εἰς τὴν ο̄ῡ δίφθογγον κίρναται οἷον τὸ ἐμόν τοὐμόν, πρόεστι προὔστι, προέβη προὔβη. ἐξ ἀνάγκης οὖν ἀπεβλήθη τὸ ῑ καὶ ἔμεινεν ἡ ο̄ῡ δίφθογγος.

*537.

Choer. 499, 7: ἔστι χρυσόω καὶ κατὰ κρᾶσιν τοῦ ο̄ καὶ ω̄ εἰς ω̄ γίνεται χρυσῶ· τούτου τὸ δεύτερον πρόσωπον χρυσόεις καὶ ὤφειλε κατὰ κρᾶσιν τοῦ ο̄ καὶ ε̄ εἰς τὴν ο̄ῡ δίφθογγον γίνεσθαι χρυσοῦς, τὸ γὰρ ο̄ καὶ ε̄ εἰς τὴν ο̄ῡ δίφθογγον κιρνᾶται οἷον τὸ ἐμόν τοὐμόν, ἀλλ' ἐπειδὴ ἤμελλε τρία φωνήεντα εἶναι ἐν μιᾷ συλλαβῇ, φημὶ δὲ τὸ ο̄ καὶ ῡ καὶ ῑ, οὐδέποτε δὲ ἐν μιᾷ συλλαβῇ τρία φωνήεντα εὑρίσκονται, ἀνάγκην ἔχει ἓν ἐκ τούτων τῶν τριῶν φωνηέντων ἀποβληθῆναι. καὶ τὸ μὲν ῑ οὐ δύναται ἀποβληθῆναι, ἐπεὶ τὰ εἰς ω̄ λήγοντα ῥήματα θέλουσιν ἔχειν ἐν τῷ δευτέρῳ καὶ τρίτῳ προσώπῳ δίφθογγον τὴν μετὰ τοῦ ῑ οἷον τύπτω τύπτεις τύπτει, βοῶ βοᾷς βοᾷ· τὸ δὲ ο̄ οὐκ ἠδύνατο ἀποβληθῆναι, ἐπειδὴ ἤμελλεν εἶναι μετὰ τὴν ῡῑ δίφθογγον ἐπιφερόμενον σύμφωνον τὸ c̄, ὅπερ ἐστὶν ἀδύνατον. — μὴ δυνάμενον οὖν μήτε τὸ ῑ ἀποβάλλειν διὰ τὸ ἔχειν τὸ πρῶτον πρόσωπον εἰς ω̄ καταλῆγον, μήτε τὸ ο̄ διὰ τὸ μηδέποτε μετὰ τὴν ῡῑ δίφθογγον εὑρίσκεσθαι σύμφωνον ἐπιφερόμενον, ἐξ ἀνάγκης ἀπέβαλε τὸ ε̄ τοῦ χρυσόεις ἐντελοῦς καὶ ἔμεινεν ἡ οι δίφθογγος καὶ ἐγένετο χρυσοῖς.

*538.

Choer. 799, 20: ἄξιόν ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν τὰ μὲν ὑποτακτικὰ τῆς πρώτης συζυγίας τῶν περισπωμένων διὰ τοῦ η̄ καὶ ῑ ἐκφέρονται κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον ὁμοίως τοῖς βαρυτόνοις οἷον ἐὰν ποιῶ ἐὰν ποιῇς ἐὰν ποιῇ ὥσπερ ἐὰν τύπτω ἐὰν τύπτῃς ἐὰν τύπτῃ, τὰ δὲ ὑποτακτικὰ τῆς δευτέρας καὶ τρίτης συζυγίας τῶν περισπωμένων

ad fr. *536. cf. St. B. 494, 9: Ὀπόεις· λέγεται καὶ Ὀποῦς Ὀποῦντος κατὰ κρᾶσιν et 19, 12: παρ' αὐτοῖς (sc. τοῖς Ἀττικοῖς) οὐ λέγεται Ἁγνόεις ἢ Φηγόεις ἢ Μυρρινόεις, τὸ δὲ Cιμοῦς Cιμόεις διαιρεῖται καὶ Ὀποῦς Ὀπόεις.

ad fr. *537. expuli in fine verba ἀπέβαλε τὸ ῡ καὶ ἐγένετο χρυσοῖς διὰ τῆς οι διφθόγγου ἢ ὡς ἔχει τινὰ τῶν ἀντιγράφων, quae spectant ad Theodosii exemplaria, apud quem nunc p. 1008 legitur ἐκθλιφθέντος τοῦ ε̄, quod verius est et probatur a Lobeckio El. II 136 not.

οὐκ ἐκφέρονται κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον διὰ τοῦ η̄ καὶ ῑ, ἀλλ' ὁμοφωνοῦϲι τοῖϲ ἰδίοιϲ ὁριϲτικοῖϲ οἷον βοῶ βοᾷϲ βοᾷ, ἐὰν βοῶ ἐὰν βοᾷϲ ἐὰν βοᾷ, χρυϲῶ χρυϲοῖϲ χρυϲοῖ, ἐὰν χρυϲῶ ἐὰν χρυϲοῖϲ ἐὰν χρυϲοῖ. ἔϲτιν οὖν εἰπεῖν τὴν ἀπολογίαν ταύτην· εἰ ἐγένετο τὰ ὑποτακτικὰ τῶν τριῶν ϲυζυγιῶν τῶν περιϲπωμένων κατὰ τὸ δεύτερον καὶ τρίτον πρόσωπον διὰ τοῦ η̄ καὶ ῑ ὁμοίωϲ τοῖϲ βαρυτόνοιϲ οἷον ἐὰν ποιῶ ἐὰν ποιῇϲ ἐὰν ποιῇ, ἐὰν βοῶ ἐὰν βοῇϲ ἐὰν βοῇ, ἐὰν χρυϲῶ ἐὰν χρυϲῇϲ ἐὰν χρυϲῇ ὥϲπερ ἐὰν τύπτω ἐὰν τύπτῃϲ ἐὰν τύπτῃ, ϲύγχυϲιϲ ἤμελλεν εἶναι καὶ οὐδεμία διάκριϲιϲ τῶν ϲυζυγιῶν ἐν τοῖϲ ὑποτακτικοῖϲ.

539.

E. M. 775, 20 (Cod. Paris. 2426), Cram. Anecd. Paris. I 396:

[539a]

Il. Pr. Π 390: ἐχρῆν μὲν διὰ τὸ κλιτύαϲ οὐρῆαϲ (οὐρείαϲ?) περιϲπᾶϲθαι τὸ κλιτῦϲ, ἀνεγνώϲθη δὲ κατ' ὀξεῖαν τάϲιν ἐν ἐγκλίϲει, ὁμοίωϲ τῷ «κνημῖδαϲ ῥαπτὰϲ δέδετο, γραπτῦϲ ἀλεείνων» (Od. ω 229). ϲχόλιον· ἐν μέντοι τῇ Ὀδυϲϲειακῇ προϲῳδίᾳ φανερῶϲ τὸ γραπτῦϲ περιϲπᾷ καί φηϲιν ὅτι εἴη εἰρηκὼϲ ὡϲ καὶ τὸ κλιτῦϲ δεῖ περιϲπᾶϲθαι. ἀμφίβολοϲ οὖν ἐφ' ἑκατέρων ὁ τόνοϲ· εἰ γὰρ τοῖϲ ἐνταῦθα εἰρημένοιϲ πειϲθείημεν, ἐκεῖνο ἀνθέλκει, εἰ δὲ ἐκείνοιϲ, τοῦτο πάλιν ἀντίκειται.

[539b]

Il. Pr. Ω 665: τῇ δεκάτῃ τέ κε θάπτοιμεν δαινῦτό τε λαόϲ: προπεριϲπαϲτέον, ὡϲ καὶ Φιλοξένῳ δοκεῖ, ἵν' ᾖ ἐκ τοῦ δαινύατο (ϲ 248) ϲυναλοιφή, ὡϲ πυθοίατο (Α 257). ὡϲ οὖν τοὺϲ νέκυαϲ νέκυϲ ἔφη, καὶ τὸ δαινύατο δαινῦτο, οὕτωϲ ἔχει καὶ τὸ «λελῦτο δὲ γυῖα ἑκάϲτου» (Od. ϲ 237)· οὐδὲν δὲ θαυμαϲτὸν εἰ πληθυντικόν ἐϲτι τὸ δαινῦτο καὶ τὸ λαόϲ ἑνικόν. τῷ γὰρ ϲημαινομένῳ ἡ ϲύνταξιϲ ἐγένετο ὁμοίωϲ τῷ «ἀγρόμενοι πᾶϲ δῆμοϲ» (Il. Υ 166)· Φιλοξένῳ δὲ ἀρέϲκει ἐν τοῖϲ εἰϲ μι λήγουϲι καὶ ἑνικὸν αὐτὸ εὐκτικὸν εἶναι ἀκολούθωϲ κεκλιμένον.

[539c]

Arcad. 196, 17: πᾶν δίχρονον ἐκ κράϲεωϲ ὂν ἐκτείνεται, οἱ νέκυϲ, οἱ βότρυϲ, ῥῦϲθαι.

[539d]

Il. Pr. Μ 286: εἴλυται: προπεριϲπῶϲιν, ἵνα ἐκ τοῦ εἰλύαται ϲυναλοιφὴ ὑπάρχῃ ἢ ἐκ τοῦ εἰλύεται· δύναται γὰρ καὶ ἑνικῶϲ ϲυντάϲϲεϲθαι καὶ πληθυντικῶϲ. οὐκ ἀήθηϲ δὲ ἡ τοιαύτη ϲυναλοιφή, εἴγε καὶ τὸ ἐρύεϲθαι ῥῦϲθαι ἔφη «πάντων ἀνθρώπων ῥῦϲθαι γενεήν τε τόκον τε»

ad fr. 539. In Epim. Cr. I 419, 15 idem articulus exstat auctore tacito, ubi

ad fr. [539a]. cf. Choer. 861. Ἡρωδιανόϲ φηϲι, ὅτι ἐν τῷ ἰχθύαϲ ἰχθῦϲ τὸ ῠ καὶ τὸ ᾰ εἰϲ τὸ ῡ ϲυναιρεῖται.
ad fr. [539c]. cf. Dichr. 282 βότρυεϲ βότρυϲ, νέκυεϲ νέκυϲ.

ὁ Ἡρωδιανὸϲ ἐν τῷ περὶ παθῶν οὕτωϲ, τοῦτο (sc. υἱοϲ) cχηματίζων, φηϲίν, ὅτι ἐϲτὶν υἷϲ διὰ τῆϲ ῡῑ διφθόγγου κατὰ τὴν παραλή-

---

(Il. O 141). καὶ τὸ «ἄρχετε νῦν νέκυαϲ φορέειν» (Od. χ 437), ἐν τοῖϲ ἑξῆϲ ἔφη «ἐκ δὲ νέκυϲ οἴκων φόρεον» (Od. ω 417). τινὲϲ δὲ προπαροξύνουϲιν ὡϲ ἀπὸ τοῦ εἴλυμι.

[539e]

Il. Pr. Δ 138: τὸ ἔρυτο ψιλοῦται καὶ προπαροξύνεται· οὕτωϲ Ἀρίϲταρχοϲ καὶ ἐπείϲθη αὐτῷ ἡ παράδοϲιϲ. δύναται δὲ καὶ προπεριϲπᾶϲθαι. ἔϲτι γὰρ τι ῥῆμα ἐρύω. τούτου ὁ παρατατικὸϲ παθητικὸϲ γίνεται εἰρυόμην, τὸ τρίτον εἰρύετο, ὃ ἐν ϲυναλοιφῇ ἔρυτο.

[539f]

Il. Pr. Π 542: εἴρυτο: Ἀρίϲταρχοϲ τρίτην ἀπὸ τέλουϲ τὴν ὀξεῖαν ποιεῖ, ὑγιῶϲ πάνυ· ὁ δὲ Τυραννίων προπεριϲπᾷ, ἐκ τοῦ εἰρύετο φάϲκων αὐτὸ ϲυνηλεῖφθαι. δύναται δὲ τὸ εἴρυτο κλιθὲν ἀπὸ τῶν εἰϲ μῑ ὁμοίωϲ τῷ ἐζεύγνυτο, ἤνυτο «θοῶϲ δέ οἱ ἤνυτο ἔργον» (Od. ε 243) ἐκτετάϲθαι. οὕτωϲ ἀξιοῦμεν καὶ ἐπὶ τοῦ εἴλυτο (Μ 286) καὶ εἴρυτο (Δ 138).

[539g]

Il. Pr. Ω 1: λυτο: εἰ μὲν μέϲοϲ δεύτεροϲ ἀόριϲτόϲ ἐϲτιν ἀπὸ τῶν εἰϲ μῑ, ὥϲπερ ἤδη ἐπίϲταται λέγων «νῦν δὲ λύμην τρὶϲ τόϲϲα πορών» (Il. Φ 80) καὶ «τῆϲ δ' ἄρα κλαιούϲηϲ λύτο γούνατα» (δ 703 et υ 92), ἔκταϲιϲ ἐγένετο διὰ τὸ μέτρον. εἰ δὲ παρατατικόν τινεϲ ἐκδέχονται, δύναται κρᾶϲιϲ τοῦ ἐλύετο γεγενῆϲθαι ὥϲπερ ἐκ τοῦ ἰχθύεϲ ἰχθῦϲ, μύεϲ μῦϲ, ῥύεϲθαι ῥῦϲθαι «πάντων ἀνθρώπων ῥῦϲθαι γενεήν τε τόκον τε» (Ο 141). ἢ ἀπὸ τοῦ λέλυτο λύτο ὡϲ βέβλητο βλῆτο.

[593h]

Choer. 258, 34: ἰϲτέον ὅτι φηϲὶν ὁ Ἡρωδιανὸϲ ἐν τῇ Καθόλου, ἐν τῇ περὶ τῆϲ εὐθείαϲ τῶν πληθυντικῶν διδαϲκαλίᾳ, ὡϲ οἱ ἥρωεϲ εὐθεῖα τῶν πληθυντικῶν εὕρηται κατὰ κρᾶϲιν παρὰ Ἀριϲτοφάνει ἐν Ἥρωϲιν (Mein. ed. m. p. 285) «οἱ γὰρ ἥρωϲ ἐγγύϲ εἰϲιν».

[539i]

Io. Al. 32, 6: τὸ πρῴ μονοϲύλλαβον παρ' Ἀττικοῖϲ ὀξύνεται, ἐπεὶ ἐκ τοῦ πρωῒ διϲυλλάβου ὀξυνομένου κατὰ ϲυναίρεϲιν γέγονε.

[539k]

Io. Al. 23, 30: αἱ δυϊκαὶ γενικαὶ πρώτου καὶ δευτέρου νῶϊν, ϲφῶϊν προπεριϲπῶνται. ταύταϲ δὲ κατὰ ϲυναίρεϲιν Ἀττικοὶ προφέρονται μο-

---

additur: ἡ εὐθεῖα υἷϲ οὐ ϲυναιρεῖται, ἐπειδὴ κανών ἐϲτιν ὁ λέγων, ὅτι οὐδέποτε τῇ ῡῑ διφθόγγῳ τῇ διὰ τοῦ ῡ ψιλοῦ καὶ ῑ προϲγεγραμμένου ϲύμφωνον ἐπάγεται,

---

ad fr. [539k]. cf. Arcad. 178, 22.

γουςαν· τούτου ἡ γενικὴ υἷϊος καὶ κατὰ ςυναίρεςιν τῶν δύο ι εἰς ἓν δηλονότι μακρὸν υἷος ὥςπερ Θέτις «Θέτι καλλιπλοκάμῳ» (Σ 407).

540.

Steph. B. 704, 6: Ψυττάλεια νῆςος περὶ Σαλαμῖνα. Ἡρόδοτος «εἰς τὴν νηςῖδα τὴν Ψυττάλειαν, τὴν μεταξὺ Σαλαμῖνος κειμένην καὶ τῆς ἠπείρου» (8, 76). Ἡρωδιανὸς μέντοι Ψυττάλην αὐτὴν καλεῖ. ἔοικε δὲ τὸ Ψυττάλεια πρωτότυπον εἶναι ὡς Ἀγάμμεια Μαντίνεια Ἐρύθεια Ζέλεια, ἀφ᾽ οὗ κατὰ ςυναλοιφὴν ἐγένετο ὡς Ἀγάμμη Μαντίνη Ζέλη Ἐρύθη.

*541.

Ep. Cr. I 249, 7: οἶδεν ὁ ποιητὴς διφορουμένην τὴν ἐκεῖνος. «κείνου μέντοι ὅδ᾽ υἱός» (δ 157), «ὡς κείνῳ ἀναφανδόν» (δ 222). οἶδε δὲ τὴν ἐκεῖνος «μηδ᾽ ἀντιάςειας ἐκείνῳ» (Od. ε 146), διὸ ἐν τῷ «ἐπεὶ καὶ κεῖνος ἐπίςτροφος ἦν ἀνθρώπων» (α 177), Ἀρίςταρχος ἀπαξιοῖ ἐπεὶ κἀκεῖνος κατὰ ἔκθλιψιν τοῦ ῑ καὶ κρᾶςιν· εἰ γὰρ ἠγνόει

νοςυλλάβως τοῦ ῑ γραφομένου μὴ ςυνεκφωνουμένου, ὧν καὶ ἡ περιςπωμένη μένει μετὰ τὴν ςυναίρεςιν οἷον νῷν ςφῷν.

[539ˡ]

Arcad. 134, 17: τὸ φῷδων ἀπὸ τοῦ φωΐδων.

[539ᵐ]

Il. Pr. Ε 887: τὸ ζώς ἐξ ὀξυνομένου τοῦ ζωός γενόμενον δεῖ ὀξύνειν.

[540ᵃ]

Eustath. 117, 41: τὸ «ὧτε χερνῆτις γυνή» (Μ 433) γίνεται κατὰ Ἡρωδιανὸν οὕτως· ὡςεὶτε καὶ ὡςεὶπερ καὶ ἀποβολῇ τοῦ ε̄ καὶ κρᾶςει τοῦ ω καὶ ε̄ εἰς τὴν ῳ δίφθογγον διὰ τὴν τοῦ ῑ ςυναίρεςιν ὧτε καὶ ὧπερ.

[541ᵃ]

Il. Pr. Α 278: Πηλείδη θέλ᾽: Ἀρίςταρχος ἀποφαίνεται ὡς κατὰ τὴν Ὁμηρικὴν ςυνήθειαν τὸ ῥῆμα κατὰ τὸν ἐνεςτῶτα ἀπὸ τοῦ ε̄ ἄρχεται. ἀλλὰ μὴν καὶ ἡ κίνηςις ἡ τοῦ παρατατικοῦ· «ἀλλ᾽ ὅδ᾽ ἀνὴρ ἐθέ-

sed Herod. in Il. Pr. Ε 266 diserte υἷϊς dicit εὐθεῖαν μὴ εἰρημένην. Idem docet etiam Choer. 409, 1 cf. Arcad. 128. 13, Lob. El. I 293.

ad fr. 540. St. B. addit περὶ ὧν κατὰ τοὺς οἰκείους εἰρήκαμεν τόπους, qui sunt hi: 13, 3 Ἀγάμμεια: λέγεται καὶ Ἀγάμμη ὡς πρέςβεια πρέςβη καὶ τὸ βαςίλεια κατὰ ςυναλοιφὴν βαςίλη· οὕτως Ἀγάμμεια Ἀγάμμη· δύναται δὲ καὶ τὸ Ἀγάμμεια ἐκ τοῦ Ἀγάμμη ὡς τὸ Πηνελόπεια ἐκ τοῦ Πηνελόπη. — p. 279, 8 Ἐρύθεια. — λέγεται καὶ Ἐρύθη κατὰ ςυναλοιφὴν ὡς Ἀγάμμεια Ἀγάμμη καὶ Ζέλεια Ζέλη, Μαντίνεια Μαντίνη, unde apparet Herodianum ipsum de his vocabulis inter synaloephen et paragogen fluctuasse. Lobeckius El. II 139 nullum horum vocabulorum vel contractum vel distractum esse concedit, sed fingentium arbitrio tribuit.

ad fr. *541. Schol. ad Od. α 177 ἐπεὶ καὶ κεῖνος: ἐκ πλήρους καί· τῇ γὰρ ἐκεῖνος οὐ χρῆται, εἰ μὴ ἀναγκαςθῇ ὑπὸ μέτρου. οὕτως Ἀρίςταρχος. Hoc est Herodiani

ad fr. [540ᵃ]. Accentum ex Io. Al. 32, 5 mutavi. cf. Bergk Philol. XXII 8.

τὴν ἐκεῖνος ὁ ποιητής, ἐχρῆν τὸ πάθος παραλαμβάνειν· εἰ δὲ οἶδε τὴν διcύλλαβον, παραλάβωμεν ὥςπερ κἀν τούτῳ «καί κεῖθι θεῷ ὡς εὐχετοῴμην» (θ 467), οὐχὶ κἀκεῖθι· οἶδε γὰρ καὶ τὸ κεῖθι «κεῖθι δὴ αἰνόλει» (287)· «ἤθελε Μηριόνης» (Il. K 229). καὶ ἐνθάδε οὖν ἄμεινον τῇ cυνηθεcτέρᾳ ἀναγνώcει προcέχοντας ἐπὶ τὴν δη cυλλαβὴν ὀξεῖαν παραλαμβάνειν, ἵνα κρᾶcις ᾖ τοῦ ἔθελε τριcυλλάβου γενομένου, ὡς καὶ cύνηθές ἐcτι τῷ ποιητῇ. τὸ μέντοι ῥῆμα τῶν παραλόγων κατὰ τόνον ἐcτὶ τριcύλλαβον ὄν, ὡς δείκνυται ἐν τοῖς περὶ ῥημάτων.

[541b]

Il. Pr. Θ 229: ὅτε δὴ φάμεν: οὐκ ἀναγκαῖον ὀξύνειν τὸν δή, ἵνα κρᾶcις γένηται ὁμοίως τῷ «μήτε cὺ Πηλεΐδήθελε». ἐπὶ μὲν γὰρ τοῦ ἐθέλω πᾶcα ἀνάγκη τὸ ε̄ μένειν κατὰ τὸν ποιητὴν ὡς εἴρηται· ἐπὶ δὲ τούτου τοῦ παρῳχημένου δύναται ποιητικῶς ἀποβεβλῆcθαι τὸ ε̄, ὥςτε ἐπὶ τὴν φα cυλλαβὴν θετέον τὴν προcῳδίαν, καί ἐcτιν ὅμοιον τῷ ἐν Ὀδυccείᾳ «Τηλεμάχῳ ὁδὸς ἦδε· φάμεν δέ οἱ οὐ τελέεcθαι» (Od. π 347).

[541c]

Il. Pr. Ι 614: ἵνα μημοι ἀπέχθηαι φιλέοντι: ὁ Ἀcκαλωνίτης ἀναγινώcκει ἵνα μημοι τὰ δύο βαρυτόνως, οἷον ἵνα μὴ ἐμοὶ κατ' ὀρθὴν ·τάcιν· cυγκριτικὴ γάρ ἐcτι, φηcίν, ὡς πρὸς τὸν Ἀγαμέμνονα. καὶ ὑγιῶς φηcιν. ἡ μέντοι παράδοcις ἐγκλιτικῶς ἀνέγνω, ἐπὶ τὴν μή τὴν ὀξεῖαν τιθεῖcα, ὁμοίως τῷ «μή μοι οἶνον ἄειρε» (Il. Z 264), τῷ μὴ εἶναι ἐν τῇ ἀντωνυμίᾳ τὸ ε̄, ἀλλ' ἀποβεβλῆcθαι. καὶ ὁμοία ἐcτὶν ἡ πλάνη τῷ «ἤ μ' ἀνάειρε ἢ ἐγὼ cε» (Il. Ψ 724), καὶ τῷ «τάχα δή με διαρραίcουcι καὶ αὐτόν» (Od. α 251), εἴγε ἐχρῆν καὶ ταῦτα ὀρθοτονεῖcθαι. ἀλλὰ τῷ μὴ ὁρᾶcθαι κατ' ἀρχὴν τὸ ε̄ οὕτως ἀνέγνωcαν· τοῦτο γὰρ ἐπακολουθεῖ τοῖς πρωτοτύποις. ἐχρῆν δὲ αὐτοὺς ἐπιγνῶναι ὅτι κρᾶcις δύναται ἐπακολουθεῖν, καὶ οὕτως ῥῶcαι τὴν ὑγιῆ ἀνάγνωcιν.

[541d]

Il. Pr. Z 260: δέ κ' αὐτός: τοῦτο διχῶς ἀναγινώcκεται. ὅcοι γὰρ ἡγοῦνται ἐγκεῖcθαι τὸν κέ ἐγκλιτικόν, ῥωννύουcι τοῦ δέ τὴν ὀξεῖαν, ὡς καὶ ὁ Ἀcκαλωνίτης. οὕτω γὰρ καὶ τὸ ἐν τῇ Ὀδυccείᾳ (γ 255) ἀναγινώcκει «ἤτοι μὲν τόδε κ' αὐτὸς ὀΐεαι». ὅcοι δὲ τὸν καί κατὰ κρᾶcιν καὶ ἔκθλιψιν, καὶ αὐτός — καὐτός, ἐγκλίνουcι τὸν δέ.

[541e]

Il. Pr. N 377: τὸ ταῦτα περιcπαcτέον κατὰ τὴν πρὸ τέλους cυλ-

adnotamentum, quum ad passionem et scripturam spectet. Eadem sententia explicatius in nostro fragmento profertur. Diverse statuit Aristarchus de ἐθέλω, quod quum Homero trisyllabum esse observasset, in Il. A 287 crasin sumpsit.

ad fr. [541e]. cf. Lehrs quaest. ep. p. 112.

τατον» (θ 119). οἶδε δὲ καὶ τὸ κεῖϲε «αἳ κεῖϲέ γε φέρτεραι ἦϲαν» (Ψ 461), καὶ τὸ κεῖθεν «κεῖθεν δ' ἐϲ Cπάρτην τε» (α 285).

*542.

E. M. 821, 39, Schol. ad Apollon. I 108 1: ὦλλοι: ἀντὶ τοῦ οἱ ἄλλοι· αἱ τοιαῦται δὲ ϲυναλοιφαὶ τῆϲ δευτέραϲ εἰϲὶν Ἰάδοϲ, ᾗ Ὅμηροϲ οὐκ ἐχρήϲατο. διόπερ Ζηνοδότῳ μέμφονται εἰπόντι δεῖν ἀναγινώϲκειν «ὦλλοι μέν ῥα θεοί τε καὶ ἀνέρεϲ» (Β 1).

*543.

E. Or. 74, 15, E. M. 443, 27: θάτερον: παρὰ τὸ ἅτερον· Δώ-

λαβήν, ἵνα ᾖ ἡ φράϲιϲ δεικτική. τινὲϲ μὲν ὤξυναν, ἵνα τοῦ τὰ αὐτὰ ὑπάρχῃ ϲυναλοιφή· ὅπερ οὐ πιθανόν.

[542ᵃ]

Il. Pr. Λ 636: ἄλλοϲ: — τινὲϲ βούλονται δαϲύνειν τὸ α καὶ ἐκτείνειν, ἵν' ᾖ ὁ ἄλλοϲ μὲν μογέων, τουτέϲτιν ὁ Μαχάων. ἡμεῖϲ δὲ ἐκεῖνο παραφυλάξαι ἔχομεν, ὡϲ ὅτι παρὰ τῷ ποιητῇ οὐ δύναται ἡ τοιαύτη κρᾶϲιϲ εἶναι· εἰ γὰρ καὶ κρᾶϲιν ἠβούλοντο παραλαμβάνειν, ἐχρῆν εἰϲ τὸ ω, ὁμοίωϲ τῷ «οἴχετ' ἀνὴρ ὥριϲτοϲ» (288).

[542ᵇ]

Il. Pr. Α 464: μίϲτυλλον τ' ἄρα τἆλλα: τὸ τἆλλα κατὰ ϲυναλοιφήν ἐϲτιν ὡϲ τἄργα. ὁ δὲ Ἡρωδιανὸϲ τόν τέ πληρωματικὸν ἀποδέχεται· καὶ λείπει τὸ ἄρθρον Ὁμηρικῷ ἔθει.

[542ᶜ]

Il. Pr. Ν 510: ἔτ' ἄλλα: οἱ μὲν τὸ πλῆρεϲ ἐκδέχονται τὰ ἄλλα, ἐν ϲυναλοιφῇ δὲ γενέϲθαι τἆλλα ὡϲ τὰ ἆθλα τἆθλα. προείρηται δὲ περὶ

ad fr. *542. Aristonicus ad Il. l. formam ὦλλοι reiicit, quod Homerus articulo abstineat. Quod idem etiam Herodianum fecisse sumi potest, qui tamen addidit vel si articuli usus concederetur, οἱ ἄλλοι apud Homerum non in ὦλλοι contrahi potuisse. Si quis quaerat, quomodo οἱ ἄλλοι apud Homerum commisceri debuerit, respondendum est nullo modo, quum recentior demum Ias huiuscemodi crases receperit. Sed dicat quispiam Herodianum ipsum ad Λ 636 pronunciare scripturam ἆλλοϲ i. e. ὁ ἄλλοϲ reiiciendam esse, quod talis contractio Homero ignota esset, qui per ω pronunciaturus fuisset ut ὥριϲτοϲ (ib. 288). At valde dubium est, num Herodianus in ὥριϲτοϲ re vera crasin ex οα in ω statuerit, equidem putaverim eum ὥριϲτοϲ, quam formam Homerus hoc loco, quia longa syllaba opus erat, adoptavit, non ex contractione, sed ex tropo ut in E. M. 823, 26 ὥριϲτοϲ ἀντὶ τοῦ ἄριϲτοϲ Βοιωτικῶϲ τραπέντοϲ τοῦ ᾱ εἰϲ ω repetivisse: cui explicationi locus Il. Pr. Λ 636 non repugnat, nam id tantum dicit, si ὁ ἄλλοϲ per crasin proferendum sit, similiter atque ὁ ἄριϲτοϲ ὥριϲτοϲ ὦλλοϲ pronunciandum fuisse; litem autem de interpretatione speciei ὥριϲτοϲ, quum hoc loco nihil referret, intactam reliquit. Caeterum Herodianus in multis vocabulis mutationem vocalis ᾱ in ω sumpsit, ut infra demonstrabitur. His omnibus perpensis dubitari licet, num recte apud Homerum nunc ὥριϲτοϲ per asperum exhibeatur. cf. Duentzer ad Zenod. p. 75 et quem citat Apollon. de synt. p. 5 et p. 77.

ad fr. *543. Quamquam Apollon. de coniunctione p. 495 simillima habet (cf.

ριον· τὸ γὰρ ἕτερος ἅτερος λέγουσιν οἱ Δωριεῖς ὡς τρέχω τράχω. οὕτως οὖν καὶ τὰ ἅτερα θάτερα κατὰ συναίρεσιν τῶν δύο αα εἰς ᾱ· καὶ

τῆς τοιαύτης παρ' αὐτῷ συναλοιφῆς καὶ συντάξεως τῶν ἄρθρων· ἄμεινον οὖν ἐκδέχεσθαι ἔτι καὶ ἄλλα.

[543a]

Il. Pr. Α 464: μῆρ' ἐκάη: Πτολεμαῖος τὸ ε̄ τελευταῖον λαμβάνει τοῦ μῆρε, ἵνα ἰακώτερον ἐκδέξηται τὸ κάη. καὶ Ἀρίσταρχος δὲ οὕτως· δύναται δὲ καὶ ἐκάη εἶναι τὸ πλῆρες, ἐκθλίψεως γενομένης τοῦ α, ὥσπερ καὶ ἐπὶ τοῦ ἐντελεστέρου αὐτοῦ ὁρῶμεν «ἢ εἰ δή ποτέ τοι κατὰ πίονα μηρί' ἔκηα» (40)· τὸ δὲ τοιοῦτο πολὺ παρὰ τῷ ποιητῇ, λέγω δὲ τὸ καὶ τὸν χρόνον τὸν ἔξωθεν φυλάσσειν τὸ ῥῆμα καὶ συνάρχεσθαι τῷ ἐνεστῶτι.

[543b]

Mon. 17, 15: εἴ τις λέγοι, ὅτι τὸ ζαήν καθαρεύει, οὗ καὶ αἰτιατικὴ παρὰ τῷ ποιητῇ κατ' ἔκθλιψιν τοῦ α «ὦρσε δ' ἐπὶ ζαῆν' ἄνεμον» (μ 313), πρῶτον μὲν εἴσεται, ὡς οὐχ ὑγιῶς τοῦτο παραλήψεται, οὐ πίστιν ὀφείλει ἐξ ἄλλων πτώσεων παραθέσθαι. προείπομεν δέ, ὅτι κατὰ χρῆσιν τῶν Ἑλλήνων, οὐχὶ καθ' ὑπόστασιν λέγομεν ἅπαντα. ἀλλ' οὐδὲ ὁμολογούμενον τὸ ζαῆνα.

[543c]

Il. Pr. Δ 27: ἱδρῶτ': αἰτιατική ἐστι κατ' ἔκθλιψιν εἰλημμένη, ἔνθεν προπερισπῶμεν. ὀξύνεται γὰρ ἡ εὐθεῖα ὁμοίως τῷ εὐρώς. — δύναται μέντοι καὶ ἱδρῶ τε εἶναι τὸ πλῆρες, ἐπεὶ σύνηθες αὐτῷ οὕτως τὴν αἰτιατικὴν προφέρεσθαι «ἱδρῶ ἀπεψύχοντο» (Il. Λ 621).

[543d]

Il. Pr. Θ 233: Τρώων ἀνθ' ἑκατόν: ἐπὶ τὴν ἀνθ' συλλαβὴν ἡ ὀξεῖα, ἵνα τὸ πλῆρες ᾖ ἄντα. οὕτως δὲ ἀξιοῖ Δημήτριος ὁ γονύπεσος· καὶ ἐμοὶ δὲ οὕτως ἀρέσκει τὸ τῆς διανοίας· ἄντικρυς γὰρ Τρώων ἑκατὸν καὶ διηκοσίων εἰς ἕκαστος στήσεσθαί φησιν. οὐ γὰρ κωλύεται ἡ τοῦ ἄντα σύνταξις, εἴγε ἐπὶ γενικὴν φέρεται.

[543e]

Il. Pr. Α 519: ὅταν: τὸ τέλειον ὅτε ἄν ἐστι, καὶ κατὰ συναλοιφὴν ὅτ' ἄν. ἐν δὲ τῇ συντάξει κεκοίμισται ἡ ὀξεῖα τοῦ ἄν, ὡς τὸ «οὐκ ἂν ἐφ' ὑμετέρων ὀχέων» (Il Θ 455), «οὐκ ἂν δὴ μείνειαν» (Il. Γ 52). ἀεὶ οὖν οὕτως ὀφείλομεν ἀναγινώσκειν ἐπὶ τὴν ἄρχουσαν ὀξεῖαν ποιοῦντες: «ὡς δ' ὅταν ὠδίνουσαν» (Il. Λ 269).

[543f]

Il. Pr. Κ 546: ἤ τίς σφωε πόρεν: τὸ ῥῆμα ἀπὸ τοῦ π ἄρχεται καὶ ἡ σφωέ τρίτου προσώπου ἐγκλιτική ἐστι, σημαίνουσα τὸ αὐτούς

Ahrens de dial. Dor. 114), tamen hunc locum, qui concisior est et praeterea spiritus mentionem continet, Herodiano assignare malui.

τὸ ἅτερον θάτερον ὡϲ τὸ ἀγαθὸν τἀγαθόν· ἔμεινε δὲ τὸ τ̄ ἄτρεπτον, ἐπειδὴ ψιλοῦται τὸ ἀγαθόν, τὸ ἅτερον δὲ δαϲύνεται. εἰ γὰρ ἦν παρὰ

«τίϲ τ' ἄρ ϲφωε θεῶν» (Il. A 8)· «ἀλλά ϲφωε δόλοϲ καὶ δεϲμόϲ» (Od. θ 317)· ὥϲτε οὐκ οἶδεν ὁ ποιητὴϲ οὐδὲ μονοϲύλλαβον τὴν ϲφώ, εἰ μή ποτε ὀρθοτονεῖται καὶ δευτέρου προϲώπου ἐϲτὶ καὶ ϲημαίνει ὑμεῖϲ ἢ ὑμᾶϲ· «ϲφῶ δὲ μάλ' ἠθέλετον» (Il. Λ 782)· ἔνθεν οὖν οἱ ἀκριβέϲτερον αὐτὰ παραφυλάξαντεϲ ἔκθλιψιν δεδώκαϲι τοῦ ε̄ ἐν τῷ «εἰ μή ϲφω Αἴαντε διέκρινον» (Il. P 531), ἵνα τὸ διηνεκὲϲ φυλαχθῇ.

[543g]

Il. Pr. Z 465: πρίν γ' ἔτι: Διονύϲιοϲ ὁ Cιδώνιοϲ τὸν γέ ἐκ πλήρουϲ ποιεῖ. οὕτωϲ καὶ Ἀλεξίων καὶ οἱ περὶ Ἡρακλέωνα· οὐ γὰρ πιθανὸν ἐγκεῖϲθαι τὸ ἔτι· οὐ γὰρ δή γε καὶ πρότερον ϲυνέβη ταῦτα τῇ Ἀνδρομάχῃ. ἔϲτιν οὖν τὸ τί καθ' ὕπαρξίν τινα λεγόμενον ἢ καὶ παρελκόμενον ὁμοίωϲ τῷ «ἤ νύ τοι οὔτι μέλει Τρώων πόνοϲ» (Il. X 11), καὶ «μήτι φόβον δ' ἀγόρευε» (Il. E 252), καὶ «μή τί μευ ἠΰτε παιδὸϲ» (Il. H 235). οὐχ ὑγιῶϲ οὖν ὁ Πτολεμαῖοϲ οἴεται ϲυναλοιφὴν εἶναι.

[543h]

Il. Pr. Ω 318: ἐϋκλήϊϲ ἀραρυῖα: Ἀρίϲταρχοϲ ἐϋκλήϊϲ ὡϲ ἐϋκνήμιϲ, ϲύνθετον ποιῶν τὴν λέξιν, οὕτωϲ καὶ ὁ Ἀϲκαλωνίτηϲ. εἰϲὶ δὲ οἳ διεῖλον «ἐῢ κληῖϲ' ἀραρυῖα», οἷϲ ϲυγκατατίθεται καὶ ὁ Τρύφων, οὐκ εὖ· ἄμεινον γὰρ ἐπιθετικῶϲ ἀκούειν καὶ μὴ πάθοϲ ἐκδέχεϲθαι πληθυντικῆϲ δοτικῆϲ, λέγω δὲ τὸ τῆϲ ἐκθλίψεωϲ. ὃ δέ φημι, τοιοῦτόν ἐϲτιν, ὡϲ ὅτι ἐκθλίβεται μὲν τὸ ῑ τῆϲ δοτικῆϲ παρὰ τῷ ποιητῇ καὶ ἑνικῆϲ ὑπαρχούϲηϲ καὶ πληθυντικῆϲ «κερκίδ' ὕφαινε» (Od. ε 62), «χέρϲ' ἐρέται» (Od. ν 115), καὶ «νῆεϲϲ' ἡγήϲατ' Ἀχαιῶν» (Il. A 71), οὔ γε μὴν τὸ ἀπὸ τῶν εἰϲ ιϲ ἐκτεταμένων θηλυκῶν.

[543i]

Il. Pr. Ξ 21: διχθάδι': τὸ πλῆρέϲ ἐϲτι διχθάδια, ὥϲπερ καὶ Ἀρίϲταρχοϲ βούλεται. διὸ τὴν χθα ϲυλλαβὴν ὀξυτονητέον. παραιτητέον δὲ τοὺϲ βουλομένουϲ εἶναι «διχθαδίῃ μεθ' ὅμιλον» καὶ τὴν δι ϲυλλαβὴν ὀξύνονταϲ.

[543k]

Il. Pr. Φ 279: ὃϲ ἐνθάδε γ' ἔτραφ' ἄριϲτοϲ: παροξυτονητέον· τὸ γὰρ τέλειόν ἐϲτιν ἐτράφη. καὶ μέμνηται αὐτοῦ Ἡρωδιανὸϲ ἐν τῇ ἀρχῇ τῆϲ Ξ (21), ὅπου διαλαμβάνει περὶ τοῦ «διχθάδι' ἢ μεθ' ὅμιλον». καὶ λέγει, ὅτι ϲυναλοιφὴν πέπονθε διὰ τοῦ η̄· δεῖ οὖν διὰ τοῦ γ̄ γράφειν, ὃϲ ἐνθάδε, εἶτα ἐτράφη ἄριϲτοϲ, οὐχ ὡϲ οἱ πολλοὶ τέτραφ' ἄριϲτοϲ, ἀπὸ τοῦ τ̄ ποιοῦντεϲ τὴν ἀρχὴν τοῦ ῥήματοϲ καὶ προπαροξύνοντεϲ.

---

ad fr. [543h]. cf. Lehrs quaest. ep. p. 47 seqq.

τὸ ἕτερον θοὔτερον ἂν ἦν ὡς τὸ ἔλαιον τοὔλαιον. διὸ καὶ οὐ λέγεται θάτερος ἐπὶ ἀρσενικοῦ ὀνόματος, ἀλλ' ἅτερος.

[543¹]

Schol. Od. λ 134: θάνατος δέ τοι ἐξ ἁλὸς αὐτῷ: τὸ ἔξαλος ὡς ἔκβιος οἷον ἠπειρωτικὸς καὶ οὐ θαλάσσιος. ἔνιοι δὲ κατὰ παράθεσιν ἐξ ἁλός οἷον ἀπὸ θαλάσσης ὡς τὸ «ἐπισσεύῃ μέγα δαίμων ἐξ ἁλός» (Od. ε 421). ἀλλ' εἴγε καὶ ἐν παραθέσει, ἡ ἐξ δύναται τὸ ἔξω δηλοῦν ὡς τὸ «ἔκ τ' ἀνδροκτασίης» (Λ 164). ὁ μέντοι 'Ασκαλωνίτης τὸ πλῆρες ἔξω ἡγεῖται, ἵν' ᾖ ἔκθλιψις τοῦ ω ὡς ἐν τῷ «βαθέης ἐξάλλεται αὐλῆς» (Ε 142). οὐκ ἀναγκαῖον δὲ τῆς ἐξ ἤδη τὸ ἔξω σημαινούσης.

[543ᵐ]

Il. Pr. C 458: ἔξω τοῦ ῑ τὸ ἐμωκυμόρῳ: συνεκτέθλιπται γὰρ τῷ ω τὸ ῑ.

[543ⁿ]

Il. Pr. Φ 323: τυμβοχοῆς': τὸ πλῆρες τυμβοχοῆσαί ἐστιν. οὕτως καὶ 'Αρίσταρχος καὶ ὁ 'Ασκαλωνίτης καὶ οἱ πλείους. Κράτης μέντοι γενικὴν πτῶσιν ἐξεδέξατο. καὶ δῆλον ὅτι ἐβάρυνεν ὁμοίως τῷ οἰνοχόης. ἄμεινον δὲ ἐν τῷ ῥήματι τὸ πρᾶγμα παραλαμβάνειν ἢ ἐν τῷ ὀνόματι.

[543ᵒ]

Schol. BL. ad N 541: Αἰνέας: ὥσπερ 'Ερμέας, οὕτως Αἰνέας, καθὼς 'Ηρωδιανῷ δοκεῖ.

[543ᵖ]

Choer. Dict. 123, 7: οὐδέποτε ἡ ῡι δίφθογγος ἐν τέλει λέξεως εὑρίσκεται οἷον μυῖα, ἅρπυια, υἱός. ἐν γὰρ τῷ «σύμβαλον ἀμφὶ νέκυϊ κατατεθνειῶτι μάχεσθαι» (Π 565) οὐκ ἔστιν ἐν διφθόγγῳ τὸ ῡ καὶ τὸ ῑ, ἀλλ' ἐν τῷ μέτρῳ κατὰ συνίζησιν μετροῦνται, τουτέστιν αἱ δύο συλλαβαὶ εἰς μίαν συλλαβὴν ἤγουν τὸ υ καὶ τὸ ῑ ὥσπερ ἐν τῷ «χρυσέῳ ἀνὰ σκήπτρῳ» (Α 15) τὸ ε̄ καὶ ἡ ῳ δίφθογγος εἰς μίαν συλλαβὴν μετροῦνται οἷον χρυσῷ.

[543ᵠ]

Choer. Dict. 134, 21: τὸ παρὰ τῷ Καλλιμάχῳ «δημεχθέα Χείλωνα κακόκνημόν τε Κόμητα» μετρεῖται κατὰ συνίζησιν τουτέστι τοῦ ε̄ καὶ ᾱ εἰς μίαν συλλαβήν.

---

ad fr. [543ᵐ]. Hinc apparet Herodianum totam diphthongum ῳ̄ elisam, non ῑ eiecto duo omega contracta putasse ut in E. M. 337, 4 ἐμώκυμόρῳ: ἐμῷ ὠκυμόρῳ καὶ ἐκθλίβεται τὸ ῑ τῆς ἐμῷ ἀντωνυμίας διὰ τὸ μηδέποτε γίνεσθαι κρᾶσιν τοῦ ῑ μέσου ὄντος· καὶ λοιπὸν κιρνᾶται τὰ δύο ω ω εἰς ω καὶ γίνεται ἐμώκυμόρῳ χωρὶς τοῦ ῑ. Similiter Choer. 671, 1 et E. M. 757, 24. De accentu formarum κεῖν' i. e. κεινά et δεῖλ' i. e. δειλέ cf. fr. ὑπομνημάτων περὶ παθῶν Διδύμου 1 et 2 et Lehrs ad Mon. 40, 25. — Praepositiones nomini suo vel pronomini vel verbo postposita si eliduntur, anastrophen respuere docet Herodianus compluribus locis, qua de re accurate exposuit Lehrs qu. ep. 75 seqq.

ad fr. [543ᵠ]. Pro Χελῶνα scripsi Χείλωνα, potui etiam Χίλωνα.

*544.

Ep. Cr. I 291, 2: νημερτής ὁ στέρησιν τοῦ ἁμαρτάνειν ἔχων κατὰ τροπὴν τοῦ α εἰς ε̄ ὡς κρέσσων ἀπὸ τοῦ κρατύς καὶ τὸ πελεμίζω ἀπὸ τοῦ παλάμη παλαμίζω ὡς χαίτη χαιτίζω καὶ τὸ πιάζω οἱ Ἴωνες πιέζω καὶ Ἀττικοὶ καὶ Αἰολεῖς «χειρὶ δ' ἔχων ἐπίεζε βραχίονα» (Π 510). Δωριεῖς πιάζω ἀναλογώτερον.

*545.

Ep. Cr. I 387, 23: Σιδονίηθεν: παρὰ τὸ Σιδών Σιδῶνος Σιδωνόθεν

[544ᵃ]

Mon. 39, 12: κνέφαλλον σύνηθες Ἀττικοῖς τὴν τύλην καλεῖν ὁμωνύμως τῷ περιεχομένῳ τὴν περιέχουσαν. Ἀριστοφάνης Ἀμφιάρεῳ

καὶ νὴ Δί' ἐκ τοῦ δωματίου γε νῷν φέρε
κνέφαλλον ἅμα καὶ προσκεφάλαιον τῶν λινῶν.

ὠνομάσθη δὲ ἀπὸ τοῦ κνάφου, ἥτις σημαίνει ἀκανθώδη ὕλην, ᾗ περιπεταννύντες τὰς ἐσθῆτας ἐξέθλιβον τὸ πλεονάζον τοῦ περὶ τὰς ἐσθῆτας χνοῦ, ᾧ καὶ πρὸς τὰς τύλας ἐχρῶντο, ὥσπερ καὶ νῦν. μέμνηται δὲ αὐτοῦ τοῦ ἐμβαλλομένου Πλάτων ὁ κωμικὸς ἐν Πεισάνδρῳ

ὥσπερ κνεφάλλων ἢ πτίλων σεσαγμένος.

ὥστε καὶ ἀντίθεσις ἐγένετο τοῦ ᾱ εἰς ε̄· ἐπεὶ παρὰ τὸ κνάφος ἐγένετο.

[544ᵇ]

E. M. 48, 5: ἀκηχέδαται «παρὰ νηυσὶν ἀκηχέδαται» (Ρ 637) λυποῦνται. παρὰ τὸ ἄχω ἀχάζω ὡς ἀνιῶ ἀνιάζω. ὁ παρακείμενος ἤχακα, ὁ μέσος ἤχαδα, ὁ παθητικὸς ἤχασμαι ἤχασται, ἰωνικῶς ἠχάδαται καὶ μετὰ ἀναδιπλασιασμοῦ Ἀττικοῦ καὶ τροπῇ τοῦ α εἰς ε̄ ἀκηχέδαται.

[545ᵃ]

Arcad. 113, 18: τὰ εἰς ρη Ἰωνικώτερα κατὰ τροπὴν τοῦ ᾱ εἰς η. βαρύνεται κόρη Ἄσκρη Ὀλύκρη, Ἀντισάρη, δέρη.

---

ad fr. *544. cf. Mon. 44, 4 πιέζω: τὰ εἰς ζω λήγοντα ῥήματα ὑπὲρ δύο συλλαβὰς βαρύτονα οὐδέποτε τῷ ε̄ παραλήγεσθαι θέλει, εὐάζω, σκεδάζω, σκεπάζω, ἁρπάζω, λυρίζω, σαλπίζω, βαΰζω, χαιτίζω, κιθαρίζω, ἑρπύζω. σημειῶδες ἄρα παρ' Ἀττικοῖς καὶ τοῖς Ἴωσι λεγόμενον διὰ τοῦ ε̄ τὸ πιέζω, ὥσπερ καὶ παρὰ τῷ ποιητῇ. προσέθηκα δὲ καὶ τὰς διαλέκτους, ἐπεὶ παρ' Ἀλκαίῳ διχῶς λέγεται, παρὰ δὲ Ἀλκμᾶνι διὰ τοῦ ᾱ

τιῦ δέσποινα θεὰ κατὰν κάραν
ἀμβᾶς' ἐπίαζε.

καὶ δῆλον ὅτι πρὸς τὸν χαρακτῆρα ἀναλογωτέρα ἡ χρῆσις ἡ διὰ τοῦ ᾱ. Similiter de Dorica specie Ἄρταμις indicat Mon. 8, 18 Ἄρτεμις. οὐδὲν εἰς μις θηλυκὸν ὑπὲρ δύο συλλαβὰς βαρυνόμενον τῷ ε̄ θέλει παραλήγεσθαι. μονάζει ἄρα τὸ Ἄρτεμις κατὰ τὴν πρὸ τέλους συλλαβήν. — μήποτε οὖν Δωριεῖς διὰ τοῦ ᾱ προφερόμενοι αὐτὸ κατά τι κατορθοῦσιν. Ἄρταμις γὰρ λέγουσιν ὡς τὸ δύναμις καὶ Σεμίραμις. — De κρέσσων cf. supra fr. 291. Fortasse Herodianus ᾱ in ε̄ et ῑ transversum putavit in ἐρινύες. ἀρανύες τινὲς εἰσιν αἱ τὰς ἀρὰς ἀνύουσαι, nam haec notatio eo loco reperitur ap. Orion. 57, 12, ubi plura Herodianea proferuntur.

ad fr. *545. cf. Io. Alex. 35, τό Πιερίηθεν τροπῇ τοῦ ᾱ εἰς η̄.

---

ad fr. [545ᵃ]. cf. St. B. 133, 12 Ἄσκρη πόλις Βοιωτίας ἰωνικῶς σχηματι-

ὡς Πλευρωνόθεν· καὶ ὄνομα Cιδονία· καὶ ὡς Οἰχαλία Οἰχαλίηθεν, Τροία Τροίηθεν, κλιcία κλιcίηθεν, οὕτως Cιδονία Cιδονίηθεν· οἱ μὲν οὖν Ἀττικοὶ τὸ ᾱ φυλάccουcι Φθίαθεν, θύραθεν, πέραθεν· Ἴωνες δὲ τρέπουcι Cιδονίηθεν, Τροίηθεν, θύρηθεν. τρέπεται καὶ τὸ ᾰ εἰς ō Δεκέλεια Δεκελειόθεν, ἴcως καὶ παρὰ τὸ πλευρά πλευρόθεν καὶ παρὰ τὸ ἑcπέρα ἑcπερόθεν, εἰ μὴ ἄρα παρὰ τὸ ἕcπερος. Ἱcτίαια Ἱcτιαιόθεν.

*546.

St. B. 125, 8: Ἅρπυια: τὸ ἐθνικὸν Ἁρπυιήτης τροπῇ τοῦ ᾰ εἰς η. p. 162, 7: Βέμβινα: ὁ πολίτης Βεμβινίτης ὡς Cταγιρίτης. παρὰ δὲ Ῥιανῷ Βεμβινάτης· ἔcτι δὲ καὶ Βεμβινήτης· ἔοικεν οὖν ὡς Αἰγινάτης καὶ Αἰγινήτης κατὰ τροπὴν ὡς Πανύαcιc ἐν Ἡρακλείας πρώτῃ

[545 b]

Arcad. 114, 14: τὸ κάρη οὐδέτερον ἀπὸ τοῦ κάρα γέγονεν.

[545 c]

Il. Pr. Δ 243: ἕcτητε: Πτολεμαῖοc ψιλοῖ, ἐπεὶ γίνεται cτῆτε, τὸ δὲ ἀποπῖπτον ε ψιλοῦται. καὶ ἀληθεύει. ἐνθάδε μέντοι γε οὐκ ἔcτιν, ἀλλ' ἐκ τοῦ ἕcτατε ἔκταcιc ἐγένετο τοῦ ᾱ εἰς η̄. cτάτε δὲ οὐ γίνεται. ἔνθεν δύναται δαcύνεcθαι· τὸ γὰρ αὐτό ἐcτι τῷ ἑcτήκαμεν τὸ ἕcτατε.

[545 d]

Il. Pr. Ξ 351: ὁ Ἀcκαλωνίτης ἀξιοῖ παροξύνειν τὸ ἑέρcαι ὁμοίως τῷ Εὐτέρπαι. καὶ γὰρ τὸ ἑνικὸν ἑέρcη ἐcτί «μή μ' ἄμυδιc cτίβη τε κακὴ καὶ θῆλυc ἑέρcη» (Od. ε 467), τὰ δὲ εἰς η̄ λήγοντα θηλυκὰ μονογενῆ ὁμότονα ἔχει τὰ πληθυντικά, Ἑλένη Ἑλέναι· οὕτως εἰ ἑέρcη, καὶ ἑέρcαι· ἠλιθίως πάνυ. οὐ γὰρ ἐνόηcεν ὅτι τὸ ἑνικὸν διὰ τὴν μετάληψιν τοῦ ᾱ εἰς η πρὸ τέλους ἔcχε τὸν τόνον, ὁμοίως τῷ ἄελλα ἀέλλη, οὕτως ἕερcα καὶ ἑέρcη. εἰ δὲ τὸ πληθυντικὸν οὐκέτι ἀντιθέcεως ἔχεται, ἀπολήψεται τοῦ ἕερcα προπαροξυνομένου τὸν τόνον.

ακ fr. *546. cf. supra fr. 173 et St. B. 356, 10 Καπίννα: τὸ ἐθνικόν Καπινcθεῖcα ὡς κόρη Τερψιχόρη et 368, 5 Κάτρη πόλις Κρήτης, τόν Ἰωνικόν ἔχουcα τρόπον, ὡς Ἡρωδιανὸς περὶ τῆς Ὀλύκρης γράφων. — Ad Herodianum referendae videntur etiam hae notationes E. Orion. p. 70, 1 ἠλαcκάζω. ἀλῶ καὶ τὸ παθητικὸν ἀλῶμαι. ἀλάcκω γίνεται παραγωγὸν ὡς βῶ βάcκω καὶ ἕτερον γίνεται παραγωγόν ἀπὸ τοῦ ἀλάcκω ἀλαcκάζω ὡς ἀκούω ἀκουάζω, ῥίπτω ῥιπτάζω. τὸ δὲ ἀλαcκάζω Ἰωνικῇ τροπῇ τοῦ α εἰς η̄ ἠλαcκάζω; ibid. 6 collato E. M. 428, 52: ἠμαθόεις ψαμμώδης. παρὰ τὴν ἄμμον ἀμαθόεις καὶ ἠμαθόεις ὡς ἠνεμόεις εὐήνεμος. ἢ ἀπὸ Ἀμάθου ποταμοῦ παραρρέοντος «Πύλου ἠμαθόεντος» (ı 153). p. 70, 7 ἤλιθα· παρὰ τὸ ἅλις ἐπίρρημα ἐξέπεcε τὸ ἅλιθα. — ἠλίθιος ὁ ἀνόητος παρὰ τὴν ἅλα. ταύτης γὰρ τὸ ὕδωρ ἄχρηcτον. ἔνθεν καὶ τὸ ἅλιον τὸ μάταιον καὶ ἄλλως παραγωγόν τοῦ ἀλῶ, ἀφ' οὗ ἀλήτης. ἀπὸ τούτου καὶ ἕτερον παραγωγόν «ἀλεὸς ἐρύη» καὶ αὐτὸ ἠλεός Ἰωνικῶς. — ibid. 18 ἠγηλάζει. ὡς ἀκούω ἀκουάζω, κύπτω κυπτάζω, οὕτως ἄγω ἀγάζω καὶ περιττεύοντος τοῦ λα ἀγαλάζω καὶ Ἰωνικῇ τροπῇ ἠγηλάζω. l. 25 ἠκέcτας. κεντῶ ἔcτι ῥῆμα, οὗ μέλλων κένcω, ὅθεν «κέντορες ἵππων» (Ε 102). ἀπὸ τοῦ κένcω γίνεται κεντός καὶ ἀποβολῇ τοῦ ν̄ καὶ προcθέcει τοῦ c̄ κεcτός ἄκεcτος καὶ τὸ θηλυκὸν ἀκέcτη καὶ τροπῇ τοῦ α εἰς η̄ ἠκέcτας.

«δέρμα τε θήρειον Βεμβινήταο λέοντος» καὶ ἄλλως «καὶ Βεμβινήταο πελώρου δέρμα λέοντος».

*547.

St. B. 133, 12: Βότρυς πόλις Φοινίκης· ὁ πολίτης Βοτρυηνός, ὡς Παυσανίας, παραλόγως· ἀπὸ γὰρ γενικῆς καθαρευούσης τὸ η̄ ἔχει πρὸ τέλους, ὀφεῖλον τὸ ᾱ ὡς Ὀλβιανός Καρδιανός.

548.

E. Or. 77, 18: ἰξός: ὁ Ἡρωδιανὸς ἄξος τίς φησιν εἶναι παρὰ τὸ ἄγειν τὰ ὄρνεα.

*549.

Ep. Cr. I 78, 24: Ἀλίζωνες οἱ Βιθυνοί «αὐτὰρ Ἀλιζώνων Ὀδίος καὶ Ἐπίστροφος ἦρχον» (B 856). εἴρηνται οὕτως ὅτι ἡ γῆ αὐτῶν θαλάσσῃ διέζωσται καὶ οἱονεὶ χερσόνησός ἐστιν ὑπὸ τοῦ Εὐξείνου τῆς Προποντίδος διεζωσμένη. Ἐπαφρόδιτος δὲ ἀλαζόνας τινὰς εἶναι αὐτοὺς ὑπὸ τῆς εὐδαιμονίας τῆς χώρας ἐπηρμένους· τοῦ ᾱ εἰς τὸ ῑ τραπέντος.

*550.

Ep. Cr. 13, 18, E. M. 129, 17: ἐκ τοῦ ἀμέργω κατὰ τροπὴν τοῦ ᾰ εἰς ŏ ὡς ἄρχομαι ὄρχαμος, ἀκριόεις ὀκριόεις γίνεται ὀμόργω ὀμόρξω ὤμορξα ὠμορξάμην καὶ «ἀπομόρξατο» (ρ 304).

*551.

Ep. Cr. I 304, 19 et 332, 10, E. Or. 121, 9, An. Par. III 348, 13: ὀτρηρός: Φιλόξενος παρὰ τὸ τρῶ τὸ φοβοῦμαι ῥηματικὸν ὄνομα τρεερός ὡς τήκω τακερός, σφάλλω σφαλερός καὶ συναλοιφῇ τῶν δύο εε εἰς η̄ τρηρός καὶ μετὰ τοῦ στερητικοῦ α ἀτρηρός καὶ τροπῇ τοῦ α

[551 a]

Il. Pr. K 67: τὰ εἰς θαι λήγοντα ἀπαρέμφατα τῇ ορ συλλαβῇ παραληγόμενα οὐ παρ' ἄλλῃ τινὶ διαλέκτῳ ὁρῶνται ἢ τῇ Αἰολίδι, τέτορθαι, μέμορθαι, ἔφθορθαι.

νάτης καὶ Καπιννήτης ὡς Αἰγινάτης καὶ Αἰγινήτης. 429, 17: Μαλειήτης ὡς Αἰγινήτης.

ad fr. *547. cf. St. B. 341, 6 Ἰστριανός ὡς Ὀλβιανός καὶ κατὰ τροπὴν Ἰστρινηνὸς λιμήν. 547, 9 Ῥοιτία Ῥοιτιανός καὶ Ῥοιτιηνός. 573, 13 Σκαμανδρία: Σκαμανδριανὸς καὶ Σκαμανδριηνός.

ad fr. 548. Ex E. M. 428, 1 ἄγειν scripsi pro ἀξεῖν.

ad fr. *549. Hoc Herodianeum esse patet ex St. B. 74, 3 Ἀλιζῶνες: ἴσως δὲ διὰ τὸ ὑπερήφανον τοῦ πλούτου κατ' ἐναλλαγὴν τοῦ ᾱ εἰς ῑ οὕτως ὠνομάσθησαν. Ex Il. Pr. Ε 39: δασυντέον τὸ Ἀλιζώνων· οὕτω γὰρ ἱστοροῦνται λεγόμενοι concludi potest Herodianum priorem etymologiam probasse, sed etiam alteram Epaphroditi propter mutatum spiritum parum se commendantem adiecisse. St. B. ut epitomatores solent, unam tantum commemoravit eamque, quae auctori suo minus placuit.

ad fr. *551. Philoxeni, quem Herod. saepe sequitur, nomen ex E. Or. ac-

ad fr. [551 a]. cf. Ahrens de dial. Aeol. 16 not. 25.

εἰς ο ὀτρηρός. καὶ Ἀτρεύς κατὰ στέρησιν τοῦ τρεῖν ἐγένετο καὶ μεταθέσει πάλιν τοῦ ᾱ εἰς ō Ὀτρεύς, οὗ ἡ γενικὴ Ὀτρῆος «λαοὺς Ὀτρῆος» (Γ 186).

*552.

E. M. 662, 11: πέποσχε: ἀπὸ τοῦ πάσχω πάσξω πέπασχα, τὸ τρίτον πέπασχε καὶ κατὰ τροπὴν τοῦ ᾱ πέποσχεν. ἐν Ἁρπαγαῖς Ἐπιχάρμου «ά δὲ Σικελία πέποσχε».

*553.

E. M. 216, 14: Βύκχις ὄνομα Αἰολικόν. παρὰ τὸ Βάκχος Βάκχις καὶ Βύκχις ὡς ἵππος ἵππις καὶ οἶκος Οἶκις καὶ τροπῇ τοῦ ᾱ εἰς ῡ ὡς βάθος βύθος.

*554.

E. Or. 11, 18: ἄμυδις Αἰολικῶς. παρὰ γὰρ τὸ ἁμάδις καὶ ἄμυδις τροπῇ τοῦ ᾱ εἰς υ κατ' Αἰολεῖς ὡς σάρκες σύρκες.

*555.

Ep. Cr. I 430, 7: φωριαμός παρὰ τὸ φώρ, ὃ σημαίνει τὸν κλέπτην, ἐπεὶ πρὸς φυλακὴν τούτων κατεσκεύασται· ἢ παρὰ τὸ φάρη φυλάσσειν, ὃ καὶ βέλτιον, ἀντιθέσει τοῦ α εἰς ῶ ὡς ἐν τῷ θάκος θῶκος, κράζω κρώζω καὶ παρὰ τὴν ἀκὴν τὸ ἀκόλουθον ἀκύς καὶ ἀντιθέσει ὠκύς καὶ τέκμαρ τέκμωρ. εἴτε οὖν παρὰ τοὺς φῶρας εἴτε παρὰ τὸ φᾶρος τὸ ἀκόλουθον φωραμός καὶ κατὰ πλεονασμὸν τοῦ ῑ φωριαμός.

---

cessit, Ἀτρεύς ex posteriore Epimerismorum loco; idem de hac voce habet Choer. Dict. 8, 13. Herod. in Epim. in E. Or. 89, 4 etiam Ὄθρυς ex ἀθρεῖν ἀντιθέσει τοῦ ο εἰς τὸ ῡ repetitur. In Il. Pr. Ω 316 μόρφνος ex μάρφνος a μάρπτω provenire posse dicitur. Teste Eustath. 1405, 17 βολβὸς a βάλλω repetitur ab Herodiano: ἔτι ἐκ τῶν εἰρημένων (sc. ex βόλλω et derivatis) παράκειται καὶ ὁ βολβὸς τὸ κατὰ τῆς γῆς κρομυῶδες ὁ βίᾳ ἀναβαλλόμενος κατὰ Ἡρωδιανὸν cf. 1406 extr. Fortasse etiam Ep. Hom. 58, 22 ἅζω τὸ σέβομαι ἅσω ἅσιος καὶ κατὰ ἀντίθεσιν ὅσιος ex Herodiano derivatur, qui ἀντίθεσιν hoc intellectu amat. Theognostus p. 58, 2: ἅζω τὸ σέβομαι ἅσω ἅσιος καὶ τροπῇ τοῦ ο εἰς α ὅσιος, in E. Orion. 122, 18 inter Philoxeni etymologias profertur, a quo Herodianus ut multa alia accepit.

ad fr. *553. Pro ἵππος ἱππίς καὶ οἶκος οἰκίς scripsi ἵππος ἵππις (cf. Giese de dial. Aeol. p. 130) καὶ οἶκος Οἶκις, quod nomen proprium in Corp. inscript. n. 1210, 1 occurrit. Recte Ahrensius de dial. Aeol. p. 78 not. 5 pro βυθίς scribendum esse βύθος monuit. βύθος παρὰ τὸ βάθος praebet etiam E. Orion. 38, 15.

ad fr. *554. cf. Il. Pr. Ι 6 ἐχρῆν ἀμάδις τι εἶναι ὡς χομάδις. τροπὴ δέ τοῦ ᾱ ἐγένετο εἰς τὸ ῡ ὡς τὸ σάρκες σύρκες. καὶ ἐπειδὴ Αἰολική η τροπή, καὶ ὁ τόνος Αἰολικὸς καὶ τὸ πνεῦμα. Fortasse Herodiani est E. Or. 127, 17 πίσυρες· κατὰ κοινωνίαν τοῦ τ̄ πρὸς τὸ π καὶ τοῦ ε̄ πρὸς τὸ ῑ καὶ τοῦ ᾱ εἰς τὸ ῡ οἷον τέσσορες καὶ πίσυρες.

ad fr. *555. Quamquam iam supra fr. [172a] propter pleonasmum literae ῑ pauca quaedam ex Il. Pr. et ex libello περὶ Ἀττικῶν προσῳδιῶν proposui, tamen hunc locum Epimerismorum hic omittere non potui, quia accuratiora quam quae l. l. c. c. legimus, de antithesi vocalis ω pro ō continet, quae sine dubio ab Herodiano profecta sunt. Sed de τέκμωρ non satis accurate Herodiani sententiam relatam esse apparet ex Mon. 32, 29 σημειῶδες τὸ τέκμωρ ἔχον ἐπιπλοκὴν δύο συμφώνων. ἢ ἴσως ἀναλογώτερον ἐκδεκτέον τὸ τέκμαρ. ἴσον γὰρ ἐγένετο τῷ νέκταρ καὶ ἔχθαρ· οὐ φιλεῖ δέ τὰ τοιαῦτα προϋπάρχειν τῶν εἰς ωρ. τοῦ δέ σημειοῦσθαι τὸ τέκμωρ αἴτιον ὁ πλεονασμὸς τοῦ μ̄. Exemplis hic propositis in Ep. 447, 15 adduntur ἀρώματα ἀρώμοτα καὶ τὸ σκύβαλον σκύβωλον τῆς Ἐφεσίων διαλέκτου. — Quae de accentu nostro Epimerismorum loco prolata sunt, praetermisi.

*556.

St. B. 54, 1: ἔcθ' ὅτε ἐπὶ τῶν τοιούτων (sc. τῶν παρὰ τῶν εἰc ει̅α̅ παραγομένων ἐθνικῶν) μένοντος τοῦ ε̅, ὑφαιρουμένου τοῦ ι̅, τὸ α̅ εἰc ω̅ ἀμείβεται ὡς Ἡρακλεώτης Μαρεώτης καὶ Ῥαφεώτης.

557.

E. M. 570, 43, Schol. BL ad Il. B 242: ὁ Ἡρωδιανὸς λέγει, ὅτι ἐκ τοῦ λαβῇ, ὃ cημαίνει τὸ ξίφος, γίνεται λάβη καὶ τροπῇ τοῦ α̅ εἰc ω̅ λώβη ὡς ἀπὸ τοῦ φᾶρος φωριαμός.

558.

Eustath. 365, 27: οἱ Βοιωτοὶ τὴν ὅλην αι δίφθογγον εἰc η̅ καταμόνας μεταβάλλουcι, ὥς που καὶ Χοιροβοσκὸς παραcημειοῦται, ἐν οἷc ἐξηγεῖται τὸν Ἡρωδιανὸν λέγων καὶ ὅτι τὰς θηλυκὰς πληθυντικὰς εὐθείας τῶν παθητικῶν ἐνεστώτων τὸ ποιούμεναι λεγόμεναι καὶ τὰ τοιαῦτα ποιούμενη λεγόμενη ἐκεῖνοί φαcιν.

*559.

Choer. 631, 5: οἱ Δωριεῖc ἔθος ἔχουcι τρέπειν τὸ ε̅ εἰc τὸ α̅ οἷον τρέχω τράχω Ἄρτεμις Ἄρταμις.

[558ª]

Mon. 43, 25: δήω: οὐδὲν εἰc ω̅ λῆγον ῥῆμα βαρύτονον καθαρὸν διcύλλαβον τῷ η̅ παραλήγει, ἀλλὰ μόνον τὸ δήω. — ἡ δὲ τοιαύτη παράληξιc ἢ περιcπωμένη ἐcτίν, ὥcπερ τὸ θηῶ, νηῶ, ἢ εἴπερ βαρυνόμενα εἴη, πάντως κατὰ διάλεκτον, ὡς τὸ παίω πήω λεγόμενον παρὰ Βοιωτοῖc, τὸ παλαίω παλήω, καὶ παρ' Αἰολεῦcιν ἐπὶ τῶν ὑπὲρ δύο cυλλαβὰς ἀδικήω, ποθήω τό τε κλήω ἐκ τοῦ κλείω γενόμενον.

[558ᵇ]

Theogn. 51, 18: τὸ πάληος, ἄρχηος, Ἄχηος Βοιώτιά ἐcτιν κατὰ τροπὴν τῆc αι διφθόγγου εἰc η.

ad fr. *556. cf. St. B. 284, 10 Εὔγεια: τὸ ἐθνικὸν Εὐγείτης ὡς Ζελείτης καὶ Εὐγεώτης ὡς Μαρεώτης, — 543, 16 Ῥαφάνεια· ὁ πολίτης Ῥαφανεώτης· τῶν δὲ εἰς ω̅τ̅η̅ς̅ ἐθνικῶν τὰ πολλὰ τὸ ι̅ πρὸ τοῦ ω ἔχει, Πηλιώτης Φθιώτης, σπάνια δὲ τὸ ε̅ καὶ σχεδὸν ἀπὸ τῆς ει συσταλέντος Ἡρακλεώτης. οὕτω καὶ Ῥαφανεώτης. Ex fr. 236 ἄρχμενος concludi potest etiam E. M. 823, 11 ὤρχμενος· ἄρχω ἀρχόμενος καὶ κατὰ συγκοπὴν καὶ τροπῇ ὤρχμενος profectum esse ab Herodiano. de ὤριστος cf. supra ad fr. 542 et Ahrens de dial. Aeol. p. 186.

ad fr. 558. cf. Choer. Dict. 403, 10 δεῖ προσθεῖναι ἐν τῷ κανόνι τῷ λέγοντι ὅτι φύσει μακρᾶς οὔσης τῆς τελευταίας συλλαβῆς οὐδέποτε τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα «καὶ χωρὶς τοῦ η̅ τοῦ γινομένου ἀπὸ τροπῆς τῆς αι διφθόγγου παρὰ τοῖς Βοιωτοῖς». τούτου γὰρ ἐπὶ τέλους ὄντος πολλάκις τρίτη ἀπὸ τέλους πίπτει ἡ ὀξεῖα· τὸ γὰρ τύπτομαι οἱ Βοιωτοὶ τρέποντες τὴν αι δίφθογγον εἰς η προπαροξύνουσι καὶ λέγουσι τύπτομη. Ahrens de dial. Aeol. 186 not. 1.

ad fr. *559. cf. Mon. 8, 25, de ἄτερος pro ἕτερος (E. M. 443, 27 τὸ ἕτερος ἄτερος λέγουσιν οἱ Δωριεῖς) cf. supra fr. 543. — De ἄχρι ex μέχρι orto cf. fr. [58ᵇ], de Δάρης et Δέρης nato fr. [386ª], de ὄκκα pro ὅτε fr. 440.

*560.

Ep. Cr. I 289, 1: νηπιάας: ἔςτι τι νήπιος νηπιεία καὶ Ἰωνικῶς «ἐν νηπιέῃ ἀλεγεινῇ (I 481). καὶ ἦν μὲν τὸ ἀκόλουθον «νηπιέας ὀχέειν» (α 297). ἀλλ' ἤτοι ἀντίθεςίς ἐςτι τοῦ $\bar{ε}$ εἰς $\bar{α}$ ἢ νηπίας ἐςτίν, ἵνα λείπῃ φρένας, καὶ ἐν πλεοναςμῷ τοῦ α νηπιάας.

561.

Theogn. p. 93: πήρα: ἀπὸ τοῦ φέρω φέρα καὶ τροπῇ τοῦ $\bar{φ}$ εἰς $\bar{π}$ καὶ τοῦ $\bar{ε}$ εἰς $\bar{η}$ πήρα. οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν.

*562.

St. B. 440, 17: Μεθώνη πόλις Θράκης Μαγνηςίας, ἣν Ὅμηρος διὰ τοῦ η «οἳ δ' ἄρα Μηθώνην καὶ Θαυμακίην ἐνέμοντο» (B 716). ἐκλήθη ἀπὸ τοῦ μέθυ· πολύοινος γάρ ἐςτι.

*563.

E. M. 263, 29: δήϊος: παρὰ τὸ δέος δέϊος καὶ δήϊος ὁ δέος ἐμποιῶν.

*564.

St. B. 403, 3: τῆς Κέω τὸ ἐθνικὸν Κέϊος καὶ ἐκτάςει Κήϊος ὡς τῆς Τέω Τέϊος καὶ Τήϊος καὶ Κεῖος διὰ διφθόγγου.

*565.

St. B. 421, 8: Λύκειον γυμνάςιον. — λέγεται καὶ Λυκήϊον.

*566.

E. M. 260, 29: δείκελον· λέγεται καὶ δείκηλον. cημαίνει δὲ τὸ ἄγαλμα ἢ ὁμοίωμα οἷον «δείκηλα προΐαλλεν» (Apoll. Rhod. IV 1672)

[560ᵃ]

E. M. 149, 41: ἄρςην: παρὰ ἄρδω τὸ ποτίζω ἄρςην ὁ ἄρδων τὴν θήλειαν — ἢ παρὰ τὸ ἔρδω τὸ πράττω. ὁ μέλλων ἔρςω καὶ ἄρςην ἐξ αὐτοῦ, ὁ πρακτικός. οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ γάμου καὶ ςυμβιώςεως.

[561ᵃ]

E. Or. 68, 3: ἦπαρ ὁ Ἡρωδιανὸς ἐν τῷ Συμποςίῳ παρὰ τὸ ἐπαίρεςθαί φηςιν ἔπαρ τι ὂν καὶ ἦπαρ τροπῇ τοῦ $\bar{ε}$ εἰς η ἢ παρὰ τὸ ἥδω. ἧδαρ καὶ ἦπαρ. ἐν τούτῳ γὰρ τὸ τῆς ἡδονῆς καὶ τὸ τῆς ἐπιθυμίας.

---

ad fr. 561. Ad Herodianum referendae videntur hae notationes in E. Orion. 68, 17 ἠπύει· ἔπω ἐπύω, τροπῇ τοῦ ε εἰς η ἠπύει. p. 70, 22 (E. M. 434, 15) ἤπιος. παρὰ τὸ ἔπος ἔπιος καὶ τροπῇ τοῦ $\bar{ε}$ εἰς $\bar{η}$ ἤπιος ὁ λόγῳ καὶ μὴ πάθει πάντα ποιῶν.

ad fr. *563. Sic etiam Theogn. p. 57, qui etiam in sequentibus cum Stephano congruit, pro corrupto δήϊος ἀπὸ τοῦ δῖος scribendum esse persuadet Lob. Proll. 471.

ad fr. *564. cf. St. B. 620, 3 Τέως: τὸ ἐθνικὸν Τήϊος. ἔςτι γὰρ πρῶτον Τέϊος καὶ Τεῖος καὶ Ἰωνικῶς Τήϊος.

ad fr. *565. cf. St. B. 423, 1 Λύρκειον ὄρος Ἄργους. — τὸ τοπικὸν «Λυρκήϊον ὕδωρ» καὶ Λυρκήϊος τὸ ἀρςενικὸν καὶ Λύρκειος ὡς Ῥοίτειος.

ad fr. *566. cf. Mein. Anall. Alex. p. 284.

καὶ «δείκελον Ἰφιγόνης» παρὰ Παρθενίῳ· ὥσπερ παρὰ τὸ πέμπω πέμπελος (σημαίνει δὲ τὸν πολλῶν ἐνιαυτῶν ὄντα), οὕτω καὶ ἀπὸ τοῦ δείκω τὸ δεικνύω γίνεται δείκελος καὶ ἐκτάσει τοῦ ε̄ εἰς η̄ δείκηλον τὸ ἴνδαλμα. Ἐπαφρόδιτος δὲ λείπειν τὸ ῑ φησὶ κατ' ἀρχὰς ἰδείκελον τὸ τὴν ἰδίαν ἑκάστου ἐμφαῖνον ὁμοιότητα.

*567.

St. B. 435, 16: Μασσαγέται. — τὸ θηλυκὸν λέγεται Μασσαγῆτις καὶ ἴσως διὰ τὸ μέτρον.

568.

E. M. 758, 20: τιθήμενος «ἀμφ' ὤμοισι τιθήμενον ἔντεα καλά» (Κ 34) ὁμοίως τῷ κιχήμενος καὶ ἀήμενος· ἤτοι ποιητικῶς ἔκτασις ἢ διαλέκτῳ ἀναπέμπεται. περὶ παθῶν.

[*568a]

Choer. 513, 4: τὸ βούλομαι ἠβουλόμην, δύναμαι ἠδυνάμην Ἀττικά· κατ' ἔκτασιν γὰρ Ἀττικὴν τοῦ ε̄ εἰς τὸ η̄ γέγονε· τὸ δὲ ἤθελον οὐ γέγονε κατ' ἔκτασιν, ἀλλὰ β' ἐνεστῶτές εἰσιν, ὁ θέλω καὶ ὁ ἐθέλω. γίνεται τὸ ἔθελον διὰ τοῦ ε̄ ὥσπερ τύπτω ἔτυπτον, ἀπὸ δὲ τοῦ ἐθέλω διὰ τοῦ η̄ ὥσπερ ἐλέγχω ἤλεγχον.

---

ad fr. 568. Mire congruit Ep. Cr. I 165, 31 τό «τιθήμενον ἔντεα» ἔκτασις· οὐ γὰρ πεζολόγοι λέγουσι et magis etiam p. 87, 27: ἄητον «τώ τ' ἐκ Θρήκηθεν ἄητον» (I 5) ἀπὸ τοῦ ἄω τὸ πνέω παραγωγὸν εἰς μι ἄημι, οὗ τό τρίτον «ἄησι» παρ' Ἡσιόδῳ, τὸ πληθυντικὸν ἄεμεν ἄετε, τὸ δυϊκὸν ἄετον καὶ τροπῇ τοῦ ε̄ εἰς η Αἰολικῶς ὡς τὸ διζέμενος διζήμενος καὶ τιθέμενος τιθήμενος «τόν δ' εὗρ' ἀμφ' ὤμοισι τιθήμενον ἔντεα καλά». δύναται καὶ παρὰ τό ἄω βαρύτονον ἄετον καὶ τροπῇ ἄητον. Hinc in nostro loco pro ἀνήμενος scripsi ἀήμενος. Ad Herodianum auctorem referendum videtur adnotamentum in Ep. I 342, 17, quod valde corruptum si mecum emendabis, non indignum summo grammatico habebis: πενθήμεναι (C 173) παρὰ τό πένθος πενθῶ πενθεῖν καὶ ποιητικῶς πενθέμεναι, ὡς παρὰ τό ἔδειν ἐδέμεναι καὶ ἐν συγκοπῇ τοῦ ε̄ ἔδμεναι, καὶ ἐκτάσει πενθήμεναι (verba καὶ παρὰ — ἔδμεναι mutato καὶ in ὡς, quae hic posita erant, praemisi). τὸ φορήμεναι καὶ ἀήμεναι οὐκ ἐκτέταται ὡς (addidi) τό πενθήμεναι· τὰ γὰρ εἰς ναι ἀπαρέμφατα, ἐὰν ἔχῃ μακρὸν παραλήγον, φυλάσσει αὐτό· (pro φυλάσσεται scripsi) βῆναι βήμεναι, γνῶναι γνώμεναι· οὕτως οὖν καὶ φορῆναι καὶ ἀῆναι. τὸ δέ ἀρήμεναι οὐ (inserui) Δωρικόν. τὸ κοινὸν ἀρῶ ἀρᾶν· τὸ δέ ἀράμεναι καὶ ἀρήμεναι ποιητικὸν καὶ Ἰάδος (sic scripsi pro τὸ δέ κοινὸν ἀρῶ ἀρᾷς ἀράμεναι, τὸ δέ ἀρᾷς κοινὸν καὶ Ἰάδος). οἱ γὰρ Δωριεῖς διὰ τοῦ εμεν λέγουσιν, εἰπέμεν, φαγέμεν. ὡς ἔμεν· τὸ δέ εἰπέμεναι ποιητικόν. τὸ «χροὸς ἄμεναι» (Φ 70) οὐχ ὅμοιον· οὐδέ γὰρ τῷ ᾱ παραλήγει ὥστε συναλιφέν ἐκ τοῦ ἀέμεναι (pro συγκοπέν ἐκ τοῦ ἀσσέμεναι) καὶ ἐποίησε πάθος μονῆρες. συναλιφέν poscit res, quum ᾱ productum sit cf. Lob. El. II 68 neque mirandum, quod in συγκοπέν corruptum est; nam in Schol. Od. ν 348 ἱρόν ἀποκεκομμένον pro συναληλιμμένον positum est. De Dorici infinitivi forma cf. Ep. Cr. I 69, 10, An. Paris. III 297, 28 ἀείδειν· τό ἀπαρέμφατον Δωρικὸν ἀείδην καὶ ἀείδεν· τούτοις ἔθος εἰς εν ποιεῖν. τὸ δέ ἀειδέμεναι οὐ Δώριον ἀλλὰ ποιητικόν· ὅθεν Δωρικὸν μέν τό ἔμεν ἀπὸ τοῦ εἰμί, ποιητικῶς δέ ἔμεναι καὶ ἔμμεναι ἑτέρου μ̄ πλεονάσαντος. ὁμοίως τιθήμεναι, στήμεναι, παυθήμεναι, οὐτήμεναι, εὑρέμεναι, δύμεναι οὐ Δώρια, ἀλλὰ ποιητικά. cf. Ahrens de dial. Dor. p. 315 seqq. — Praeterea commemoranda sunt αἰζηός ex αἰζεός (παρά τὸ ἀεὶ ζῶ) κατ' ἐπαύξησιν τοῦ ε̄ εἰς η Theogn. 57, E. M. 32, 10 (cf. fr. [179b])

---

ad fr. [*568a]. Hoc ex Rhematico Choeroboscum sumpsisse arbitror.

*569.

Ep. Cr. I 207, 17, E. M. 381, 40, Choer. 894, An. Par. III 335, 13: παρὰ τὸ ἔω τὸ παραγωγὸν ἐμί, τὸ πληθυντικὸν ἐμέν «γρῆες ἐμέν» ὁ Κυρηναῖος Καλλίμαχος ἀντὶ τοῦ εἰμέν. τοῦ ἐμέν τὸ προστακτικὸν ἔθι καὶ πλεοναςμῷ τοῦ c̄ ἔςθι. Ἑκαταῖος «ἐνθάδε ἔςθι», ὅπερ οἱ Ἀττικοὶ ἴςθι κατὰ τροπὴν ὥςπερ τὸ ἔχω ἴςχω «ἴςχε τέκος, μὴ πῖθι». πολλάκις γὰρ πλεονάζοντος ςυμφώνου τρέπεται τὸ ε̄ εἰς ῑ ὥςπερ ἐπὶ τοῦ μένω μίμνω, τέκω τίκτω.

570.

E. Or. 29, 22: ἀελλής: παρὰ τὸ εἴλλω ἢ ἀέλλω ἀελλὴς καὶ τροπῇ τοῦ ε̄ εἰς ο̄ ἀολλής· οὐκ ἀπῳδὸν δὲ τῷ σημαινομένῳ τοῦ ἀελλὴς τὸ ἀολλής. καὶ γὰρ ἐνταῦθα ἡ ἄθροιςις καὶ ςυςτροφή. οὕτως Ἡρωδιανός.

[569ᵃ]

E. M. 342, 48: ἐνίπτω· παρὰ τὸ ἐνέπω τὸ λέγω κατ' ἐπένθεςιν τοῦ τ̄ καὶ τροπῇ τοῦ ε̄ εἰς ῑ· τὸ γὰρ ε̄, ἡνίκα πλεονάςῃ ςύμφωνον, τρέπεται εἰς ῑ, ἐνέπω ἐνίπτω· «μή με, γύναι, χαλεποῖςιν ὀνείδεςι θυμὸν ἔνιπτε» (Γ 438). — «εἰ μέν τις τὸν ὄνειρον Ἀχαιῶν ἄλλος ἔνιςπεν» ἀντὶ τοῦ εἶπεν ἢ ἔλεγεν Ἰλιάδος Β (80) ἀπὸ τοῦ ἐνέπω καὶ πλεοναςμῷ καὶ τροπῇ, ἐξ οὗ καὶ ῥῆμα περιςπώμενον ἐνιςπῶ ἐνιςπήςω, ὁ δεύτερος ἀόριςτος ἤνιςπον καὶ κατὰ ςυςτολὴν ἔνιςπον.

[569ᵇ]

Mon. 26, 3: ὀψέ. οὐδὲν εἰς ψε λῆγον ἐπίρρημα, ἀλλὰ μόνον τὸ ὀψέ, ὅπερ ἐν ςυνθέςει φιλεῖ τρέπειν τὸ ε̄ εἰς τὸ ῑ ὥςπερ ἐπὶ τοῦ ὀψιμαθής, ὀψίτυχος, ὀψιτέλεςτον, ὀψίγονος. — ἤδη μέντοι Αἰολεῖς καὶ ἐν ἁπλῇ προφορᾷ διὰ τοῦ ῑ ἀποφαίνονται «ὄψι γὰρ ἄρξατο» ἴςως ἀναλογώτερον, ὡς δείκνυται ἐν τῷ περὶ ἐπιρρημάτων.

[570ᵃ]

Choer. 593: λέγει ὁ Ἡρωδιανὸς ὅτι δύναται ἔολπα εἶναι ὡς ἀπὸ τριςυλλάβου τοῦ ἐέλπω, τούτου γὰρ ὁ μέςος παρακείμενος ἤελπα καὶ κατὰ τροπὴν τοῦ ε̄ εἰς ο καὶ ςυςτολῇ τοῦ η̄ εἰς ε̄ ἔολπα.

[*570ᵇ]

Choer. 548: παραλήγουςαν τὴν αὐτὴν ἔχει τῷ μέλλοντι ὁ παρακείμενος χωρὶς τῶν διςυλλάβων τῆς πέμπτης ςυζυγίας τῶν βαρυτόνων τῶν παραληγομένων τὸ ε̄· ἐπὶ τούτων γὰρ τρέπεται τὸ ε̄ εἰς ᾱ κατὰ

---

et αἴητον ex ἄητον et hoc ex ἄετον ab ᾱ privativo et ἐτός composito natum Il. Pr. C 410.

ad fr. *569. Ex Choerobosco, ubi eadem atque in Epim. omissis testimoniis leguntur, addidi extrema verba πολλάκις γὰρ πλεονάζοντος, de re cf. supra fr. 37.

ad fr. 570. Scripsi pro ἀόλλω ἀέλλω et ἀελλής addidi et pro οὐ κάτωθεν οὐκ ἀπῳδόν.

---

ad fr. [569ᵃ]. Priorem particulam de ἐνίπτω Herodianeam esse ex fr. 569 consequitur, sed de ἐνίςπω dubitari licet cf. Lob. ad Buttm. II p. 167.

*571.

E. M. 615, 8, St. B. 483, 19: ὁδός: παρὰ τὸ ἕω τὸ πέμπω ἑδός καὶ ὁδός ἡ πεπατημένη τρίβος.

572.

Eustath. 110, 38: μονῆρες ἐν τοῖς θηλυκοῖς ἡ χείρ, ἣ κλίνεται διχῶς ποτὲ μὲν διὰ τοῦ ε̄, ποτὲ διὰ τῆς ει διφθόγγου, ποτὲ δὲ κατὰ Ἡρωδιανὸν καὶ μετατεθείσης αὐτῆς εἰς η̄, ᾧ μαρτυρεῖ, φησίν, Ἀλκμὰν «ἐπ' ἀριστερὰ χηρὸς ἔχων».

573.

E. Or. 124, 27: οἶδα: εἴδω ἐστὶ ῥῆμα βαρύτονον καὶ περισπώμενον δηλοῦν τὸ ἐπίσταμαι· τοῦ εἴδω παρακείμενος εἶδα καὶ τροπῇ τοῦ ε̄ εἰς ο οἶδα κατ' Αἰολεῖς. οὕτως Ἡρωδιανός.

*574.

Ep. Cr. I 118, 6: τὰ εἰς ης ὅτε ἐπὶ γενικῆς εἰς ους λήγει, οὐ

τὸν ἐνεργητικὸν παρακείμενον οἷον κερῶ κέκαρκα, δερῶ δέδαρκα, σπερῶ ἔσπαρκα, κτενῶ ἔκταγκα, στέλλω ἔσταλκα· πρόσκειται. «δισύλλαβα» διὰ τὸ ἐγερῶ ἤγερκα. ἔτι δεῖ προσθεῖναι καὶ χωρὶς τῶν δισυλλάβων τῆς πρώτης καὶ δευτέρας συζυγίας βαρυτόνων τῶν παραληγομένων τῷ ε̄· ταῦτα γὰρ τρέπουσι τὸ ε̄ εἰς ο̄ κατὰ τὸν ἐνεργητικὸν παρακείμενον παρὰ τοῖς Ἀθηναίοις οἷον λέγω λέξω λέλεχα κοινῶς καὶ λέλοχα Ἀττικῶς, πλέκω πλέξω πέπλεξα κοινῶς καὶ πέπλοχα Ἀττικῶς, στέφω στέψω ἔστεφα κοινῶς καὶ ἔστοφα Ἀττικῶς, πέμπω πέμψω πέπεμφα κοινῶς καὶ πέπομφα Ἀττικῶς, στρέφω στρέψω ἔστρεφα κοινῶς καὶ ἔστροφα Ἀττικῶς, βρέχω βρέξω βέβρεχα κοινῶς καὶ βέβροχα Ἀττικῶς. πρόσκειται δισύλλαβα διὰ τὸ ἐλέγχω ἐλέγξω ἤλεγχα.

[572a]

Theogn. 45, 20: τὸ τραπεζείτης ἐπὶ τοῦ κυνός, ἐπεὶ ἀπὸ τοῦ τραπεζεύς παρῆκται, διὰ τῆς ει γράφεται· τοῦτο δὲ παρ' Ἰβύκῳ εὕρηται κατὰ τροπὴν τῆς ει διφθόγγου εἰς η̄, ὥς φησιν Ἡρωδιανὸς ἐν τῇ καθόλου.

[573a]

E. Or. 160, 6: φειδωλός οἷον φευγωλός τίς ἐστιν, ὁ φεύγων τὸ δοῦναι. Ἡρωδιανὸς ἐν τῇ ὀρθογραφίᾳ.

[574a]

Eustath. 287, 20: σημείωσαι, ὅτι τινὰ τῶν παλαιῶν ἀντιγράφων

ad fr. *571. Quum E. M. cum St. B. congruat, hoc frustulum Herodiano assignare non dubitavi.

ad fr. 572. Diphthongi ει in η̄ versae porro haec exempla, quae iam in superioribus memorata sunt, affero: κλείω ex κλήω Mon. 43, 29, ὅρηος Λύκηος Theogn. 51, χέρηϊ ex χέρει Il. Pr. A 80, ἀπειλήτην ex ἀπειλείτην supra fr. 272.

ad fr. *574. Non plenum esse praeceptum ex Choer. 152 patet, ubi λέβης

ad fr. [574a]. Hoc Eustath. ex Cathol. sumpsit, sed Herodiani sententiam

τρέπουσι Δωριεῖς Διοπείθης, Εὐπείθης· ὅτε δὲ εἰς $\overline{\text{ου}}$ ἔχει τὴν γενικήν, τρέπουσιν οἷον παιδοτρίβης παιδοτρίβου παιδοτρίβας λέγουσιν.

*575.

St. B. 207, 1: γήπεδον οἱ τραγικοὶ διὰ τοῦ α φασὶ δωρίζοντες.

*576.

St. B. 329, 6: Ἰθώμη: τὸ ἐθνικὸν Ἰθωμαῖος καὶ Ἰθωμαία καὶ Ἰθωμήτης διὰ τοῦ $\bar{\eta}$ καὶ Δωρικῇ τροπῇ Ἰθωμάτας, ἀφ' οὗ ὁ πολίτης Ἰθωμάτας καὶ Ζεὺς Ἰθωμάτας.

*577.

St. B. 450, 4: Μῆλος: ἔστι καὶ κώμη Ἀκαρνανίας, ἧς τὸ ἐθνικὸν Μηλιεύς καὶ διὰ τοῦ α Δωρικῶς.

Τροιζῆνα προπαροξυτόνως ἔγραψαν, οἷς καὶ Ἡρωδιανὸς συνηγορεῖ ἐν τοῖς περὶ ταχυτῆτος καὶ δηϊότητος εἰπών, ὅτι ἡ Δωρὶς καὶ Αἰολὶς διάλεκτος οὐδέποτε κατὰ γενικὴν περιττοσύλλαβον τὸ η μετατιθέασιν εἰς $\bar{\alpha}$, εἰ μὴ βαρύνοιτο, Ἕλλην Ἕλλαν, Τροίζην Τροίζαν. ποιμήν δὲ καὶ λιμὴν οὐκ ἂν ἐροῦσι διὰ τοῦ α, ἐπεὶ ὀξυτονεῖται. ἐπὶ μέντοι μονοσυλλάβων μετατιθέασι τὸ σφήξ καὶ μήν σφάξ λέγοντες καὶ μάν. σεσημείωται, φησίν, τὸ ἐσθάς ὀξυνόμενον καὶ διὰ τοῦ α λεγόμενον παρὰ Πινδάρῳ ἐν Πυθιονίκαις.

[574b]

Diehr. 296, 25: τὸ α πρὸ τοῦ β θέλει συστέλλεσθαι, εἰ μὴ κατὰ διάλεκτον εἴη γενομένη τροπὴ ἐκ τοῦ η εἰς α ὡς ἔχει τὸ ἡβήσομεν ἀβάσομεν.

[574c]

Diehr. 297, 5: τὸ $\bar{\alpha}$ ἐπιφερομένου τοῦ $\bar{\mu}$ συστέλλεσθαι θέλει κατ' ἀρχήν, εἰ μὴ διαλέκτῳ εἴη κατὰ τροπὴν γενόμενον ὡς ἐπὶ τοῦ ἡμέρα ἀμέρα.

[574d]

Mon. 26, 13: τὸ α, εἰ ἔχοι ἐν ἐπιφορᾷ διπλασιαζόμενον τὸ $\overline{\lambda\lambda}$ ἐν μιᾷ λέξει, συστέλλεσθαι φιλεῖ χωρὶς εἰ μὴ τροπή τις εἴη τοῦ $\bar{\eta}$ εἰς $\bar{\alpha}$ παρὰ διαλέκτῳ ἀλλόμην ἐκ τοῦ ἡλλόμην.

[574e]

Arcad. 22, 5: Ἑρμᾶς καὶ Ἀρτεμᾶς Δωρικόν.

[574f]

Diehr. 296, 20: τὸ νομιζόμενον Ἴωσιν ἀνηρός πρότερόν ἐστι καὶ λοιπὸν τὸ ἀνιαρός ὡς ἐδέξατο τροπὴν τὴν ἐκ τοῦ η ἔμεινεν ἐκτεινόμενον.

πένης οἱ Δωριεῖς οὐ τρέπουσι τὸ η εἰς α, τὸ δὲ Ἀτρείδης Ὀρέστης τρέπουσιν Ἀτρείδας Ὀρέστας, omissa sunt τὰ εἰς ης κατὰ γενικὴν περιττοσύλλαβα.

pervertit, quem ex St. B. Τροιζήν acuisse comperimus. cf. Ahrens de dial. Dor. 136 not. 6, qui pro μήν scribendum esse χήν suspicatur, propterea, ut videtur, quia Dorica vocabuli μήν species μείς est.

578.

Choer. 347, 23: Ἡρωδιανὸς λέγει, τὰ εἰς ηρ μονοσύλλαβα, μόνου μὲν ἀρσενικοῦ γένους ὄντα, φυλάττουσι τὸ η ἐν τῇ γενικῇ οἷον θήρ θηρός, φήρ φηρός «φηρσὶν ὀρεσκῴοισιν» (Α 268) ἀντὶ τοῦ κενταύροις, θηλυκοῦ δὲ γένους ὄντα καὶ φυλάττουσι τὸ η καὶ συστέλλουσι οἷον κήρ κηρός (C 115), «κῆρα δ' ἐγὼ τότε δέξομαι» καὶ «τίω δέ μιν ἐν καρὸς αἴσῃ» (Ι 378).

*579.

E. M. 155, 23: ἄσμενος: ἥδω τὸ εὐφραίνω, ὁ παθητικὸς παρακείμενος ἥσμαι, ἡ μετοχὴ ἡσμένος καὶ ἄσμενος τροπῇ τοῦ η εἰς α· τινὲς δὲ λέγουσι, μὴ εἶναι μετοχήν, ὅτι πᾶσαι αἱ τοῦ παρακειμένου μετοχαὶ παροξύνονται· πρὸς οὕς φαμεν, ὅτι λέγουσιν οἱ τεχνικοὶ μετοχὴν εἶναι παρακειμένου ἀπὸ τοῦ ἥδω ἡσμένος, κατὰ συστολὴν ἄσμενος καὶ ἅμα τῇ συστολῇ ἀνεβίβασε τὸν τόνον καὶ προπαροξύνεται.

*580.

Choer. 629, 6, Anecd. Par. III 335, 20: τὸ η εἰς ᾱ τρέπεται· ἐν τῷ δευτέρῳ ἀορίστῳ κατὰ τὴν παραλήγουσαν, εἰς ᾱ δὲ συστελλόμενον διὰ τὸ τὸν δεύτερον ἀόριστον βραχείᾳ θέλειν παραλήγεσθαι, λήθω ἔλαβον, μήθω ἔμαθον, πρήθω ἔπραθον, φήγω ἔφαγον, λήθω ἔλαθον, πήθω ἔπαθον, δήκω ἔδακον, λήχω ἔλαχον, τήκω ἔτακον, πλήσσω ἔπλαγον, ἐξ οὗ τὸ ἐπλάγην πρὸς διάφορον σημαινόμενον, εἰ μὲν γάρ τις σωματικῶς πλήσσεται, ἐπλήγην, εἰ δὲ ψυχικῶς, ἐπλάγην. ἀμέλει ὁ ποιητής, ἐπειδὴ ἐπὶ τῆς ψυχικῆς διαθέσεως κατεπλήγη εἶπε διὰ τοῦ η διὰ τὴν ἀνάγκην τοῦ μέτρου, τούτου χάριν προσέθηκε τὸ φίλον ἦτορ «κατεπλήγη φίλον ἦτορ» (Γ 31), ἵνα μὴ διὰ τῆς γραφῆς τοῦ η νομισθῇ ἐπὶ σωματικῆς διαθέσεως κεῖσθαι.

*581.

Choer. 272, 34: οἱ Αἰολεῖς ἔχουσιν ἔθος πολλάκις συστέλλειν τὸ

[579a]

E. Or. 108, 26: λαγών εἴρηται παρὰ τὸ λήγειν. Ἡρωδιανὸς ἐν τῇ ὀρθογραφίᾳ.

[581a]

Il. Pr. Ξ 172: δασυντέον τὸ ἑδανῷ. τὸ γὰρ ἡδὺ βούλεται σημα-

---

ad fr. *579. In technicis, qui hic nominantur, praecipue est Herodianus, quem ἄσμενος ex ἡσμένος sicut ἄλμενος ex ἡλμένος natum putasse ex Io. Alex. 22, 10 scimus. De omisso augmento cf. Il. Pr. Ψ 70 ἀκήδεις: ἄμεινον βαρύνειν, ὡς ἐνόεις τῆς ἀρχούσης συσταλείσης ποιητικῶς, ὡς γὰρ ἤκουσα ἄκουσα, καὶ ἠκήδεις ἀκήδεις.

ad fr. *580. Hoc ab Herodiano profectum esse comprobat notatio E. Or. 57, 19 eo loco, quo plura Herodianea proferuntur, proposita: ἔκπαγλος μετάθεσις. ἔκπλαγον γάρ ἐστι παρὰ τὸ ἐκπλήσσω, ὅθεν τὸ «ἡνίοχοι δ' ἔκπληγεν» (C 225). τροπὴ δὲ ἐπὶ τούτου ἐστὶ τοῦ α εἰς η. παρὰ γὰρ τὸ πλήσσω. ἐπὶ μὲν ψυχικοῦ πάθους διὰ τοῦ ᾱ, ἐπὶ δὲ σωματικοῦ διὰ τοῦ η οἷον «ἐπλήγην» τὸ λαβεῖν τραῦμα. ἐπλάγην δ' ἐπὶ ψυχῇ.

ad fr. *581. cf. Ahrens de dial. Aeol. p. 14 not. 16 et p. 114 not. 5, cum

η̅ εἰς τὸ ε̅ ἐν τῇ κλητικῇ καὶ ἀναβιβάζειν τὸν τόνον οἷον ὁ τριβολετήρ ὦ τριβόλετερ Αἰολικῶς (ἔστι δὲ εἶδος ἀκάνθης). τότε δὲ συστέλλουσι τὸ η̅ εἰς τὸ ε̅ ἐν τῇ κλητικῇ, ἡνίκα μὴ μακρᾷ παραλήγεται οἷον ὁ τριβολετήρ ὦ τριβόλετερ. ἡνίκα δὲ μακρᾷ παραλήγεται, οὐ συστέλλουσι τὸ η εἰς ε̅ ἐν τῇ κλητικῇ οἷον ὁ χρηστήρ. τοῦτο γὰρ μακρᾷ παραληγόμενον οὐ συστέλλει τὸ η̅ εἰς ε ἐν τῇ κλητικῇ παρὰ τοῖς Αἰολεῦσι. τὸ οὖν σῶτερ μακρὰν ἔχον τὴν παραλήγουσαν οὐ δύναται συσταλῆναι παρὰ τοῖς Αἰολεῦσι· διὰ τοῦτο ψευδαιολικόν ἐστι καὶ οὐ κυρίως Αἰολικόν.

*582.

Ep. Cr. I 416, 23 (E. M. 777, 46, E. Gud. 541): ὑπεμνήμυκε: «πάντα δ' ὑπεμνήμυκε» (Χ 491). γίνεται παρὰ τὸ ἠμύω τὸ κατακλίνω

ναι. γίνεται τέ τινα ἀπὸ ῥημάτων διὰ τοῦ ανος παραγόμενα ὀξύτονα, ἅπερ τὴν τρίτην ἀπὸ τέλους ἔχει βραχεῖαν, ἢ αὐτόθεν ἀπὸ τῶν ῥημάτων μετειληφότα, ὡς ἀπὸ τοῦ ἄγω ἀγανός, στέγω στεγανός, ἢ ἐκ τῆς μακρᾶς τῆς κατὰ τὰ ῥήματα εἰς βραχεῖαν μεθιστάμενα, ὡς παρὰ τὸ ἵκω ἱκανός καὶ παρὰ τὸ πείθω πιθανός, τρώγω τραγανός, εἴδω ἰδανός· «σὰς ἰδανὰς χάριτας» ὁ Καλλίμαχος. οὕτως οὖν καὶ παρὰ τὸ ἥδω τὸ ἑδανός γένοιτ' ἂν τοῦ η̅ εἰς ε̅ τραπέντος· διὸ δασυντέον τὴν λέξιν. μὴ ἄρα ἐπιζητείτωσαν πόθεν τὸ ε̅ ἐγένετο. ὁ γὰρ χαρακτήρ, ὡς ἔφαμεν, τὴν βραχεῖαν ἀσπάζεται.

[581ᵇ]

Arcad. 61, 3: τὰ εἰς μος ὑπερδισύλλαβα παραληγόμενα τὸ ε̅ προπαροξύνεται Τήλεμος Ἔχεμος ἄνεμος. τὸ δὲ θελεμός ἀπὸ τοῦ θελημός ὀξύνεται.

[581ᶜ]

Il. Pr. A 77: ἠμέν: κεῖται ἀντὶ τοῦ ἠμήν, ὅπερ ἐστὶν ὁρκικὸν ἐπίρρημα, ὅπερ ὁ ποιητὴς ἀεὶ διὰ τοῦ ε̅ προφέρεται «ἠμὲν τοὺς ἵππους τε καὶ ἅρματα» (Κ 322) «ἠμὲν ἐμοὶ δώσειν» (Il. Ξ 275).

[581ᵈ]

Mon. 14, 18: ἠχέεις, βρομέεις κατὰ ποιητικὴν συστολὴν τὸ ε̅ παραλήγεται.

[582ᵃ]

Il. Pr. Λ 192: ἅλεται: συστολὴ ἐγένετο ἢ μεταβολὴ ἐγκλίσεως.

quo pro τριβολέτηρ scripsi τριβολετήρ oxytonos; de vocabulo ipso cf. Hermann Op. VI 1, 131, Lob. Proll. p. 131 not. 5.

ad fr. *582. De systole, quae fit in verbis ab ε̅ incipientibus omisso aug-

ad fr. [581ᵇ]. Ei canoni, quo vocabula tertiam ab ultima syllabam longam habentia etiam paenultimam productam habere iubentur, contrarium dicit Herod. Dichr. 294, 19 πενθερός, sed eum addidisse id minus mirandum esse, quum ipsum appellativum, reliqua ut πνιγηρός ἀνθηρός τολμηρός πενθηρός adiectiva sint, probabiliter suspicatur Lehrsius l. c.

ad fr. [582ᵃ]. cf. Il. Pr. Θ 18: εἴδετε: ὡς λέγετε. ἢ γὰρ συστολὰς μὲν τὰ τοιαῦτα παραληπτέον ἢ ἐναλλαγὰς ἐγκλίσεων ὡς τὸ «ὅθ' ἡδέϊ λέξεται ὕπνῳ» (Il. Δ 131), «ὄφρ' εὖ πᾶσαι εἴδετ' ἀκούουσαι» (Il. Σ 52) κτλ.

καὶ καταπίπτω, οὗ ὁ παρακείμενος ἤμυκα, ὁ Ἀττικὸς ἀναδιπλασιασμὸς ὤφειλεν εἶναι ἠμήμυκα. ἀλλ' ἐπειδὴ οἱ Ἀττικοὶ παρακείμενοι πάντως ἀπὸ βραχείας ἄρχεσθαι βούλονται ὡς ἐν τῷ ἀρήροκα, ἐλήλυθα, ὀμώμοκα, ἐλήλακα, κἀνταῦθα τὸ η̄ συστείλας εἰς ε̄ ἐποίησε τὸ ἐμήμυκα, ὅπερ ὁ ποιητὴς ἴσως διὰ τὸ μέτρον πλεονάσας τὸ ῡ πεποίηκε τὸ ὑπεμνήμυκε, ὥστε ἡ μὲν τοῦ η̄ συστολὴ εἰς τὸ ε̄ διὰ τὸν Ἀττικὸν παρακείμενον γέγονεν, ἡ δὲ προσθήκη τοῦ ν̄ τῆς ποιητικῆς ἕνεκα χρείας.

583.

Ep. Cr. I 358, 20, E. Gud. 469, 46, E. M. 662, 14: πέποσθε: ὁ Ἡρωδιανὸς ἀπὸ τοῦ πήθω τὸ πανθάνω ὁ μέλλων πήσω πέπηκα πέπησμαι πεπήσμεθα πέπησθε καὶ συστολῇ τοῦ η̄ εἰς ο̄ πέποσθε.

[582ᵇ]

Choer. 624, 17: πονῶ πονήσω καὶ πονέσω πρὸς διάφορον σημαινόμενον. ὁ γὰρ πονῶν ἢ σωματικῶς πονεῖ ἢ ψυχικῶς· καὶ εἰ μὲν σωματικῶς, πονέσω διὰ τοῦ ε̄, εἰ δὲ ψυχικῶς, πονήσω διὰ τοῦ η̄. διὰ τοῦτο σημειούμεθα παρὰ Ἀριστοφάνει (Pac. 820) «ἐγὼ δέ τοι πεπόνηκα κομιδῇ τὼ σκέλη», ἐπεὶ σωματικῶς λεχθὲν διὰ τοῦ η̄ προηνέχθη.

[582ᶜ]

E. M. 69, 18: ἁλμυρόν: ὥσπερ παρὰ τὸ τόλμη τολμηρὸς καὶ ἄτη ἀτηρός, οὕτω καὶ παρὰ τὸ ἅλμη ἁλμηρὸς καὶ τροπῇ τοῦ η̄ εἰς υ ἁλμυρὸς ὡς τηρὸς τυρός. ἡ κυρίως τίθεται ἡ λέξις ἐπὶ τῶν εἰς ἅλα μυρομένων ποταμῶν, ὅ ἐστιν ἐκχεομένων. ὥστε οὐ τροπὴ κατὰ Ἀπολλώνιον. Μεθόδιος.

---

mento cf. Il. Pr. Ω 388 ἔνισπες: ὡς ἔδραμες· ἔστι γὰρ ὁριστικὸν ἐκ τοῦ ἤνισπες τὴν ἀρχὴν συστείλαντος. Λ 75 τὸ πάρεσαν ἐκ τοῦ παρῆσαν ἐγένετο.

ad fr. 583. Eustathius ad Od. κ 465 p. 1663, 12 τὸ πέποσθε οἱ μὲν ἐκ τοῦ πήθω τὸ πανθάνω παράγουσιν ἀκολουθοῦντες Ἡρωδιανῷ λέγοντες, ὅτι καθὰ λήχω τὸ λαγχάνω οὗ παρακείμενος τροπῇ τοῦ η̄ εἰς ο̄ λέλοχε καὶ προσλήψει τοῦ ν̄ λέλογχα, οὕτω καὶ πήθω πέποθα, οὗ παθητικὸν πρὶν ἢ προσληφθῆναι τὸ ν πέποθε (scr. pro πεπόθατε) καὶ πλεονασμῷ τοῦ σ πέποσθε. Hi igitur quamvis ab eodem πήθω repetentes tamen aliter explicaverunt atque Herodianus, ex πέποθα passivum πέπομαι fingentes, unde cum σ pleonastico πέποσθε fieret. Perfectum activi πέπονθα sic Herodianus explicavit ut Ep. Cr. I 376, 1 traditur: τινὲς (ut Herodianus ap. Eustath. 1687, 12) λέγουσιν παρὰ τὸ πήθω τὸ πάσχω, οὗ ὁ β' ἀόριστος ἔπαθον ὡς λήθω ἔλαθον, μήθω ἔμαθον· τούτου τοῦ πήθω ὁ παρακείμενος πέπηθα, εἶτα τροπῇ τοῦ η εἰς ο καὶ πλεονασμῷ τοῦ ν πέπονθα.

---

ad fr. [582ᵇ]. Hoc comparatur a Choer. cum ἐπλήγην et ἐπλάγην atque ut illud ab Herodiano depromptum videtur, fortasse ex Rhematico.

ad fr. [582ᶜ]. Methodius, qui saepius Herodianum exscripsit, etiam hoc ex eo transtulisse videtur, sic ut sententiae ab Herodiano prolatae auctorem subtraxerit et alterius tantum ab ipso Herodiano laudatae inventorem nominaverit. Priorem sententiam etiam Choerob. 569, 6 (Cram. An. Ox. IV 227, 15) pronuntiat. τυρὸς in E. M. 772, 6 sic explicatur: τυρὸς παρὰ τὸ τηρεῖν κατὰ τροπήν. γάλα γὰρ τηρούμενόν ἐστιν ὁ τυρός.

*584.

Ep. Cr. I 375, 9: πέπτωκα: ἀπὸ τοῦ πτῶ πέπτηκα καὶ ὥϲπερ ἀπὸ τοῦ οἰχῶ οἰχήϲω ᾤχηκα καὶ κατὰ μεταβολὴν τοῦ η εἰϲ ω ᾤχωκα — Ὅμηροϲ «παρῴχωκε δὲ πλέων νύξ» (Κ 252), οὕτωϲ καὶ ἀπὸ τοῦ πέπτηκα πέπτωκα.

*585.

Ep. Cr. I 390, 1, E. M. 375, 46: ϲυνοχωκότε (Β 218)· ἔϲτι μετοχὴ πρώτηϲ ϲυζυγίαϲ τῶν περιϲπωμένων. ἐκ τοῦ ϲυνέχω ϲύνοχοϲ ϲυνοχῶ παραϲύνθετον. ὁ μέλλων ϲυνοχήϲω, ὁ παρακείμενοϲ ϲυνώχηκα καὶ τροπῇ τοῦ η μακροῦ εἰϲ ω μακρὸν γίνεται ϲυνώχωκα, ἡ μετοχὴ ϲυνωχωκώϲ ϲυνωχωκότοϲ· καὶ ϲυϲτολῇ Ἰωνικῇ ἢ ποιητικῇ γίνεται ἡ εὐθεῖα τῶν δυϊκῶν ϲυνοχωκότε.

586.

E. M. 675, 29: πλειάρειν: τὸν γὰρ πλήρην οὗτοϲ (quis?) ἔφη πλειάρειν. οἱ γὰρ Αἰολεῖϲ τὸ η εἰϲ ει δίφθογγον μεταβάλλουϲι· τὸ γὰρ πένηϲ πένειϲ λέγουϲιν. περὶ παθῶν.

*587.

Choer. 152, 28: τινὲϲ θέλουϲι τὸ ἀγκυλοχείληϲ εἶναι ϲύνθετον ἀπὸ τοῦ χηλή τοῦ θηλυκοῦ ὀνόματοϲ, ὅπερ ϲημαίνει τὸν ὄνυχα, ἵνα ᾖ ἀγκυλοχήληϲ διὰ τοῦ η καὶ κατὰ τροπὴν Βοιωτικὴν τοῦ η εἰϲ τὴν ει δίφθογγον γίνεται ἀγκυλοχείληϲ διὰ τῆϲ ει διφθόγγου, ἔθοϲ γὰρ ἔχουϲιν οἱ Βοιωτοὶ πολλάκιϲ τὸ η εἰϲ τὴν ει δίφθογγον τρέπειν. τὸ γὰρ Λάχηϲ Λάχειϲ λέγουϲι διὰ τῆϲ ει διφθόγγου καὶ τὸ λέβηϲ λέβειϲ ὁμοίωϲ.

[586ᵃ]

Arcad. 71, 22: τὸ καυϲτειρόϲ ἀπὸ τοῦ η ἐτράπη εἰϲ ει.

[586ᵇ]

Arcad. 92, 24: οἱ Βοιωτοὶ τὸ η τῶν εἰϲ ηϲ εἰϲ ει τραπέντεϲ ὀξύνουϲιν αὐτά, εὐγενείϲ ἀντὶ εὐγενήϲ, ἀγενείϲ ἀντὶ ἀγενήϲ.

[586ᶜ]

Theogn. 41, 27: οἱ Βοιωτοὶ πολλὴν ἴϲαϲι τὴν ειϲ κατάληξιν, καθὸ παρ' αὐτοῖϲ εἴωθε τὸ η εἰϲ τὴν ει δίφθογγον τρέπεϲθαι· τὸ γὰρ πένηϲ πένειϲ γράφουϲι διὰ τῆϲ ει διφθόγγου καὶ τὸ πατήρ καὶ μήτηρ παρ' αὐτοῖϲ διὰ τῆϲ ει διφθόγγου.

ad fr. *584. Pro iis, quae scripta sunt in Epim. ἀπὸ τοῦ πετῶ πετήϲω πεπέτηκα καὶ ϲυγκοπῇ πέπτηκα, exhibui veram Herodiani sententiam, quae in E. M. 176, 49 tradita est (cf. supra fr. 186).
ad fr. 586 cf. Ahrens de dial. Aeol. p. 183 not.

ad fr. [586ᵃ]. cf. Theogn. 71, 25 καυϲτειρόϲ — ἐτράπη παρὰ Βοιωτοῖϲ εἰϲ τὴν ει δίφθογγον, εἴγε παρ' αὐτοῖϲ ἠγνόηται ἡ διὰ τοῦ η γραφή· διὸ καὶ τὸ πένηϲ, πονηρόϲ, ἥρωϲ παρ' ἡμῖν διὰ τοῦ η γραφόμενα παρ' αὐτοῖϲ διὰ τῆϲ ει διφθόγγου γράφονται.

— ἔϲτιν ἀντιθεῖναι τοῖϲ λέγουϲι τὸ ἀγκυλοχείληϲ παρὰ τὸ χηλή οὕτωϲ· οἱ Βοιωτοὶ τρέπουϲι τὸ η̄ εἰϲ τὴν ει̅ δίφθογγον, ἡνίκα μὴ τρέπεται τὸ η̄ εἰϲ ᾱ παρὰ τοῖϲ Δωριεῦϲιν οἷον τὸ λέβηϲ καὶ πένηϲ οἱ Βοιωτοὶ διὰ τῆϲ ει διφθόγγου γράφουϲι λέβειϲ καὶ πένειϲ λέγοντεϲ, ἐπειδὴ ἐπὶ τούτων οὐ τρέπουϲι τὸ η̄ εἰϲ ᾱ οἱ Δωριεῖϲ. τὸ δὲ Ἀτρείδηϲ καὶ Ὀρέϲτηϲ, ἐπειδὴ τρέπουϲιν οἱ Δωριεῖϲ τὸ η̄ εἰϲ ᾱ καὶ λέγουϲιν Ἀτρείδαϲ Ὀρέϲταϲ, οὐ τρέπουϲιν οἱ Βοιωτοὶ εἰϲ τὴν ει̅ δίφθογγον τὸ η̄. εἰ ἄρα οὖν τὸ χηλή λέγεται παρὰ τοῖϲ Δωριεῦϲι χαλά κατὰ τροπὴν Δωρικὴν τοῦ η̄ εἰϲ ᾱ, ὡϲ παρ' Εὐριπίδῃ ἐν Φοινίϲϲαιϲ (1032) «χαλαῖϲί τ' ὠμοϲίτοιϲ» δηλονότι οὐ δύνανται αὐτὸ ποιῆϲαι οἱ Βοιωτοὶ διὰ τῆϲ ει̅ διφθόγγου κατὰ τροπὴν τοῦ η̄ εἰϲ τὴν ει δίφθογγον. οὐκ ἄρα οὖν τὸ ἀγκυλοχείληϲ ϲύνθετόν ἐϲτιν ἀπὸ τοῦ χηλή, ἀλλ' ἔϲτι παραϲύνθετον ἀπὸ τοῦ ἀγκυλόχειλοϲ ϲυνθέτου ἀπὸ τοῦ χεῖλοϲ.

*588.

Choer. 870, 6: ἔϲτιν θήϲω ὁ μέλλων καὶ τέθηκα ὁ παρακείμενοϲ διὰ τοῦ η̄ ὥϲπερ ποιήϲω πεποίηκα καὶ κατὰ τροπὴν Βοιωτικὴν τοῦ η̄ εἰϲ τὴν ει̅ δίφθογγον γέγονε τέθεικα διὰ τῆϲ ει̅ διφθόγγου ὥϲπερ ἥρωεϲ εἵρωεϲ· οὕτωϲ δὲ καὶ ἐπεκράτηϲε γράφεϲθαι.

*589.

E. M. 250, 18: δαύω τὸ καίω παρὰ Ϲιμωνίδῃ «μηρίων δεδαυμένων» παρὰ τὸ δαίω τὸ καίω τροπῇ τοῦ ῐ εἰϲ ῠ.

[588a]

E. M. 452, 33: ἀπὸ τοῦ μνῶ μνήϲω καὶ θνῶ θνήϲω γίνεται θνήϲκω καὶ μνήϲκω· καὶ οὐκ ἔχει τὸ ῑ. οἱ δὲ λέγουϲι ϲὺν τῷ ῑ, ὅτι οἱ Αἰολεῖϲ θναίϲκω καὶ μναίϲκω λέγουϲι διὰ τῆϲ αι διφθόγγου. ἀλλ' ἰδοὺ τὸ Ἡϲίοδοϲ καὶ ἡμίονοϲ Αἰϲίοδοϲ καὶ αἰμίονοϲ λέγουϲιν, ἀλλ' ὅμωϲ οὐκ ἔχει τὸ ῑ. ἡ μέντοι παράδοϲιϲ ἔχει τὸ ῑ ἴϲωϲ ἐκ τοῦ λέγειν τοὺϲ Αἰολεῖϲ θναίϲκω καὶ μναίϲκω.

---

ad fr. *588. In Hort. Adonid. ap. Ahrens p. 182 hic locus plenius profertur pariter atque ap. La Roche παρεκβολαὶ τοῦ μεγάλου ῥήματοϲ ἐκ τῶν Ἡρωδιανοῦ p. 32 πόθεν δῆλον ὅτι τό τέθεικα Βοιωτικόν ἐϲτιν; ἐπειδὴ οἱ Δωριεῖϲ τὸ η̄ ὅπερ οὐ τρέπουϲιν εἰϲ ᾰ, οἱ Βοιωτοὶ τρέπουϲιν εἰϲ τὴν ει δίφθογγον. τό δέ τρεπόμενον εἰϲ ᾱ παρὰ Δωριεῦϲιν οἱ Βοιωτοὶ εἰϲ τὴν ει δίφθογγον οὐ τρέπουϲιν οἷον ἐν τῷ ἥρωεϲ, ἐπειδὴ οἱ Δωριεῖϲ οὐ τρέπουϲι τὸ η εἰϲ ᾰ. — οὐδὲ γάρ φαϲιν ἄρωεϲ — οἱ Βοιωτοὶ τρέποντεϲ τό η̄ εἰϲ τὴν ει δίφθογγόν φαϲιν εἵρωεϲ, ἐν δέ τῷ ἡδύ, ἐπειδὴ τρέπουϲιν οἱ Δωριεῖϲ τό η̄ εἰϲ ᾱ ὡϲ Θεόκριτόϲ (I 1) φηϲιν «ἁδύ τι τό ψιθύριϲμα» οὐ τρέπουϲιν οἱ Βοιωτοὶ εἰϲ τὴν ει δίφθογγον· οὐδέ γάρ φαϲιν εἱδύ διὰ διφθόγγου — οὕτωϲ οὖν καὶ ἐνταῦθα, ἐπειδὴ οἱ Δωριεῖϲ ἐπὶ τοῦ τέθηκα οὐ τρέπουϲι τό η εἰϲ ᾱ, τούτου χάριν οἱ Βοιωτοὶ τρέπουϲιν αὐτό εἰϲ τὴν ει δίφθογγον.

ad fr. *589. Paullo ante in E. M. dictum est Herodianum tradere δαύω τό κοιμῶμαι semel apud Sapph. reperire.

---

ad fr. [588a]. hoc fragmentum ex Herodiani orthographia derivatum est, cf. supra fr. 38 et Ahrens de dial. Aeol. p. 96.

*590.

Choer. 546, 19: ἔϲτι κλαίω καὶ κλαύϲω καὶ καίω καύϲω· καὶ ἐπειδὴ ταῦτα κατὰ τὸν μέλλοντα ἔτρεψαν τὸ ῑ εἰϲ ῡ, τούτου χάριν καὶ ὁ παρακείμενοϲ διὰ τῆϲ αυ διφθόγγου ἐγένετο οἷον κέκλαυκα.

*591.

Choer. Orth. 241, 4: ἄξιόν ἐϲτι ζητῆϲαι, εἰ τὸ νηλήτηϲ ἀπὸ τοῦ ἀλιτεῖν γέγονε, τὸ δὲ ἀλιτεῖν διὰ τοῦ ῑ γράφεται, πῶϲ τὸ νηλήτηϲ διὰ τοῦ η̄ γράφεται; ἔϲτιν οὖν εἰπεῖν, ὅτι ἐτράπη Αἰολικῶϲ τὸ ῑ εἰϲ τὸ η̄. οὕτωϲ γὰρ τὸ ἀκτῖνεϲ καὶ τὸ ψιμύθιον διὰ τοῦ η̄ προφέρονται οἱ Αἰολεῖϲ.

*592.

Ep. Cr. I 145, 9: ἔϲτιν ὅτε ἐν ϲυνθέϲει τὸ ῑ εἰϲ τὸ η̄ τρέπεται, ἐπήβολοϲ· οὐ γὰρ ῥητὸν ἐπίβολοϲ καὶ ἐπιετανόϲ· ἔτοϲ γὰρ καὶ ἐπηετανόϲ· οὐ γὰρ παρὰ τὸ ταναόϲ, ὥϲ τινεϲ, ἐπεὶ πλείονα οὗτοι διδόαϲι πάθη ἐπιταναόϲ ἐπιεταναόϲ ἐπηετανόϲ.

*593.

Ep. Cr. I 47, 28: οἱ Αἰολεῖϲ τὴν ὑπό ὑπά λέγουϲι καὶ τὴν ἀπό ἀπύ, ἴϲωϲ ἵνα καὶ τὸ ῡ ληκτικὸν γένηται προθέϲεωϲ ὡϲ τὸ ᾱ καὶ ῑ.

*594.

St. B. 227, 15: Ἑρμιών ἀπὸ τοῦ τὸν Δία καὶ τὴν Ἥραν ἐνταῦθα ἀπὸ Κρήτηϲ ἀφικομένουϲ ὁρμιϲθῆναι καὶ τροπῇ τοῦ ō εἰϲ ε̄, ὅθεν καὶ ἱερὸν Ἥραϲ παρθένου ἦν ἐν αὐτῇ.

*595.

E. M. 59, 58: **ἀλετρίβανοϲ** ὁ τριβεύϲ παρὰ τὸ τρίβειν τοὺϲ ἅλαϲ· ἀλοτρίβανοϲ οὖν καὶ ἀλετρίβανοϲ κατὰ τροπὴν ὡϲ κελαινοφήϲ καὶ κελαινεφήϲ ἀπὸ τοῦ κελαινόν καὶ φῶ· οὐ γὰρ ἀπὸ τοῦ νέφοϲ.

*596.

Ep. Cr. I 338, 33: πρηνήϲ: ϲύνθετον παρὰ τὴν πρό καὶ παρὰ τὸ νῶ, οὗ παραγωγὸν νεύω, ῥηματικὸν ὄνομα προνήϲ καὶ ἐν ἐπεκτάϲει πρηνήϲ ὁ πρόϲω νενευκώϲ· γέγονε δὲ μεταβολὴ τοῦ ο εἰϲ η ὥϲπερ πρωών πρηών, οὕτωϲ καὶ προνήϲ πρηνήϲ καὶ ὀλιγοπελίη ὀλιγηπελίη καὶ θαλαμοπόλοϲ θαλαμηπόλοϲ καὶ αἱμοπότηϲ αἱμηπότηϲ.

*597.

Ep. Cr. I 63, 26: παρὰ τὸ ὄψομαι ἐξέπιπτε ῥηματικὸν ὄψοϲ καὶ κατὰ μεταβολὴν τοῦ ō εἰϲ τὸ ῡ ὕψοϲ, ἔνθεν ἔϲτιν ἰδεῖν πάντα· τὸ δὲ

---

ad fr. *591 cf. Ahrens de dial. Aeol. p. 95.

ad fr. *592. pro πλειόνων scripsi πλείονα; dictio πλείω πάθη διδόαϲι Herodiani memoriam excitat.

ad fr. *593. cf. Ahrens de dial. Aeol. p. 75 not. 3 et supra fr. 77.

ad fr. *594. Aliter E. M. 376, 44 Ἑρμιόνη ὄνομα πόλεωϲ. παρὰ τὸ εἴρω τὸ ἁρμόζω, ἀφ' οὗ Ἑρμῆϲ Ἑρμιών καὶ παραγωγὸν Ἑρμιόνη.

ad fr. *595. pro φῶϲ scripsi φῶ cf. supra fr. 261. de αἰέλουροϲ pro αἰλουροϲ supra fr. 154.

ad fr. *597. de ὕψοϲ ex ὄψοϲ nato cf. Mon. 22, 5, cui loco nostrum simil-

υ πρὸ τοῦ διπλοῦ οὐδέποτε εὑρίσκεται, εἰ μὴ μόνον ἐν τῷ ὕψος· ἔνθεν οἱ Αἰολεῖς ἀναλογώτεροί εἰσι ἴψος λέγοντες καὶ «κατ' ἰψηλῶν ὀρέων» ἀποσώζοντες καὶ τὸ ἴδιον τοῦ πνεύματος· γίνεται δὲ καὶ τὸ ῡ μεταβολῇ τοῦ ο̄ εἰς τὸ ῠ ὡς ἐν τῷ «κειμένῳ ἐν νεκύων ἀγύρει» (Π 661) καὶ «μεθ' ὁμήγυριν ἄλλων» (Υ 142)· ἀγορά γὰρ ἦν καὶ ἄγυρις, καὶ παρὰ τοῖς Αἰολεῦσιν εὑρίσκομεν τὸ μόγις μύγις, τότε τύτε, «ἐπασσύτεραι Δαναῶν κίνυντο φάλαγγες» (Δ 427)· ἐπασσότεραι γὰρ ὤφειλεν εἶναι· τὸ γὰρ ἁπλοῦν ἀσσότερος. τὸ γοῦν ὀφειλόμενον τῷ σχήματι ἀπέδωκεν ὁ ποιητὴς εἰπὼν «ἀσσοτέρω καθίσασα παρὰ πυρί» (ρ 572).

*598.

Ep. Cr. I 327, 27: οὐδὲν εἰς μα οὐδέτερον ἔχει δύο ο̄· ἀναλόγως οὖν οἱ Αἰολεῖς ὄνυμα λέγουσιν ὁμοίως τῷ ἔλυμα, ἔρυμα· ἐν τῇ συνθέσει δὲ τρέπει τὸ πρῶτον ο̄ εἰς ω̄ καὶ τὸ δεύτερον ο̄ εἰς ῡ ὁμώνυμον· γίνεται δὲ παρὰ τὸ νέμω ῥηματικὸν ὄνομα νόμα τὸ ἐπιμεριζόμενον ἑκάστῳ καὶ νέμον τὴν σημασίαν, προσόδῳ τοῦ ο̄ ὄνομα.

599.

E. M. 280, 6: Διώνυσος κατ' ἔκτασιν· ἀεὶ δέ ἐστιν ἡ ἔκτασις (Ἡρωδιανός) παρὰ τῷ ποιητῇ διὰ τοῦ ω̄ μεγάλου καὶ τοῦ ῡ μακροῦ ὡς τὸ «Διωνύσοιο τιθήνας» (Ζ 132) καὶ «Διώνυσος δὲ φοβηθείς» (ibid. 135).

*600.

St. B. 171, 16: Βιστονία: τὸ ἐθνικὸν Βιστών — τὸ θηλυκὸν Βιστονίς· ἐκτέταται δὲ καὶ λέγεται Βιστωνίς διὰ τοῦ ω καὶ Βιστώνιος ποιητικῶς.

*601.

Choer. 830, 11: τετριγῶτες παρὰ τῷ ποιητῇ διὰ τοῦ ω̄ ἔχει τὴν παραλήγουσαν μὴ ὂν κατὰ κρᾶσιν· ἀπὸ γὰρ τοῦ τρίζω ἐνεστῶτος γέγο-

[601a]

Mon. 26, 31: δεῦρο: οὐδὲν εἰς ο̄ λήγει ἐπίρρημα ὑπὲρ μίαν συλλαβήν, ἀλλὰ μόνον τὸ δεῦρο. ὅπερ εὕρηται παρὰ τῷ ποιητῇ ἅπαξ κατ' ἐπέκτασιν εἰς ω̄ ἐν τῷ «ἢ δεύρω μὲν ἕποντο» (Γ 240). παραιτοῦμαι γὰρ τὴν διάφορον ἀνάγνωσιν. παρὰ δὲ τοῖς Αἰολεῦσι καὶ δεῦρυ διὰ τοῦ ῡ.

---

limum dicit Lehrsius cf. etiam E. Or. 158, 7. de ἄγυρις ex ἀγορά orto cf. Arcad. 34, 13; E. M. 14, 28. de ἐπασσύτερον Mon. 21, 26. — pro Κυρηναῖος scripsi ποιητής nisi forte Callimachi locus excidit.

ad fr. *598. cf. Mon. 29, 12 et quem citat Lehrsius, Choer. 368, 7.

ad fr. 599. cf. Ep. Cr. I 204, 1 γίνεται πολλάκις ἔκτασις τοῦ ο̄ ὡς τὸ ὠλεσίκαρπος καὶ «μήστωρε φόβοιο» (Ε 272) καὶ Διώνυσος καὶ «θεοὶ δωτῆρες ἐάων» (θ 235) Ἀττικῶς; p. 375, 5 τὰ ἀπὸ τῶν εἰς μι γινόμενα ὀνόματα οὐ θέλουσι μακρᾷ παραλήγεσθαι οἷον στάσις, φάσις, πόσις, χωρὶς εἰ μὴ ποιητικῶς ἢ Ἀττικῶς ἐκταθείη ὡς τὸ «θεοὶ δωτῆρες ἐάων».

ad fr. *601. Praestans de productione vocalis ο̄ ectasi in participio perfecti exemplum habemus in Ep. Cr. I 364, 11, quod nisi in una re abhorreret ab Herodiani doctrina, quam ex Eustath. 143, 5 cognovimus: πέφυα esse μέσον παρακείμενον συγκαθαρεύοντα καθαρεύοντι τῷ ἐνεστῶτι, ab eo profectum putaremus; sed facile

νεν ὁ παρακείμενος τέτριγα καὶ ἡ μετοχὴ τετριγὼς τετριγότος διὰ τοῦ ο̄, ἀλλ' ὁ ποιητὴς διὰ τὸ μέτρον ἐξέτεινε τὸ ο εἰς ω καὶ εἶπε τετριγῶτας διὰ τοῦ ω̄.

[601ᵇ]

Choer. 300, 26: τὸ ταῶς οὐκ ἠδύνατο ἀπὸ τοῦ ταός τοῦ διὰ τοῦ ο̄ εἶναι, ἐπειδή, ὥς φησιν Ἡρωδιανὸς ἐν τῇ καθόλου, τὸ ταός τὸ διὰ τοῦ ος οὐκ ἔστι σύνηθες τοῖς Ἕλλησιν.

[601ᶜ]

Io. Al. 5, 14: τοῦ Μενέλαος προπαροξυνομένου τὸ Μενέλεως καὶ αἱ λοιπαὶ πτώσεις καὶ οἱ ἀριθμοὶ προπαροξύνονται, κἂν κατὰ γενικὴν μόνην γένηται ἡ ἐπέκτασις, ὡς ἐπὶ τοῦ πόλεως καὶ μάντεως.

[601ᵈ]

Mon. 9, 18: καθόλου τὰ διὰ τοῦ ηδων καὶ εδων εἴτε ἀρσενικὰ εἴτε θηλυκὰ διὰ τοῦ ο τὴν κλίσιν ἔχει· τὸ γὰρ παρὰ τῷ Κυρηναίῳ

τὰ δὲ νῦν πολλὴν τυφεδῶνα
λεσχαίνεις

ἕνεκα μέτρου τὸ ω̄ ἐφύλαξεν.

[601ᵉ]

Schol. Od. δ 1: κητώεσσαν: ὥσπερ τὸ ἡβώωσα ἐκτείνει διὰ τὸ εἶναι πρὸ αὐτῆς μακρὸν τὸ η καὶ τηλεθόωσα σμικρύνει διὰ τὸ εἶναι τὴν πρὸ αὐτῆς συλλαβὴν βραχεῖαν ἤτοι τὸ λε, οὕτω κητώεις καὶ ὠτώεις καὶ κηώεις καὶ ὅσα τοιαῦτα ἐκτείνει, συστέλλει δὲ τὸ ἐρόεις, κερόεις ἐρόεσσα κερόεσσα καὶ ὅσα τοιαῦτα.

---

fieri potuit, ut hoec particula ab epitomatore immntata sit, id quod hood raro accidit. Qoare emendatum hic subiicio: πεφυυῖα: «ὡς ἔχετ' ἐμπεφυυῖα» (Α 513). πεπλάνηνταί τινες (pro γε πλανηταί τινες) [λέγοντες τὴν μετοχὴν τοῦ παρακειμένου hacc verba addidi] τὸ θηλυκὸν ἔχειν τότε εἰς σα, ὅτε καὶ η γενικὴ τοῦ ἀρσενικοῦ (κατὰ τὴν γενικὴν eiicienda sunt) ἔχει τὸ ω ἑστῶτος ἑστῶσα, βεβῶτος βεβῶσα, τεθνεῶτος τεθνεῶσα, γεγῶτος γεγῶσα· καὶ ὤφειλε πεφυῶσα, ἐπεὶ καὶ «ἐξ ὁμόθεν πεφυῶτας» (ε 477), ἀλλὰ λέγομεν, ὅτι, ὅπου μὲν φυσικῶς κλίνεται, διὰ τοῦ ο̄ ὑπάρχει ἡ γενική, ὅτε δὲ πάθος ἐστὶ ποιητικόν, διὰ τοῦ ω ὡς τὸ μεμαῶτες· καὶ «νέον γεγαῶτ' ἐνὶ οἴκῳ (δ 112). ἔστι δὲ τὰ θηλυκὰ αὐτῶν οὐ διὰ τοῦ σα, ἀλλὰ διὰ τοῦ υια, «Διὸς ἐκγεγαυῖα» (Γ 197), ὡς ὁ κείνων λόγος οὐχ ἕστηκεν· ἔστιν οὖν εἰπεῖν ὅτι τότε ὁ παρακείμενος τῆς μετοχῆς [κατὰ τὴν γενικὴν addidi] τὸ ω ἔχει, ὅτε τὸ ἀρσενικὸν δισυλλαβεῖ καὶ τὸ θηλυκὸν ὁμοίως ἔχει εἰς σᾱ, βεβὼς βεβῶτος βεβῶσα, ἑστὼς ἑστῶτος ἑστῶσα· ἐὰν δὲ ὑπερβῇ τὰς δύο συλλαβάς, τὴν υι δίφθογγον λαμβάνει τὸ θηλυκόν, γεγαὼς γεγαυῖα μεμαὼς μεμαυῖα· ἐν δὲ τῷ πεφυῶτας πάθος ἐστίν· ἦν γὰρ φύω καὶ πέφυκα ἐκτεταμένου

---

ad fr. [601ᵉ]. Hoc quominus Herodiono adiudicemus. nihil obstat, sed ob eo abhorrot, qood est in E. M. 113, 49 ἀντιόωσα: ἐκ τοῦ ἀντιῶ ἀντιᾷς ἀντιᾷ τὸ ὑπαντιῶ δευτέρας συζυγίας ἡ μετοχὴ ἀντιῶσα ὡς βοῶσα καὶ ποιητικῷ πλεονασμῷ τοῦ ο̄ ὡς βοόωσα γελόωσα, τηλεθόωσα διὰ τὸ εἶναι τὴν πρὸ αὐτῆς συλλαβὴν βραχεῖαν, τὸ δὲ ἡβώωσα καὶ τὸ μαιμώωσα μόνον διὰ τοῦ ω μεγάλου διὰ τὸ εἶναι τὴν πρὸ αὐτῆς συλλαβὴν μακράν, nam Herodiouns ἀντιόωσα propter mutatum accentum non pleonasmum, qui ex eius doctrina accentum non mutat, sed diaeresin dictorus fuit. Caeterum de adiectivis in εις cf. Ep. Cr. I 12 et 408 et Lehrsium ad Herodion. p. 43.

*602.

Ep. Cr. I 447, 29: ὦμος ἐκ τοῦ οἴσω μέλλοντος· ὁ γὰρ ἐνεστὼς οὐκ εἴρηται καὶ ὥσπερ τὸ ω̅ τρέπεται εἰς τὴν ο̅ι̅ δίφθογγον ὡς ἀγκών ἀγκῶνος ἀγκώνη καὶ ἀγκοίνη, θῶ τὸ εὐωχοῦμαι θώσω θώνη καὶ θοίνη, οὕτως καὶ ἡ ο̅ι̅ τρέπεται εἰς ω̅ καὶ γίνεται ὦμος.

*603.

Choer. 403, 20: τὸ Ὅμηροι τρέποντες τὴν ο̅ι̅ δίφθογγον οἱ Βοιωτοὶ εἰς τὸ υ̅ μικρὸν προπαροξύνουσι καὶ λέγουσιν Ὅμηρυ.

*604.

Ep. Cr. I 301, 31, ἐκ τοῦ οὐτῶ ὄνομα οὐτηλή καὶ Δωρικῇ τροπῇ τῆς ο̅υ̅ διφθόγγου εἰς ω̅ ὡς βοῦν βῶν καὶ Βοιωτικῇ πάλιν τροπῇ τοῦ η̅ εἰς τὴν ε̅ι̅ δίφθογγον ὡς τέθηκα τέθεικα καὶ ἥρωες εἴρωες γέγονεν ὠτειλή διὰ τοῦ ω καὶ τῆς ε̅ι̅ διφθόγγου.

[*602a]

Choer. 897, 28: ὥσπερ ἀπὸ τοῦ τυφθείς τυφθέντος γέγονε τυφθείην, οὕτως καὶ ἀπὸ τοῦ θείς θέντος γέγονε θείην καὶ ἀπὸ τοῦ στάς στάντος γέγονε σταίην καὶ ἀπὸ τοῦ δούς δόντος γίνεται δοίην καὶ κατ' ἔκτασιν τοῦ ο̅ δῴην προσγραφομένου τοῦ ι̅ «δῴη κῦδος ἀρέσθαι» (Π 88).

[604a]

Arcad. 126, 23: τὸ κατὰ διάλεκτον τροπῇ γινόμενον βῶς ἀπὸ τοῦ βοῦς βοός περισπᾶται.

[604b]

Mon. 7; 26: Ἀλκαῖος εἰς ω̅ ἀποφαίνεται τὸ ὄνομα (sc. οὐρανός) ὠρανός λέγων κατὰ τροπὴν τῆς ο̅υ̅ διφθόγγου εἰς τὸ ω̅.

τοῦ υ̅, ὑφέσει τοῦ συμφώνου πέφυα, ἡ μετοχὴ πεφυώς πεφυότος ὤφειλεν εἶναι καὶ «ἐξ ὁμόθεν πεφυότας»· γέγονεν οὖν ὑπέρθεσις χρόνου συσταλέντος τοῦ υ καὶ ἐκταθέντος τοῦ ω. Choeroboscus 829, 24 et hanc explicationem proponit et alteram εἴτε ἐκ τοῦ ἐμπέφυα μέσου παρακειμένου γέγονεν ἡ μετοχὴ ἐμπεφυώς, quae posterior cum Herodiani sententia congruit, ex qua extrema verba in Epim. sic mutanda forent: ἦν γὰρ φύω καὶ μέσος παρακείμενος πέφυα — γέγονεν οὖν ἔκτασις τοῦ ο̆ εἰς ω. Nam non sumi potest Herodianum υ̅ in πέφυα pro producto habuisse, quum simile δέδια brevi ι praefinitum sit. Quod paullo ante Choer. ἑσταῶτες γεγαῶτες κατὰ πλεονασμόν τοῦ α fieri dicit, ab Herodiano alienum est.

ad fr. *602. Quum Herodianus in Cathol. ap. Theogn. 114 ἀγκοίνη ex ἀγκώνη ortum esse iubeat, hoc adnotamentum ab eo profectum videtur. cf. E. Or. 170, 30.

ad fr. *603. cf. Ahrens de dial. Aeol. p. 291.

ad fr. *604. monente Ahrensio de dial. Aeol. p. 183 Βοιωτικῇ et Δωρικῇ transposui.

---

ad fr. [*602a]. Hoc in Rhematico locum habuit, fortasse verba Homerica Choeroboscus de suo addidit, nam ap. Hom. scriptum est δῴη.

605.

E. M. 464, 34: ὁ Ἡρωδιανὸς λέγει τὸ ἰαύω παρὰ τὸ αὔω· τούτου ὁ ἀόριστος αὖσα καὶ διαλύσει καὶ τροπῇ τοῦ ῡ εἰς ε̄ γίνεται ἄεσα οἷον «πολλὰς γὰρ δὴ νύκτας ἀεικελίῳ ἐνὶ κοίτῃ Ἄεσα» (τ 342) καὶ τὸ πληθυντικὸν ἀέσαμεν ὥσπερ καὶ τὸ αὔξεται ἀέξεται.

*606.

Choer. 568, 31: τὸ ὑφήφασται γέγονε τοῦτον τὸν τρόπον· ἔστιν ὑφάζω ὑφάσω ὕφακα ὕφασμαι ὕφασται καὶ ὑφύφασται Ἀττικῶς· ἢ ὑφαίνω ὕφαγκα καὶ ὕφασμαι καὶ ὑφύφασμαι Ἀττικῶς ὥσπερ μεμόλυμαι μεμόλυσμαι καὶ μεμίαμαι μεμίασμαι καὶ ἐκεῖθεν ὕφασται καὶ ὑφύφασται ὁ Ἀττικὸς παρακείμενος. καὶ ἐπειδὴ οὐ θέλει ὁ Ἀττικὸς παρακείμενος ἔχειν ἐν τῇ α′ καὶ β′ συλλαβῇ τὸ αὐτὸ στοιχεῖον οἷον ἀλήλιφα καὶ ἐλήλυθα καὶ ὀμώμοκα, τούτου χάριν καὶ τροπὴ παρηκολούθησε τοῦ ῡ εἰς τὸ η̄ ἐνταῦθα, ἐπειδὴ πολλάκις τὸ η̄ εἰς τὸ ῡ τρέπεται οἷον ἅλμη ἀλμυρός.

*607.

Ep. Cr. I 37, 26, E. Gud. 97, 30, E. M. 179, 3: Ἀφροδίτη: Εὐριπίδης παρὰ τὸ ἀφροσύνη «τὰ μωρὰ γὰρ πάντ' ἐστὶν Ἀφροδίτη βροτοῖς» (Troad. 989). ὁ δὲ Δίδυμος παρὰ τὸ ἁβρὸν τῆς διαίτης· τὸ γὰρ β̄ τῷ φ̄ συγγενές ἐστι· δῆλον δὲ ἀπὸ τοῦ τοὺς Μακεδόνας Φίλιππον Βίλιππον καλεῖν καὶ τὸν φαλακρόν βαλακρόν καὶ τὸν Κεφαληνόν Κεβαληνόν καὶ τοῦ Φρύγας Βρύγας καὶ τοὺς ἀνέμους διὰ τὸ φυσᾶν φυσητὰς ὄντας βύκτας. καὶ Ὅμηρος «βυκτάων ἀνέμων» (κ 20). διχῶς δὲ ἡ ἀβροδίαιτος· ὅτι δεῖ αὐτῇ διὰ κάλλος χλιδῆς, ἢ ὅτι κατεχόμενοι τῇ θεᾷ ἁβροὶ καὶ πολυτελεῖς. οὕτω Δίδυμος· ἐγὼ δὲ νομίζω μᾶλλον παρὰ τὸ δύνειν ἐκ τοῦ ἀφροῦ τοῦ θαλασσίου· ἐκεῖθεν γὰρ ἀνῆλθεν. Ἡσίοδος (Theogn. 195) «τὴν δ' Ἀφροδίτην — ἀφρογενέα τε θεὰν καὶ ἐϋστέφανον Κυθέρειαν — κικλήσκουσι θεοί τε καὶ ἀνέρες, οὕνεκ' ἐν ἀφρῷ — θρέφθη· ἀτὰρ Κυθέρειαν, ὅτι προσέκυρσε Κυθήροις. — ἠδὲ φιλομμηδέα, ὅτι μηδέων ἐξεφάανθη».

608.

Eustath. 1913, 15: εἰς τὴν μεταχώρησιν τοῦ ῡ καὶ ῑ πρὸς ἄλληλα

---

ad fr. *606. de ὑφήφασται cf. Mon. 44, 25. Similiter Herodian. in E. M. 785, 26 ὕφα ὕφασμα aut ab ὑφαίνω aut ab ὑφάζω repetit.

ad fr. *607. Quum ex E. M. 767, 19, E. Gud. 231, 47 sciamus Herodianum Ἀφροδίτη ex Ἀφροδύτη nasci voluisse pariter atque δίμηνος ex δυόμηνος δύμηνος neque ignoremus eam antecessorum sententias proferre solere, non dubitavi hoc adnotamentum ei assignare, ita ut quae in initio ap. Eymol. posita sunt, in finem relegarem additis verbis ἐγὼ δέ νομίζω, qua ratione suam sententiam aliis opponere solet; omisi verba: καὶ ἐπαφρόδιτος (nam sic, non Ἐπαφρόδιτος scribi debet) παρὰ τὸ ἀφραδές τουτέστι μὴ νομιζομένην φρόνησιν διὰ τὸ ἀφραδὲς καὶ ἄγνωστον τῆς μίξεως· ἢ παρα τὸν ἀφρὸν τῆς συνουσίας ut ab epitomatoribus assuta.

ad fr. 608. cf. Eustath. 413, 5 τὸ στρυφνός, εἰ καὶ ὁ λόγος κατὰ Ἡρωδιανὸν διὰ τοῦ ῡ αὐτὸ ἀπαιτεῖ — ὡς γὰρ τέρπω τερπνός στέγω στεγνός, οὕτω καὶ στύφω στυφνός. καὶ καθάπερ κέντον κέντρον, οὕτω πλεονασμῷ τοῦ ρ̄ στυφνός καὶ στρυφνός — ὅμως εὕρηται καὶ διὰ τοῦ ῑ προφερόμενον· στριφνός γάρ φησιν.

χρήσιμον καὶ τὸ cτρυφνόc ἐκ τοῦ cτύφω παρὰ Ἡρωδιανῷ καὶ μεταθέcει cτιφρόc, ὅθεν ἴcωc καὶ ῥῆμα cτιφρῶ.

*609.

Ep. Cr. I 411, 25: τεῖχοc: παρὰ τὸ τεύχω ὡc παρὰ τὸ χεύω χεῖμα· ἔχει δὲ ἐν ἄλλῳ ὀνόματι τὴν ευ δίφθογγον, cημαίνει δὲ ἀγγεῖον. καὶ γὰρ εἴωθεν ἀπὸ τοῦ ἑνὸc ῥήματοc γενέcθαι διάφορα ὀνόματα ὡc παρὰ τὸ νέω τὸ πορεύομαι νόοc καὶ νέοc.

*610.

St. B. 652, 12: Ὑρμίνη πόλιc τῆc Ἤλιδοc· «ὅccον ἐφ' Ὑρμίνη καὶ Μύρcινοc ἐcχατόωcα» (Β 616). τὴν δ' Ὑρμίνην Ἑχεφυλίδαc φηcὶ τὰc νῦν Ὁρμίναc, Ὁρμίναc δὲ καὶ τοὺc Ἐπειοὺc καλεῖcθαι.

*611.

St. B. 644, 16: Ὕαcιc πόλιc Λιβύηc. λέγεται καὶ Ὄαcιc.

*612.

Choer. 442, 30: δύο δύω: ἔcτι δὲ καὶ δοιώ ἡ εὐθεῖα τῶν δυϊκῶν κατὰ διάλεκτον ὀξυτόνωc διὰ τῆc οι διφθόγγου ὡc παρὰ τῷ ποιητῇ «δοιὼ δ' οὐ δύναμαι ἰδέειν κοcμήτορε λαῶν» (Γ 236) καὶ πάλιν «δοιαὶ μὲν Μενελάῳ ἀρηγόνεc εἰcὶ θεαί» (Δ 7) καὶ πάλιν «δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸc οὔδει» (Ω 527).

*613.

Choer. 832, 25: Ἴωνεc τὸ τετυφυῖα καὶ τὰ ὅμοια λέγουcι διὰ τῆc οι διφθόγγου καὶ οὐ διὰ τῆc υι.

*614.

E. M. 818, 47, Theogn. 70: χορόc οἶμαι παρὰ τὸ χαίρειν χαρόc

Eodem loco et Ἀφροδίτη et ἴφθιμοc ob eandem causam afferuntur, quae exempla ex eodem Herodiano Eustathium sumpsisse probabile est. In E. Orionis eo loco, ubi alia Herodianea collocata sunt, hoc exstat: ἀκριβήc· τινὲc παρὰ τὸ ἄχρι καὶ βαιόν. plenius hoc servatum est in E. M. 52, 55: ἀκριβήc: παρὰ τὸ κρύβω κρυβὴc καὶ ἀκριβὴc τροπῇ τοῦ ῡ εἰc ῑ· τὸν γὰρ ἀκριβῆ οὐδεὶc δύναται κρύψαι ἢ λαθεῖν τι. ἢ παρὰ τὸ ἄχρι καὶ τὸ βαιόν γίνεται ἀχριβὴc καὶ ἀκριβήc. ὁ γὰρ ἀκριβὴc καὶ ἄχρι μικροῦ καταγινώcκεται. οὕτωc Ὠρίων καὶ Χοιροβοcκόc (in Orthogr. p. 171, 30, ubi tamen prior tantum originatio proposita et ἀκρυβήc ἀκριβήc diserte cum ἀφροδύτη Ἀφροδίτη comparatum est. Haec Herodiani opinio videtur, qui fortasse addidit τινὲc δὲ παρὰ τὸ ἄχρι καὶ βαιόν. cf. Lob. Rhem. 56.

ad fr. *609. Extrema verba Herodiani sententiam continere apparet ex E. M. 748, 44 ὁ Ἡρωδιανὸc φηcι γίνεcθαι διάφορα ὀνόματα ἀπὸ ῥημάτων ὡc παρὰ τὸ νέω τὸ πορεύομαι νεόc (scr. νέοc) καὶ νόοc καὶ παρὰ τὸ θέω θεόc καὶ θοόc. Lob. Rhem. p. 71 hanc vocis τεῖχοc, cum qua componit etiam τοῖχοc, originationem probat, Eustath. loco modo citato proponit ex eodem, ut videtur, fonte, ἐκ τοῦ δεύω δεύcω δεῖcα ἡ ὑγραcία καὶ ἐκ τοῦ χεύματοc ὁ χειμών.

ad fr. *610. cf. Eustath. ad Hom. 304, 14: ὁ τὰ ἐθνικὰ ἐκθέμενοc Ὑρμίναc δύο εἶναί φηcιν ἀπὸ Ὑρμίνηc, τὰc ὕcτερον διὰ τοῦ ο κληθείcαc. Pro Ὁρμίναc δὲ Mein. probabiliter Ὁρμινεῖc suspicatur.

ad fr. *613. cf. Theogn. 103, 11 τρίττοια ἡ θυcία, quod est τριττύα Lob. El. II 25 not. 5.

ad fr. *614. Theogn. l. c. habet χαίρω χαρῶ χορόc τροπῇ τοῦ ω εἰc ο, ubi collato E. M. loco exciderunt post χαρῶ — χαρόc καὶ et post χορὸc ἢ παρὰ τὸ

καὶ χορός ἢ ἐκ τοῦ χῶρος ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον τροπῇ τοῦ ω̄ εἰς ō.

*615.

Choer. 277, 25: τὸ Ἄπολλον Αἰολικῶς συστέλλει τὸ ω̄ εἰς τὸ ō κατὰ τὴν κλητικήν· τὸ δὲ Ποσείδαον (Ξ 357) ψευδαιολικόν ἐστιν καὶ οὐ κυρίως Αἰολικόν, ἐπειδὴ οὐκ ἴσασιν οἱ Αἰολεῖς ἐπὶ ταύτης τῆς λέξεως εἰς ω̄ν̄ τὴν εὐθεῖαν, ἀλλ' εἰς ᾱν̄· Ποτιδάν γὰρ λέγουσιν.

*616.

St. B. 539, 14: Πυθῶθεν διὰ τοῦ ω̄ ὡς Κριῶθεν καὶ μετὰ συστολῆς Πυθόθεν ὡς Λεσβόθεν.

*617.

Ep. Cr. I 46, 16, E. Orion. 28, 11, An. Par. III 329, 9: ἀμύμων: ὁ μὲν Φιλόξενος παρὰ τὸ μύω μύσω μύμων καὶ κατὰ στέ-

---

[614ᵃ]

Arcad. 135, 15: ὅτε κατὰ διάλεκτον ἡ γενικὴ τροπὴν ὑπομένει τοῦ ω̄ν̄ εἰς ᾱν̄, περισπᾶται κυανεᾶν ἀμφοτερᾶν.

[614ᵇ]

Mon. 10, 17: οὐδὲν περισπώμενον ὑπὲρ δύο συλλαβὰς τρέπει τὸ ω̄ εἰς ᾱ παρ' Αἰολεῦσιν ἢ Δωριεῦσι· τὸ δέ γε Ποσειδῶν ἐτράπη· Ποσειδάν γὰρ λέγεται.

[614ᶜ]

Il. Pr. I 393: σόωσι: Τυραννίων προπερισπᾷ ὡς νοῶσιν — Ἀπίων δὲ διὰ τοῦ ᾱ γράφει· — ἡ δὲ πλείων χρῆσις, ὧν ἐστι καὶ ὁ Ἀσκαλωνίτης, ὡς σώζωσι, καὶ δῆλον ὅτι τοῦ σώωσι συστολὴν αὐτοὺς δεῖ παραδέξασθαι. πρόδηλον κἀκ τῆς μετοχῆς «τὼ δ' ἑτέρω ἑκάτερθεν ἴτην σώοντες ἑταίρους» (Od. ι 430).

[614ᵈ]

Il. Pr. A 363: εἴδομεν: προπαροξύνεται τὸ εἴδομεν ἀπὸ βαρυτόνου τοῦ εἴδω. οὐ θαῦμα δέ, εἰ τὸ αὐτὸ καὶ ὡς βαρύτονον καὶ ὡς περισπώμενον κλίνει. ἢ ὅτι ἀνθ' ὑποτακτικοῦ ἐστι καὶ ἡ συστολὴ ἀνέδωκε τὸν τόνον· οὐ γὰρ παροξύνομεν κατὰ τὸν Πάμφιλον.

[617ᵃ]

Arcad. 10, 5: τὰ εἰς ῡν λήγοντα βαρύνεται ἐξαιρέτως παρὰ τοῖς Αἰολεῦσι, Φόρκυν, Πόλτυν, Γόρτυν, τέκτυν ὁ τέκτων.

χῶρος. Χῶρος ipsum Herod. ap. St. B. 699, 7 duxit ut χθών et χώρα παρὰ τὸ χῶ ῥῆμα. De dictione ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον cf. Lehrs ad Mon. 39, 13. Tertiam originationem, quae in E. M. (Choer. Ep. in Psalm. 188, 19) proponitur ἢ παρὰ τὸ χείρ χερός χορός, ut ab Herodiano alienam praetermisi. Herodianum exscripsit etiam Epimerista in Cram. An. Ox. II 424, 3: χορός: ἐκ τοῦ χῶρος, ὃ σημαίνει τὸν τόπον, ἀπὸ τοῦ περιέχοντος τὸ περιεχόμενον· ἐκ τοῦ οὖν χῶρος, ὃ σημαίνει τὸν τόπον κατὰ συστολὴν τοῦ ω εἰς ο καὶ καταβιβάσει τοῦ τόνου χορός ὁ λαός ὁ περιεχόμενος ὑπὸ τοῦ τόπου.

ad fr. [614ᶜ]. cf. ὅρμενος, si quidem ex ὡρμένος natum est, supra fr. 237, νένοται pro νένωται supra fr. 240.

ρηϲιν ἀμύμων ὁ μὴ ἀνακεκλιμένοϲ· οἱ δὲ παρὰ τὸ μῶμοϲ κατὰ ϲτέρηϲιν ἄμωμοϲ ἀμύμων παραϲύνθετον· τὸ δὲ ω̄ εἰϲ ῡ ὡϲ τὸ χελώνη χελύνη παρὰ Σαπφοῖ.

618.

St. B. 638, 13: Τροία ἀπὸ Τρωόϲ κατὰ Βοιωτοὺϲ ἢ μᾶλλον ὡϲ Βοιωτιακόν, ὡϲ Ἡρωδιανόϲ.

*619.

St. B. 290, 10: ἔϲτι καὶ Ἐφύρη Κράννουν λεγομένη, ὥϲ φηϲι Κινέαϲ ὁ ῥήτωρ β' περὶ Θεϲϲαλίαϲ καὶ Ἐπαφρόδιτοϲ.

620.

E. M. 723, 17: ϲπέργυϲ: παρὰ τὸ πρέϲβυϲ τροπῇ τοῦ β̄ εἰϲ γ̄ πρέϲγυϲ καὶ ὑπερθέϲει ϲπέργυϲ. περὶ παθῶν.

*621.

St. B. 3, 20: Ἀβαντίϲ: τὸ Ἀβαντία θηλυκὸν τοῦ Ἀβάντιοϲ κατὰ βαρβαρικὴν τροπὴν τοῦ β̄ εἰϲ μ̄ Ἀμαντία ἐλέχθη παρὰ Ἀντιγόνῳ ἐν Μακεδονικῇ περιηγήϲει. Καλλίμαχοϲ δὲ Ἀμαντίνην ὡϲ Λεοντίνην αὐτὴν ἔφη «καὶ Ἀμαντίνην ᾤκιϲαν Ὠρικίην».

*622.

Zon. 1496: παῖϲ: ὁ Ἡρωδιανόϲ· παρὰ τὸ βαιόν γίνεται βάϊϲ καὶ πάϊϲ κατὰ τροπὴν τοῦ β εἰϲ π, ἐκ δὲ τοῦ πάϊϲ γίνεται κατὰ ϲυναίρεϲιν παῖϲ.

*623.

St. B. 5, 1: Ἀβαρνίϲ πόλιϲ καὶ χώρα καὶ ἄκρα τῆϲ Παριανῆϲ. — εὕρηται δὲ καὶ διὰ τοῦ π̄ Ἀπαρνίϲ, ὡϲ παρὰ Ἀρτεμιδώρῳ τῷ γεωγράφῳ.

[618ᵃ]

Choer. 333: λέγει ὁ Ἡρωδιανόϲ, ὅτι ἐϲτὶ τὴν Σαπφών καὶ τὴν Λητών ἡ αἰτιατικὴ καὶ κατὰ τροπὴν Ἰωνικὴν τοῦ ω̄ εἰϲ οῑ δίφθογγον γίνεται τὴν Σαπφοῖν καὶ τὴν Λητοῖν.

[618ᵇ]

Io. Al. 36, 7: τὸ ἁρμοῖ ϲυμπεριϲπᾶται τῷ ἁρμῷ· τὰ δὲ ἀπὸ βαρυτόνων βαρύνεται ἔξω ἔξοι.

ad fr. 618. Meinekius ad h. l. pro ὡϲ Βοιωτιακὸν legi vult ἢ μᾶλλον ὡϲ κλοιόϲ Ἰακόν. Sed fortasse significare voluit Herodianus Τροία ex Τρωῖα natum non vere Boeoticum esse ut αἰδοῖοϲ pro αἰδῷοϲ, sed quasi vel Pseudoboeoticum. cf. Ahrens de dial. Aeol. p. 193. Similem notationem invenies etiam ap. Orion. 154, 23: Τροία: Βοιωτικὸν ὄνομα. Τρὼϲ Τρωόϲ, Τρωῖα καὶ Τροία.

ad fr. *619. cf. supra fr. 50 Θούμαιον pro Ἰθώμη.

ad fr. 620. cf. Choer. 234, 25: τὸ πρέϲβυϲ παρὰ Δωριεῦϲι κατὰ τροπὴν τοῦ β̄ εἰϲ γ̄ εὕρηται πρέϲγυϲ.

ad fr. *621. cf. Hes. Ἄμαντοι: ἔθνοϲ Ἠπειρωτικόν. E. M. 76, 54 Ἄμαντεϲ.

ad fr. *622. Sic pro παρὰ τὸ βαίνειν γίνεται βαῖϲ καὶ παῖϲ κατὰ τροπὴν τοῦ β̄ εἰϲ π scripsi ex Ep. Cr. I 369, 33, E. M. 657, 40, ubi auctoris nomen deest.

ad fr. [618ᵃ]. de ἀγκοίνη ex ἀγκώνη verso cf. Theogn. p. 114.

ad fr. [618ᵇ]. cf. E. M. 144, 48 et 663.

624.

E. M. 224, 42: Γαριμᾶς ἐκ τοῦ Μαρικᾶς ἢ ἐκ τοῦ Γαριμᾶς τὸ Μαρικᾶς· βάρβαρον δὲ τὸ ὄνομα καὶ ἡ κλίσις καὶ ὁ τόνος. Ἡρωδιανὸς περὶ παθῶν.

*625.

E. M. 371, 19: ἐρεχμός καὶ ἐρεγμός. παρὰ τὸ ἐρεύγω ἐρευγμός, ὃς λέγεται καὶ ἐρεγμός· δοκεῖ δὲ ταῦτα παρὰ τοῖς Αἰολεῦσιν ἐκφέρεσθαι διὰ τοῦ χ̄, διωχμόν γὰρ λέγουσι καὶ ληχμόν, ὡς Ἀντίμαχος «ληχμὸν δ' ἐμπάζεσθαι ἀλεείνων».

*626.

St. B. 459, 8: Μυγδονία, μοῖρα Μακεδονίας. — ἐλέγετο καὶ Μυχθονία.

*627.

E. M. 168, 36: αὐδή ἡ φωνή παρὰ τὸ αὐγή κατὰ τροπήν, δι' ἧς αὐγάζεται καὶ φωτίζεται τὸ τοῦ νοῦ· Ἀπολλώνιος δὲ παρά τὸ αὔω τὸ φωνῶ, ὅπερ ἐν διαιρέσει ἀΰω λέγεται, καὶ ἐξ αὐτοῦ αὐτή καί τροπῇ αὐδή.

*628.

St. B. 489, 17: Ὀλιζών πόλις Θετταλίας. ὠνομάσθη δὲ ἀπὸ τοῦ

[627ᵃ]

E. Orion. 46, 18: Δημήτηρ· τροπῇ τοῦ γ εἰς δ οἷον γημήτηρ τις οὖσα· ἢ παρὰ τὸ δηόω γῆν καὶ τέμνειν ἐν τῇ ἀρόσει.

[628ᵃ]

E. Or. 151, 16: τάριχος: παρὰ τὸ ἐν τῇ ταριχείᾳ ἰσχναίνεσθαι ἢ παρὰ τὸ γάρρον ἴσχειν ἢ καὶ γάρρον ἐξιχωρίζεσθαι. οὕτως Ἡρωδιανὸς ἐν τῷ συμποσίῳ. καὶ ἔστι τροπῇ τοῦ γ̄ εἰς τ̄.

[628ᵇ]

E. Or. 162, 18: φάτνη παρὰ τὸ φάγνη καὶ τροπῇ τοῦ γ̄ εἰς τ φάτνη· οὕτως Ἡρωδιανὸς ἐν τῷ συμποσίῳ.

---

ad fr. 624. pro exemplo γ̄ in κ̄ mutati Ep. Cr. I 33, 18 (cf. Schol. ad Hesiod. Theog. v. 98) affertur τὸ κῆρυξ ἐκ τοῦ γῆρυς.

ad fr. *625. Supra fr. 236 (E. M. 151, 40) ἄρχμενος· ὤφειλεν ἄργμενος, φυλάξαν δὲ τὸ χ̄ δοκεῖ Ἰωνικὸν εἶναι καθὸ καὶ τὸ ἔργμα ἔρχμα φασίν. — E. M. 287, 25 δραχμὴ παρὰ τὸ δέδραγμαι. Ex eodem fonte Orion p. 34, 19: βρεχμὸς: παρὰ τὸ βρέχω βρέξω βρεγμός ὡς παρὰ τὸ ἔχω ἕξω ἐχμὸς καὶ συνοχμός.

ad fr. *626. Ob diversam etymologiam Μυκάλη et Μυχάλη dicebatur St. B. p. 459, 16 Μυκάλη πόλις Καρίας. — ἐκλήθη δὲ ἐπεὶ αἱ λοιπαὶ Γοργόνες ἐπὶ τόκῳ (ἐπ' οἴκτῳ Mein.) μυκώμεναι τὴν κεφαλὴν Μεδούσης ἀνεκαλοῦντο. οἱ δὲ Μυχάλην αὐτήν φασι, ἐπεὶ ἐν μυχῷ κεῖται τῆς Καρικῆς ἁλός.

ad fr. *627. Ex fr. 364 et E. M. 792, 34 Herodianum φθέγγεσθαι a φέγγος παρὰ τὸ εἰς φῶς ἄγειν τὰ τοῦ νοῦ duxisse comperimus, quare a vero non aberrabimus, si nostrum locum eidem auctori assignamus, praesertim quum ex Herodiani more etiam antecessoris sententia proferatur.

ad fr. *628 cf. supra fr. 575 πεφυζότες.

---

ad fr. [627ᵃ]. Herodiani esse ex fr. 110 suspicari licet.

ad fr. [628ᵃ]. Urbs Γάβιοι πόλις Λατίνων St. B. 192, 6 appellatur p. 597, 19 Γάβιοι πόλις Λατίνων.

μικρὰ εἶναι. Θεϲϲαλοὶ γάρ, ὡϲ ἱϲτορεῖ Δημοϲθένηϲ ἐν κτίϲεϲι, τὸ μικρὸν ὄλιζον καλοῦϲιν.

*629.

E. M. 200, 27: βλῆρ Αἰολικῶϲ τὸ δέλεαρ· οἱ Αἰολεῖϲ τὸ δ̄ εἰϲ β̄ τρέπουϲι· τοὺϲ γὰρ δελφῖναϲ βελφῖναϲ φαϲι καὶ τοὺϲ Δελφοὺϲ Βελφούϲ· οὕτωϲ οὖν δέλεαρ βέλεαρ καὶ κατὰ ϲυγκοπὴν καὶ ϲυναλοιφὴν βλῆρ πεποίηται. οὕτω καὶ οἱ Βοιωτοὶ ποιοῦϲιν.

*630.

Ep. Cr. I 339, 9: πέζη «πέζῃ ἔπι πρώτῃ» (Ω 272) παρὰ τὸ πέδον πέδη καὶ πέζη, τὸ κοινὸν πέζα, τὸ Ἰωνικὸν πέζη. ἔχει δὲ ϲυγγένειαν τὸ δ̄ πρὸϲ τὸ ζ̄· ζυγὸν γὰρ κατὰ τροπὴν ἐκ τοῦ δυγόν τὸ δύο ἄγον καὶ αὐτὸ τὸ ῥῆμα ζεύγω καὶ ζεύξω παρὰ τὸ δύο ἄγειν ὑπὸ τὸ αὐτό, τοῦτο γὰρ κυρίωϲ ϲημαίνει· τρέπεται δὲ ζ̄ εἰϲ δ̄ ὀλοφύζω ὀλοφυδνόϲ, παίζω παιδνόϲ.

631.

E. Or. 99, 26: E. Gud. 383, 14, E. M. 575, 10: μέζεα τὰ αἰδοῖα, ὅτι μέϲα εἰϲὶ τῆϲ οὐρᾶϲ, μέϲεα ὄντα· Ἡϲίοδοϲ (Op. 510) «οὐρὰϲ δ' ὑπὸ μέζε' ἔθεντο». Cικελοὶ δὲ καὶ Ταραντῖνοι μέϲα αὐτὰ καλοῦϲι· ἢ κατὰ μετάθεϲιν τοῦ δ̄ εἰϲ ζ̄ μέδεα ὡϲ καὶ Ἀρχίλοχοϲ «ἶναϲ δὲ μεδέων ἀπέθριϲεν» καὶ μέζεα.

---

ad fr. *629. cf. Hesych. s. v. Ahrens de dial. Aeol. 41 not. 5, Lob. Parall. 75.

ad fr. *630. In fine posui pro τρέπεται δὲ δ̄ εἰϲ ζ̄: ζ̄ εἰϲ δ̄, quod et loci intellectus desiderat (dicitur enim et δ̄ transire in ζ̄ et versa vice) et Herodiani doctrina ab Eustath. 1868, 33 τοῦ ὀλοφυδνόν ὀλοφύζω ἐϲτὶ πρωτότυπον κατὰ Ἡρωδιανόν servata, cf. eundem 1900, 3 de παιδνὸϲ a παίζω propagato. Lob. Rhem. 161.

ad fr. 631. verba Archilochi accesserunt ex codd. Paris. ap. Bekk. An. 1438. (E. Gud. 390, 48.) Haec Herodiani notatio inter Sorani etymologias irrepsit pariter atque statim μάγειροϲ. Longum de δ̄ in ζ̄ mutatione adnotamentum habet Eustath. 153, 22 maximam quidem partem ex Herodiano depromptum sed cum alienis commixtum: τὸ ἐριδμαίνω ἀπὸ τοῦ ἐρίζω παράγεται, τραπέντοϲ καὶ ἐνταῦθα τοῦ ζ εἰϲ δ κατὰ ϲυγγένειαν, καθὰ καὶ ἐν τῷ ἕζω ἕδοϲ, ῥέζω ἔρδω, ϲκύζω ϲκυδμαίνω ὥϲπερ καὶ ἐριδμαίνω· εὕρηται γὰρ ἐν χρήϲει καὶ τοῦτο· ἰϲτέον δὲ ὅτι οὐ μόνον τὸ ζ εἰϲ δ μεταποιεῖται, ὡϲ ἐν τοῖϲ ῥηθεῖϲι καὶ ἐν τῷ ἐρίζω ἐρίϲδω καὶ τοῖϲ ὁμοίοιϲ Δωρικοῖϲ, ἀλλὰ καὶ ἔμπαλιν τὸ δ εἰϲ ζ ὡϲ ἐν τῷ ἀρίδηλοϲ ἀρίζηλοϲ ἀϲτὴρ καὶ ἐν τοῖϲ εἰϲ ζ̄ε̄ λήγουϲιν ἐπιρρήμαϲιν. ὡϲ γὰρ ἔϲτι τὸ οἴκαδε, οὕτω καὶ Ἀθήναδε, Θήβαδε, ἔραδε τὸ εἰϲ ἔραν ἤτοι γῆν. τροπῇ δὲ τοῦ δ γέγονεν Ἀθήναζε, ἔραζε. τὸ δὲ αὐτὸ καὶ ἐν τοῖϲ ὁμοίοιϲ ἰϲτέον δὲ ὅτι κοινῶϲ παραδείγματα τῆϲ εἰϲ ἄλληλα μεταχωρήϲεωϲ τοῦ δ καὶ τοῦ ζ καὶ τὸ κνίζα κνίδη, ἁρμόζω ἁρμόδιον, φράζω ἀριφραδὲϲ καὶ φράδμων, ζα ἐπιτατικὸν δα, ἴζμεν κατὰ τοὺϲ παλαιοὺϲ ἴδμεν, εἰ καὶ οἱ ὕϲτερον ἐπέκριναν μὴ εὑρίϲκεϲθαι ἐν ϲυλλήψει πρὸ ἀμεταβόλου διπλοῦν ϲύμφωνον, πέδον πεζόϲ, ὄζω, οὗ μέϲοϲ παρακείμενοϲ ὄζωζα καὶ οδωδα, ὥϲπερ καὶ χάζω κέχαδα, χλάζω κέχλαδα παρὰ Πινδάρῳ, πεδοῖ παρὰ Αἰϲχύλῳ, τὸ δ' αὐτὸ καὶ πεζῇ, δεύω τὸ βρέχω Δεὺϲ καὶ Ζεύϲ ὁ ἀήρ, ὀκλάζω ὀκλαδίαϲ δίφροϲ, ἕζω ἑδώλιον ἡ τῆϲ νηὸϲ κληῒϲ ἐκ δὲ τοῦ αὐτοῦ καὶ ἕδρα καὶ ἱδνῶ καὶ ἱδρύω καὶ ἀΐδιοϲ ὁ μὴ ἵζων ἀλλὰ βέβαιοϲ καὶ ϲτάϲιμοϲ· ὄζω ὀδμή, ζήμιοϲ δήμιοϲ ὁ ζημιῶν τοὺϲ κολαζομένουϲ, κλύζω κλύδων, μέρζω ϲμερδαλέον καὶ ϲμερδανόν, μήδεα μέζεα τὰ αἰδοῖα, ἀδιεχέϲ· οὕτω δὲ καὶ μαδόϲ μαζόϲ. — De ἀίζηλοϲ pro ἄδηλοϲ cf. supra fr. 179.

*632.

St. B. 120, 14: τὸ πατρωνυμικὸν (sc. τοῦ Ἀρκάς) Ἀρκαcίδαι. ὤφειλεν οὖν Ἀρκαδίδηc, ἀλλὰ διὰ τὸ κακόφωνον οὕτωc ἐγένετο.

*633.

E. M. 412, 1: τὸ ζ̄ διαλύουcιν οἱ Δωριεῖc εἰc c̄ καὶ δ̄ ζυγόc cδυγόc, ζευκτῆρεc cδευκτῆρεc, θερίζω θερίcδω, cυρίζω cυρίcδω. Θεόκριτοc «ἃ ποτὶ ταῖc παγαῖcι μελίcδεται» (I 2).

*634.

Choer. Dict. 210, 3: τὸ ζ̄ εἰc δ τρέπουcιν οἱ Βοιωτοὶ οἷον Ζῆθοc Δῆθοc, οὕτωc καὶ Ζεύc Δεύc.

*635.

E. M. 316, 57: ἕδοc παρὰ τὸ ἕζω τὸ καθέζομαι κατὰ τροπὴν Δωρικὴν τοῦ ζ̄ εἰc δ οἷον ζυγόc δυγόc καὶ ζωμόc δωμόc.

*636.

St. B. 319, 19: Θύμβρα, πόλιc Τρῳάδοc. οὗ ποταμὸc Θύμβριc, ἀφ' οὗ Ἀπολλωνίου Θυμβραίου ἱερόν. λέγεται καὶ διὰ τοῦ ζ̄ Ζυμβραῖοc. λέγεται καὶ Θύμβριοc. Ἑλλάνικοc δὲ Δύμβριόc φηcι διὰ τοῦ δ καὶ Δυμβριεύc.

*637.

Choer. 761, 1: τότε τρέπεται τὸ θ εἰc τ ἐν τοῖc εἰc θι προcτακτικοῖc, ἡνίκα προηγεῖται ἕτερον θ̄ οἷον τύφθηθι τύφθητι, λέχθηθι

[632a]

Choer. 589, Cram. An. Ox. III 398: κατὰ τὸν Ἡρωδιανὸν ἔδει ἀπὸ τοῦ δείδω εἶναι δέδοιδα τὸν μέcον παρακείμενον· ἀλλὰ διὰ τὸ μὴ χρῆναι τρία παράλληλα δ̄ παραλαμβάνεcθαι (τὸ γὰρ τοιοῦτο ψελλιcμῷ, φηcίν, ὑποπίπτει) ἀντειcῆλθε τοῦ τρίτου δ̄ τὸ κ̄ τοῦ ἐνεργητικοῦ παρακειμένου τοῦ δείδω δείcω δέδεικα, ὃc ἐcιγήθη διὰ τὸ τοῦ μέcου παρακειμένου πολύχρηcτον.

---

ad fr. *633. cf. supra fr. 381, ubi Herodianus ἀχνάcδημι ex ἀχάζω cum ν̄ pleonastico propagat.

ad fr. *634. cf. Mon. 6, 16 Ζεύc ὑπὸ Βοιωτῶν Δεύc καὶ Δάν. Ab Herodiano profectum videtur etiam E. Or. 28, 23: ἀποcκύδμαινε (Ω 65): cκύζω ἐcτὶ ῥῆμα, οὗ ὄνομα ῥηματικὸν cκύδοc ἡ λοιδορία· καὶ ὡc παρὰ τὸ ἄζω ἀζαίνω, Cώφρων «ἐγὼ δὲ cίτου μὲν οὐδὲν ἀζαίνομαι», καὶ Ἰωνικῶc παρ' Ὁμήρῳ (λ 587) «καταζήναcκε δὲ δαίμων». οὕτω καὶ cκύζω cκυζαίνω καὶ ἐνθέcει τοῦ μ̄ καὶ τροπῇ τοῦ ζ̄ εἰc δ διὰ τὴν ἀcυνταξίαν τοῦ μ̄ καὶ ζ ἐγένετο cκυδμαίνω. ἐρίζω ἐριζαίνω καὶ τῷ αὐτῷ λόγῳ ἐριδμαίνω. cf. Eustath. ad fr. 631 citatum. E. Or. 64, 10 ἔρδω: παρὰ τὸ ῥέζω τροπῇ τοῦ ζ εἰc δ καὶ μεταθέcει τοῦ ρ̄ cf. fr. [8a].

ad fr. *635 Quod hic dicitur ζυγόc in δυγόc mutari, non repugnat fr. 630, ubi ζυγόν ex δυγόν ortum esse traditur, nam hoc ad usum, illud ad ortum spectat. cf. E. M. 411, 53. — Tropen literae ζ̄ in δ sumpsit Herodianus in Cathol. ap. Theogn. 52 in ῥέζω ἔρδω.

ad fr. *637. cf. Choer. 762, 3 φαcί τινεc ὡc οὐκ ὤφειλε τραπῆναι τὸ θ̄ εἰc τὸ τ ἐν τῷ τύφθητι· οὐ γὰρ πάντωc τρέπεται, ὅτε ἐπαλληλία τῶν δαcέων ἐcτίν· ἰδοὺ γὰρ ἐcτιν «ἀπέφθιθον ἐcθλοὶ ἑταῖροι» (ε 110) καὶ ὅμωc οὐκ ἐτράπη τὸ θ̄ εἰc

λέχθητι, νύχθηθι νύχθητι, ἡνίκα δὲ μὴ προηγεῖται ἕτερον θ, οὐ τρέπεται τὸ θ εἰς τ οἷον φάθι ἀντὶ τοῦ εἰπέ ὡς παρ' Ἀριστοφάνει ἐν Ἱππεῦσι (23) «αὐτὸ φάθι».

*638.

Choer. 884, 6: ἐθέθην ὤφειλεν εἶναι ὁ παθητικὸς πρῶτος ἀόριστος, ἀλλὰ διὰ τὴν κακοφωνίαν τῆς ἐπαλληλίας τοῦ δασέος θ τροπὴ παρηκολούθησε τοῦ πρώτου θ εἰς τ καὶ γέγονεν ἐτέθην ὥσπερ τὸ τέθυμαι ἐθύθην καὶ ἐτύθην. εἰ δέ τις εἴποι, διατί γὰρ τὸ πρῶτον θ ἐτράπη καὶ μὴ τὸ τελευταῖον; λέγομεν ὅτι οὐκ ἠδύνατο τὸ τελευταῖον θ τραπῆναι, ἐπειδὴ ὁ πρῶτος ἀόριστος ὁ παθητικὸς εἰς θην θέλει λήγειν οἷον ἐτύφθην.

*639.

Ep. Cr. I 429, 25: φηρσίν (Α 268) ἀντὶ τοῦ θηρσί κατὰ μετάθεσιν τοῦ θ εἰς φ ὡς καὶ τὸ θλᾶν φλᾶν.

*640.

St. B. 390, 8: Κύδνα πόλις Μακεδονίας, ἢ κατὰ παραφθορὰν Πύδνα λέγεται.

*641.

St. B. 369, 16: αἱ Κλαζομεναί ὕστερον μετωνομάσθησαν Πλαζομε-

[640ᵃ]

Choer. 611, 35: οἱ Βοιωτοὶ τὸ ἤνεγκα ἤνειγξα λέγουσι, διὰ τῆς ει διφθόγγου τὴν παραλήγουσαν ποιοῦντες· περὶ δὲ τοῦ τὴν λήγουσαν διὰ τοῦ ξ εἶναι λέγομεν ὅτι ἢ πρὸς ἀναλογίαν τοῦ μέλλοντος τοῦτο πεποιήκασιν, ἐνέγξω γάρ ἐστιν ὁ μέλλων διὰ τοῦ ξ ἢ ἀπὸ τοῦ ἤνεγκα γίνεται κατὰ τροπὴν Βοιωτικὴν τοῦ κ εἰς ξ· ἔθος γὰρ ἔχουσιν οἱ Βοιωτοὶ τρέπειν τὸ κ εἰς ξ ὡς Ἀριστοφάνης δηλοῖ ἐν Νεφέλαις (343) λέγων «εἴξασι γοῦν ἐρίοισι πεπταμένοισιν»· τοῦτο γὰρ τὸ εἴξασι κατὰ Βοιωτοὺς γέγονε τροπῇ τοῦ κ εἰς ξ, εἴκασι γάρ ἐστιν ἀντὶ τοῦ ἐοίκασιν ἀπὸ τοῦ εἴκω θέματος τοῦ σημαίνοντος τὸ ὁμοιῶ.

τ διὰ τὴν ἐπαλληλίαν τῶν δασέων. ἔστιν οὖν εἰπεῖν, ὅτι ὥσπερ κακόν ἐστιν ἡ κλοπὴ καὶ ὅμως οἱ μὲν φεύγουσιν αὐτήν, οἱ δ' οὔ, οὕτως κακόφωνον μὲν ποιεῖ τὴν λέξιν ἡ ἐπαλληλία τῶν δασέων καὶ ὅμως τινὰ μὲν φεύγοντα αὐτὴν τρέπουσι τὸ θ εἰς τὸ τ, τινὰ δὲ μὴ φεύγοντα αὐτὴν οὐ τρέπουσι τὸ θ εἰς τ ὡς τὸ ἀπέφθιθον cf. 636, 4 seqq.

ad fr. *641. Verba sic transposui, ut Κλαζομεναί, quod in fine locum habet, in principium transmigraverit.

---

ad fr. [640ᵃ]. In Mon. 45, 13 εἴξασι· οὐδεὶς παρακείμενος τρίτον πρόσωπον εἰς σι ἔχει τὴν πρὸ τέλους συλλαβὴν διὰ τοῦ ξα, ἀλλὰ μόνον τὸ εἴξασι «τοῖς βιβλίοις εἴξασι» nihil de affectione ut in aliis permultis αἴτιον δὲ τὸ πάθος additum est, sed suspicari licet Herodianum hanc abnormem formam sic expedivisse ut Choeroboscus, quamquam Ahrens de dial. Aeol. p 174 hanc Boeoticam male a grammaticis fictam esse inde contendit, quod praepositio ἐξ contraria ratione ξ in σ mutat. Nam scimus Herodianum non semper rectum perspexisse.

ναί, ὡς ἀπὸ τῆς Αὐλῶνος Καυλωνία καὶ ἀπὸ Μετάβου ἥρωος τὸ Μεταπόντιον καὶ Ἐπίδαυρος Ἐπίταυρος.

*642.

St. B. 64, 20: Ἀκτή: ἔστι Ἀττικός καὶ Ἀττικὴ κατὰ τροπὴν διὰ τὴν εὐφωνίαν.

643.

E. M. 274, 45: Διθύραμβος ὁ Διόνυσος· ἐπίθετόν ἐστι τοῦ Διονύσου· ὅτι ἐν διθύρῳ ἄντρῳ τῆς Νύσσης ἐτράφη· καὶ ὁμωνύμως τῷ θεῷ ὁ εἰς αὐτὸν ὕμνος· ἢ ἀπὸ τοῦ δύο θύρας βαίνειν, τήν τε κοιλίαν τῆς μητρὸς Σεμέλης καὶ τὸν μηρὸν τοῦ Διός ἀπὸ τοῦ δὶς τετέχθαι, ἅπαξ μὲν ἀπὸ τῆς μητρός, δεύτερον δὲ ἀπὸ τοῦ μηροῦ τοῦ Διός, ἵν' ᾖ ὁ δὶς θύραζε βεβηκώς. Πίνδαρος δέ φησι λυθίραμβον· καὶ γὰρ Ζεὺς τικτομένου αὐτοῦ ἐπεβόα «λῦθι ῥάμμα, λῦθι ῥάμμα», ἵν' ᾖ λυθίραμμος καὶ διθύραμβος κατὰ τροπὴν καὶ πλεονασμόν. Ἡρωδιανὸς δέ φησι τὰ προστακτικὰ μὴ συντίθεσθαι.

644.

E. M. 503, 47: Κένται: ἔστι διαλέκτου. ὡς γὰρ τὸ παρ' ἡμῖν φίλτατον φίντατον καὶ δέλτα δέντα, οὕτω Κέλται καὶ Κένται. περὶ παθῶν.

*645.

Ep. Cr. I 235, 22, E. M. 544, 1: κύκνος γίνεται παρὰ τὸ κλῶ τὸ φωνῶ· κρακτικὸν γάρ ἐστι τὸ ζῷον ὡς καὶ χήν· ἐκ τοῦ κλῶ οὖν παραγωγὸν καὶ ἐξ αὐτοῦ ὄνομα ῥηματικὸν κλύκος καὶ ὑπερθέσει καὶ μεταθέσει τοῦ λ̄ εἰς ῡ κύκνος.

*646.

St. B. 506, 10: Παρνασσός ὄρος Δελφῶν. — ἐκαλεῖτο δὲ πρότερον Λαρνασσός διὰ τὸ τὴν Δευκαλίωνος λάρνακα αὐτόθι προσενεχθῆναι.

647.

E. M. 538, 42: κρίκος: παρὰ τὸ κλείω κατὰ ἀποβολὴν τοῦ ε̄ κλίκος ὁ πάντοθεν περικεκλεισμένος· καὶ τροπῇ τοῦ λ̄ εἰς ρ̄ κρίκος ὡς

---

ad fr. *642. cf. E. Orion. 29, 26: Ἀττική παρὰ τὴν ἀκτήν. παραθαλασσία γάρ ἐστιν ὡς Κρήτη Κρητική.

ad fr. 643. cf. Bergk ad Pindar. fr. 62. Quamquam Herodiani mentio etiam ab alio grammatico originationem vocis a λῦθι ῥάμμα improbante iniecta esse potest, tamen ab ipso Herodiano etymon ὁ δὶς θύραζε βεβηκώς acceptum videtur. Nam similiter in Symposio E. Or. 89, 2 κάραβος παρὰ τὸ κάρᾳ βαίνειν et ἐν τῷ περὶ σχημάτων E. M. 137, 32 Αἴγισθος ἀπὸ τοῦ θῶ τὸ θηλάζω repetit.

ad fr. 644. libri titulum addit Cod. Paris. 2638.

ad fr. *645. Comparato fr. 647 non dubitandum, quin etiam hoc Herodiani sit. Omisi quae sunt in fine ἢ ἀπὸ τοῦ κύκλος, ut ex alio fonte addita.

ad fr. *646. cf. E. M. 655, 5 Παρνασός, ὄρος ἐστὶ Δελφῶν ἀπὸ Παρνασοῦ ἥρωος· Ἄνδρων δέ φησιν, ἐπειδὴ προσώρμισεν ἡ λάρναξ τοῦ Δευκαλίωνος. καὶ τὸ μὲν πρότερον Λαρνησσός ἐκαλεῖτο, ὕστερον δὲ κατ' ἐναλλαγὴν τοῦ λ̄ εἰς π̄ Παρνασός. Schol. ad Apoll. B 711.

ad fr. 647. Herodiani nomen accessit ex cod. Paris. 2631 in Cr. An. Paris. IV 46. Quae de accentu adiuncta sunt, ex Catholica deprompta cum hoc ad-

ἄλγος ἀλγαλέος καὶ ἀργαλέος. ἔστι δ' ὅτε καὶ ἐν ὑπερθέσει γίνεται κίρκος «ῥήξαςα κίρκους» παρὰ Σοφοκλεῖ ὥσπερ τὸ κερκίς· παρὰ τὸ κρέκειν γάρ· καὶ ὡς καρδία κραδία. Ἡρωδιανός.

648.

E. M. 655, 9: παρρησία: οἱ μὲν ἀπὸ τοῦ παντορησία κατὰ συγκοπήν, ὅπερ ἐστὶν ἄτοπον. ἀλλὰ παρὰ τὸ πᾶν γίνεται· συγκοπὴ γὰρ οὔ, ἀλλὰ τροπῇ ἡ πάντα ἐν ῥήσει ἔχουσα καὶ λέγουσα. περὶ παθῶν.

*649.

Choer. 281, 25: ὁ δελφὶς ὁ Τελχὶς οὐ καταλήγουσι φύσει εἰς ς, ἀλλ' εἰς ν, τροπῇ δὲ ἐγένετο τοῦ ν εἰς ς κατὰ Δωρικὴν διάλεκτον ὥσπερ ἦν ἧς, εἴρπομεν εἴρπομες ὡς παρὰ Θεοκρίτῳ (7, 1) «ἧς χρόνος» καὶ παρὰ τῷ αὐτῷ (7, 2) «εἴρπομες ἐκ πόλιος». καὶ οὕτω λοιπὸν ἀπετελέσθη ἡ εἰς ς κατάληξις οἷον δελφίν δελφίς, Τελχίν Τελχίς.

*650.

Ep. Cr. I 160, 18: οὐδέποτε τὸ ξ ἐν παραθέσει τρέπεται, ἀλλ' ἐν συνθέσει· παρὰ Βοιωτοῖς λέγεται ἐς συμφώνου ἐπιφερομένου, ἐὰν δὲ καθαρεύῃ, εἰς δύο σσ Ἔσσαρχος ποταμός (? Ahrens: ἐσσάρχι πολέμω).

*651.

St. B. 160, 17: Βατίεια τόπος τῆς Τροίας ὑψηλός· κέκληται ἀπὸ Βατείας τινός, ὡς Ἑλλάνικος ἐν πρώτῃ Τρωϊκῶν, ἢ ἀπὸ τοῦ πάτου τῶν ἵππων ἤγουν τῆς ἀναστροφῆς, τροπῇ τοῦ π εἰς β ἢ ἀπὸ τῶν βάτων.

*652.

St. B. 448, 14: Μεταπόντιον πόλις Ἰταλίας, ἀπὸ Μετάβου τοῦ Σισύφου τοῦ Αἰόλου· τὸν γὰρ Μετάποντον οἱ βάρβαροι Μέταβον ἔλεγον.

*653.

E. M. 76, 39: ἀμαλή ἡ ἀπαλή· ἡ δὲ λέξις Μακεδόνων· ἔστι δὲ ἀπαλὴ καὶ τροπῇ ἀμαλὴ παῖς καὶ ἀμαλόν ἀμαλῶς ἀπαλόν ἀπαλῶς

*654.

Ep. Cr. I 66, 23: σημειώδης ἡ ἀμφί, ὅτι μόνη ἔχει δασὺ σύμφωνον, διόπερ οἱ Αἰολεῖς ἄμπι λέγουσι διὰ τοῦ ψιλοῦ, τὸ ὀφειλόμενον

---

notamento eodem modo conglutinata sunt, quo saepius diversa ad unum vocabulum spectantia in unum contracta deprehendimus. Similia habes in Ep. Cr. I 224, 24, unde addidi verba «ῥήξασα — γάρ· καί, non recepi καὶ ἐν τῷ κυκλοτερὴς παρὰ τὸ τέλος κυκλοτελής, quae ab epitomatore apposita videntur.

ad fr. 648. pro ἐν αὐτῇ ἔχουσα Ritschl de Or. et Orion. p. 63 ἐν αὐτῇ proposuit, ipse scripsi ἐν ῥήσει ἔχουσα, καὶ autem hic idem est atque ἤτοι. Choer. Ep. in Psalm. 122, 8 sequitur sententiam ab Herodiano reprobatam: παντορρησία καὶ παρρησία.

ad fr. *651. pro τροφῆς scripsi ex Arcad. 78, 24 ἀναστροφῆς. Originatio a πάτος in E. M. 191, 38 Epaphrodito adscribitur: Ἐπαφρόδιτός φησιν ἀπὸ τοῦ πατῶ πάτος· καὶ ἀπὸ τοῦ πάτου τῶν ἵππων· τοὺς γὰρ ἐν ταῖς ὁδοῖς ὁλκούς τε καὶ συνεχεῖς τριμμοὺς πάτους ἔλεγον· πάτος οὖν πάτεια καὶ πλεονασμῷ τοῦ ι πατίεια καὶ Βατίεια.

ad fr. *654. cf. Mon. 45, 19 ἀμφί· οὐδεμία πρόθεσις διὰ δασέος συμφώνου

πνεῦμα ἀποδιδόντες· εὕρηται δὲ καὶ ἐν συνθέσει τὸ π ἔχουσα παρὰ Ἀττικοῖς ἀμπεχόνη, ἀμπίσχουσα «ἀμέλει ταδί μοι πρῶτ' ἀμπίσχου λαβών».

655.

Eustath. 561, 12: τροπὴ τοῦ ψιλοῦ εἰς δασὺ καὶ ἐν τῷ κεκαφηώς γίνεται κατὰ Ἡρωδιανόν.

*656.

Ep. Cr. I 353, 24 (An. Par. III 331, 14): οἱ Αἰολεῖς τὸ πτ εἰς δύο σσ μετατιθέασι· τὸ γὰρ νίπτω νίσσω λέγουσι καὶ τὸ ὄπτω ὄσσω.

*657.

Ep. Cr. I 129, 6: ἀπομόρξατο: ἀπομόργω ἐστὶν ἐνεστὼς ἐκ τοῦ ἀμέργω τὸ ἐκπιέζω μεταθέσει τοῦ ρ̄ εἰς λ̄ ἀμέλγω καὶ ἀμολγός.

*658.

E. M. 500, 48: κεκορυσμένος: ὁ παθητικὸς παρακείμενος κεκόρυσμαι, ἡ μετοχὴ κεκορυσμένος καὶ οἱ Ἀττικοὶ τρέπουσι τὸ σ̄ εἰς θ, τὸ κλαυσμός κλαυθμός λέγοντες καὶ τὸ ἀρισμός ἀριθμός.

659.

Eustath. 114, 15, Favorin. 429, 18: Ἡρωδιανὸς λέγει, ὅτι τέτραπται τὸ μάρτυρες ἀπὸ τῆς μάρτυς εὐθείας, ἣν ἡ Αἰολέων διάλεκτος διὰ τοῦ ρ̄ προφέρει. ἐκεῖνοι γάρ, φησί, τὸ σ̄ εἰς ρ̄ μεταβάλλουσι τὸ οὗτος οὗτορ λέγοντες καὶ τὸ ἵππος ἵππορ. οὕτως οὖν, φησί, καὶ μάρτυς μάρτυρ, ἀφ' ἧς ἐκπίπτει πληθυντικὸν οἱ μάρτυρες παρά τε τοῖς κωμικοῖς καὶ Ἱππώνακτι.

ἐκφέρεται, ἀλλὰ μόνον τὸ ἀμφί· λέγεται δ' ἔσθ' ὅτε καὶ ἀμπι ἐν συνθέσει διὰ τοῦ π̄, καὶ ἴσως ἀναλογώτερον.

ad fr. 655. Schol. L ad Il. Ε 698 κεκαφηότα: ὁ Ἡρωδιανὸς οὕτω κανονίζει· καπῶ καπήσω κεκαπηκώς καὶ Ἰωνικῶς κεκαπηώς καὶ μεταθέσει τοῦ ψιλοῦ εἰς δασὺ κεκαφηώς. Apud Eustath. praecedunt ἡ διὰ τοῦ φ γραφὴ τοῦ ἐφιάλτου ἢ διὰ τὸ ἴσως δασύνεσθαι τὸ ἰάλλω παρά τισι γίνεται ἢ κατά τινα γλῶσσαν τροπῇ τοῦ ψιλοῦ εἰς δασύ et paullo post sequuntur: ἐν δὲ τοῖς Ἡρωδιανοῦ κεῖται καὶ ἠπιάλης ἠπιάλητος, οὗ χρῆσις, φησί, παρὰ Σώφρονι οἷον, Ἡρακλῆς Ἠπιάλητα πνίγων cf. Ahrens de dial. Aeol. p. 43.

ad fr. *656. cf. Ahrens de dial. Aeol. p. 67. Herodianum sic de ὄσσω iudicasse ut ex ὄπτω transversum putaret, inde concludi potest, quod Theogn. p. 145 τὰ διὰ τοῦ ω̄σσω πάντα διὰ τοῦ ω γράφεται, ὄσσω quod in Ep. Herod. 252 πλὴν τοῦ ὄσσω excipitur, praetermisit utpote non primitus in σσω exiens cf. Lob. Rhem. p. 100. Ex pluribus locis, quibus similia traduntur, unum tantum comparo: Ep. Cram. I 291, 21 τὸ νίτρον ἐὰν μὲν παρὰ τὸ νίπτω, τὸ π ἀπέβαλεν· εἰ δὲ παρὰ τὸ νίζω, τὸ σ̄, ὅπερ καὶ λίτρον οἱ Ἀττικοὶ λέγουσι κατὰ τροπήν, ὡς πνεύμων πλεύμων· τὸ δὲ νίπτω ποιεῖ τὸ νίσσω. Αἰολεῖς γὰρ τὸ πίπτω πίσσω λέγουσι καὶ τὸ πέπτω πέσσω· τὸ δὲ νίζω οὐκ ἐγένετο ἐκ τοῦ Αἰολικοῦ· οὐδέποτε γὰρ τὰ παρ' αὐτοῖς δύο σσ τρέπουσι εἰς ζ̄.

ad fr. *657. cf. Ep. Cr. I 13, 7, E. M. 129, 6. Urbium nomina, quorum scriptura inter ρ̄ et λ fluctuat, Meinekius ad Steph. B. 76, 10 composuit, inter quae est etiam Ἀμοργὸς et Ἄμολγος (Arcad. 47, 17).

ad fr. *658. Hoc ex Herodiano fluxisse evincit fr. 177, quod ex hoc loco emendavi.

*660.

St. B. 659, 20: Φάρcαλοc πόλιc Θεccαλίαc. τὸ ἐθνικὸν Φαρcάλιοc. λέγεται καὶ Φαρράλιοc διὰ δύο ρ̄ρ̄ ὡc Μυρρίνη καὶ κόρρη καὶ «ἐπὶ κόρρηc».

*661.

E. M. 685, 23: τὸ ποτί τὴν πρόc πρόθεcιν cημαίνει Δωρικῶc. ἡ γὰρ πρόc κατ' ἐπέκταcιν προcί ὡc ἐν ἐνί (ἀναλόγωc· παρέπεται γὰρ ταῖc προθέcεcι τὸ μέχρι τῆc διcυλλαβίαc αὐξάνεcθαι) καὶ τροπῇ Δωρικῇ τοῦ c̄ εἰc τ̄ καὶ ἀποβολῇ τοῦ ρ̄ ποτί ὥcπερ cοί τοί.

*662.

E. M. 335, 37: τὰ δύο cc εἰc ζ̄ τρέπουcιν Αἰολεῖc. τὸ γὰρ ἐπιπλήccω ἐπιπλάζω. Cαπφώ «τὸν δ' ἐπιπλάζοντα ἄνεμοι φέροιεν» (fr. 18 Bergk).

[660a]

Arcad. 9, 6: τὸ ἄρρην Ἀττικῶc ἀπὸ τοῦ ἄρcην γέγονεν.

[661a]

Mon. 10, 25: εἴρηται ὁ δαίμων παρ' Ἀλκαίῳ διὰ τοῦ α μένοντοc τοῦ c Ποcείδαν, παρὰ δὲ Δωριεῦcι τρεπομένου τοῦ c εἰc τ Ποτειδάν κατ' ὀξεῖαν τάcιν, εἴρηται δὲ καὶ Ποτιδᾶc ὡc κερκιδᾶc.

[662a]

Il. Pr. C 519: ὀλίζων ἐcχημάτιcται cυγκριτικῶc κατὰ πάθοc. παρὰ γὰρ τὸ ὀλιγώτεροc κατὰ δεύτερον τύπον τὸ ὀλιγίων μὴ εἰρημένον cυγκριτικῶc, ὑπερθετικῶc δὲ ἐν τῷ ὀλίγιcτοc ἐξέπιπτε· τρίτοc τύποc ὁ διὰ δύο c̄c̄ ὀλίccων. τὰ δὲ δύο cc μετέπεcεν εἰc ζ καὶ ἀπετελέcθη τὸ ὄλιζον. οὕτωc οὖν ἐcχηματίcαμεν καὶ τὸ μεῖζον, λέγω δὲ κατὰ τὴν αὐτὴν τροπὴν τῶν cτοιχείων.

ad fr. *660. cf. ap. St. B. s. Τυρρηνία Τυρρηνοί et Τυρcηνή θάλαccα, Τυρcηνίc Τυρcηνικόc et s. Χερρόνηcοc Χερcόνηcοc. — In E. Gud. 301, 6 comparat Herod. κάρcων κάρρων et in E. M. 515, 19 Κρῖcα Κίρcα Κίρρα cum μυρcίνη μυρρίνη.

ad fr. *661. cf. fr. 84. In fine pro cόc τόc scripsi cοί τοί, de quibus Ep. Cr. I 409, 32 ἡ τοί ἀντωνυμία κατὰ τροπὴν Δωρική, κατὰ δὲ χρῆcιν κοινή.

ad fr. *662. Hoc ex Herodiano petitum esse docet locus simillimus in Mon. 23, 7 κράζω: τὰ εἰc ζω λήγοντα ῥήματα ὁριcτικά, εἰ ἔχοι πρὸ τέλουc μόνον τὸ ᾰ, ἔχει αὐτὸ cυνεcταλμένον, ὑπεcταλμένηc τῆc Αἰολίδοc διαλέκτου. — παρῃτηcάμεθα δὲ Αἰολίδα διάλεκτον διὰ τὸ πτάζω

ἔπταζον ὥcτ' ὄρνιθεc ὦκυν
αἴετον ἐξαπίναc φανέντα.

ἐκ δὲ τοῦ κοινοῦ ἦν τοῦ ἔπτηccον. τὸ δὲ αὐτὸ καὶ ἐπὶ τοῦ πλάζω·

τόν δ' ἐπιπλάζοντ' ἄνεμοι φέροιεν
καὶ μελέδωνα.

ἀντὶ τοῦ ἐπιπλήccοντα. — Sed omisi quae in E. M. praecedunt ἐμπάccω καὶ Αἰολικῶc ἐμπάζω ut incertum. cf. Ahrens de dial. Aeol. p. 46 cum not. 3. — Doctum adnotamentum in Epim. I 62, 16, in quo docetur Tarentinos verba in ζω in ccω et contra mutasse, ab Heraclide profectum est Eustath. 1654, 23 cf. Ahrens p. 98, 6 neque Herodianus tradidisse videtur verba in ccω in ζ̄ω transformari cf. supra adnotationem ad fr. 656.

*663.

St. B. 167, 8: Βήρυτος πόλις Φοινίκης. ὁ πολίτης Βηρύτιος ὡς Ἀζώτιος Αἰγύπτιος· σεσημείωται τὸ Μιλήσιος ἐν τοῖς τοπικοῖς, ὅτι ἐτράπη ἁπλοῦν ὂν ὡς τὸ Θεοδόσιος Ἀθανάσιος Ἀμβρόσιος. τὸ γὰρ θεόδοτος καὶ ἀθάνατος καὶ ἄμβροτος σύνθετα. τὸ δὲ χαρίσιος οὐ τοπικόν.

*664.

St. B. 214, 11: Γυμνησίαι: καὶ ἀρσενικῶς καὶ θηλυκῶς ἐθνικὸν Γυμνήσιος καὶ Γυμνησία. καὶ Γυμνησὶς ἀπὸ τῆς Γύμνητος γενικῆς τροπῇ τοῦ σ̄ εἰς τ̄.

*665.

St. B. 384, 10: Κρήτη: ἀπὸ τῆς Κρητός γενικῆς Κρῆτις καὶ τροπῇ τοῦ τ̄ εἰς σ̄ Κρησίς.

*666.

St. B. 472, 18: Νέπετος πόλις Ἰταλίας. τὸ ἐθνικὸν Νεπεσῖνος. ἡ τροπὴ δὲ τοῦ τ̄ εἰς σ̄ ἰδιάζουσα καὶ σεσημείωται.

*667.

St. B. 164, 25: Βέροια, πόλις Μακεδονίας, ἣν Φέρωνα κτίσαι φασίν, αὐτοὺς δὲ τὸ φ̄ εἰς β μεταποιεῖν ὡς Φάλακρον Βάλακρον καὶ Βίλιππον καὶ Κεβαλῖνον, ἄλλοι ἀπὸ Βεροίας τῆς Βέρητος τοῦ Μακεδόνος.

*668.

St. B. 672, 22: Φρυγία: οἱ Φρύγες λέγονται καὶ Βρίγες.

*669.

Choer. 698, 30: οἱ Ἴωνες ψιλωτικοί εἰσι, τοῦ γὰρ ἥλιος δασυνομένου τὸ ἀπηλιώτης Ἰωνικῶς διὰ τοῦ π ἐπεκράτησεν, ἐπειδὴ διὰ τοῦ φ ὤφειλεν εἶναι διὰ τὸ ἐπιφέρεσθαι δασὺ φωνῆεν ὥσπερ ἐπὶ ἡμῶν ἐφ' ἡμῶν· πάλιν τοῦ ἱστίον δασυνομένου τὸ ἐπίστιον Ἰωνικῶς διὰ τοῦ π ἐπεκράτησεν οἷον «ἐπίστιόν ἐστιν ἑκάστῳ» (ζ 265), ἐπειδὴ διὰ τοῦ φ ὤφειλεν εἶναι. καὶ πάλιν τὸ οὐχὶ Ἰωνικῶς οὐκί λέγεται ὡς παρὰ τῷ ποιητῇ «ἠὲ καὶ οὐκί».

*670.

E. M. 229, 51: γῆ παρὰ τὸ γῶ τὸ χωρῶ ἡ πάντα χωροῦσα· τοῦτο δὲ παρὰ τὸ χῶ τροπῇ τοῦ χ εἰς γ γῶ.

---

ad fr. *663. Dubia est trope literae τ̄ in θ̄ terminatione non mutata in E. M. 579, 23 Μενέσθης: ὡς ἀπὸ τοῦ ἀργός γίνεται Ἀργέστης, οὕτω καὶ παρὰ τὸ μένος Μενέστης καὶ Μενέσθης κατὰ τροπήν, quam adnotationem habet etiam Schol. BL ad Ε 609, Eustath. 596, 23, Choer. Dict. 137, 30 cf. Lehrs Aristarch. p. 310 not. ***. Sed ut in Il. Pr. N 809 ex ἐγερτός ἐγέρθω, ἐρεκτός ἐρέχθω, ἀιστός ἀΐσθων existere voluit, sic etiam ὄρθρος ex ὄρτος metathesi literae τ̄ et pleonasmo literae ρ̄ propagasse videtur in E. Or. 117, 23 ὄρθρος: ὄρω. μέλλων Αἰολικός ὄρσω, ὄνομα ὄρτος καὶ μεταθέσει τοῦ τ̄ εἰς θ [καὶ πλεονασμῷ τοῦ ρ̄] ὄρθρος. Nam haec notatio reperitur in sede Herodianearum.

ad fr. *667. cf. E. M. 195, 37 ubi ὡς Φερενίκη Βερενίκη ἡ γυνὴ τοῦ πατρὸς Πτολεμαίου καὶ κεφαλήν κεβαλήν λέγουσιν et supra fr. 607.

ad fr. *670. cf. Mein. ad St. B. 699, 7 s. χώρα, qui pro χώρα ἡ μερικὴ γῆ, ἀφ' οὗ τὸ χῶ ῥῆμα probabiliter scribi vult γῆ παρὰ τὸ χῶ, ἀφ' οὗ χωρῶ ῥῆμα.

*671.

Choer. 588, 16, Ep. Cr. I 375, 20: πέφρικα: ἐνεργητικοῦ ἐcτι παρακειμένου, ἀλλ' οὐ μέcου· εἰ γὰρ ἦν μέcου παρακειμένου διὰ τοῦ γ ἂν ἐξηνέχθη. τὰ γὰρ τῆc τετάρτηc cυζυγίαc τῶν βαρυτόνων διὰ τοῦ γ ἐκφέρονται κατὰ τὸν μέcον παρακείμενον. ὁ δὲ λόγοc ἐπὶ τῶν ἐχόντων διὰ τοῦ ξ τὸν μέλλοντα ἐκφερόμενον οἷον πλήccω πλήξω πέπληγα, νύccω νύξω νένυγα, φρίccω φρίξω πέφριγα· ἀλλ' ἐνεργητικοῦ ἐcτι παρακειμένου καὶ οὐ μέcου· ἀπὸ γὰρ τοῦ φρίccω φρίξω γέγονε πέφριχα καὶ διὰ τὴν τῶν δαcέων cύγχυcιν ἐτράπη τὸ χ̅ εἰc κ καὶ γέγονε πέφρικα καὶ ὁ μέcοc παρακείμενοc πέφριγα.

672.

E. Or. 147, 7, E. M. 719, 29, Zon. 1655: cκότοc: ὁ Ἡρωδιανὸc παρὰ cχέθειν ἡμᾶc πολλάκιc προϊέναι, ὅ ἐcτιν ἐπιcχεῖν.

673.

Schol. in Aristot. Categ. p. 85 b. 42: ἡ cκιά, ὡc Ἡρωδιανόc φηcι, παρὰ τὸ cχέθειν. ἐπέχει γὰρ ἡμῶν τὸ εἰδέναι ἢ τῶν προcόδων καὶ τῶν πολλῶν ἐνεργειῶν ἐπέχει.

*674.

Anecd. Par. III 358, 1, E. M. 755, 14: τετύκοντο: ἀπὸ τοῦ τεύχω ὁ δεύτεροc ἀόριcτοc ἔτυχον, ὁ παθητικὸc ἐτυχόμην ἐτυχόμεθα ἐτύχοντο καὶ κατὰ ἀναδιπλαcιαcμὸν τετύχοντο καὶ τετύκοντο κατὰ τροπὴν ὥcπερ καὶ τὸ κεκάδοντο ἀπὸ τοῦ χάζω.

*675.

E. Or. 65, 11, E. M. 321, 24: ἐκεχειρία: παρὰ τὸ ἔχω καὶ χείρ γίνεται ἐχεχειρία καὶ τροπῇ τοῦ χ εἰc κ ἐκεχειρία.

*676.

St. B. 407, 4: Λακεδαίμων: Λακεδαίμονα οἱ μὲν ἀπὸ Λακεδαίμονοc ἢ ὅτι μετὰ τὴν τῶν Ἡρακλειδῶν κάθοδον cυνθεμένων κλήρῳ διανείμαcθαι τὴν χώραν καὶ τὸν λαχόντα πρῶτον ταύτην λαβεῖν, καὶ Λαχεδαίμονα κληθῆναι ἢ Λαβεδαίμονα, διότι ἀγαθῷ δαίμονι ταύτην ἔλαβεν ὁ λαβὼν ἢ ἔλαχεν ὁ λαχών, καὶ τροπῇ τοῦ β ἢ τοῦ χ εἰc κ Λακεδαίμων.

---

ad fr. 672. Hoc adnotameotum perversum est in Koesii Excerpt. Orion. 189, 31: ἀπό τοῦ cκιάζειν ὠνόμαcται· οἱ δέ φαcιν, ὅτι cκοπόc ἐcτι· δεῖ προcκοπεῖcθαι τόν προερχόμενον ἐν αὐτῷ. οὕτωc Ἡρωδιανὸc· οἱ δὲ παρὰ τό cχέθειν.

ad fr. 673. Similiter Choer. Ep. in Psalm. 175, 30, sed de sno addens ἢ ἐκ τῆc cύν προθέcεωc καὶ τοῦ κίω τὸ πορεύομαι. cf. Lob. Rhem. p. 89.

ad fr. *674. cf. Choer. 629, 23. Lob. ad Buttm. s. χάζω.

ad fr. *675. Il. Pr. Ε 759 μάχεται τό ἐκεχειρία, ὅπερ οὐκ ἔχει γνήcιον τὸ κ̅ ἀπὸ τοῦ ἔχειν γενόμενον. Ep. Cr. I 249 30 τὸ ἐκεχειρία οὐκ εἶχε τὸ κ̅, ἀλλὰ τὸ χ̅ ἐχεχειρία, διό καὶ ἐφυλάχθη τὸ πνεῦμα τοῦ ἔχειν.

ad fr. *676. In Il. Pr. Γ 182 Herodianus vocem pro composita habet. Similia leguntur in Ep. Cr. I 17 extr. Λακεδαίμων ἐcτὶ cύνθετον· οὕτωc δέ φαcι λέγεcθαι τὴν πόλιν, ἐπειδὴ ἐν αὐτῇ πρῶτον οἱ θεοὶ ἔλαχον καί ἐκληρώcαντο τάc πόλειc οἱονεὶ Λαχεδαίμων τὶc οὖcα τροπῇ τοῦ δαcέοc εἰc ψιλόν.

*677.

Choer. 259, 16: ἐπὶ τῶν εἰς ᾱς καθαρῶν διὰ τοῦ ᾱ ἐχόντων τὴν παραλήγουσαν μακρὰν ὑπερβιβασμὸν ποιοῦνται τοῦ χρόνου οἱ Ἀθηναῖοι καὶ τὴν μὲν τελευταίαν ἐκτείνουσιν εἰς τὸ ω, τὴν παραλήγουσαν συστέλλουσιν εἰς τὸ ε οἷον Μενέλαος Μενέλεως, Ἰόλαος Ἰόλεως, λαός λεώς, ναός νεώς· ὅθεν τὸ Οἰνόμαος, ἐπειδὴ οὐκ ἔχει μακρὰν τὴν παραλήγουσαν, τὸ γὰρ α συνεσταλμένον ἐστίν, οὐκ ἐγένετο παρὰ τοῖς Ἀττικοῖς διὰ τοῦ ε καὶ ω οἷον Οἰνόμεως. Εἰ δέ τις εἴποι καὶ πῶς τὸ ἵλαος συνεσταλμένον ἔχον τὸ α οἷον ὡς παρὰ Παρθενίῳ «ἵλαος, ὦ ὑμέναιε» (Mein. p. 286) γίνεται παρὰ τοῖς Ἀθηναίοις διὰ τοῦ ε καὶ ω οἷον ἵλεως, λέγομεν ὅτι τὸ ἵλαος μᾶλλον ἐκτείνει τὸ ᾱ (σπάνιον γὰρ τὸ ἐν συστολῇ εὑρισκόμενον) καὶ τούτου χάριν ἐγένετο παρὰ τοῖς Ἀθηναίοις ἵλεως· ὅτι γὰρ ἐκτείνει τὸ ᾱ, ἐδήλωσε Παρθένιος ἐν τῷ Βίαντι εἰπών

Ἵλαος ταύτην δέχνυσο πυρκαϊήν (Mein. p. 262).

ἔστι δὲ ἐλεγεῖον. καὶ ἐν τῷ Εὐφορίωνος Δημοσθένει ὁμοίως ἐκτεταμένον εὑρίσκεται οἷον «δαίμονος ἱλάοιο» (Mein. p. 45).

*678.

Choer. 830, 4: πολλάκις παρὰ τοῖς ποιηταῖς ὑπερβιβασμοὶ γίνονται χρόνων· ἰδοὺ γάρ ἐστι Κρονίων Κρονίωνος διὰ τοῦ ω ὥσπερ Πηλείων Πηλείωνος καὶ Ἀτρείων Ἀτρείωνος «ὅς ῥα παρὰ Κρονίωνι καθέζετο κύδεϊ γαίων» (Α 405) καὶ ἐν τῷ «Ζηνὸς δ' οὐκ ἂν ἔγωγε Κρονίονος ἄσσον ἱκοίμην» (Ξ 247) ὑπερβιβασμὸς ἐγένετο χρόνου καὶ τὸ μὲν ῑ ἐξετάθη, τὸ δὲ ω συνεστάλη εἰς τὸ ο.

*679.

Choer. 599, 3: ἰστέον ὅτι ἐώλπειν καὶ ἐῴκειν καὶ ἐώργειν ὑπερβιβασμὸν ἀνεδέξαντο τοῦ χρόνου. ἔστι γὰρ ὁ μέσος παρακείμενος ἔολπα καὶ ἔοργα καὶ ἔοικα καὶ λοιπὸν ὁ ὑπερσυντέλικος ὤφειλεν εἶναι ἠόλπειν καὶ ἠόργειν καὶ ἠοίκειν, ἀλλὰ κατὰ ὑπερβιβασμὸν τοῦ χρόνου γεγόνασι ταῦτα, ἐώλπειν, ἐώργειν, ἐῴκειν τῆς πρώτης συλλαβῆς συσταλείσης εἰς τὸ ε, τῆς δὲ δευτέρας ἐκταθείσης εἰς τὸ ω ὥσπερ ἐπὶ τοῦ ἑορτάζω ἑώρταζον γέγονε· τούτου ὁ παρατατικὸς ὤφειλεν εἶναι ἠόρταζον καὶ γέγονε κατὰ ὑπερβιβασμὸν τοῦ χρόνου ἑώρταζον.

ad fr. *678. Quae ap. Choer. de ἐμπεφυῶτας praecedunt, omisi, cf. adnotationem ad fr. 601 et Lob. El. I 535. De Κρονίονος agit Choeroboscus etiam 285, 5.

ad fr. *679. Sequitur apud Choeroboscum satis longa expositio de causa affectionis, quae in eo sita esse perhibetur, quod πᾶς παρακείμενος ἀπὸ φωνήεντος ἀρχόμενος πάντως ἔχει τὸν ὑπερσυντέλικον συναρχόμενον αὐτῷ χωρὶς τῶν Ἀττικῶν, sed omittitur ea, quae in E. M. 351, 8 affertur κανών ἐστιν ὁ λέγων, ὅτι οὐδέποτε λέξις Ἑλληνικὴ εὑρίσκεται ἀπὸ τοῦ η ἀρχομένη ἐπιφερομένου τοῦ ο χωρὶς εἰ μὴ ἐν διφθόγγῳ εἴη ἢ κατὰ διάλεκτον· πρόσκειται «εἰ μὴ ἐν διφθόγγῳ» διὰ τὸ ἠοῦς ἠοῖ καὶ «πρωὶ δ' ὑπ' ἠοῖ» «κατὰ διάλεκτον» διὰ τὸ ἠῶ. οἱ γὰρ Ἴωνες διαλύοντες λέγουσιν ἠόα. κατὰ τοῦτον τὸν κανόνα ἐγένετο ὁ ὑπερβιβασμὸς τοῦ χρόνου καὶ τὸ μὲν ε ἐφυλάχθη διὰ τὸ ο, τὸ δὲ ο ἠμείφθη εἰς ω κτλ. — Praeterea quantitatis transgressionem statuit Choer. 567, 8 in ὄρω ὦρα ὄρωρα, τὸ γὰρ «ὑπώρορα μοῦσα λιγεῖα» διὰ τὸ μέτρον ὑπερβιβασμὸν ἀνεδέξατο (Ep.

*680.

Choer. 341, 19: Καλχηδών Καλχηδόνος, ἡ κατὰ Βυζάντιον καὶ Χαλκηδὼν καλεῖται· εὑρίσκομεν γὰρ διφορουμένην τὴν χρῆσιν.

*681.

Ep. Cr. I 396, 31: τάφος: ὁ ἐπὶ τῶν νεκρῶν γίνεται μὲν παρὰ τὸ θάπος μεταβολῇ τοῦ ψιλοῦ εἰς δασὺ καὶ τοῦ δασέος εἰς ψιλόν. γίνεται δὲ παρὰ τὸ θάπτω καὶ ὤφειλεν εἶναι θάπος ὡς κόπτω κόπος, ἀλλ' ὑπερβιβασμὸς γέγονε καὶ ἐναλλαγὴ στοιχείων Ἰωνική· καὶ τάφος δέ, ὃ σημαίνει τὴν κατάπληξιν οἷον «τάφος δ' ἕλε πάντας Ἀχαιούς» (φ 122) παρὰ τὸ θήπω γενόμενον ῥῆμα ἔδει εἶναι θάπος· ἔθαπον γὰρ ὁ δεύτερος ἀόριστος· ἀλλ' Ἰωνικῶς ἀνέστρεψε τὰ στοιχεῖα. τοιοῦτόν ἐστι καὶ τὸ ἐνταῦθα καὶ ἐντεῦθεν. τὸ μὲν παρὰ τὸ ἔνθα καὶ ὤφειλεν εἶναι ἐνθαῦτα, τὸ δὲ παρὰ τὸ ἔνθεν καὶ ὤφειλεν ἐνθεῦτεν. Ἴωσι δὲ σύνηθες τὰ μὲν παρ' ἡμῖν ψιλὰ εἰς δασέα μεταβάλλειν καὶ ἔμπαλιν τὰ δασέα εἰς ψιλά.

*682.

Ep. Cr. I 173, 21: ἔρδοι «μὴ νυκτὶ θοῇ ἀποθύμια ἔρδοι» (Ξ 261)

[681ᵃ]

Choer. Orth. 213, 30: ἀπὸ τοῦ ἐννέα γέγονεν ἐννεάκοντα καὶ καθ' ὑπερβιβασμὸν ἐνενάκοντα, καὶ ἐπειδὴ ὁ πεντήκοντα καὶ οἱ λοιποὶ τὸ η παραλήγονται οἷον ἑξήκοντα καὶ ἑβδομήκοντα καὶ ὀγδοήκοντα, τούτου χάριν ἐκείνων τρεψάντων τὸ α εἰς η̅, ἔτρεψε καὶ τοῦτο καὶ γέγονεν ἐνενήκοντα.

[681ᵇ]

E. Or. 117, 30: ὀθνεῖον: ὑπέρθεσις στοιχείου. ὡς ἄριστος ἀριστεῖον, νόθος νοθεῖον, μεταθέσει τοῦ ν̅ ὀθνεῖον.

[682ᵃ]

Ep. Cr. I 383, 27 (E. M. 134, 8): ὁ ἄρ σύνδεσμος οὐκ ἔστιν ἐκ

Cr. I 466, 8), quae etiam Herodiani sententia fuisse videtur, recentiores pro aoristo habent cf. Buttm. s. ὄρνυμι.

ad fr. *681. Choer. 635, 25 οἱ Ἴωνες ἔθος ἔχουσι τὰ παρ' ἡμῖν ψιλὰ εἰς δασέα τρέπειν καὶ τὰ παρ' ἡμῖν δασέα εἰς ψιλά· ἰδοὺ γὰρ τὴν παρ' ἡμῖν χύτραν λεγομένην (εἴρηται γὰρ χύτρα παρὰ τὸ χέειν ἡμᾶς ἐξ αὐτῆς) κύθραν λέγουσι κατὰ μετάθεσιν τοῦ χ̅ τοῦ δασέος εἰς τὸ ψιλὸν κ̅ καὶ τοῦ τ̅ τοῦ ψιλοῦ εἰς τὸ δασὺ θ̅ καὶ πάλιν ὥσπερ παρὰ τὸ κόπτω γίνεται κόπος, οὕτω καὶ παρὰ τὸ θάπτω γίνεται θάπος καὶ Ἰωνικῶς τάφος. — Similia habet Apollon. Synt. p. 55, 17 et in E. Or. 151, 30 τάφος· θήπω ἐστὶ ῥῆμα τὸ ταράττομαι καὶ ἐκπλήττομαι. ἔνθεν τὸ «τέθηπά τε» (Ζ 168). ἔστιν οὖν θήπω καὶ ῥηματικὸν ὄνομα θάπος τροπῇ κατ' Ἴωνας τοῦ θ εἰς τ̅ καὶ τοῦ π εἰς φ τάφος. Ἀπολλώνιος ἐν τῷ περὶ ἐπιρρημάτων, quem locum Sturzius invenire non potuit. Scribendum videtur ἐν τῷ περὶ ῥημάτων. — De metathesi spiritus in ἀραιός ex ῥαίω et ἔρδω ex ῥέζω cf. supra fr. [8ᵃ].

ad fr. *682. ἔρδω ex ῥέζω ortum putasse Herodianum scimus ex Theogn.

ad fr. [681ᵃ]. cf. Lob. El. 1 503.

ad fr. [681ᵇ]. Haec notatio legitur inter alias ab Herodiano profectas; similis exstat etiam in Choer. Orth. 245, 31.

παρὰ τὸ ῥέζω ὑπερθέςει τοῦ ε̄ καὶ τροπῇ τοῦ ζ̄ εἰς δ ἔρδω· γίνεται δὲ ὑπέρθεςις ὥςπερ ςπείρω ςπόριον ὄςπριον, νόθος νοθεῖον ὀθνεῖον· μείρω μέμαρκα μέμορε ἔμμορε.

*683.

E. M. 379, 31: ἔροτις ἡ ἑορτή. ὡς γὰρ παρὰ τὸ κάλπη κάλπις καὶ φήμη φῆμις, οὕτω καὶ παρὰ τὸ ἑορτή παρώνυμον ἔροτις ὡς αὐλή αὐλίς.

*684.

Ep. Cr. I 71, 28: τὸ ἄγρει ἐςτὶν ὡς προςτακτικὸν ἐπίρρημα καὶ πληθυντικὸν ἀγρεῖτε φαςὶ καὶ ὁ ποιητής «ἀγρεῖθ' αἱ μὲν δῶμα κορήςατε» (υ 149). ὁ δέ γε Ἀντίμαχος ἀργεῖτε ἔφη ὑπερβιβάςας τὸ ρ̄.

685.

E. Gud. 301, 6 (E. M. 492, 38): κάρρων: οἷον «ναὶ κάρρων βῶς» τρίτος τύπος ἐςτὶ τῶν ςυγκριτικῶν. ὡς γὰρ παρὰ τὸ βαθύς γίνεται βαθύτερος βαθίων, ὁ τρίτος τύπος βάςςων, ἔνθεν παρ' Ἐπιχάρμῳ «βάςςον τὸ χωρίον». ἐλαχύς ἐλαχίων ἐλάχιςτος, ἐλάςςων, ταχύτερος ταχίων τάχιςτος ὁ τρίτος τύπος τάςςων καὶ θάςςων, βραχύς βραχύτερος, βραχίων βράςςων, ὅπερ ςυνεμπίπτει τῷ ἀπὸ τοῦ βραδύς διὰ τὸ ἀμαυρῶςαι τὸ ςύμφωνον, γλυκύς γλυκύτερος γλυκίων γλύκιςτος ὁ τρίτος τύπος γλύςςων. κέχρηται δὲ Ξενοφάνης τῷ ὀνόματι οἷον «γλύςςονα ςῦκα» καὶ πάλιν παχύς παχύτερος παχίων πάχιςτος ὁ τρίτος τύπος πάςςων «μείζονά τ' εἰςιδέειν καὶ πάςςονα» (ζ 230) ἀντὶ τοῦ μείζονα καὶ παχύτερον. καὶ πάλιν μακρότερος οἷον μῆκος μηκίων μήκιςτος ὁ τρίτος τύπος μάςςων οἷον «τοςςοῦτον δίομαι ἢ ἔτι μάςςον» (θ 203) ἀντὶ τοῦ μακρότερον. οὕτως οὖν καὶ κρατύς κρατύτερος κρατίων κράτιςτος ὁ τρίτος τύπος κράςςων, ὑπερθέςει κάρςων καὶ κάρρων ὡς ἡ μυρςίνη μυρρίνη. οὕτως Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν.

τοῦ ῥά· ὁ γὰρ ῥά ἐγκλιτικός ἐςτι καὶ ὑποτακτικός, ὁ δὲ ἄρ οὐκ ἔςτιν ἐγκλιτικός.

---

p. 52, quod praeceptum propter spiritus transgressionem modo commemoravimus cf. fr. [8ᵃ]. ἔμμορε ex μέμορε repetit Herod. in Cr. An. III 263, 24 (Choer. 593, 29, ubi tamen Herodiani non diserta fit mentio), quare non dubitamus, quin etiam duo reliqua exempla nostro loco allata ab Herodiano proposita sint, quamquam a Lobeckio El. I 504 reprobantur. ὄςπριον ex ςπόριον propagatum esse dicit etiam Choer. Orth. 242, 28. — Simile adnotamentum recurrit in Ep. 383, 20 ῥέξαι: τὸ θέμα ῥέζω, ὃ κατὰ ὑπέρθεςιν καὶ τροπὴν Δωρικὴν τοῦ ζ εἰς δ̄ γίνεται ἔρδω.

ad fr. *683. cf. Hesych. ἔροτιν ἑορτήν Κύπριοι Ahrens de dial. Aeol. 159.

ad fr. *684. cf. Io. Al. 29, βαρύτονον τὸ ἄγρει, ὃ κατὰ ςυνεκδρομήν τοῦ ῥήματος πληθυντικῶς εἴρηται «ἀγρεῖθ' αἱ μὲν δῶμα κορήςατε».

ad fr. 685. cf. Mon. 37, 4 cum Lehrsii adnotatione. Fortasse ex Herod. fluxit E. Or. 101, 22 μηκίων: παρὰ τὸ μακρός μακρίων καὶ μακίων καὶ τροπῇ τοῦ ᾱ εἰς η̄ μηκίων, ἔνθεν τὸ μήκιςτος, καὶ τρίτος τύπος μάςςων.

---

ad fr. [682ᵃ]. de ἄρ et ῥά cf. Arcad. 184, 16; 185, 1, Il. Pr. Λ 249 ὁ ῥά ςύνδεςμος ἐγκλιτικός ὢν κτλ.

*686.

E. M. 492, 44: κάρτα: παρὰ τὸ κρατύς κρατέα ὡς ταχύς ταχέα καὶ κατὰ ϲυγκοπὴν καὶ μεταθέϲει κάρτα.

*687.

E. M. 188, 23: βραδύϲ βραδίων βράδιϲτοϲ καὶ ἐν ὑπερθέϲει βάρδιϲτοϲ Ἰλιάδοϲ Ψ (310) «ἀλλά τοι ἵπποι — βάρδιϲτοι θείειν» ἀντὶ τοῦ βραδύτατοι.

688.

E. M. 667, 22: πεφαργμένοϲ ἀντὶ τοῦ πεφραγμένοϲ καὶ ἐφάρξαντο ἀντὶ τοῦ ἐφράξαντο καὶ φαρκτόν φρακτόν· ὥϲτε ὑπέρθεϲιϲ. περὶ παθῶν.

*689.

E. M. 214, 44: βρόταχον τὸν βάτραχον Ἴωνεϲ καὶ Ἀριϲτοφάνηϲ καὶ παρὰ Ξενοφάνει· βάτραχοϲ καὶ καθ' ὑπερβιβαϲμὸν βράταχοϲ καὶ βρόταχοϲ.

*690.

E. M. 334, 10: ἐμβραμένα παρὰ Cώφρονι ἡ εἱμαρμένη ὑπερθέϲει τοῦ ρ̄ καὶ διὰ τὴν ἀϲυνταξίαν πλεοναϲμῷ τοῦ β̄. καὶ Λάκωνεϲ οὕτω λέγουϲιν.

*691.

E. M. 285, 56: δραθεῖν: δαρθεῖν καὶ δραθεῖν καθ' ὑπέρθεϲιν ὡϲ καρδία κραδία.

*692.

E. M. 287, 9: δρατά: «περὶ δὲ δρατὰ ϲώματα νήει» ἐπεϲώρευε δὲ τὰ ἐκδεδαρμένα ϲώματα τῶν ἀνῃρημένων ἀνδρῶν Ἰλιάδοϲ Ψ (169), ὡϲ φθείρω φθαρτόϲ φθαρτή φθαρτά, οὕτω δείρω τὸ ἐκδέρω δαρτόϲ δαρτά καὶ καθ' ὑπέρθεϲιν δρατά ὡϲ ὀφιόϲπαρτον ὀφιόϲπρατον.

*693.

E. M. 443, 3: θάρϲοϲ: παρὰ τὸ θέρω τὸ θερμαίνω ὁ μέλλων Αἰολικὸϲ θέρϲω, ῥηματικὸν ὄνομα θέρϲοϲ καὶ τροπῇ τοῦ ε̄ εἰϲ ᾱ θάρϲοϲ,

ad fr. *686. cf. Io. Al. 29, 2 ὠκέα ὦκα, ϲαφέα ϲάφα, καὶ τούτων ἀνεβιβάϲθη ὁ τόνοϲ καὶ κατὰ τὴν ὑπεξαίρεϲιν τοῦ ε̄. Similiter καρτερόϲ ex κρατερόϲ factum est Diehr. 294. 11, H. Pr. A 280, Arcad. 70, 23.

ad fr. *687. De τάρβοϲ ex τρέπω orto cf. fr. 203. Non deciderim de origine adnotationis in E. M. 753, 29 τέρπεϲθαι μετάθεϲίϲ ἐϲτι τοῦ ρ̄· παρὰ τὸ τρέπεϲθαι καὶ μετάγεϲθαι τὴν ψυχὴν ἀπὸ τῶν βιωτικῶν φροντίδων ἢ ἀπὸ τοῦ θεραπεύω τέρπω. Quum ap. Hes. exstet glossa τερπώμεθα τρεπώμεθα, cogitari potest Herodianum simile quid de hac voce sensisse atque Didymum, praesertim quum plurima hyperthescos exempla, quae sine dubio Herodiani sunt, etiam ap. Hesych. reperiantur, e. g. βάρδιϲτοι βραδύτατοι κατὰ ἀντίθεϲιν. E. Or. 34, 21: βραδύϲ. παρὰ τὸ βάροϲ βαρύϲ· ὑπερθέϲει τοῦ ρ καὶ πλεοναϲμῷ τοῦ δ̄ βραδύϲ.

ad fr. *689. Hes. βρόταχοϲ βάτραχοϲ.

ad fr. *690. cf. Ahrens de dial. Dor. 285, 349. Comparari potest et propter hyperthesin et propter pleonasmum literae β ἤμβρατον supra fr. 345.

ad fr. *691. cf Choer. 624, 24 δέρθω ἔδαρθον κατὰ ὑπερβιβαϲμὸν γίνεται ἔδραθον et 625, 7 δέρκω ἔδαρκον ἔδρακον et 9 πέρθω ἔπαρθον ἔπραθον et κραδία ἀντὶ τοῦ καρδία μεταθέϲει τοῦ ρ E. M. 543, 43.

ἀφ' οὗ θραcεῖc, καθ' ὑπέρθεcιν τοῦ ρ· οἱ γὰρ θερμοὶ καὶ θραcεῖc καὶ θαρcαλέοc ὁ ἀνδρεῖοc.

*694.

St. B. 361, 8: Κάρπαθοc νῆcοc πληcίον τῆc Κῶ. Ὅμηροc «Κράπαθόν τε Κάcον τε καὶ Κῶν» (B 676).

*695.

E. M. 764, 25: τραcιά: παρὰ τὸ τέρcω τὸ ξηραίνω τερcιά καὶ ταρcιά ὡc παρὰ Cιμωνίδῃ καὶ καθ' ὑπέρθεcιν τραcιά.

*696.

E. M. 273, 14: διέφραcαι παρὰ Ἰβύκῳ. ἔcτιν ἔφθαρcαι καὶ κατὰ πάθοc ἔφαρcαι καὶ καθ' ὑπέρθεcιν ἔφραcαι καὶ διέφραcαι.

697.

E. Gud. 316, 35: κερκίc: κρέκω γὰρ προκατάρχει ῥῆμα οἷον «γλυκεῖα μᾶτερ, οὔτι δύναμαι κρέκειν τὸν ἱcτόν». κρέκω κρεκίc καὶ καθ' ὑπερβιβαcμὸν κερκίc· παρὰ τὸ κρέκειν, ὅ ἐcτιν ἠχεῖν. περὶ παθῶν.

*698.

E. M. 276, 21: δίκρον καὶ δίκροον τὸ δίκρανον ξύλον. Ἀριcτοφάνηc «δικροῖc ἐώθουν τὴν θεὸν κεκράγμαcιν» (fr. 637 Dind.). Καλλίμαχοc «δίκρον φίλτρον ἀειραμένη». εἴρηται, ὅτι δίκαρόν τι ἐcτι, τὸ δύο ἄκραc καὶ δύο κάρη ἔχον καὶ κατὰ cυγκοπὴν δίκρον. Ἀπολλώνιοc δὲ ἀπὸ τοῦ δικάρανόν φηcι cυγκεκόφθαι. Ἀλέξανδροc δὲ ὁ τοῦ Ἀcκληπιάδου ἐν τῷ ι' τῶν παντοδαπῶν παρὰ τὸ κόροc, ὃ cημαίνει τὸν κλάδον, ἔνθεν καὶ κορυθαλίc ἡ δάφνη λέγεται καὶ κορεῖν τὸ τοῖc κλάδοιc cαροῦν. ἐγὼ δὲ νομίζω μᾶλλον παρὰ τὸ κέραc, ὃ δὴ καὶ κέροc, ἵν' ᾖ δίκεροc καὶ ὑπερθέcει δίκρεοc καὶ τροπῇ τοῦ ε̄ εἰc ο δίκροοc.

699.

E. M. 515, 19: Κρῖcα πόλιc τῆc Φωκίδοc. ἀπὸ τούτου λέγουcι Κριcαῖον κόλπον καὶ Ὅμηροc «Κρῖcάν τε ζαθέην» (B 520). ὑπερθέcει γίνεται Κίρcα καὶ ἀντιθέcει τοῦ c̄ εἰc ρ Κίρρα ὡc χερcόνηcοc χερρόνηcοc. Λεωκρίνηc δὲ ἡγεῖται δύο εἶναι πόλειc, ἄλλην τὴν Κρῖcαν καὶ ἄλλην τὴν Κίρραν. ἀντείρηται δὲ ὑπὸ πολλῶν. οὔτε γὰρ γεωγράφων εἶπέ τιc πόλειc δύο διαφόρουc, ἀλλ' οὐδὲ τῶν περιηγητῶν. μόνοc δὲ αὐτὸc καὶ τοῦτο διὰ ἄγνοιαν τοῦ πάθουc· ὅθεν ἱcτορίαν δίδωcι διεψευcμένην. ἡ αὐτὴ οὖν Κρῖcα καὶ Κίρρα. περὶ παθῶν.

---

ad fr. *694. Κράπαθοc ἢ Κάρπαθοc νῆcοc Hes.
ad fr. *695. Hes. ταρcιήν τὴν τραcιήν.
ad fr. 697. Idem titulo omisso in An. Ox. II 380, 2.
ad fr. *698. Pro Ἀλέξανδροc δὲ ὅτι Ἀcκληπιάδηc Meinek. An. Al. p. 16 emendavit Ἀλεξάνδρου ὁ τοῦ Ἀcκληπιάδου cf. Lehrs ad Herod. p. 429. Herodianeam originem prodit antecessorum mentio, quorum sententiae suam consuetis verbis ἐγὼ δὲ νομίζω opponit. De re cf. Lob. ad Phrynich. p. 233 Parall. 42 not. El. I 300.
ad fr. 699. Verba καὶ ἀντιθέcει τοῦ c̄ εἰc ρ̄ ad explendam sententiam adieci; pro ἀντίκειται scripsi ἀντείρηται; post διὰ ἄγνοιαν verba καὶ ἰδιωτιcμὸν ut

*700.

E. M. 287, 50: δρίφος: δρίφος Συρακούσιοι «φέρ' ὦ τὸν δρίφον», δίφορος γὰρ καὶ δίφρος καὶ δρίφος.

*701.

E. M. 205, 3: βόρμος: βρόμος καὶ καθ' ὑπέρθεσιν βόρμος καὶ βόρμοξ. ἔστι δὲ τροφὴ τετραπόδων.

702.

Zon. 1264: Κύρβαντες: Ἡρωδιανὸς παρὰ τὸ κρύβειν Κρύβαντες καὶ Κύρβαντες, ὅθεν καὶ κυρβασία καὶ κρυβασία.

703.

St. B. 528, 10: Πνύξ τὸ παρ' Ἀθηναίοις δικαστήριον, περὶ οὗ φησιν Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν οὕτως· ἔστιν πύκνη πύκν· οὐ δύναται δὲ καταλῆξαι καὶ ὑπερετέθη τὸ ν̄ καὶ ἐτράπη τὸ κ̄ εἰς ξ̄ πνύξ. ὑπέρθεσιν ἄρα ἔχει διὰ τὴν κατάληξιν· ἐν δὲ τῇ γενικῇ ἀπέλαβε τὴν τάξιν μετὰ τοῦ κ̄ πνύξ πυκνός «τῆς πυκνὸς τὰς ἡνίας» (Arist. Eqq. 1109) καὶ πυκνί «τοῦ λίθου τοῦ 'ν τῇ πυκνί» (Arist. Pac. 680) καὶ πύκνα.

*704.

E. M. 76, 52: ἀμάνδαλον τὸ ἀφανὲς παρὰ Ἀλκαίῳ. ἀμαλδύνω ἀμάλδανον τὸ ἀφανὲς καὶ ἀφανιζόμενον· καὶ ὑπερθέσει ἀμάνδαλον.

*705.

E. M. 596, 32: μέτασσαι: ἡγοῦντο πάντες τοῦτο εἶναι μέσσαται καὶ ἐν ὑπερθέσει μέτασσαι· ὥστε εἶναι μεταξύ τινας. δύναται δὲ καὶ οὕτως ὡς ἐπίσσας λέγεσθαι Ἰωνικῶς παρ' Ἑκαταίῳ. ἔστιν ἔπισσαι αἱ ἐπιγενόμεναι τοῖς προγόνοις. ὡς οὖν ἐπὶ ἔπισσαι, οὕτω μετά μέτασσαι.

[703ᵃ]

Cram. An. Ox. III 263, 24: ἔμμορε Ζηνόβιος καὶ Ἡρωδιανὸς οὕτω κανονίζουσι· μείρω μερῶ, ὁ μὲν παρακείμενος μέμορα καὶ ἐν ὑπερθέσει τοῦ μ̄ ἔμμορα.

---

additamentum epitomatoris eieci. — De Πέρραμος Πρίαμος similibus Aeolicis formis cf. supra fr. 450—452.

ad fr. *700. Inserui καὶ δίφρος.

ad fr. *701. cf. Hes. βόρμος, ὃν καὶ βρόμον λέγουσιν.

ad fr. *705. Pro μεσαίταται scripsi μέσσαται. De ἔπισσα cf. St. B. 90, 21 Ἄμφισσα: παραγωγή, ὡς ἐκ τοῦ ἀντί Ἄντισσα καὶ ἐκ τῆς ἐπί ἔπισσα, οὕτως ἀμφί Ἄμφισσα.

---

ad fr. [703ᵃ]. Hinc concludi potest etiam adnotamentum Anecd. Par. III 337, 26 ἔσσυται: παρὰ τό σῶ ὁρμῶ γίνεται σύω καὶ παραγωγὸν σῦμι. ὁ μέλλων σύσω, ὁ παρακείμενος σέσυκα, ὁ παθητικὸς σέσυμαι καὶ τὸ τρίτον σέσυται καὶ ἐν ὑπερθέσει ἔσσυται (Epim. Cr. I 156, 25, E. M. 383, 44) ab Herodiano profectum esse.

*706.

E. M. 83, 42: Cιμωνίδηc τὸν ἀριθμόν ἀμιθρόν εἶπε καθ' ὑπέρθεcιν. ἐκ δὲ τοῦ ἀμιθρόc ἀμιθρῶ ἀμιθρήcω ἀμιθρῆcαι τὸ ἀριθμῆcαι.

707.

E. M. 99, 13: ἀναρριχᾶcθαι: cημαίνει τὸ ἀναδίδοcθαι τὸ ὕδωρ καὶ οἱονεὶ τρόπον ἀράχνηc τοῖc ποcὶ καὶ χερcὶν ἀντιλαμβανόμενον ἀνιέναι πρὸc τὸ πρόcαντεc. ἀραχνιῶ ἀραχνιᾶcθαι καὶ ἀναρριχᾶcθαι ταὐτόν ἐcτιν. οὕτω τεχνικὸc ὁ ἀνήρ. οὐ κλίνεται δὲ ὁ παρατατικὸc ἠναρριχώμην, ἀλλ' ἀνηρριχώμην. εὑρίcκεται δὲ καὶ χωρὶc τῆc αν cυλλαβῆc παρ' Ἱππώνακτι ἀρριχῶμαι. ἄλλωc οὖν ἐcχημάτιcται. ἄρριχοc λέγεται ὁ κόφινοc, ἐν ᾧ κομίζουcι τοὺc βότρυc. ἐξ αὐτοῦ ἀρριχῶ καὶ ἀναρριχῶ. ἀλλ' οὖν γε οὕτω κρεῖττόν ἐcτιν ἀρριχᾶcθαι καὶ ἀναρριχᾶcθαι. οὕτωc Ἡρωδιανὸc ἐν τῷ περὶ παθῶν.

708.

E. M. 60, 37: Ἀλέρα καὶ Ἐλάρα: «Ἐλάραc γενεά». οὕτω παρὰ Cιμωνίδῃ. Ἀλέρα δὲ παρὰ Πινδάρῳ (fr. 279 Bergk) οἷον «Ἀλέραc ὄζον». ὅτι δὲ τὸ πρῶτόν ἐcτιν ἀληθέc, πίcτιc τούτου ἐκ τοῦ παρ' Ἡcιόδῳ μετὰ προcθήκηc τοῦ ῑ λέγεcθαι τὸ πατρωνυμικόν. Εἰλαρίδην γάρ φηcι Τιτυόν. καθ' ὑπέρθεcιν ἄρα τὸ Ἀλέρα γέγονεν. οὕτωc Ἡρωδιανόc.

[706ᵃ]

Mon. 20, 30: ἀνήρ: οὐδὲν εἰc ηρ λῆγον ὀξυνόμενον ἔχει τὸ ν πρὸ τοῦ η, ἀλλὰ μόνον τὸ ἀνήρ. τὸ δ' αἴτιον πρόδηλον.

[708ᵃ]

Schol. Od. ξ 485: ἐμμαπέωc: ταχέωc, ἅμα τῷ λόγῳ. οὕτω δὲ

---

ad fr. *706. ἀμιθρόc habet etiam Hes. — Huc fortasse pertinet etiam St. B. 618, 10 Τέλμερα πόλιc Καρίαc. — Τρεμίλην (sic enim Meinek. propter p. 633, 8 Τρεμίλη pro Τερμίλην scribendum suspicatur) δ' ἑξῆc παραθήcομαι, ἑτέραν ἔχουcαν γραφήν, τὴν αὐτὴν οὖcαν, ὡc οἶμαι. — Addi potest etiam St. B. 549, 12 Cαγαλαccόc πόλιc Πιcιδίαc. λέγεται καὶ Cελγηccόc, inter quae intercedit Cαλαγαccόc. — De Γαριμᾶc Μαρικᾶc cfr. fr. 624, de πρέcβυc cπέργυc fr. 620. Commemoro etiam notationem E. Or. 159, 39 inter alias Herodianeas positam: φολίc. παρὰ τὸ λέπω λοπίc, ὑπέρθεcιc πόλιc: μετάθεcιc τοῦ π̄ φολίc, de quo cf. Lob. El. I p. 513.

ad fr. *707. ταὐτόν scripsi pro τοῦτο. — τεχνικόc pro ἐθνικόc scribendum proposuit Sylburgius vere, pro ὁ ἀνήρ velim ὁ πατήρ, sed etiam illud ferri potest, intellegitur tum aut Didymus aut Apollonius. — ἀρριχῶμαι pro ἀριχῶμαι posui et ἀρριχᾶcθαι pro ἀραχνιᾶcθαι cum Sylburgio. — Antecessoris sententiam amplexus est in Catholica in Schol. ad Aristoph. Pac. 70. τὸ ἀναρριχᾶcθαι τοῖc Ἀττικοῖc παρὰ τὸ ἀρχαῖόν ἐcτι γενόμενον ἀραχνιῶ καὶ ἐν ὑπερθέcει τῶν cτοιχείων ἀναρριχῶ, τοῦ μὲν ν̄ εἰc τὴν χώραν τοῦ ρ̄ τεθέντοc, τοῦ δὲ ῑ ἀμοιβαίωc καὶ τοῦ ρ̄ εἰc τὴν χώραν τοῦ ν̄, τοῦ δὲ χ̄ πληcίον τοῦ ω. ταῦτα Ἡρωδιανόc ἐν τῷ ϛ' τῆc καθόλου.

ad fr. [706ᵃ]. Recte suspicatus esse videtur Lehrsius ad h. l. Herodianum ἀνήρ ab ἄρρην transpositis literis duxisse.

ad fr. [708ᵃ]. De φόαc ex φάοc orto cf. supra fr. 524, de λωτεῦντα ex λω-

709.

E. M. 197, 55: βιπτάζω: Cώφρων καὶ Ἐπίχαρμος τὸ βαπτίζω βιπτάζω λέγουσιν. οὕτως Ἡρωδιανός.

710.

E. M. 743, 50 collat. 756, 27: τάγηνον: τοῦτο Ἰωνικῶς τινες τήγανον λέγουσι καὶ Ἡρωδιανὸς ἀπὸ τοῦ τήκω τήκανον καὶ μεταθέσει τοῦ κ̄ εἰς γ̄ τήγανον καὶ καθ' ὑπέρθεσιν τάγηνον οἷον «ἐμοῦ δὲ ὥσπερ ἐπὶ ταγήνου ἔσιζεν ἡ καρδία».

711.

E. M. 106, 23: ἀνήγκακα: ἰστέον ὅτι βάρβαρόν ἐστιν οὐχ εὑρισκόμενον παρ' Ἕλλησιν ἐν χρήσει, ὡς λέγει Ἡρωδιανός. μόνῃ γὰρ τῶν Ἀλεξανδρέων δημώδει συνηθείᾳ εὑρίσκεται. λέγουσι δέ τινες Ἀττικὸν εἶναι· ὅπερ οὐκ ἔστιν. οὐ γὰρ ἔχει ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ συλλαβῇ τὸ αὐτὸ σύμφωνον. γίνεται δὲ ἀπὸ τοῦ ἀναγκάζω ἀναγκάσω ἠνάγκακα καὶ καθ' ὑπερβιβασμὸν ἀνήγκακα. δύναται καὶ σύνθετον εἶναι ἀπὸ τοῦ ἀγκάζω τὸ ταῖς ἀγκάλαις λαμβάνω καὶ ἐκ τούτου ἀγκάσω ἤγκακα καὶ μετὰ τῆς ἀνά προθέσεως ἀνήγκακα.

712.

E. M. 56, 27: ἀλάλημαι: ὁ Ἡρωδιανὸς ἐν τῷ περὶ παθῶν ἀπὸ τοῦ ἄλημι ὁ παθητικὸς παρακείμενος ἤλαμαι καὶ Ἀττικῶς ἀλήλαμαι. ἔνθεν τὸ «ἀληλάμενοι περὶ κύκλον» (Apoll. Rhod. IV 1198, ubi nunc scriptum est ἑλισσόμεναι) καὶ καθ' ὑπέρθεσιν ἀλάλημαι.

Φιλόξενος σχηματίζει τὴν λέξιν ἐν δευτέρῳ περὶ μονοσυλλάβων ῥημάτων· παρὰ τὸ ἔπος παράγουσι σύνθετον τὸ ἀμεπής ὡς ψεῦδος ἀψευδής· εἶτα ἐξ αὐτοῦ παράγουσι μεσότητος ἐπίρρημα ἀμεπῶς ὡς ἀψευδῶς καὶ ἐν Ἰωνικῇ διαλύσει ἀμεπέως ὡς ἀψευδέως. καὶ ἐπεὶ τρεῖς βραχεῖαι ἀλλεπάλληλοι οὐ συνίστανται, τῷ διπλασιασμῷ τοῦ μ̄ καὶ ἀντιπαραχωρήσει (ὑπερθέσει B) τοῦ ᾱ καὶ ε̄ γίνεται ἐμμαπέως. BHQ Vind. 133.

[712ᵃ]

Arcad. 76, 21: βαύνασος καὶ βάναυσος.

ad fr. 709. Hes. βιπτάζειν ἐπιβάπτειν.

ad fr. 710. cf. Aristoph. Eqq. 929: τὸ μὲν τάγηνον — τευθίδων ἐφεστάναι σίζον. Meinekius phil. exercitt. in Athen. I p. 11 propter Athen. VI p. 229 c τὴν λοπάδα τήγανον προσαγορευόντων. χωρὶς δὲ τοῦ τ̄ στοιχείου Ἴωνες ἤγανον λέγουσιν, ὡς Ἀνακρέων, χεῖρά τ' ἐν ἠγάνῳ βαλεῖν, recte, ut videtur, ἤγανον init. pro τήγανον scribi vult.

ad fr. 712. περὶ παθῶν scripsi pro περὶ παθητικῶν.

τόεντο λωτέοντα contracto fr. 528, de ὦχρος ex ἄχροος propagato Il. Pr. Γ 35 (Ep. Cr. I 447, 9).

ad fr. [712ᵃ]. Sic in cod. Havn. cf. Tryphon. Velsen p. 94 (E. Gud. 104, 4) βαύνοσος. Τρύφων ὁ τοῦ Ἄμμωνος ἀπὸ τοῦ βαῦνος βάναυσος λέγει κατὰ πάθος, ὤφειλε γὰρ ὡς παρὰ τὸ ἵππος Ἵπποσος, κριός κρίοσος, οὕτω βαῦνος βαύνοσος. γέγονε δὲ ἐν ὑπερθέσει. — ῑ et ῡ in μύτιλος et πύτιλος utpote ex integris μίτυλος πίτυλος propagatis traiecta esse putasse Herodianum ex Arcad. p. 55, 23 conici licet cf. Lob. Proll. 114, El. I 522, Lehrs ad Herod. Mon. 21, 2.

ΕΚ ΤΩΝ ΗΡΩΔΙΑΝΟΥ ΥΠΟΜΝΗΜΑΤΩΝ ΤΩΝ ΠΕΡΙ ΠΑΘΩΝ ΔΙΔΥΜΟΥ.

1.

Il. Pros. Λ 160: κειν’: λέγει ὁ τεχνικὸς ἐν τῷ α΄ ὑπομνήματι τῷ περὶ παθῶν Διδύμου· τὰ ὀξύτονα ἡνίκα ἐκθλίβηται τὴν ὀξυνομένην cυλλαβήν, ἀναπέμπει τὴν ὀξεῖαν ἐπὶ τὴν ὀπίcω cυλλαβήν, καὶ ἐὰν ᾖ ἡ ἐκθλιβεῖcα cυλλαβὴ ἡ ἔχουcα τὴν ὀξεῖαν βραχεῖα, ἡ δὲ ὀπίcω cυλλαβὴ φύcει μακρά, τῷ τονικῷ παρεγγέλματι γίνεται περιcπώμενον. περιcπᾷ γοῦν τὸ δεῖλ’. ἐν δὲ τῇ Ὁμηρικῇ προcῳδίᾳ ἐναντιοῦται τούτῳ.

2.

Il. Pros. Ρ 201: ζητεῖ ὁ Ἡρωδιανὸc ἐν τῷ α΄ ὑπομνήματι τῷ περὶ παθῶν Διδύμου περὶ τοῦ ἆ δεῖλ’, πῶc δεῖ τονίζειν αὐτὸ καί φηcι. πολὺ δὲ πρότερον παρὰ τῷ ποιητῇ ἐcτὶ τὸ τῆc ἀναγνώcεωc «ἆ δείλ’ οὐδέ τί τοι θάνατοc» ἢ «ἆ δεῖλ’ οὐδέ τί τοι θάνατοc». τὸ γὰρ πλῆρέc ἐcτιν ἆ δειλέ· οὐ γάρ, ὡc οἱ ἐξηγηcάμενοι, τοῦ δείλαιε ἀποκοπή. ἐν ἑτέροιc γὰρ αὐτὸc λέγει «ἆ δειλώ, τί νυ δάκρυ κατείβετον» (Od φ 86). περιγέγραπται οὖν ἡ ὀξεῖα, εἶτα καὶ ἀνάπαυcιc γέγονεν. ἆρα οὖν φυλαχθήcεται ἡ ὀξεῖα, ἢ ἐπεὶ περιγέγραπται τὸ φωνῆεν τῆc ὀξείαc περιγέγραπται καὶ ὁ τόνοc; τὸ κρινόμενον ἐκεῖνο, ἵνα ἐπιcτάμενοι ἀναγνῶμεν. ἕν ἐcτιν εἰπεῖν, εἰ ἅπαξ περιγέγραπται τὸ φωνῆεν τὸ ἔχον τὴν ὀξεῖαν, ὁ τόνοc γενέcθω τῆc προτέραc cυλλαβῆc, οὐχὶ τῆc ἐπὶ τέλουc.

3.

Schol. A ad Il. Γ 272 et E. M. 116, 51: ἄωρτο· ἄρω ἐcτὶ τὸ cημαντικὸν τοῦ ἁρμόζω, οὗ μέλλων ἄρcω, ἀόριcτοc ἦρcα «Θέτιc ὤμοιcιν ἐπῆρcεν» (Il. Ο 167 et 339) ἀντὶ τοῦ ἐφήρμοcεν «καὶ πώμαcιν ἄρcον ἅπαντα» (Od. β 353) ἀντὶ τοῦ ἐφάρμοcον. τοῦ ἄρω ὁ παρακείμενοc ἦρκα, ὁ παθητικὸc ἦρμαι, ὑπερcυντέλικοc ἤρμην, τὸ τρίτον ἦρτο, cυcτολῇ ἄρτο, ἐπενθέcει τοῦ ω̄ ἄωρτο ὥcπερ εἶθα εἴωθα. οὕτωc Ἡρωδιανὸc ἐν τῷ β΄ ὑπομνήματι τῷ περὶ παθῶν Διδύμου.

---

ad fr. 1. α΄ cum Schmidt. fr. Didym. 344 inserui et pro τοῦ cum Lehrs Arist. p. 21 τῷ scripsi. In fine τὸ δεῖλ’ Heynius pro τὸ δῆλον emendavit. — De re cf. Il. Pr. Λ 441, ἆ δεῖλ’: ἐπεὶ μετὰ τὰc προcαγορευτικὰc ἀνάγκη cτίζειν, ὡc καὶ ἡ cυνήθεια μαρτυρεῖ cτίζουcα μετὰ τὴν δευτέραν λέξιν, οὐκ ἔcτι δὲ πλήρηc ἀλλὰ cυνήλειπται, οὕτωc δὲ ἡμῶν ἀναγινωcκόντων πεπονθυῖαν τὴν λέξιν βαρβαριcμὸc γίνεται, εἴτε ὀξύνοιμεν εἴτε περιcπάcοιμεν, ἀναγκαίωc ἐκ πλήρουc γράφειν τὴν λέξιν «ἆ δειλέ» δεῖ, ἵνα καὶ ἡ cτιγμὴ καὶ ὁ τόνοc ἀναλόγωc καὶ Ἑλληνικῶc ἔχῃ. οὕτωc δὲ καὶ Ἀρίcταρχοc ἔγραψεν ἐκ πλήρουc, ὡc Δίδυμοc μαρτυρεῖ· τὸ μὲν γὰρ μέτρον οὐκ ἂν δόξαι βλάπτεcθαι τοῦ cτοιχείου προcτιθέντοc, ἐπεὶ ὅταν δέῃ ὑγιὲc αὐτὸ παριcτάναι, πάλιν ἀφαιρεθήcεται ὡc «βουκόλε ἐπεὶ οὔτε κακῷ» (Od. υ 227) «ἦ οὐ μέμνῃ ὅτε τ’ ἐκρέμω» (Il. Ο 18). οὕτωc δὲ καὶ ἐν τοῖc ἑξῆc «ἆ δειλέ, οὐ μέν coί γε» (452). cf. Lehrsium ad h. l. et ad Mon. 40, 25 s. κρείccων.

ad fr. 3. In E. M. scriptum est Ἰωνικῶc κατὰ cυcτολὴν ἄρτο. — Verba ὥcπερ εἶθα εἴωθα ex E. M. addidi. Pro ποιήματι scripsi ὑπομνήματι cum Lehrs Arist. p. 20 ed. II secundum titulum in duobus reliquis fragmentis consignatum; Lobeckius El. I 480 pro ποιήματι proposuit τμήματι.

ΠΕΡΙ CΥΝΤΑΞΕΩC ΤΩΝ CΤΟΙΧΕΙΩΝ.

1.

Schol. ad Dionys. Bekk. An. 798, 16: Ἐπὶ τῶν δύο βραχέων φωνηέντων τοῦ ε̄ καὶ ο̄ ὅ τε Ἡρωδιανὸς καὶ ὁ τούτου πατὴρ Ἀπολλώνιος ἐζήτηςαν, τί τίνος ἐςτὶ βραχύτερον. Καὶ ὁ μὲν Ἀπολλώνιός φηςι τὸ ο εἶναι βραχύτερον τοῦ ε̄, ἀποδείξει τοιαύτῃ χρώμενος. λέγει γὰρ ὅτι τὸ ῑ ἑκατέρῳ αὐτῶν προςθεὶς ποιήςεις δηλονότι δύο διφθόγγους, καὶ ἡ μέν ἐςτι μείζων ἡ τὸ ε̄ ἔχουςα, ἡ δὲ ἐλάςςων ἡ τὸ ο̄ ἔχουςα, ὡς εἶναι αὐτὴν καὶ βραχεῖαν ἐν τοῖς τόνοις, ὡς ἐν τῷ Ὅμηροι, Πρίαμοι καὶ τὰ ὅμοια.

Ὁ δὲ Ἡρωδιανὸς τὸ ε̄ μᾶλλον λέγει βραχύτερον, ἀποδεικνὺς οὕτως. φηςὶ γὰρ πρὸς τὸν πατέρα, ὅτι οὐ δεῖ τῇ παραθέςει τοῦ ῑ ἐξετάζειν ἐκείνων τὴν δύναμιν, ἀλλὰ κατ' ἰδίαν ἄνευ τινὸς παραθέςεως καὶ μάλιςτα τῆς τοῦ ῑ· τοῦτο γὰρ ςυγγένειάν τινα ἔχει πρὸς τὸ ε̄. καὶ δείκνυςιν ἐκ τοῦ τὴν ἐκφώνηςιν τοῦ ῑ εἶναι ὄνομα τοῦ ε̄ γράμματος. τῷ ςυγγενεῖ οὖν προςτεθὲν μεγάλην τινὰ καὶ δυναμικωτάτην δίφθογγον ἀπετέλεςεν· τὸ δὲ ο̄, προςελθόντος τοῦ ῷ οὐκ ἔχει ςυγγένειαν, οὐκ ἐνεδείξατο ὅλην τὴν ἑαυτοῦ δύναμιν. ὡς ἐπὶ παραδείγματος ἀνθρωπείου, ἵνα μᾶλλον καὶ caφῶς αὐτὸ νοήςωμεν, εἴ τις ἀδελφὸν αὑτοῦ θεάςαιτο χρείαν ἔχοντα βοηθείας, ὅλῃ τῇ ψυχῇ ὑπεραςπίζει αὐτοῦ καὶ ςυμπράττει καὶ ὑπερμαχεῖ· ἀλλ' οὖν οὐχ ὅλῃ ψυχῇ ὑπὲρ ξένου τοῦτο ποιήςει, ἐξ οὗ καὶ ἀδρανεςτέρα ἡ τῶν ἀμφοτέρων δύναμις πρὸς τοὺς ἐξ ἐναντίας ὤφθη. οὕτως καὶ ἐπὶ τοῦ ῑ νόηςον, ὅτι οὐχ ὁμοίως ἐπεδείξατο τὴν ἑαυτοῦ δύναμιν ὡς ἐπὶ τοῦ ε̄ τοῦ ςυγγενοῦς. Διὰ τοιούτων λόγων ὁ Ἡρωδιανὸς ἀποςτρέψας τὴν τοῦ πατρὸς δόξαν, ἐπιφέρει τοιαύτην δικαιολογίαν, δεικνὺς τὸ ε̄ βραχύτερον ἐλεγχόμενον ὑπὸ τῆς κλίςεως τῶν ὀνομάτων. φηςὶ δὲ ἀληθέςτατον κανόνα τοιοῦτον, ὅτι πᾶςα κλητικὴ τῆς ἰδίας εὐθείας ἢ ἴςη ἐςτὶν ἢ ἐλάςςων, μείζων δὲ οὐδέποτε. ἢ γὰρ φυλάςςει τὸ τῆς τελευταίας ςυλλαβῆς φωνῆεν, καὶ δῆλον ὅτι ἴςη ἐςτίν, ὡς ἀπὸ τοῦ Ξενοφῶν — ὦ Ξενοφῶν, ἡ καλή — ὦ καλή, τὸ παιδίον — ὦ παιδίον· ἢ ἐὰν μὲν τρέπῃ, οὔτε εἰς ἴςον οὔτε εἰς μεῖζον τρέπει αὐτό, ἀλλὰ πάντως εἰς ἔλαττον. ὁ Ὀρέςτης —

ad fr. 1. Similia habet Theodosius ed. Goettling. p. 33, 22 apud quem initio sic legitur: ποῖόν ἐςτι βραχύτερον τὸ ε̄ ἢ τὸ ο̄; λέγομεν δή, ὅτι Ἀπολλώνιος καὶ ὁ τούτου υἱὸς Ἡρωδιανὸς ἐζήτηςε περὶ τούτων. Notabile est Theodosium more posteriorum grammaticorum substituere pro Ὅμηρος Ὅμηρε nomina Νικόλαος, Γεώργιος. Fere idem in brevius contractum habemus paucis paginis post in Bekk. An. p. 800, ubi Apollonius et Herodianus quasi confabulantes introducuntur: πρὸς ὃν φηςιν Ἡρωδιανός, ὅτι ὥςπερ (scr. ὡς ὅτι ex more Herodianeo pro simplici ὅτι) οὐ δεῖ τῇ παραθέςει τοῦ ῑ τὴν τοῦ ε̄ καὶ ο̄ δύναμιν ἐξετάζεςθαι, ἀλλ' ἰδίᾳ ἕκαςτον αὐτῶν. Ὁ δὲ Ἀπολλώνιος πρὸς αὐτόν. Ὦ τέκνον, τίνι λόγῳ, καί φηςιν ὅτι πᾶν ςτοιχεῖον κτλ. Canonem de vocativo habet etiam Theogn. 1[5]4, 4 πᾶςα κλητικὴ κατὰ τὴν ἐςχάτην ςυλλαβὴν ἢ ἴςον ἔχει χρόνον τῇ εὐθείᾳ ἢ ἐλάττω, οὐδέποτε δὲ μείζω κτλ.

ὦ Ὀρέcτα· τὸ ᾱ τοῦ η βραχύτερον. ὁ Μέμνων — ὦ Μέμνον· ἐπὶ μὲν τῆc εὐθείαc τὸ ω, ἐπὶ δὲ τῆc κλητικῆc τὸ ο. ὁ Ἀπόλλων — ὦ Ἄπολλον. ὁ Ἀριcτοφάνηc — ὦ Ἀριcτόφανεc. ἐπὶ τοῦ Ὅμηροc οὖν καὶ ἐπὶ πάντων τῶν εἰc οc φυλάττει τὸ ο ἡ κλητική, ἢ ἐὰν τρέπῃ αὐτό, ὥcπερ καὶ τρέπει, πάντωc εἰc βραχύτερον τοῦ ο. ἐπειδὴ οὖν εἰc ε̄ τρέπει, δῆλον ὅτι βραχύτερόν ἐcτι τοῦ ο, οἷον ὁ Ὅμηροc — ὦ Ὅμηρε.

*2.

Ep. Cr. I 158 (128), E. M. 351, 8: εἴκω, ὁ μέcοc παρακείμενοc οἶκα καὶ πλεοναcμῷ τοῦ ε̄ ἔοικα, ὁ μέcοc ὑπερcυντέλικοc ἐῴκειν καὶ ὤφειλεν εἶναι ᾐοίκειν· ἀλλὰ κανών ἐcτιν ὁ λέγων, ὅτι οὐδέποτε λέξιc Ἑλληνικὴ εὑρίcκεται ἀπὸ τοῦ η̄ ἀρχομένη ἐπιφερομένου τοῦ ο̄, χωρὶc εἰ μὴ ἐν διφθόγγῳ εἴη ἢ κατὰ διάλεκτον. πρόcκειται «εἰ μὴ ἐν διφθόγγῳ» διὰ τὸ ᾔουc ᾐοῖ καὶ «πρωῒ δ' ὑπηοῖοι» (Θ 530, C 277. 303). «κατὰ διάλεκτον» διὰ τὸ ἠῶ· οἱ γὰρ Ἴωνεc διαλύοντεc λέγουcιν ἠόα. κατὰ τοῦτον τὸν κανόνα ἐγένετο ὑπερβιβαcμὸc τοῦ χρόνου καὶ τὸ μὲν ε̄ ἐφυλάχθη διὰ τὸ ο̄, τὸ δὲ ο̄ ἠμείφθη εἰc ω καὶ ἔμεινε τὸ ῑ προcγεγραμμένον. ὅμοιόν ἐcτι τὸ ἑώρταζον καὶ ἐώργειν καὶ ἐώλπειν.

*3.

E. M. 440, 14: κανών ἐcτιν ὁ λέγων ὅτι οὐκ ἔcτιν ἐπινοῆcαι τὸ η̄ καὶ τὸ ῡ ἐν μιᾷ cυλλαβῇ χωρὶc εἰ μὴ ἐν κλίcει ῥήματοc ὡc αὐδῶ ηὔδων, αὐχῶ ηὔχουν· ἀναγκαία οὖν ἡ διάcταcιc τοῦ ἠΰτε ὁμοίωc τῷ γρηΰc καὶ νηΰc.

4.

Theogn. Cr. II 78, Bekk. An. 1385: τὸ ἰῶτα μόνον ἐκ πάντων (τῶν cτοιχείων) καὶ τριcύλλαβον καὶ προπεριcπώμενον. καὶ ἐχρῆν αὐτὸ προπαροξύνεcθαι, ἀλλ' ἐπεὶ cτοιχεῖον ἦν, ἠκολούθηcε τοῖc διcυλλάβοιc ἔχουcι πρὸ τέλουc τὸν τόνον. οὕτωc Ἡρωδιανὸc ἐν τῇ cυντάξει τῶν cτοιχείων.

*5.

Choer. Dictat. 101, 20: ὅτι τὸ ῑ ἀcθενέcτερόν ἐcτι πάντων τῶν φωνηέντων, δῆλον ἐντεῦθεν. τῶν φωνηέντων τὰ μέν εἰcι προτακτικά, τὰ δὲ ὑποτακτικά. καὶ προτακτικὰ μέν εἰcι ταῦτα, α, ε̄, η, ο̄, ω, ὑποτακτικὰ δὲ δύο ῑ καὶ υ. καὶ τὸ υ δὲ τὸ ὑποτακτικὸν πολλάκιc εὑρίcκεται τοῦ ῑ προτακτικόν, ὡc ἐν τῷ μυῖα καὶ ἅρπυια καὶ υἱόc καὶ τοῖc ὁμοίοιc. εἰ ἄρα οὖν τὸ ῑ καὶ τοῦ ὑποτακτικοῦ ὑποτακτικόν ἐcτι, δηλονότι ἀcθενέcτερόν ἐcτι πάντων τῶν φωνηέντων.

ad fr. *3. Similia habet Apollon. de adverb. 560, 1, ex quo loco scripsi ἀναγκαία pro ἀναγκαίωc et Herodianus περὶ παθῶν fr. 97 (E. M. 762, 49), ubi docetur propter hunc canonem pro τοιηύτη dici τοιαύτη. cf. An. Ox. III 237.

ad fr. *5. Ad vocalem ῑ pertinet etiam, quod tradit Choer. Dict. 196, 25: τὸ ὄφιε κατὰ τὴν ἀκρίβειαν οὐ δύναται κρᾶcιν ἀναδέξαcθαι τοῦ ῑ καὶ ε̄ εἰc ῑ, ἐπειδὴ τὸ ῑ οὐκ ἔcτι τελικὸν τῆc ἰδίαc εὐθείαc τῶν δυϊκῶν· τελικὰ γὰρ τῆc εὐθείαc τῶν δυϊκῶν τρία εἰcὶν οἷον ᾱ ε̄ ω Ἀτρείδα, Ἕκτορε, φίλω (cf. fr. περὶ παθῶν 519). Theogn. 153, 20 οὐκ ἔcτι τῆc εὐθείαc τῶν δυϊκῶν τελικὸν τὸ ῑ κτλ.

6.

Theogn. Cr. II 26, Bekk. An. 1425: τὸ ῡ καθαρὸν ἐν ἀρχῇ λέξεως παρὰ πᾶσι τοῖς Ἕλλησι πρὸ τοῦ χ εἶναι ἀπείρηται καὶ τὸ αἴτιον ὀχυρόν· πᾶν γὰρ φωνῆεν πρὸ τοῦ χ ψιλοῦται καὶ τὸ υ ἐν ἀρχῇ λέξεως δασύνεται. δύο οὖν κανόνων ἀλλήλοις ἀνθισταμένων ἐξέφυγεν τὸ ῡ πρὸ τοῦ χ εὑρίσκεσθαι· καθαρὸν δὲ εἶπον, ἐπεὶ τὸ ὗρχα οὐ καθαρὸν ἔχον τὸ υ πρὸ τοῦ χ̄ εὕρηται. οὕτως Ἡρωδιανὸς ἐν τῇ τάξει τῶν κδ στοιχείων.

*7.

Choer. Dict. 123, 7: οὐδέποτε ἡ ῡι δίφθογγος ἐν τέλει λέξεως εὑρίσκεται οἷον μυῖα, ἅρπυια, υἱός. ἐν γὰρ τῷ «σύμβαλον ἀμφὶ νέκυϊ κατατεθνειῶτι μάχεσθαι» (Π 565) οὐκ ἔστιν ἐν διφθόγγῳ τὸ ῡ καὶ τὸ ῑ, ἀλλ' ἐν τῷ μέτρῳ κατὰ συνίζησιν μετροῦνται, τουτέστιν αἱ δύο συλλαβαὶ εἰς μίαν συλλαβὴν ἤγουν τὸ υ καὶ τὸ ῑ ὥσπερ ἐν τῷ «χρυσέῳ ἀνὰ σκήπτρῳ» (Α 15) τὸ ε̄ καὶ ἡ ῳ δίφθογγος εἰς μίαν συλλαβὴν μετροῦνται οἷον χρυσῷ. καὶ ἄξιόν ἐστι ζητῆσαι, διὰ ποίαν αἰτίαν οὐδέποτε ἡ ῡι δίφθογγος ἐν τέλει λέξεως εὑρίσκεται. καὶ ἔστιν εἰπεῖν τὴν αἰτίαν ταύτην, ἐπειδὴ οὐδέποτε μετὰ τὴν ῡι δίφθογγον εὑρίσκεται σύμφωνον ἐπιφερόμενον οἷον μυῖα, ἅρπυια, υἱός. εἰ ἐτίθετο οὖν ἡ ῡι δίφθογγος ἐν τέλει λέξεως, συνέβαινε λέξιν ἐπιφέρεσθαι ἀρχομένην ἀπὸ συμφώνου καὶ λοιπὸν εὑρίσκετο μετὰ τὴν υι σύμφωνον ἐπιφερόμενον ὅπερ ἐστὶν ἀδύνατον.

ad fr. 6. l. 4 addidi ἐν ante ἀρχῇ, Bekk. An. ἄρχον. l. 6 ὗρχα scripsi pro ὕρχας. Eundem canonem auctore et libro tacitis profert Choer. Dict. 633, 5; transscripsit etiam Macrobius II p. 300: denique ῡ, quia nunquam sine aspiratione incipit, nunquam literae χ̄ praeponitur, ne alterius natura violetur, aut τοῦ υ, si incipiat sine aspiratione, aut τοῦ χ̄, si qua vocalem cum aspiratione sustineat. — De ῡ in fine dualis haec tradit Choer. 236, 3: οὐ δύναται ἡ βότρυε εὐθεῖα τῶν δυϊκῶν γενέσθαι κατὰ κρᾶσιν τοῦ ῡ καὶ ε̄ εἰς ῡ μακρὸν βότρυ, ἐπειδὴ ἤμελλεν εἰς τὸ ῡ καταλήγειν, ὅπερ ἐστὶν ἀδύνατον· τὸ γὰρ ῡ οὐκ ἔστι τελικὸν τῆς εὐθείας τῶν δυικῶν et p. 242, 1: οὐ δύναται ἡ εὐθεῖα βόε τῶν δυϊκῶν γενέσθαι καὶ κρᾶσιν τοῦ ο̄ καὶ ε̄ εἰς τὴν ου δίφθογγον βοῦ, ἐπειδὴ ἤμελλεν εἰς ῡ καταλήγειν κτλ.

ad fr. *7. l. 22 propterea quod ῡι diphthongus in fine locum non habeat, Choerob. h. l. deminutiva in ῦς velut Διονῦς, Καμμῦς, Λαρδῦς, Κλαυςῦς in dativo non in ῡι, sed in ῡ exire dicit; idem p. 409, 1 υἷς nominativum non contrahi docet, quod ῡι ante consonam poni non possit, sed hoc ab Herodiano alienum est, qui, quum diserte in Il. Pros. Ε 266 υἷς εὐθεῖαν μὴ εἰρημένην dicat, quaesivisse non potest, cur non contrahatur, sed magis Herodianum sapit, quod p. 463, 19 traditur ob hanc causam ab υἷς υἷιος υἱος dativum υἷσι formari non potuisse, sed υἱάσι, et porro, quod de optativo passivi verborum in υμι p. 781, 16 profertur: τὰ εὐκτικὰ τῶν τῆς δ' συζυγίας τῶν εἰς μ̄ι οὐκ ἔχουσι τὸ ῑ πρὸ τοῦ μ̄, ζευγνύμην γὰρ καὶ ὀμνύμην καὶ ὀλλύμην χωρὶς τοῦ ῑ· οὐκ ἔχουσι δὲ ῑ κατὰ τὴν παραλήγουσαν, ἐπειδὴ οὐδέποτε μετὰ τὴν υ̅ι δίφθογγον εὑρίσκεται σύμφωνον ἐπιφερόμενον οἷον υἱὸς ἅρπυια, μυῖα, αἴθυια. Sed male intellexisse videtur Herodianum Theognostus 125, 24: μῦς μυὸς μυΐδιον καὶ ἐν συγκοπῇ τοῦ ῑ μύδιον· τοῦ γὰρ ῡ καὶ ῑ εἰς τὴν ῡι δίφθογγον συναιρεθῆναι μὴ δυναμένων διὰ τὸ μηδέποτε τὴν ῡι δίφθογγον ἐπὶ τέλους λέξεως μήτε μετὰ συμφώνου εὑρίσκεσθαι ἐξέπεσε τὸ ῑ καὶ ἔμεινεν μόνον τὸ ῡ. cf. Lob. El. II 22 seqq.

*8.

Τιμοθέου Γάζης κανόνες καθολικοὶ περὶ cυντάξεως in 'Anecd. Paris. IV p. 214, 13—244 extr.

Τὰ ἄφωνα πρὸ τῶν ἀμεταβόλων ἐν cυλλήψει εἰcὶν ἤγουν ὁμοῦ εἰcιν, καὶ οὐκ ἔcτι χωρὶc τὸ ἄφωνον καὶ χωρὶc τὸ ἀμετάβολον οἷον ἀκμή, ἀτμός, ὄγκος, ἀγρός, ἔκλαιον, ἔθνηcκον, ἔπλεον, ἁβρός· ἰδοὺ ἐπὶ τούτων δύο cύμφωνα ὁμοῦ εἰcιν, ἐπειδὴ ἄφωνον πρὸ ἀμεταβόλου ἐcτίν. δεῖ προcθεῖναι χωρὶc τῶν ὄντων ἀπὸ τῆc ἐξ προθέcεωc. ταῦτα γὰρ ἐν διαcτάcει ἔχουcι τὸ ἄφωνον μετὰ τῶν ἐπιφερομένων ἀμεταβόλων, ἤγουν ἐν ἄλλῃ cυλλαβῇ τὸ ἄφωνον καὶ ἐν ἄλλῃ τὸ ἀμετάβολον οἷον ἐκλῦcαι, ἐκνευρίcαι, ἐκρεῦcαι, ἐκμάξαι..

Τὰ cύμφωνα τὰ ἐν ἀρχῇ λέξεωc εὑριcκόμενα ἀεὶ ἐν cυλλήψει εἰcὶ καὶ οὐ χωρὶc οἷον κτύποc, κτῆμα, πτῶcιc, cθένοc, θρόνοc· οὐδὲ γὰρ προηγεῖται αὐτῶν φωνῆεν τὸ ὀφεῖλον τοῦ ἑνὸc cυμφώνου τὴν cύνταξιν ἀναδέξαcθαι.

Τὸ c̄ πρὸ πάντων τῶν ἀφώνων ἐν cυλλήψει ἐcτίν, ἤγουν ὁμοῦ εἰcι τὰ δύο, τὸ c καὶ τὸ ἐπιφερόμενον ἄφωνον, οἷον ἔcβεcε, φάcγανον, θεόcδοτοc, ἀcκόc, ἀcτήρ, ἀcπίc, ἀcθενήc, ἀcχημοcύνη, ἑωcφόροc· ἰδοὺ ἐπὶ τούτων τὸ c̄ μετὰ τῶν ἐπιφερομένων ἀφώνων ὁμοῦ ἐcτι. δεῖ προcθεῖναι χωρὶc τῶν ὄντων ἀπὸ τῆc εἰc προθέcεωc καὶ ἀπὸ τῆc πρόc καὶ ἀπὸ τοῦ δυc ἐπιρρήματοc· ταῦτα γὰρ ἐν διαcτάcει ἔχουcι τὸ c̄ μετὰ τῶν ἐπιφερομένων ἀφώνων, ἤγουν ἐν ἄλλῃ cυλλαβῇ ἔχουcι τὸ c̄ καὶ ἐν ἄλλῃ τὸ ἐπιφερόμενον ἄφωνον οἷον εἰcφέρω, προcφορά, δυcτυχήc.

Τὸ c̄ μετὰ πάντων τῶν ἁπλῶν cυμφώνων κατὰ cύλληψιν θέλει εἶναι ἤγουν ὁμοῦ· καὶ ἢ κατὰ πρόταξιν εὑρίcκεται ἢ καθ' ὑπόταξιν. καὶ προηγεῖται μὲν οἷc οὐχ ὑποτάττεται οἷον cθένοc, cκιά, cπῶ, cτῆναι, cφαῖρα, cχίζω· ὑποτάττεται δὲ ὧν οὐ προηγεῖται οἷον ἅλc, Τῖρυνc, ἔcτι δὲ ὄνομα πόλεωc, μάκαρc, cημαίνει δὲ τὸν μακάριον. δεῖ προcθεῖναι χωρὶc τῶν ὄντων ἀπὸ τῆc εἰc καὶ τῆc πρόc προθέcεωc καὶ ἀπὸ τοῦ δυc ἐπιρρήματοc· ταῦτα γὰρ ἐν διαcτάcει ἔχουcι τὸ c̄ πρὸc τὸ ἐπιφερόμενον cύμφωνον οἷον προcφέρω, εἰcβολή, δυcτυχήc.

Τὰ cύμφωνα τὰ ἐν ἀρχῇ λέξεωc εὑριcκόμενα, καὶ ἐν τῷ μέcῳ ἐὰν εὑρεθῶcιν, ἐν cυλλήψει εὑρίcκονται, οἷον ἐν τῷ κτῆμα τὸ κτ ἐν ἀρχῇ λέξεωc ἐcτίν, ἀλλὰ καὶ ἐν τῷ ἔτικτον εὑρεθέντα ἐν τῷ μέcῳ τὸ κ̄ καὶ τὸ τ̄ ὁμοῦ ἐcτιν· πάλιν κλαίω ἔκλαιον, πρίζω ἔπριζον, βδέλλα ἑβδομάc, χθὼν ἐχθέc, φθείρω ἐφθόνουν· ἰδοὺ ἐπὶ τούτων τὰ cύμφωνα τὰ ἐν τῇ ἀρχῇ τῆc λέξεωc ὄντα εὑρεθέντα καὶ ἐν τῷ μέcῳ ὁμοίωc εἰcί. δεῖ προcθεῖναι χωρὶc τῶν ὄντων ἀπὸ τῆc εἰc προθέcεωc καὶ τῆc πρόc

l. 28 cum Cramero pro "Απυc scripsi ἅλc, quod recurrit p. 244, 16. de re cf. Lob. Parall. p. 32 seqq. et St. B. 163, 19 Βερέκυντοc γενικὴ τῆc εὐθείαc ἀρρήτου. — Similia de c̄ habent Bekk. An. 1128 cf. etiam Hephaest. p. 4 Westphal., qui ex Timocreonte affert etiam χέρc. l. 35 pro ἀλλὰ δὲ scripsi ἀλλὰ καί.

καὶ τῆς ἐξ καὶ τοῦ δυς ἐπιρρήματος· ἐπὶ τούτων γὰρ τὰ σύμφωνα εὑρίσκονται ἐν ἀρχῇ λέξεως καὶ ὅμως ἐν τῷ μέσῳ οὐχ εὑρίσκονται ἐν συλλήψει, ἀλλ' ἐν διαστάσει, τουτέστιν ἐν ἄλλῃ συλλαβῇ τὸ ἓν σύμφωνον καὶ ἐν ἄλλῃ τὸ ἕτερον οἷον ἐν τῷ σφαῖρα τὸ σ̅ καὶ τὸ φ̅ ἐν ἀρχῇ εἰσι καὶ ὅμως ἐν τῷ εἰσφέρω καὶ προσφορά ἐν τῷ μέσῳ εὑρεθέντα οὐκ εἰσὶν ὁμοῦ, ἀλλ' ἐν διαστάσει· καὶ πάλιν ἐν τῷ στῆναι τὸ σ̅ καὶ τὸ τ̅ ἐν ἀρχῇ εἰσι καὶ ὅμως ἐν τῷ δυστυχής ἐν τῷ μέσῳ εὑρεθέντα οὐκ εἰσὶν ὁμοῦ ἀλλ' ἐν διαστάσει· καὶ πάλιν ἐν τῷ κλαίω τὸ κ̅ καὶ τὸ λ̅ ἐν ἀρχῇ εἰσι καὶ ὅμως ἐν τῷ ἐκλῦσαι ἐν τῷ μέσῳ εὑρεθέντα οὐκ εἰσὶν ὁμοῦ, ἀλλ' ἐν διαστάσει.

Τὰ ψιλὰ τῶν ψιλῶν ἡγοῦνται καὶ τὰ δασέα δασέων καὶ τὰ μέσα μέσων κατὰ σύλληψιν οἷον ἔπιπτον, ἔτικτον· τὸ γὰρ π καὶ τ̅ ψιλὰ ὄντα ἅμα εἰσὶ καὶ τὸ κ̅ καὶ τὸ τ̅ ὁμοίως· καὶ πάλιν ἔφθειρον, ἐχθαίρω τὸ μισῶ· τὸ γὰρ φ καὶ θ δασέα ὄντα ἅμα εἰσὶ καὶ τὸ χ̅ καὶ θ̅ ὁμοίως· καὶ πάλιν ἑβδομάς, ὄγδοος· τὸ γὰρ β καὶ δ μέσα ὄντα ἅμα εἰσὶ καὶ τὸ γ̅ καὶ δ̅ ὁμοίως. δεῖ προσθεῖναι χωρὶς τῶν ὄντων ἀπὸ τῆς ἐξ διὰ τὸ ἐκτείνω, ὃ σημαίνει τὸ ἕλκω· ἐνταῦθα γὰρ τὰ ψιλὰ ἐν διαστάσει εἰσίν, ἐν ἄλλῃ γὰρ συλλαβῇ ἐστι τὸ κ̅ καὶ ἐν ἄλλῃ τὸ τ̅. πρόσκειται «ψιλὰ ψιλῶν» διὰ τὸ Πιτθεύς καὶ Βάκχος καὶ Σαπφώ. ταῦτα γὰρ ἐν διαστάσει εἰσίν, ἀλλ' οὐχ ἡγοῦνται ἐνταῦθα ψιλὰ ψιλῶν, ἀλλὰ ψιλὰ δασέων· πρόσκειται δὲ καὶ «μέσα μέσων» διὰ τὸ ἀγκών καὶ ἔγχος· ἐνταῦθα γὰρ ἐν διαστάσει εἰσὶ τὰ σύμφωνα, ἐν ἄλλῃ δὲ συλλαβῇ ἐστὶ τὸ ἓν σύφωνον, καὶ ἐν ἄλλῃ τὸ ἕτερον, ἐπειδὴ οὐχ ἡγοῦνται μέσα μέσων, ἀλλὰ πῇ μὲν μέσον ψιλοῦ ὡς ἐν τῷ ἀγκών, πῇ δὲ μέσον δασέος, ὡς ἐν τῷ ἔγχος. οὐχ ὡς ἔτυχε δὲ ψιλὰ ψιλῶν ἡγοῦνται καὶ δασέα δασέων καὶ μέσα μέσων κατὰ σύλληψιν, οὐδὲ τὸ θ̅ δασὺ ὃν προηγεῖται τοῦ φ̅ δασέος ὄντος κατὰ σύλληψιν, οὐδὲ τὸ β μέσον ὃν προηγεῖται τοῦ γ̅ μέσου ὄντος κατὰ σύλληψιν, ἀλλὰ τὰ τῆς πρώτης καὶ δευτέρας συζυγίας ψιλά, δασέα, μέσα προηγοῦνται τῶν τῆς τρίτης συζυγίας δασέος, ψιλοῦ, μέσου. σεσημείωται τὸ λάτβατα καὶ τὸ λακπάτητον. ἐνταῦθα γὰρ τὸ γ̅ καὶ τὸ κ̅ τῆς β' ὄντα συζυγίας προηγοῦνται τοῦ β καὶ π̅ τῆς πρώτης ὄντα συζυγίας, ὅπερ ἄτοπον.

Τὰ ἀμετάβολα πρὸ τῶν ἀφώνων ἐν διαστάσει εἰσὶν οἷον ἕρπω τὸ βαδίζω, ἕλκω, ἄνθος, ἄρτος, ἔργον, ἔμβολος, σύμφωνον, σύμπονος.

Τὰ ὑποταττόμενά τινι ἐν συλλήψει, ἐὰν ἀντιπροηγήσωνται, ἐν διαστάσει ἀντιπροηγοῦνται, οἷον ἐν τῷ πρῶτος τὸ ρ̅ τῷ π̅ ὑποτέτακται κατὰ σύλληψιν, ἀντιπροηγησάμενον δὲ τὸ ρ̅ τοῦ π̅ ἐν τῷ ἕρπω

l. 9 scr. ἐκλῦσαι pro ἑλκύσαι. — Ad l. 11 seqq. cf. Choer. Dict. 481, 25. — l. 19 pro Γότθος, quod Gaza antiquo nomini substituit, posui Πιτθεύς, quod Herodianus pro exemplo posuerit. l. 26 pro φ̅ δασέος ὄντα scr. ὄντος. l. 30 pro τὸ γ̅ καὶ τὸ β̅ scr. τὸ γ̅ καὶ τὸ κ̇. Caetorum hanc particulam ab epitomatore in usum tironum dilatatam in brevius contraxi, quod etiam in toto hoc articulo aliquoties feci. — l. 36 εἰσίν· ante ἀντιπροηγοῦνται omisi.

κατὰ διάστασιν αὐτοῦ ἀντιπροηγήσατο. πάλιν ἐν τῷ θνήσκω τὸ ν̄ τῷ θ̄ ὑποτέτακται κατὰ σύλληψιν, ἀντιπροηγησάμενον δὲ τοῦ θ̄ ἐν τῷ ἄνθος κατὰ διάστασιν αὐτοῦ ἀντιπροηγήσατο.

Πᾶσα συλλαβὴ καταλήγουσα εἰς σ̄ ἔχει καὶ τὴν ἑξῆς συλλαβὴν ἀρχομένην ἀπὸ τοῦ σ̄ οἷον ἀνάσσω, ἑλίσσω, νύσσω, ὀρύσσω, τινάσσω. δεῖ προσθεῖναι χωρὶς τῶν ἀπὸ τῆς εἰς προθέσεως καὶ τῆς πρός καὶ τοῦ δυς ἐπιρρήματος. ἐπὶ τούτων γὰρ πολλάκις λήγει εἰς σ̄ ἡ συλλαβὴ καὶ οὐκ ἄρχεται ἡ ἐπιφερομένη συλλαβὴ ἀπὸ τοῦ σ̄ οἷον προσφορά, εἰσφορά, δυστυχής.

Ἀμετάβολον ἀμεταβόλου οὐ προηγεῖται κατὰ σύλληψιν, ἀλλὰ κατὰ διάστασιν οἷον ἀρνός, Ἑρμῆς, ἅλμη, ἔρνος, ὅλμος. ἰδοὺ ἐπὶ τούτων τὸ ἓν ἀμετάβολον ληκτικόν ἐστι τῆς προηγουμένης συλλαβῆς καὶ τὸ ἕτερον ἀρκτικὸν τῆς ἐπιφερομένης καὶ οὐκ εἰσὶν ὁμοῦ. δεῖ προσθεῖναι χωρὶς τοῦ μ̄ καὶ ν̄, ταῦτα γὰρ εὑρίσκονται κατὰ σύλληψιν ὡς ἐν τῷ μνᾶ, μνημεῖον· ἐνταῦθα γὰρ τὸ μ̄ καὶ τὸ ν̄ ὁμοῦ εἰσιν.

Ἡμίφωνον ἡμιφώνου οὐ προηγεῖται κατὰ σύλληψιν, ἀλλὰ κατὰ διάστασιν οἷον πλήσσω, τίλλω, πανσέληνον, ἄλσος, θάλψαι, ἄρξαι, μέμψαι· ἰδοὺ γὰρ ἐπὶ τούτων δύο ἡμίφωνα, ὧν τὸ μὲν ἓν ληκτικόν ἐστι τῆς προηγουμένης συλλαβῆς, τὸ δὲ ἕτερον ἀρκτικὸν τῆς ἐπιφερομένης· δεῖ προσθεῖναι χωρὶς τοῦ μ̄ καὶ τοῦ ν̄ καὶ τοῦ σ̄ καὶ τοῦ μ̄ καὶ τῶν συλλαβῶν τῶν οὐσῶν ἐν τέλει λέξεως· ἐπὶ τούτων γὰρ εὑρίσκονται ἡμίφωνα ἡμιφώνων προηγούμενα κατὰ σύλληψιν, καὶ ἐπὶ μὲν τοῦ μ̄ καὶ ν̄ ὡς ἐπὶ τοῦ μνᾶ καὶ μνημεῖον, ἐπὶ δὲ τοῦ σ̄ καὶ μ̄ ὡς ἐπὶ τοῦ σμῶ καὶ σμιλίον καὶ κόσμος· ἐπὶ δὲ συλλαβῶν τῶν οὐσῶν ἐν τέλει λέξεως οἷον ἅλς, μάκαρς, Τῖρυνς, ἕλμινς. ἰδοὺ ἐπὶ τούτων εὑρέθησαν ἡμίφωνα ἡμιφώνων προηγούμενα κατὰ σύλληψιν, ἐπειδὴ οὐκ ἔχουσι φωνῆεν ἐπιφερόμενον τὸ ὀφεῖλον τοῦ ἑνὸς συμφώνου τὴν σύνταξιν ἀναδέξασθαι.

Οὐδέποτε τὰ ἁπλᾶ σύμφωνα μετὰ τῶν διπλῶν συμφώνων εὑρίσκονται κατὰ σύλληψιν, ἀλλ' ἐν διαστάσει, οἷον θάλψαι, πέμψαι, ἄρξαι, ἄγξαι· ἰδοὺ γὰρ ἐπὶ τούτων τὸ μὲν ἁπλοῦν σύμφωνον τῆς προηγουμένης συλλαβῆς ληκτικόν ἐστι, τὸ δὲ διπλοῦν ἀρκτικὸν τῆς ἐπιφερομένης. δεῖ προσθεῖναι χωρὶς εἰ μὴ ἐν τέλει λέξεως, πολλάκις γὰρ ἐν τέλει λέξεως εὑρίσκονται τὰ ἁπλᾶ μετὰ τῶν διπλῶν κατὰ σύλληψιν ὡς ἐπὶ τοῦ σάρξ, σάλπιγξ· ἐπὶ τούτων γὰρ ἐν συλλήψει εἰσὶ τὰ σύμφωνα, καὶ τοῦτο ἐξ ἀνάγκης· οὐδὲ γὰρ ἔχουσι φωνῆεν ἐπιφερόμενον τὸ ὀφεῖλον τοῦ ἑνὸς συμφώνου τὴν σύνταξιν ἀναδέξασθαι.

Δεῖ γινώσκειν, ὅτι οὐδέποτε δύο τὰ αὐτὰ σύμφωνα ἐν συλλήψει εὑρίσκονται, ἀλλ' ἐν διαστάσει οἷον πάλλω, τίλλω, πλήσσω, σάκκος, πυρρός, ἄγγελος, συμμίγδην· ἰδοὺ ἐπὶ τούτων τὸ μὲν ἓν σύμφωνον ληκτικόν ἐστι τῆς προηγουμένης συλλαβῆς, τὸ δὲ ἕτερον ἀρκτικὸν τῆς ἐπιφερομένης.

*9a.

An. Ox. IV 332, 10: ὅcα cύμφωνα μὴ δύναται ἐν ἀρχῇ λέξεων ἐκφωνεῖcθαι, ταῦτα καὶ ἐν μέcῃ λέξει εὑρεθέντα χωριcθήcεται ἀλλήλων· οἷον ἄνθοc, ἔργον· οὐ δύναται δὲ εὑρεθῆναι ἀπὸ τοῦ νθ ἀρχομένη οὐδὲ ἀπὸ τοῦ ργ πλὴν τούτων ἤγουν θμ, φν, γδ, χμ, κμ, cγ, cδ· ταῦτα γὰρ οὐδέποτε ἐν cυμπλοκῇ ἐν ἀρχῇ εὑριcκόμενα, ἐν μέcῳ ἀλλήλων οὐ χωρίζονται οἷον ἴθμα, ἀφνειόc, ὄγδοοc, αἰχμή, ἀκμή, φάcγανον, θεόcδοτοc· εἰ γὰρ παρὰ τοῖc κοινοῖc οὐχ εὕρηται λέξιc ἀπὸ τοῦ cδ ἀρχομένη, ἀλλὰ παρὰ τοῖc Αἰολεῦcίν ἐcτιν οἷον cδυγόc ἀντὶ τοῦ ζυγόc.

9b.

E. M. 521, 29: κμέλεθρα: δεῖ γινώcκειν, ὅτι τὸ κ πρὸ τοῦ μ οὐδέποτε εὑρίcκεται ἐν ἀρχῇ λέξεωc· τοῦ γὰρ πολύκμητοc οὐχ εὕρηται ἐν χρήcει τὸ ἁπλοῦν αὐτοῦ, ἤγουν τὸ κμητόc· καὶ τὸ κέκμηκα, ὃ δηλοῖ τὸ κεκοπίακα, οὐκ ἔcτι ἀπὸ τοῦ κμῶ, ἀλλ' ἀπὸ τοῦ κεκάμηκα. λέγει δὲ ὁ Ἡρωδιανὸc τὸν Πάμφιλον ἀναγαγεῖν ἐν ταῖc Γλώccαιc τὸ κμέλεθρα (cημαίνει δὲ τὰc δοκούc).

*10.

E. M. 249, 15: Δαcλήρα: δεῖ γινώcκειν, ὅτι τὸ Δαcλήρα (ὄνομά ἐcτι λίμνηc) καὶ Βρυcμόc (ἔcτι δὲ ὄνομα βαcιλέωc) καὶ Πάcνηc καὶ Μάcνηc (ὀνόματα ποταμῶν) καὶ Ὀcροήνη, ὅπερ τινὲc Ὀρροήνη λέγουcιν (ἔcτι δὲ χώρα οὕτω καλουμένη ἐν Cυρίᾳ) τὸ c ἐν cυλλήψει ἔχουcι μετὰ τῶν ἐπιφερομένων cυμφώνων. ὅτι γὰρ οὐκ ἔcτιν ἐν διαcτάcει, δῆλον ἐκ τοῦ μὴ ἄρχεcθαι ἐπιφερομένην cυλλαβὴν ἀπὸ τοῦ c· εἰ γὰρ ἦν τὸ c ἐν διαcτάcει καὶ ἔληγεν ἡ cυλλαβὴ εἰc τὸ c, εἶχεν ἂν ἡ ἐπιφερομένη cυλλαβὴ ἀρχὴν ἀπὸ τοῦ c διὰ τὸν κανόνα τοῦτον· πᾶcα γὰρ cυλλαβὴ καταλήγουcα εἰc c, ἔχει καὶ τὴν ἑξῆc cυλλαβὴν ἀπὸ τοῦ c ἀρχομένην οἷον νύccω, πλήccω καὶ τὰ ὅμοια.

*11.

Choer. 691, 13: ἐν τῷ τέτυπται τὸ φ εἰc τὸ π ἐτράπη καὶ ἐν τῷ νένυκται τὸ χ εἰc τὸ κ, ὅτι οὐκ ἠδύνατο οὔτε τὸ φ οὔτε τὸ χ πρὸ τοῦ τ εἶναι οὔτε κατὰ cύλληψιν οὔτε κατὰ διάcταcιν· κατὰ διάcταcιν μέν, ἐπειδὴ οὐδέποτε οὔτε cυλλαβὴ οὔτε λέξιc εἰc δαcὺ καταλήγει,

---

ad fr. *9a. θμ reperitur in initio vocis in Θμοῦιc nomine urbis Aegyptiacae, φν in Φναίτηc ὄνομα παρ' Αἰγυπτίοιc βάρβαρον quod affert Choerob. in E. M. 796, 47, ubi de φνεί vel τοφνεί disputat, quem locum in orthographia proposui, pro νδ posui γδ et pro ὄνθοc ὄγδοοc, pro ἄνθοc ἴθμα.

ad fr. 9b. cf. Rankium de Hesych. p. 123.

l. 22 scripsi pro ἐcτὶ — ἔχουcι. — nomen Βρυcμόc etiam ap. Arcad. 58, 24 occurrit, sed falso inter appellativa relatum est. De re cf. etiam Hephaest. p. 7 Westph., qui praeter Πάcνηc et Μάcνηc (ὀνόματα παρὰ Ξάνθῳ ἐν τοῖc Λυδιακοῖc) affert μάcληc per passionem ex μάcθληc ortum et quod cum Βρυcμόc comparari potest ἐcμόc.

ad l. 33 cf. Ep. Hom. 4, 27 ἀριθμήμεναι: τὸ θ μετὰ τοῦ μ ἐν cυλλήψει ἐcτίν. οὐδέποτε γὰρ cυλλαβὴ εἰc δαcὺ λήγει.

ὅθεν τὸ Ἀτθίc καὶ Cαπφώ καὶ Βάκχοc τὰ πρῶτα διὰ ψιλῶν γράφομεν· κατὰ cύλληψιν δὲ οὐκ ἠδύνατο οὔτε τὸ φ̄ οὔτε τὸ χ̄ πρὸ τοῦ τ̄ εἶναι, ἐπειδὴ τὸ φ̄ καὶ τὸ χ̄ δαcέα εἰcί, τὸ δὲ τ̄ ψιλόν. ψιλὰ δὲ ψιλῶν ἡγοῦνται καὶ δαcέα δαcέων καὶ μέcα μέcων κατὰ cύλληψιν οἷον πρῶcιc, κτύποc, χθών, ἑβδομάc, ἐρίγδουποc, ὀγδόη· πῶc οὖν τὸ φ̄ καὶ τὸ χ̄ δαcέα ὄντα ἠδύναντο τοῦ τ̄ ψιλοῦ ὄντοc προηγεῖcθαι κατὰ cύλληψιν;

*12.

Choer. 689, 30: γίνεται τὸ δεύτερον πρόcωπον τέτυπcαι καὶ ἐτέτυπcο διὰ τοῦ π καὶ c̄ καὶ διὰ τὴν κακοφωνίαν κίρναται τὸ π̄ καὶ τὸ c̄ εἰc ψ καὶ γίνεται τέτυψαι καὶ ἐτέτυψο, ὥcπερ καὶ ἀπὸ τοῦ Πέλοπι δοτικῆc ἑνικῆc γίνεται ἡ δοτικὴ τῶν πληθυντικῶν προcόδῳ τοῦ c̄ διὰ τοῦ π καὶ c̄ καὶ κατὰ κρᾶcιν τοῦ π καὶ c εἰc ψ Πέλοψι διὰ τοῦ ψ. Πάλιν ἐcτὶ τὸ δεύτερον πρόcωπον νένυκcαι καὶ ἐνένυκcο διὰ τοῦ κ̄ καὶ c̄ καὶ διὰ τὴν κακοφωνίαν κίρνανται τὸ κ̄ καὶ c̄ εἰc ξ καὶ γίνονται νένυξαι καὶ ἐνένυξο διὰ τοῦ ξ, ὥcπερ ἀπὸ τῆc κόρακι δοτικῆc ἑνικῆc γίνεται ἡ δοτικὴ τῶν πληθυντικῶν προcόδῳ τοῦ c̄ κόρακcι διὰ τοῦ κ̄ καὶ c̄ καὶ κατὰ κρᾶcιν τοῦ κ̄ καὶ c εἰc ξ κόραξι.

13.

Steph. Byz. s. v. Ἀγβάτανα, πολίχνιον Cυρίαc, Ἡρόδοτοc τρίτῳ (c. 62 et 64). Δημήτριοc δέ φηcιν Ἀγβάτανα διττά, τὰ μὲν τῆc Μηδίαc, τὰ δὲ τῆc Cυρίαc. Κτηcίαc δὲ πανταχοῦ τῶν Περcικῶν τὰ παρὰ Μήδοιc Ἀγβάτανα διὰ τοῦ α γράφει· παρὰ δὲ τοῖc ἀρχαίοιc διὰ τοῦ ε̄ τὸ Περcικόν. παρὰ Χάρακι δὲ καὶ αὕτη διὰ τοῦ ε̄, ἣν καὶ Ἐπιφάνειάν φαcι κεκλῆcθαι. Ἡρωδιανὸc δ' ἐν τῷ περὶ cυντάξεωc cτοιχείων ἐγκρίνει τὴν διὰ τοῦ κ̄ γραφήν, παραιτούμενοc τὴν διὰ τοῦ γ̄ λέγων οὕτωc «μή τι ἄρα παρακινδυνεύει τὸ β ὑποτετάχθαι τῷ γ̄, ὡc ὑποτέτακται ἐν τῷ λάγβατα ὅρκια».

14.

Choer. 503, 16: τὰ ὑπὸ τοῦ Ἡρωδιανοῦ λεγόμενα ταῦτα· ὅτι τὸ πρῶτον πρόcωπον τῶν δυϊκῶν ἐνταῦθα ἀναγκάζεται ἔχειν τὸ τ̄ ἢ τὸ θ, τὸ χαρακτηριcτικὸν τοῦ δυϊκοῦ ῥήματοc, καὶ τὸ μ τοῦ πληθυντικοῦ, καὶ λοιπὸν ἀναγκάζεται γενέcθαι τύπτομθον ἢ τύπτομτον, ἀδύνατον δὲ τὸ μ̄ πρὸ τοῦ τ̄, οὐ cυνίcταται γὰρ οὔτε κατὰ cύλληψιν οὔτε κατὰ διάcταcιν· κατὰ cύλληψιν μέν, ὅτι τὰ ὑποταccόμενά τινι ἐν cυλλήψει, ἐὰν ἀντιπροηγήcωνται, ἐν διαcτάcει ἀντιπροηγοῦνται οἷον ἐν τῷ πρῶτοc τὸ ρ̄ ὑποτέτακται τῷ π κατὰ cύλληψιν, ἐὰν δὲ προηγήcηται τὸ ρ̄ τοῦ π̄, κατὰ διάcταcιν αὐτοῦ προηγεῖται, ὡc ἐπὶ τοῦ ἕρπω· καὶ πάλιν ἐν τῷ κλέοc τὸ λ̄ ὑποτέτακται τῷ κ̄ κατὰ cύλληψιν, ἀντιπροηγούμενον

---

ad fr. 13. Secutus sum Meinekium pro [ἐν] οἷc suspicantem ὡc ὑποτέτακται. l. 33 scripsi τύπτομθον ἢ τύπτομτον pro τύπτοθμον ἢ τυπτόμετον et pluries pro ὑποτέτακται τοῦ — τῷ.

δὲ τὸ λ̅ τοῦ κ̅ ἐν τῷ ἕλκω κατὰ διάστασιν αὐτοῦ ἀντιπροηγεῖται· καὶ πάλιν ἐν τῷ θνήσκω τὸ ν̅ ὑποτέτακται τῷ θ̅ κατὰ σύλληψιν, ἀντιπροηγούμενον δὲ τὸ ν̅ τοῦ θ̅ ὡς ἐν τῷ ἄνθος κατὰ διάστασιν αὐτοῦ προηγήσατο. ἐπειδὴ οὖν τὸ μ̅ ὑποτέτακται τῷ θ̅ καὶ τῷ τ̅ κατὰ σύλληψιν ὡς ἐν τῷ τμῆμα καὶ Ἀθμονίς (σημαίνει δὲ δῆμον Ἀττικόν), δῆλον ὅτι ἐὰν προηγήσηται τοῦ θ̅ καὶ τοῦ τ̅ τὸ μ̅, οὐ δύναται αὐτῶν ἀντιπροηγήσασθαι κατὰ σύλληψιν, ἀλλὰ κατὰ διάστασιν. Ἀλλ' οὐδὲ πάλιν κατὰ διάστασιν δύναται ἀντιπροηγήσασθαι τὸ μ̅ τούτων, φημὶ δὲ τοῦ τ̅ καὶ τοῦ θ̅, ἐπειδὴ πᾶσα συλλαβὴ καταλήγουσα εἰς τὸ μ̅ θέλει ἔχειν τὴν ἑξῆς συλλαβὴν ἀρχομένην ἀπὸ τοῦ β̅ ἢ ἀπὸ τοῦ π̅ ἢ ἀπὸ τοῦ φ̅ ἢ ἀπὸ τοῦ ψ̅ ἢ ἀπὸ τοῦ μ̅ οἷον συμβουλή, σύμπονος, σύμφωνος, σύμψηφος, συμμέτοχος· ἐπειδὴ οὖν οὔτε κατὰ σύλληψιν οὔτε κατὰ διάστασιν ἠδύνατο τὸ μ̅ πρὸ τοῦ θ̅ ἢ τοῦ τ̅, ἐξ ἀνάγκης ἐπιλιμπάνει τὸ πρῶτον πρόσωπον τῶν δυϊκῶν, ἡνίκα τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν τὸ μ̅ ἔχει ἐν τῇ τελευταίᾳ συλλαβῇ.

*15.

Choer. 541, 14: ἔστι τέμω τεμῶ, νέμω νεμῶ, δέμω δεμῶ, βρέμω βρεμῶ καὶ ὀφείλονται ταῦτα κατὰ τὸν παρακείμενον φυλάξαι αὐτό τε τὸ ἀμετάβολον καὶ γενέσθαι τέταμκα, νέναμκα, δέδεμκα, βέβραμκα ὥσπερ κερῶ κέκαρκα, φθερῶ ἔφθαρκα, οὐκ ἐγένετο δὲ οὕτως, ἀλλὰ τέτμηκα, νενέμηκα, δεδέμηκα, βεβρέμηκα διὰ τὸ μηδέποτε εὑρίσκεσθαι τὸ μ̅ πρὸ τοῦ κ̅ μήτε κατὰ σύλληψιν μήτε κατὰ διάστασιν· κατὰ σύλληψιν μέν, ἐπειδὴ τὰ ὑποταττόμενά τινι ἐν συλλήψει, ἐὰν ἀντιπροηγῶνται, ἐν διαστάσει ἀντιπροηγοῦνται, οἷον τὸ ρ̅ ὑποτέτακται τῷ π̅ κατὰ σύλληψιν ἐν τῷ πρῶτος, ἀντιπροηγούμενον δὲ αὐτοῦ ἐν τῷ ἕρπω κατὰ διάστασιν αὐτοῦ ἀντιπροηγεῖται· πάλιν τὸ ν̅ ὑποτέτακται τῷ θ̅ κατὰ σύλληψιν ἐν τῷ θνήσκω, ἀντιπροηγούμενον δὲ αὐτοῦ ἐν τῷ ἄνθος ἀντιπροηγεῖται αὐτοῦ. πάλιν τὸ λ̅ ὑποτέτακται τῷ κ̅ κατὰ σύλληψιν ἐν τῷ κλέος, ἀντιπροηγούμενον δὲ αὐτοῦ ἐν τῷ ἕλκω κατὰ διάστασιν ἀντιπροηγεῖται αὐτοῦ· πάλιν τὸ ρ̅ ὑποτέτακται τῷ γ̅ κατὰ σύλληψιν ἐν τῷ γραῦς, ἀντιπροηγησάμενον δὲ αὐτοῦ ἐν τῷ ἔργῳ κατὰ διάστασιν ἀντιπροηγεῖται αὐτοῦ· εἰ ἄρα οὖν τὸ μ̅ ὑποτέτακται τῷ κ κατὰ σύλληψιν ὡς ἐν τῷ ἀκμή καὶ ἄκμων, δηλονότι ἀντιπροηγούμενον αὐτοῦ κατὰ διάστασιν θέλει ἀντιπροηγήσασθαι αὐτοῦ· ἀλλ' οὐδὲ ἐν διαστάσει δύναται προηγεῖσθαι αὐτοῦ, φημὶ δὲ τὸ μ̅ τοῦ κ̅, ἐπειδὴ πᾶσα συλλαβὴ καταλήγουσα εἰς τὸ μ θέλει ἔχειν τὴν ἑξῆς ἀρχομένην ἢ ἀπὸ τοῦ β̅ ἢ ἀπὸ τοῦ φ̅ ἢ ἀπὸ τοῦ ψ̅ ἢ ἀπὸ τοῦ π̅ ἢ ἀπὸ τοῦ μ̅ οἷον σύμβουλος, σύμπονος, σύμφωνος, σύμψηφος, συμμέτοχος.

---

l. 21 omisi post βεβρέμηκα verba τοῦ η̅ πλεονάσαντος utpote a Choerobosco apposita, nam Herodianus quin a formis perispomenis propagaverit haec perfecta, non dubium est. l. 33 pro ἄκμων δηλονότι, ἀντιπροηγούμενον δὲ scripsi mutata interpunctione et omisso δέ. Similia exstant in Choer. Ep. in Psalm. 31, 22, quae in E. M. 606, 45 translata sunt.

*16.

Choer. Dict. 623, 19: ἁμαρτῶ, ὁ δεύτερος ἀόριςτος ἥμαρτον καὶ κατὰ ὑπερβιβαςμὸν τοῦ ρ̄ καὶ τροπῇ τοῦ ᾱ εἰς ο̄ καὶ πλεοναςμῷ τοῦ β̄ ἤμβροτον. τὸ δὲ β̄ ἐπλεόναςεν, ἐπειδὴ τὸ μ̄ πρὸ τοῦ ρ̄ οὔτε ἐν ςυλλήψει δύναται εἶναι οὔτ᾽ ἐν διαςτάςει· καὶ ἐν ςυλλήψει μέν, ἐπειδὴ ἀμετάβολον ἀμεταβόλου προηγεῖται οὐδέποτε, οἷον ἅρμα, ἔρνος, ἅλμη, εἰ μὴ τὸ μ πρὸ τοῦ ν οἷον μνᾶ μνημεῖον· ἐν διαςτάςει δὲ οὐκ ἠδύνατο εἶναι τὸ μ̄ πρὸ τοῦ ρ̄, ἐπειδὴ τὸ ρ̄ οὐ θέλει ἔχειν πρὸ ἑαυτοῦ ἕτερον ςύμφωνον κατὰ διάςταςιν, εἰ μὴ αὐτὸ τὸ ρ̄, οἷον ἔρραπτον, ἐρράφην, ἐρράφηςαν, ἐπίρρημα, ὑποδηματόρραφος, ἄρρωςτος. πρόςκειται «κατὰ διάςταςιν», ἐπειδὴ ἕτερα ςύμφωνα εὑρίςκονται προηγούμενα τοῦ ρ̄ κατὰ ςύλληψιν οἷον δρῶ, κρέας, Τρώς, γραῦς, βρέχω. δεῖ προςθεῖναι χωρὶς τῶν ἀπὸ τῆς πρός, εἰς, ἐξ, καὶ τοῦ δυς ἐπιρρήματος· ἐπὶ τούτων γὰρ εὑρίςκεται ἕτερα ςύμφωνα προηγούμενα τοῦ ρ̄ κατὰ διάςταςιν ὡς δύςριγος, δύςροια, πρόςριψον, ἐκρεῦςαι. ἐπειδὴ οὖν, ὡς δέδεικται, οὐκ ἠδύνατο τὸ μ̄ πρὸ τοῦ ρ εἶναι οὔτε κατὰ ςύλληψιν οὔτε κατὰ διάςταςιν, ἐξ ἀνάγκης ἐπλεόναςε τὸ β ἐν τῷ ἤμβροτον.

*17.

Choer. 318, 26: τὸ ἀνήρ ἀνέρος γενόμενον κατὰ ςυγκοπὴν ἀνρός ἐξ ἀνάγκης ἐπλεόναςε τὸ δ, καὶ ἐγένετο ἀνδρός· οὐκ ἠδύνατο γὰρ εἶναι ἀνρός χωρὶς τοῦ δ, ἐπειδὴ τὸ ν̄ πρὸ τοῦ ρ̄ οὔτε ἐν ςυλλήψει δύναται εἶναι οὔτε ἐν διαςτάςει κτλ.

*18.

Ep. Cr. I 236, 1: κλάζω, ὁ μέλλων κλάγξω· καὶ ὤφειλεν ὁ ἐνεςτὼς ἔχειν τὸ ν̄· ἀλλὰ κανών ἐςτιν ὁ λέγων, ὅτι οὐδέποτε τὸ ν̄ πρὸ τοῦ ζ̄ ἐν μιᾷ λέξει εὑρίςκεται. πρόςκειται «ἐν μιᾷ λέξει» διὰ τὸ ἐνζεῦξαι· τοῦτο γὰρ οὐκ ἔςτιν ἐν μιᾷ λέξει, ἀλλὰ δύο. ὅμοιόν ἐςτι καὶ τὸ πλάγχθη ἀπὸ τοῦ πλάζω γενόμενον καὶ οὐκ ἔχει ὁ ἐνεςτὼς τὸ ν̄.

*19.

E. M. 370, 15 (Ep. Cr. I 383, 21): παρὰ τὸ ῥέζω τὸ πράττω ὑπερθέςει ἔρζω καὶ τροπῇ Δωρικῇ, ἐπειδὴ ἐν ἁπλῇ λέξει ςύμφωνον πρὸ τοῦ ζ̄ οὐχ ὁρᾶται, γίνεται ἔρδω. πρόςκειται «ἐν μιᾷ λέξει» διὰ τὸ ἐνζεῦξαι ςύνθετον καὶ μελάνζοφος· ἐκφέρεται δὲ ἐπὶ τοῦ μέλλοντος διὰ τοῦ ξ τῷ λόγῳ τοῦ ἔρζω, ἵνα φυλάξῃ τὸ ὀφειλόμενον τοῦ ζ̄ «ἔρξον, ὅπως ἐθέλεις» (Δ 37).

---

ad fr. *16. cf. περὶ παθῶν fr. 345 et de βροτός fr. [372ᵃ]. Quaedam mutavi ex simili loco Choer. p. 318 seq., ἐρράγηςαν pro ἔρραγον, πρόςριψον pro πρόςριψις, praeterea scripsi ἐρράφην pro ἔρραφον.

ad fr. *17. Reliqua congruunt fere cum praecedente fr., cf. περὶ παθῶν fr. 353.

ad fr. *18. Extremam partem καὶ μὴ ἔχον τό ν̄ correxi ex E. M. 516, 31.

ad fr. *19. cf. Herod. in Cathol. ap. Theogn. 52, 20.

*20.

Choer. 684, 17: ἐν μὲν τῷ ἔρραγκα καὶ μεμίαγκα καὶ μεμόλυγκα ἐνεργητικῷ παρακειμένῳ τὸ ν̅ εἰϲ γ̅ τρέπεται διὰ τὴν ἐπιφορὰν τοῦ κ̅· τὸ γὰρ ν̅ ἐπιφερομένου τοῦ γ̅ ἢ κ̅ ἢ ξ̅ ἢ χ̅ ἐν μιᾷ λέξει εἰϲ τὸ γ̅ τρέπεται οἷον cύγχυcιc, cυγγενήc, cυγκληρονόμοc, cυγξηρᾶναι. πρόcκειται «ἐν μιᾷ λέξει» διὰ τὸ cὺν Γεωργίῳ, ἐν χειρί· ἐνταῦθα γὰρ οὐκ ἐτράπη τὸ ν̅ εἰϲ τὸ γ̅, ἐπιφερομένου γ̅ ἢ χ̅· ἀλλ' οὐκ ἀντίκεινται ἡμῖν, ἐπειδὴ οὐκ ἔcτιν ἐν μιᾷ λέξει, ἀλλὰ δύο λέξειc εἰcίν, ἐν παραθέcει γάρ εἰcιν. ἐν δὲ τῷ ἔρραμμαι καὶ μεμίαμμαι καὶ μεμόλυμμαι παθητικῷ παρακειμένῳ τὸ ν̅ εἰϲ μ̅ ἐτράπη διὰ τὴν ἐπιφορὰν τοῦ μ̅· τὸ γὰρ ν̅ ἐπιφεροέμνου τοῦ π̅ ἢ τοῦ β̅ ἢ τοῦ φ̅ ἢ τοῦ ψ̅ ἢ αὐτοῦ τοῦ μ̅ ἐν μιᾷ λέξει εἰϲ τὸ μ̅ τρέπεται οἷον cύμβιοc, cύμπονοc, cύμφωνοc, cύμψηφοc, cυμμέτοχοc. πρόcκειται «ἐν μιᾷ λέξει» διὰ τὸ ἐν Βυζαντίῳ, cὺν πολλοῖc. ἐνταῦθα γὰρ οὐ τρέπεται τὸ ν̅ εἰϲ τὸ μ̅ ἐπιφερομένου τοῦ β̅ καὶ τοῦ π̅, ἐπειδὴ δύο μέρη τοῦ λόγου εἰcίν· ἐν παραθέcει γάρ εἰcιν.

*21.

E. M. 215, 11: ἐγώνγα: πᾶcα cυλλαβὴ εἰϲ ν̅ λήγουcα ἐν μιᾷ λέξει, ἐὰν cυντεθῇ μεθ' ἑτέραc cυλλαβῆc ἀρχομένηc ἀπὸ τοῦ γ̅ κ̅ ξ̅ χ̅ τρέπει τὸ ν̅ εἰϲ γ̅· πρόcκειται «ἐν μιᾷ cυλλαβῇ» διὰ τὸ «cὺν Γεωργίῳ, ἐν κεφαλαίῳ»· δύο γὰρ μέρη λόγου εἰcί. δεῖ δὲ γινώcκειν, ὅτι τὸ ἐγώνγα καὶ ἰώνγα δοκοῦcι τούτῳ τῷ κανόνι ἀντικεῖcθαι. ἔcτι γὰρ ἐγώ καὶ τοῦτο οἱ μὲν Δωριεῖc ἐγών λέγουcιν, οἱ δὲ Βοιωτοὶ ἰών. εἶτα ταῦτα γίνεται κατ' ἐπέκταcιν ἐγώνγα καὶ ἰώνγα καὶ προφέρεται τὸ γα ἐν μιᾷ λέξει καὶ οὐ τρέπει τὸ ν̅ εἰϲ γ̅. ἀλλ' ἔcτιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν· ὅτι ὥcπερ τὸ ναί καὶ τὸ εἰ ἐπεκτείνεται καὶ γίνεται ναίχι καὶ εἴθε καὶ ἐφύλαξε τὴν αὐτὴν τάcιν, ἣν εἶχον καὶ πρὸ τῆc ἐπεκτάcεωc, τὸν αὐτὸν τρόπον καὶ τὸ ἐγών καὶ ἰών ἐπεκταθέντα καὶ γενόμενα ἐγώνγα καὶ ἰώνγα τὴν αὐτὴν cημαcίαν ἐφύλαξε, λέγω δὴ τὴν πρὸ τῆc ἐπεκτάcεωc, καὶ τὴν αὐτὴν τάcιν, λέγω δὴ τὴν ὀξεῖαν. τούτου χάριν καὶ τὴν αὐτὴν γραφὴν ἐφύλαξε, λέγω δὴ τὸ ν̅.

*22.

Choer. 691, 33: ἐν τῷ μεμίανται καὶ μεμόλυνται τρίτῳ προcώπῳ, ἐπειδὴ οὐκ ἐπιφέρεται cύμφωνον τὸ ὀφεῖλον τρέψαι αὐτό, τούτου χάριν ἐφυλάχθη τὸ ν̅· τὸ γὰρ τ̅ ἐπιφέρεται· τὸ δὲ ν̅ ἐπιφερομένου τοῦ δ̅ ἢ θ̅ ἢ τ̅ φυλάττεται οἷον ἔνδον ἔνθα ἐντυχία καὶ ἔντευξιc.

---

ad fr. *20. cf. E. Gud. 450, 20 (περὶ παθῶν fr. 42): ἔcτι πᾶν καὶ κατ' ἀναδιπλαcιαcμὸν πάμπαν, τὸ δὲ μ διὰ cύνταξιν. οὕτωc Ἡρωδιανόc.

ad fr. *21. cf. περὶ παθῶν fr. 90.

ad fr. *22. De κ̅ν in fine vocabuli illicitis cf. Herod. περὶ παθῶν ap. St. B. Πνύξ: ἔcτι πύκνη πύκν. οὐ δύναται δὲ καταλῆξαι καὶ ὑπερετέθη τὸ ν καὶ ἐτράπη τὸ κ̅ εἰϲ ξ̅ πνύξ. ὑπέρθεcιν ἄρα ἔχει διὰ τὴν κατάληξιν. — De λ̅ ante c̅ cf. St. B. Μεcημβρία: Μελcημβρία ἡ Μέλcου πόλιc καὶ διὰ τὸ εὐφωνότερον λέγεται Μεcημβρία.

*23.

Choer. Dict. 514, Bekk. Anecd. (Schol. ad Dionys.) p. 693: Τὸ ρ̄ ἐνομίϲθη φωνῆεν εἶναι ἐκ τούτων τῶν κανόνων· τὸ ρ̄ γὰρ μόνον ἐκ πάντων τῶν ϲυμφώνων δέχεται καὶ δαϲεῖαν οἷον ῥαπίζω, ῥάπτω, δέχεται καὶ ψιλὴν οἷον μέροϲ, φέρω ὥϲπερ τὰ φωνήεντα.

Τὰ δὲ εἰϲ ᾱ λήγοντα θηλυκά, ϲυνεϲταλμένον ἔχοντα τὸ α, ἐὰν μὲν ἔχωϲι πρὸ τοῦ α ϲύμφωνον, τρέπουϲι τὸ α εἰϲ η ἐν τῇ γενικῇ, οἷον μοῦϲα μούϲηϲ, δόξα δόξηϲ, δίψα δίψηϲ, ἐὰν δὲ φωνῆεν ἔχωϲι πρὸ τοῦ α, φυλάττουϲι τὸ α καὶ ἐν τῇ γενικῇ οἷον μαῖα μαίαϲ, Ἀντιόχεια Ἀντιοχείαϲ, Ἀλεξάνδρεια Ἀλεξανδρείαϲ. ὁμοίωϲ καὶ τὰ ἔχοντα τὸ ρ̄ φυλάττουϲι τὸ ᾱ ἐν τῇ γενικῇ οἷον ϲφαῖρα ϲφαίραϲ, θύρα θύραϲ. δῆλον οὖν ὅτι οὐκ ἔϲτι ϲύμφωνον τὸ ρ̄, ἀλλὰ φωνῆεν, ὡϲ τὸ ἴδιον τῶν φωνηέντων ἀποτελοῦν. εἰ γὰρ ἦν ϲύμφωνον, οὐκ ὤφειλε τὸ ᾱ φυλαχθῆναι ἐν τῇ γενικῇ, ἀλλὰ τραπῆναι εἰϲ η.

Καὶ ἐξ ἄλλου δὲ λόγου δείκνυται τὸ ρ φωνῆεν ὑπάρχον. τὰ εἰϲ οϲ λήγοντα ἀρϲενικὰ ποιοῦντα κατ' ἰδίαν θηλυκά, τουτέϲτι μὴ ὄντα κοινὰ τῷ γένει, διὰ τὸ ὁ φιλόϲοφοϲ καὶ ἡ φιλόϲοφοϲ, εἰ μὲν ἔχουϲι πρὸ τοῦ ο φωνῆεν, εἰϲ ᾱ ποιοῦϲι τὸ θηλυκὸν οἷον Βυζάντιοϲ Βυζαντία, Ῥόδιοϲ Ῥοδία, ἀλλότριοϲ ἀλλοτρία, μέτριοϲ μετρία· εἰ δὲ ϲύμφωνον ἔχουϲι πρὸ τοῦ ο̄, εἰϲ η ποιοῦϲι τὸ θηλυκὸν οἷον ϲοφόϲ ϲοφή, καλόϲ καλή, ἀγαθόϲ ἀγαθή, εἰ δὲ ἔχουϲι πρὸ τοῦ ο τὸ ρ̄, εἰϲ α ποιοῦϲι τὸ θηλυκὸν οἷον φοβερόϲ φοβερά, χλιαρόϲ χλιαρά, καθαρόϲ καθαρά. δῆλον οὖν ὅτι οὐκ ἔϲτι ϲύμφωνον τὸ ρ, ἀλλὰ φωνῆεν· εἰ γὰρ ἦν ϲύμφωνον, εἰϲ η̄ ὤφειλε ποιῆϲαι τὸ θηλυκὸν καὶ οὐκ εἰϲ ᾱ.

Δείκνυται δὲ καὶ ἀπὸ τῆϲ Αἰολίδοϲ διαλέκτου τὸ ρ φωνῆεν. εἰώθαϲι γὰρ οἱ Αἰολεῖϲ φωνήεντοϲ ἐπιφερομένου προϲτιθέναι τὸ υ ὡϲ ἐπὶ τοῦ εὔαδε. καὶ πάλιν τὸ ἠώϲ ἀώϲ λεγόντων τῶν Δωριέων οἱ Αἰολεῖϲ λέγουϲιν αὔωϲ τὸ υ προϲτιθέντεϲ. καὶ πάλιν ἀάτην αὐάτην λέγουϲιν οἱ Αἰολεῖϲ. ϲυμφώνου δὲ ἐπιφερομένου οὐδέποτε προϲτιθέαϲι τὸ ῡ οἱ Αἰολεῖϲ· τὸ γὰρ νόϲοϲ νοῦϲοϲ καὶ Ὄλυμποϲ Οὔλυμποϲ ποιητικά εἰϲι καὶ οὐκ Αἰολικά. τοῦ δὲ ρ ἐπιφερομένου πολλάκιϲ προϲτιθέαϲι τὸ ῡ οἱ Αἰολεῖϲ οἷον αὔρηκτοϲ, ἄρηκτοϲ γάρ. δῆλον οὖν ὅτι φωνῆέν ἐϲτι καὶ οὐ ϲύμφωνον τὸ ρ̄.

Δείξομεν δὲ πάλιν, ὅτι τὸ ρ ϲύμφωνόν ἐϲτι καὶ οὐ φωνῆεν. Πῶϲ δέ; ὅτι πᾶν φωνῆεν καθ' ἑαυτὸ φωνὴν ἀποτελεῖ, τὸ δὲ ρ̄ οὐ δύναται

ad fr. 23. Alteram particulam de ρ̄ aspirato et lenito fere iisdem verbis in Tryphonis tractatu περὶ τοῦ ρ̄ ποῦ δαϲύνεται καὶ ψιλοῦται, quem Velsen in Tryphonis fr. p. 9 ex MS bibliothecae Vindobonensis exhibuit, invenies, sed hoc non impedit, quominus sumamus Choeroboscum, unde nostra excerpsimus, ap. Gaisf. p. 516 coll. p. 905 et in Anecd. Ox. IV 178, ex Herodiano, qui hic ut in omnibus fere scriptis antecessorum placita, si ipsi placebant, in usum suum converterit, petivisse. In re congruit fere Arcad. 200, 21 cf. etiam Mon. 35, 6 cum Lehrsii annotatione.

Prior de vi et natura literae ρ̄ pars item a Choerobosco ll. cc. (An. Ox. IV

καθ' ἑαυτὸ φωνὴν ἀποτελεῖν, μετὰ γὰρ τοῦ ω̄ ἐκφωνεῖται, δῆλον οὖν, ὅτι οὐκ ἔςτι φωνῆεν, ἀλλὰ cύμφωνον. ἄλλως τε οὐδέποτε ἐν μιᾷ cυλλαβῇ τρία φωνήεντα εὑρίcκονται, ἀλλ' ἢ ἓν ἢ δύο φωνήεντα ὡς ἐπὶ τῶν διφθόγγων οἷον εὖχος, οἶκος, αὐλῶ. ἐὰν οὖν εἴπωμεν τὸ ρ̄ φωνῆεν εἶναι, εὑρεθήcονται ἐν τῷ ῥεῦμα ἢ ῥοῦς τρία φωνήεντα ἐν μιᾷ cυλλαβῇ, ὅπερ ἀδύνατον. Ἔτι δὲ οὐδὲν ὄνομα ἀρcενικὸν εἰς φωνῆεν λήγει οἷον Αἴας, Πλάτων, Φοῖνιξ, τὸ γὰρ ἱππότα καὶ μητίετα Ζεύς καὶ τὰ τοιαῦτα ποιητικὰ κατὰ μεταπλαcμὸν γενόμενα καὶ τὸ τοιόcδε καὶ τοιουτοcί ἐπεκτεταμένα. πῶς οὖν τὸ ρ̄ δύναται φωνῆεν εἶναι, ὅπου ὁ ῥήτωρ καὶ ὁ Νέcτωρ καὶ τὰ τοιαῦτα εἰς ρ λήγουcιν; εὑρεθήcεται γὰρ ἀρcενικὸν ὄνομα εἰς φωνῆεν λῆγον, ὅπερ ἀδύνατον.

Τὸ ρ̄ ἀρχόμενον λέξεως δαcύνεcθαι θέλει οἷον ῥώμη, ῥήτωρ, ῥαπίζω πλὴν τοῦ Ῥᾶρος καὶ Ῥάριον πεδίον, μεταξὺ δὲ δύο φωνηέντων ἐν ἁπλῇ λέξει ψιλοῦcθαι θέλει οἷον μέρος, φέρει, χαίρω. πρόcκειται «ἐν ἁπλῇ λέξει» διὰ τὸ φιλορωμαῖος καὶ μιcορήτωρ. ἐνταῦθα γὰρ ἐπειδὴ οὐκ ἔςτιν ἁπλῆ λέξις, μένει τὸ ρ̄ δαcυνόμενον καὶ φυλάττον τοῦ Ῥωμαῖος καὶ ῥήτωρ τὴν δαcεῖαν. πρόcκειται δὲ «μεταξὺ δύο φωνηέντων» διὰ τὸ ἀφρός καὶ ὠχρός. ἐνταῦθα γὰρ τὸ ρ̄ δαcύνεται, ἐπεὶ κανών ἐςτιν ὁ λέγων, ὅτι τὸ ρ μετὰ τῶν δαcέων δαcύ ἐςτι καὶ μετὰ τῶν ψιλῶν ψιλόν· μετὰ τῶν δαcέων οἷον θρόνος, ἄφρων, μετὰ δὲ τῶν ψιλῶν ψιλὸν οἷον κάπρος, ἄκρος, τρόπος. τούτων οὖν χάριν προcλαμβάνει ὁ παρατατικὸς ἕτερον ρ̄ οἷον ἔρραπτον ἐρράπιζον, ἵνα φυλαχθῇ τὸ πνεῦμα τοῦ ἐνεcτῶτος καὶ δαcυνθῇ. κανὼν γάρ ἐςτιν ὁ λέγων, ὅτι ἐὰν εὑρεθῇ δύο ρ̄ρ̄ τὸ μὲν πρῶτον ψιλοῦται, τὸ δὲ δεύτερον δαcύνεται οἷον πόῤῥω ἄῤῥωcτος, ἐπίῤῥημα, ἀῤῥαγές. διὰ τοῦτο οὖν ψιλοῦται δὲ πρῶτον ρ̄, ἐπειδὴ οὔτε cυλλαβὴ οὔτε λέξις εἰς δαcὺ καταλήγει, ὅθεν Ἀτθίς καὶ Cαπφώ καὶ Βάκχος τὰ πρῶτα ψιλοῦται καὶ οὐ δαcύνεται.

*24.

E. M. 324, 14: ἐκ Ῥώμης: ἡ ἐξ πρόθεcις, ὅταν αὐτῇ cύμφωνον ἐπιφέρηται, τρέπει τὸ ξ̄ εἰς κ̄· δεῖ δὲ προcθεῖναι χωρὶς εἰ μὴ εὑρεθῇ μετὰ παρέλκοντος οἷον ὡς παρὰ Ἀρχιλόχῳ «διὲξ cωλῆνος» καὶ πάλιν «διὲξ τὸ μύρτον» ἀντὶ τοῦ διὰ τὸ μύρτον, cημαίνει δὲ τὴν μυρcίνην. ἔτι δεῖ προcθεῖναι καὶ χωρὶς εἰ μὴ εὑρεθῇ ἐν τέλει cτίχου οἷον ὡς παρὰ Θεοκρίτῳ

ἔνθα μιᾶς πολλοὶ κατὰ κλίμακος ἀμφοτέρων ἐξ
τοίχων ἄνδρες ἔβαινον Ἰηcονίης ἀπὸ νηός (XXII 30 et 31)

καὶ χωρὶς τοῦ πάρεξ. ταῦτα πάντα ἐcημειωcάμεθα, ἐπειδὴ ἐπὶ τούτων τῶν χρήcεων ἐφυλάχθη τὸ ξ̄ τῆς προθέcεως cυμφώνου ἐπιφερομένου.

176, 29 seqq.) ex Herodiano prompta est et ex libro περὶ cυντάξεως τῶν cτοιχείων, ubi huiuscemodi disputatio aptum locum habuit.

ad fr. *24 l. 37 scr. ἐφυλάχθη pro ἐφύλαξε. Conf. Il. Pr. I 7 τὸ παρὲξ παρὰ τῷ ποιητῇ καὶ δύο μέρη λόγου ἐςτὶ καὶ ἐγκλίνονται αἱ δύο προθέcεις, διὸ καὶ πολλάκις εὑρίcκεται καὶ εἰς κ̄ λήγουcα ἡ ἐξ «παρὲκ μέγα τειχίον αὐλῆς» (Od. π 165). — μετὰ γοῦν τῆς διά οὖcα ἡ ἐξ οὐ τρέπει τὸ ξ̄ «διὲξ cωλῆνος εἰς ἄγγος». Τυραννίων δὲ ἓν μέρος λόγου ἤκουcεν, ἵν' ᾖ ἐπίρρημα, καὶ βαρύνει· καὶ ἔχει λόγον

*25.

Ep. Cr. I 333, 26: παρά τὸ πτῶ τὸ πίπτω γίνεται εἰς μ̅ο̅ς̅ ὄνομα πτμός καὶ πλεοναςμῷ τοῦ ο̅ διὰ τὴν ἀςυνταξίαν τοῦ π̅τ̅μ̅ πότμος ἐπὶ τῆς τύχης διὰ τὴν μετάπτωςιν καὶ μεταβολὴν τῶν πραγμάτων, ὅθεν Μένανδρός φηςιν «τὸ τῆς τύχης γὰρ ῥεῦμα μεταπίπτει ταχύ».

*26.

Choer. Dict. 488, 25: κατὰ τὴν ἀςυνταξίαν ἐπιλιμπάνουςι ῥήματα ὡς τὰ τοιαῦτα· ἐπὶ τοῦ ἵςταται, δίδοται, πεποίηται πρὸ τοῦ τ̅ προέρχεται τὸ ν καὶ ἀποτελεῖται τὸ τρίτον πρόςωπον τῶν πληθυντικῶν οἷον ἵςτανται, δίδονται, πεποίηνται· ἐπὶ δὲ τοῦ τέτυπται καὶ νένυκται καὶ κέκαρται, ἐπεὶ πρὸ τοῦ τ̅ ἐςτὶ cύμφωνον προςερχομένου τοῦ ν̅, ἀςυνταξία γίνεται· εὑρίςκεται γὰρ π̅ν̅τ̅ καὶ κ̅ν̅τ̅ καὶ ρ̅ν̅τ̅· ἀλλ' οὐ δύνανται τὰ τρία cύμφωνα ὁμοῦ παραλαμβάνεςθαι, ἐπειδή, ἡνίκα εὑρεθῶςι τρία cύμφωνα ὁμοῦ, θέλει εἶναι τὸ πρῶτον μὲν ἢ c̅ ἢ κ̅ ἢ π, τὸ δὲ δεύτερον ἄφωνον, τὸ δὲ τρίτον ἀμετάβολον, cφραγίς, cτρατός, cτρῶμα, cκληρός, cκῆπτρον, κάτοπτρον, οἰκτρός, πλῆκτρον χωρὶς τοῦ ἐχθρός καὶ ἔφθραςαι. τούτου οὖν χάριν διὰ τὴν ἀςυνταξίαν ἐπιλιμπάνει ἐνταῦθα τὸ τρίτον πρόςωπον τῶν πληθυντικῶν καὶ διὰ μετοχῆς ἀναπληροῦνται καὶ ὑπαρκτικοῦ ῥήματος οἷον τετυμμένοι εἰςὶ καὶ κεκαρμένοι εἰςὶ καὶ νενυγμένοι εἰςί.

*27.

Choer. 636, 4 (E. M. 456, 12): ἰςτέον ὅτι θρέφω καὶ θρέχω ὤφειλεν εἶναι ὁ ἐνεςτώς, ἵνα ςυνάρξηται τῷ θρέξω καὶ θρέψω μέλλοντι, ἀλλ' ἐπειδὴ κανών ἐςτιν ὁ λέγων ὅτι τὸ ρ̅ μετὰ δαςέος δαςύ ἐςτιν οἷον

ὡς Ἡρόδοτος ἐν δ' (46) «πάρεξ τοῦ Cκυθικοῦ ἔθνεος». ἀλλ' οὐ παρ' Ὁμήρῳ. v. Mon. 25, 24. Choer. Orth. 213, 20 ἑκκαίδεκα: ὁ ἀριθμὸς ὁ cύνθετος κ̅ καὶ οὐ ξ̅· ἐτράπη γὰρ ἡ πρόθεςις διὰ τὸ ἐπαγόμενον cύμφωνον. De numerali ἕξ disseruit Herod. in περὶ παθῶν in E. M. 346, 15 (fr. 146) φυλάττεται τὸ τέλος τῶν ἀριθμῶν ἐν τῇ ςυνθέςει πεντέμηνον λεγόμενον καὶ ἐν πεντεςυρίγγῳ ξύλῳ. — εἰ οὖν ἄρα τὸ τέλος τῶν ἀριθμῶν φυλάττεται, ὁ δὲ ἕξ ἀριθμὸς τὸ ξ̅ ἔχει, φυλάςςει ἄρα τὸ τέλος τοῦ ἀριθμοῦ ὁ ἑξκλινον λέγων. ἀλλ' ἔςτιν εἰπεῖν πρὸς τοῦτο, ὅτι οὐδὲ μίαν λέξιν ἔχομεν εἰς διπλοῦν καταλήγουςαν καὶ ἐν ςυνθέςει φυλαςςομένην. εἰςὶ δὲ αἱ φυλαςςόμεναι ἐν παραθέςει οἷον «πὺξ μὲν ἐνίκηςε» (Ψ 634) «λὰξ ποδὶ κινήςας» (K 158). εἰ οὖν ἕξπους ἐν ςυνθέςει, ὀφείλει τρέπεςθαι καὶ μὴ καταλήγειν εἰς διπλοῦν. ἀλλ' ἀνάλογον, ὅτι πεφύλακται τὸ τέλος τοῦ ἀριθμοῦ ὡς καὶ παρὰ τῷ ποιητῇ οἷον ἑξέτης κτλ.

ad fr. *25 l. 1 formam πτῶ communi πίπτω substruxisse Herodianum scimus ex Choer. Orth. 249, 17 cf. adnot. ad fr. 37 περὶ παθῶν. — De asyntaxia literarum ζ̅μ̅ Herodianus, ut videtur in E. Or. 28, 23 ἀποκύδμαινε: cκύζω cκυζαίνω καὶ ἐνθέςει τοῦ μ̅ καὶ τροπῇ τοῦ ζ̅ εἰς δ̅ διὰ τὴν ἀςυνταξίαν τοῦ μ̅ καὶ ζ̅ ἐγένετο cκυδμαίνω.

ad fr. *26. Verba ἀλλ' οὐ δύναται — ἔφθραςαι inserui ex p. 695, 6; pro ἔφθαρςαι scripsi, quod sententia flagitat, ἔφθραςαι per metathesin ex ἔφθαρςαι natum, quod ipsum quidem non usurpavit Ibycus, sed ἔφραςαι eliso θ̅ E. M. 273, 24 (περὶ παθῶν fr. 695), cf. praeterea E. M. 673, 27 πιτνῶ: ἀπὸ τοῦ πέτω πιτνῶ ὡς ὀρέγω ὀριγνῶ· ὡς γάρ λέγει περὶ παθῶν Ἡρωδιανὸς (fr. 382), οὐ δύναται εἶναι ἀπὸ τοῦ πίπτω κατὰ πλεοναςμὸν τοῦ ν, ἐπειδὴ μετὰ δύο ἀντιςτοίχων μόνον τὸ ρ τίθεται οἷον ἐχθρός.

ad fr. *27. De re cf. Lob. Parall. p. 46. — Omisi quae in media exposi-

χρόνος, ἀφρός, μετὰ δὲ τῶν ψιλῶν ψιλὸν οἷον κάπρος, Ἀτρεύς, κριός, οὐδέποτε δὲ εὑρίσκεται λέξις δισύλλαβος ἐν χρήσει ἀρχομένη ἀπὸ δύο δασέων τῆς δευτέρας συλλαβῆς ἀρχομένης ἀπὸ δασέος — τοῦ γὰρ «ἀπέφθιθεν ἐσθλοὶ ἑταῖροι» (ε 110) ὁ φθίθω ἐνεστὼς οὐχ εὑρίσκεται ἐν χρήσει — τούτου χάριν οὐκ ἐγίνοντο θρέφω καὶ θρέχω, ἀλλὰ τρέφω καὶ τρέχω, ἵνα μὴ εὑρεθῶσιν ἀρχόμενα ἀπὸ δύο δασέων τῆς δευτέρας συλλαβῆς ἀρχομένης ἀπὸ δασέος. ἐν δὲ τῷ μέλλοντι ἀποστάντος τοῦ δασέος φ καὶ χ̄ τοῦ ὄντος κατὰ τὴν δευτέραν συλλαβὴν καὶ προσελθόντος τοῦ διπλοῦ εὐθέως τὸ ὀφειλόμενον ἦλθε κατὰ τὴν ἄρχουσαν καὶ γέγονε θρέψω καὶ θρέξω. Ὡσαύτως καὶ τὸ θρίξ ὀφεῖλον κατὰ τὴν γενικὴν εἶναι θριχός, ἵνα φυλάξῃ τὴν ἄρχουσαν τῆς εὐθείας (θέλει γὰρ ἡ εὐθεῖα φυλάττεσθαι καὶ ἐν ταῖς ἑξῆς πτώσεσιν οἷον Λάχης Λάχητος, Πάρις Πάριδος, Αἴας Αἴαντος), οὐκ ἐγένετο οὕτως, ἀλλὰ τριχός κατὰ μετάθεσιν τοῦ θ̄ εἰς τὸ ἀντίστοιχον τὸ ψιλόν, φημὶ δὲ τὸ τ̄, ἵνα μὴ εὑρεθῇ δισύλλαβος λέξις ἀρχομένη ἀπὸ δύο δασέων, τῆς δευτέρας συλλαβῆς ἀρχομένης ἀπὸ δασέος· ἐν δὲ τῇ δοτικῇ τῶν πληθυντικῶν ἀποστάντος τοῦ δασέος τοῦ ὄντος ἐν τῇ δευτέρᾳ συλλαβῇ καὶ προσελθόντος τοῦ διπλοῦ τοῦ ξ̄ εὐθέως τὸ ὀφειλόμενον θ̄ προσῆλθε κατὰ τὴν ἄρχουσαν καὶ γέγονε θριξί.

*28.

Choer. 486, 21: τῆς Μόψοπος γενικῆς ἡ εὐθεῖα ἐπιλιμπάνει διὰ τὸ ἀσύντακτον· ἤμελλε γὰρ εἶναι ἡ εὐθεῖα ὁ Μόψοψ, ὅπερ ἐστὶν ἀσύντακτον, τουτέστιν οὐκ ἔχον χαρακτῆρα Ἑλληνικόν· οὐδέποτε γὰρ ἐν ἁπλῇ λέξει κατὰ συνέχειαν συλλαβῶν τὸ αὐτὸ διπλοῦν εὑρίσκεται. πρόσκειται «ἐν ἁπλῇ λέξει» διὰ τὸ ἐξάξαι, ἐνταῦθα γὰρ τὸ αὐτὸ διπλοῦν ἐστι κατὰ συνέχειαν συλλαβῶν, τουτέστι μετὰ τὴν συλλαβὴν τὴν ἔχουσαν διπλοῦν εὐθέως ἑτέρα συλλαβὴ ἐπάγεται ἔχουσα τὸ αὐτὸ διπλοῦν. ἀλλ' οὐκ ἔστιν ἁπλῆ λέξις, ἀλλὰ σύνθετος, ἀπὸ γὰρ τῆς ἐξ προθέσεως σύγκειται καὶ τοῦ ἄξαι ῥήματος. πρόσκειται δὲ «κατὰ συνέχειαν συλλαβῶν» διὰ τὸ ζευγίζω· ἐνταῦθα γὰρ τὸ αὐτὸ διπλοῦν ἐστι καὶ ἐν ἁπλῇ λέξει, ἀλλ' οὐ κατὰ συνέχειαν συλλαβῶν. οὐδὲ γὰρ μετὰ τὴν συλλαβὴν τὴν ἔχουσαν τὸ διπλοῦν εὐθέως ἐπιφέρεται ἡ ἑτέρα συλλαβὴ ἔχουσα τὸ αὐτὸ διπλοῦν, ἀλλὰ μεταξὺ τῶν συλλαβῶν τῶν ἐχουσῶν τὸ διπλοῦν ἐστιν ἑτέρα συλλαβή. «τὸ αὐτὸ δὲ διπλοῦν» πρόσκειται διὰ τὸ ζεῦξαι· ἐνταῦθα γὰρ ἐν ἁπλῇ λέξει καὶ κατὰ συνέχειαν συλλαβῶν ἐστι τὸ διπλοῦν, ἀλλ' οὐκ ἔστι τὸ αὐτὸ διπλοῦν. διὰ τοῦτο Ξέρξης βάρβαρον εἶναι λέγομεν ὡς ἔχον ἐν ἁπλῇ λέξει κατὰ συνέχειαν συλλαβῶν τὸ αὐτὸ διπλοῦν. τῆς οὖν Μόψοπος γενικῆς εἰ ἐλέγετο ἡ εὐθεῖα,

---

tione prolata sunt de φθαρείς, φθίσθαι, ῥεχθέν, θρέφθη, quae contra regulam peccare negantur. De reduplicatione, quae nunquam fit per aspiratam exceptis poeticis ῥερυπωμένα, ῥερῖφθαι, ῥεραπισμένῳ cf. Choer. 554, 30. Herodianum arbitror non praetermisisse Χωχή, κώμη πρὸς τῷ Τίγριδι ποταμῷ, Steph. Byz. s. v. sed ut vocem barbaram canoni non subiectam esse tradidisse.

ἤμελλεν εἶναι Μόψοψ καὶ λοιπὸν ηὑρίcκετο ἐν τῇ αὐτῇ cυλλαβῇ καὶ ἐν ἁπλῇ λέξει τὸ αὐτὸ διπλοῦν, ὅπερ ἐcτὶν ἀδύνατον.

St. Byz. 458, 14: Μοψοπία, ἡ Ἀττική, ἀπὸ Μόψοπος. Καλλίμαχος· ἄρρητος ἡ Μόψοψ εὐθεῖα.

Eustath. 149, 1 (Cr. An. Ox. III 398, 3): τοῦ δείδοικα τὸ πρωτότυπον ὂν δέδοικα ἐκ τοῦ δείδω τὸ δειλιῶ ἔχει ἀπορίαν πῶς διὰ τοῦ κ̄ ἐκφέρεται καὶ μὴ διὰ τοῦ θεματικοῦ δ διὰ τὸν κανόνα, δι' οὗ ὥριcται καθολικῶc, ὅτι ἐπὶ τῶν βαρυτόνων, δι' οὗ cυμφώνου ἐκφέρεται ὁ ἐνεcτώc, διὰ τοῦ αὐτοῦ καὶ ὁ μέcοc παρακείμενοc οἷον λείβω λέλοιβα λέγω λέλογα κατὰ τὸν Ἡρωδιανόν, καθ' ὃν ἔδει ἀπὸ τοῦ δείδω δέδοιδα εἶναι τὸν μέcον παρακείμενον. λύcιc δὲ τῆc ἀπορίαc ταύτηc τὸ μὴ χρῆναι τρία παράλληλα δ παραλαμβάνεcθαι. τὸ γὰρ τοιοῦτον ψελλιcμῷ, φηcίν (sc. Herodianus), ὑποπίπτει. διὸ ἀντειcῆλθε τοῦ τρίτου δ τὸ κ̄ τοῦ ἐνεργητικοῦ παρακειμένου τοῦ δείδω δείcω δέδεικα, ὃc ἐcιγήθη διὰ τὸ τοῦ μέcου παρακειμένου πολύχρηcτον. ὅτι δ' ἐν πολλοῖc ἡ παραλληλία φεύγεται, δηλοῖ καὶ ὁ τεμένιοc, ὃν δέον ὂν διφθόγγῳ παραλήγεcθαι κατὰ τὸν κανόνα τοῦ κήτειοc κήδειοc ἐπιτήδειοc καὶ τῶν ὁμοίων, ὅμωc, ἵνα μὴ ἐπάλληλα εἴη τὰ τρία ε̄, ἐγράφη διὰ μόνου τοῦ ῑ. Cοφοκλῆc (Oed. Tyr. 756) «τεμενίαν τε φυλλάδα». οὕτω καὶ τὸ «Ἴριδι δίῃ» κακίζεται κατὰ τὸ ἐπάλληλον τῶν διχρόνων.

Choer. Dict. 187, 2: τὸ Χάρυβδιc Χαρύβδιοc, Cάρδιc Cάρδιοc οὐκ ἐκλίθηcαν διὰ τοῦ δοc διὰ τὴν κακοφωνίαν· εὑρίcκετο γὰρ ἀλλεπάλληλον τὸ δ, ὅπερ ἐcτὶ κακόφωνον, quam observationem Eustath. 1716, 48 Herodiano deberi diserte dicit, unde etiam Priscianus IV 6, 34 hausit: non dicunt Graeci Χαρύβδιδοc, quamvis regula exigat, sed Χαρύβδιοc.

St. B. 120, 14 s. Ἀρκαδία: τοῦ Ἀρκὰc τὸ πατρωνυμικὸν Ἀρκαcίδαι. ὤφειλεν οὖν Ἀρκαδίδηc, ἀλλὰ διὰ τὸ κακόφωνον οὕτωc ἐγένετο.

Choer. 98, 16: δεῖ γινώcκειν, ὅτι οἱ Αἰολεῖc τὸ τάλαc τάλαιc λέγουcι καὶ τὸ μέλαc μέλαιc καὶ τὸ Θόαc Θόαιc προcτιθέντεc τὸ ῑ, τὸ δὲ Αἴαc Αἴαιc οὐ λέγουcι διὰ τὴν ἐπαλληλίαν τῆc αι διφθόγγου· ηὑρίcκετο γὰρ ἀλλεπάλληλοc ἡ αι δίφθογγοc καὶ ἐκ τούτου κακόφωνοc ἐγένετο ἡ λέξιc.

Il. Pr. A 80: χέρηϊ: γέγονεν οὕτωc· ἔcτι τι χερείονοc γενικὴ καὶ αἰτιατικὴ «χερείονά περ καταπέφνων» (Il. P 539). ὃν οὖν τρόπον

l. 6 de δέδοικα idem tradit Choer. 589, sed Apollonio hanc explicationem assignat. Eustath. p. 878, 34 cum τεμένιοc comparat Ἰλίεια, ἑορτὴ δὲ αὐτὰ ἦcαν ἐν Ἰλίῳ, γράφεcθαι μὲν ὤφειλε κατὰ τὴν παραλήγουcαν διὰ τοῦ ῑ τῷ λόγῳ τοῦ Ὀλύμπια καὶ Πύθια, πρὸc βραχεῖαν δέ τινα διαφορὰν πλεονάcαντοc τοῦ ε̄ τὴν διὰ τῆc ει ἔcχε γραφήν. ὡc δὲ καὶ ἐν ἄλλοιc τὸ τῶν cτοιχείων ἀλλεπάλληλον διακόπτεται, δηλοῦται καὶ ἐν τῷ τεμένιοc, ὅπερ ἐχρῆν μὲν διὰ τῆc ει διφθόγγου γραφῆναι κατὰ τὸ τέγοc τέγειοc καὶ ἐπιτέγειοc, ἐξέπεcε δὲ τοῦ ε̄, οὐ λόγῳ κανόνοc, ἀλλ' ἵνα μὴ ἐπαλληλίζοιτο τὰ τρία ε̄.

τὴν χερείονα αἰτιατικὴν ϲυγκόψαϲ ἔφη «χέρεια» (Il. Δ 400), πληθυντικῶϲ δὲ τὰ χερείονα χέρεια, τοῦτον τὸν τρόπον καὶ χερείονι χέρει· καὶ ἐπεὶ κακόφωνόν ἐϲτι, τροπὴ ἐγένετο τῆϲ $\overline{\text{ει}}$ διφθόγγου εἰϲ τὸ $\overline{\text{η}}$. οὕτωϲ Ἡρωδιανόϲ.

Il. Pr. Γ 219: οὐδὲν θαυμαϲτόν, εἰ διὰ τοῦ ῑ πολλάκιϲ τῶν τοιούτων γενικῶν (sc. πόϲεοϲ ὄφεοϲ ἔχεοϲ) τὴν παραλήγουϲαν προφέρονται Ἴωνεϲ, τὴν δὲ δοτικὴν διὰ τοῦ ε̄, οὐχὶ δὲ διὰ τοῦ ῑ· τάχα γὰρ διὰ τὸ κακόφωνον. ὁ γοῦν ποιητήϲ φηϲιν «εὐνήν τ' αἰδομένη πόϲιοϲ» (Od. π 75), τῇ δὲ δοτικῇ «χαριζομένη πόϲεϊ ᾧ» (Il. Ε 71).

Choer. 391, 32: ἰϲτέον, ὅτι παρ' Ὁμήρῳ οὐδέποτε εὑρίϲκεται ἡ γενικὴ τῶν εἰϲ οϲ οὐδετέρων εἰϲ $\overline{\text{ουϲ}}$ καταλήγουϲα, ἀλλ' ἢ εἰϲ ευϲ οἷον Ἐρέβευϲ, θάρϲευϲ ἢ ἐντελῶϲ ἤγουν διὰ τοῦ εοϲ οἷον βέλεοϲ, ϲτήθεοϲ, τείχεοϲ, ἄχεοϲ. δύο δὲ μόναϲ γενικὰϲ ἐποίηϲιν εἰϲ ουϲ, τὸ «χλωροὶ ὑπὸ δείουϲ» (Ο 4) καὶ «ἢ ῥα κατὰ ϲπείουϲ κέχυται» (ι 330). τοῦτο δ' οὐκ ἐποίηϲε διὰ τὸ μέτρον, ἀλλὰ διὰ τὴν κακοφωνίαν τῆϲ ἐπαλληλίαϲ τοῦ ε̄. ἔϲτι γὰρ δέοϲ καὶ ϲπέοϲ καὶ εἰ ἐγένετο ἡ γενικὴ παρὰ τῷ ποιητῇ δέευϲ καὶ ϲπέευϲ, ἀλλεπαλληλία ἤμελλεν εἶναι τοῦ ε̄ καὶ τούτου χάριν τῇ εἰϲ $\overline{\text{ουϲ}}$ γενικῇ ἐχρήϲατο, φημὶ δὲ τῇ δέουϲ καὶ ϲπέουϲ, ἃ ἐν πλεοναϲμῷ τοῦ ε̄ γίνονται δείουϲ καὶ ϲπείουϲ.

Choer. Orth. 244, 31; 273, 1: περὶ ποϲότητοϲ 296, 14: τὰ εἰϲ $\overline{\text{ευϲ}}$ ὡϲ ἐπὶ τὸ πλεῖϲτον οὐ θέλουϲι τῇ ει διφθόγγῳ παραλήγεϲθαι, εἰ μὴ ἀπὸ πρωτοτύπου ϲχῶϲι τὴν ει δίφθογγον. πρόϲκειται «ὡϲ ἐπὶ τὸ πλεῖϲτον» διὰ τὸ Νειλεύϲ οὐκ ἐπὶ τοῦ πατρὸϲ τοῦ Νέϲτοροϲ ἀλλ' ἐπὶ τοῦ λεγομένου Ἀττικῶϲ ὁ Νείλεωϲ τοῦ Νείλεω. πρόϲκειται «εἰ μὴ ἀπὸ πρωτοτύπου ϲχῶϲι τὴν ει δίφθογγον» διὰ τὸ Ῥοιτειεύϲ καὶ Ϲιγειεύϲ.

St. B. 431, 1: Μανθυρέα κώμη Ἀρκαδίαϲ· τὸ ἐθνικὸν Μανθυρεύϲ διὰ τὸ ἐπάλληλον τῶν δύο εε.

St. B. 176, 20: Βορυϲθένηϲ: ἀπὸ τῆϲ εἰϲ οϲ εὐθείαϲ ἡ διὰ τοῦ ιτηϲ παραγωγὴ πλεονάζει μιᾷ ϲυλλαβῇ ὡϲ τόποϲ τοπίτηϲ, Κανωπίτηϲ. τὸ δὲ Ἰήτηϲ ἀπὸ τῆϲ Ἴου διὰ τὸ ῑ ἐξηνέχθη διὰ τοῦ η̄.

ΕΚ ΤΩΝ ΗΡΩΔΙΑΝΟΥ
ΠΕΡΙ ΟΡΘΟΓΡΑΦΙΑΣ.

Περὶ συντάξεως.

1.

Priscian. II 3: Si antecedens syllaba terminet in consonantem, necesse est etiam sequentem a consonanti incipere ut «artus» «ille» «arduus» nisi sit compositum ut «abeo» «adeo» «pereo». **Herodianus** tamen de **orthographia** ostendit rationabilius esse sonoriusque quantum ad ipsam vocis prolationem in compositis quoque simplicium regulam in ordinandis syllabarum literis servare.

*2.

Eustath. p. 709, 15 ad Il. Θ 206: κανὼν γραμματικὸς λέγει, ὡς, εἰ μέσον δύο φωνηέντων εὑρεθῇ σύμφωνον ἐν ἁπλότητι ἢ συνθέσει ἢ καὶ συναλοιφῇ, τῷ δευτέρῳ τουτέστι τῷ ἐπαγομένῳ φωνήεντι ἀκολουθεῖ. ἐν ἁπλότητι μὲν ἐπὶ τοῦ ἔτι τὸ τ̄ τῷ ῑ συντάσσεται, ἐν συνθέσει δὲ ἐπὶ τοῦ κατάγω ὁμοίως τῷ μετ' αὐτὸ α συμβιβάζεται, ἐν συναλοιφῇ δὲ ἐπὶ τοῦ κατ' ἐμὲ τῷ ἐφεξῆς συγγράφεται.

*3.

Τιμοθέου Γάζης κανόνες καθολικοὶ περὶ συντάξεως in Anecd. Paris. IV p. 239, 15—240, 4:

Πᾶν σύμφωνον μεταξὺ δύο φωνηέντων ἐν ἑνὶ μέρει λόγου ἤγουν ἐν μιᾷ λέξει τῷ ἐπιφερομένῳ φωνήεντι συνάπτεται οἷον ἄγω, φέρω, δέρω, χαίρω, Πλάτωνος, Θέωνος, πρόσοδος, ἔξοδος, εἴσοδος, δυσώδης. ἰδοὺ ἐπὶ τούτων τὸ σύμφωνον μεταξὺ δύο φωνηέντων ὑπάρχον τῷ ἐπιφερομένῳ φωνήεντι συνάπτεται καὶ οὐ τῷ προηγουμένῳ. ἐπὶ μὲν γὰρ τοῦ ἄγω τὸ γ̄ μετὰ τοῦ ω ἐστὶ καὶ οὐ μετὰ τοῦ ᾱ. ἐπὶ δὲ τοῦ φέρω τὸ ρ̄ μετὰ τοῦ ω̄ ἐστι καὶ οὐ μετὰ τοῦ ε̄. καὶ ἐπὶ τῶν ἑξῆς ὁμοίως. πρόσκειται ἐν τῷ κανόνι «ἐν ἑνὶ μέρει λόγου» ἤγουν ἐν μιᾷ λέξει, ἐπειδὴ ἐὰν εὑρεθῶσι δύο μέρη λόγου ἤγουν δύο λέξεις, οὐ συνά-

---

ad fr. *2. Canonem grammaticum, qui hic proponitur, collato fr. 1 ab Herodiano profectum esse iudico. cf. Eustath. 984, 17. De Ζῆν vel Ζῇ — Ν ut Aristarchus scripsit cf. Lob. El. II 273, Spitzner ad Iliad. Ξ 265.

πτεται τὸ cύμφωνον τῷ ἐπιφερομένῳ φωνήεντι, ἀλλὰ χωρὶc εὑρίcκεται τὸ cύμφωνον τῆc προηγουμένηc λέξεωc, καὶ χωρὶc τὸ φωνῆεν τῆc ἐπιφερομένηc οἷον ὑπὲρ Ἀπολλωνίου, cὺν Ἀπολλωνίῳ, πρὸc Ἀπολλώνιον. ἐπὶ τούτων γάρ, ἐπειδὴ δύο λέξειc εἰcίν, οὐ cυνάπτεται τὸ cύμφωνον τῷ ἐπιφερομένῳ φωνήεντι, ἀλλὰ χωρίc ἐcτι τὸ cύμφωνον καὶ χωρὶc τὸ φωνῆεν. ἐπὶ μὲν γὰρ τοῦ ὑπὲρ Ἀπολλωνίου τὸ ρ̄ χωρίc ἐcτι καὶ τὸ α χωρίc, ἐπὶ δὲ τοῦ cὺν Ἀπολλωνίῳ τὸ ν χωρὶc καὶ τὸ α χωρίc, ἐπὶ δὲ τοῦ πρὸc Ἀπολλώνιον τὸ c̄ χωρὶc καὶ τὸ α χωρίc. δεῖ προcθεῖναι χωρὶc τῶν ἐχόντων ἔκθλιψιν· ἐπὶ τούτων γὰρ τὸ cύμφωνον τῷ ἐπιφερομένῳ φωνήεντι cυνάπτεται οἷον κατ᾽ Ἀπολλωνίου, μετ᾽ Ἀριcτάρχου, ἐπ᾽ αὐτῷ, κατ᾽ αὐτόν, καθ᾽ ἡμῶν. ἰδοὺ γὰρ ἐπὶ τούτων εἰ καὶ δύο λέξειc εἰcί, τὸ cύμφωνον τῷ ἐπιφερομένῳ φωνήεντι cυνάπτεται, ἐπειδὴ ἔκθλιψιc ἐγένετο.

Περὶ cυμφώνων.

4.

Il. Pr. Θ 441: ἀμβωμοῖcι: Χρύcιπποc ὑφ᾽ ἓν προφέρεται· ὁ μέντοι Ἀρίcταρχοc δύο μέρη λόγου παραλαμβάνει καὶ προπεριcπᾷ. λέγει γοῦν καὶ ἀλλαχοῦ «χρύcειοι δ᾽ ἄρα κοῦροι ἐϋδμήτων ἐπὶ βωμῶν» (Od. η 100). χρὴ μέντοι γινώcκειν, ὅτι διὰ τοῦ μ γράφεται κἂν παράθεcιc ᾖ ὁμοίωc τῷ «ἂμ φόνον, ἂν νέκυαc» (Il. Κ 298). τὸ δὲ αἴτιον ἐν τοῖc περὶ ὀρθογραφίαc εἴρηται.

5.

E. M. 792, 34: φθέγμα ὁ μὲν Ὧροc δι᾽ ἑνὸc γ̄ γράφει, ὁ δὲ Ἡρωδιανὸc διὰ δύο φθέγγμα· καὶ ἴcωc παρὰ τὸ φθέγγομαι· τὸ δὲ φθέγγομαι κατὰ πλεοναcμὸν τοῦ θ̄ γίνεται· παρὰ τὸ φῶ τὸ λάμπω γίνεται φέγγοc καὶ φέγγω φθέγγω παρὰ τὸ εἰc φῶc ἄγειν τὰ τοῦ νοῦ.

6.

E. Orion. 150, 21: cπόγγοc εἰ μὲν διὰ τοῦ π παρὰ τὸ cπᾶν τὰ ὑγρά, διὰ δὲ τοῦ φ παρὰ τὸ cφίγγειν κατὰ τὰc ἐκθλίψειc. οὕτωc Ἡρωδιανόc.

7.

E. Gud. 87, 52: ἀcπάραγοc ὁ λεγόμενοc φάρυγξ. εἴρηται ἄνευ τοῦ α cφάραγοc παρὰ τὸ cφαραγεῖν ὅ ἐcτιν ἠχεῖν, δι᾽ αὐτοῦ γὰρ ἡ

ad fr. 4. cf. Schol. ad Od. ε 329. 330 καὶ τὸ ἀμπεδίον καὶ τὸ ἀμπέλαγοc διὰ τοῦ μ̄ γραπτέον. Il. Pr. Π 248 τεύχεcί τε ξὺν πᾶcι καὶ ἀγχεμάχοιc ἑτάροιcιν κατὰ παράθεcιν ἐδεξάμεθα ἐνθάδε τὴν cὺν πρόθεcιν διὰ τὴν διαcτολὴν τὴν πρὸc τοὺc ἑταίρουc. διὸ προπεριcπᾶται τὸ πᾶcι, cὺν τεύχεcι πᾶcι καὶ τοῖc ἑταίροιc. ἔcτι μέντοι καὶ cύνθετόν ποτε καὶ τρίτη ἀπὸ τέλουc ἔcται ἡ ὀξεῖα ἀπ᾽ εὐθείαc τῆc cύμπαντεc καὶ αἰτιατικῆc τοὺc cύμπανταc. καὶ οὕτωc ἀνεγνώcθη τὸ «cύμπαcι Πυλίοιcι» (Od. γ 59). καὶ δῆλον ὅτι ἐνθάδε μὲν ἡ γραφὴ διὰ τοῦ μ̄ ἐcτί, ἐπεὶ κατὰ cύνθεcιν, ἐν δὲ τῷ «τεύχεcί τε ξὺν πᾶcι» φυλάξει τὸ ν̄ ἑαυτῆc ἡ πρόθεcιc διὰ τὴν παράθεcιν.

ad fr. 5. Idem Zonar. 1807.

ad fr. 6. Idem E. M. s. v. et E. Gud. p. 507, 15, ubi in lemmate cκύτοc pro cπόγγοc scriptum est.

ad fr. 7. Verba quae nomen Herodiani sequuntur, sunt nihil nisi repetitio

φωνὴ φέρεται: Ἡρόδικος δέ φησι πλεονασμῷ τοῦ ᾱ καὶ τοῦ ϲ εἶναι ἀϲφάραγον ἀντὶ τοῦ φάρυγγα. Πτολεμαῖοϲ δὲ ὅτι οἱονεὶ ἀϲπαίρει· ἄλλοι δὲ διὰ τὸ μὴ ϲπᾶϲθαι ἀϲπάραγον καὶ ἀϲφάραγον· κερατώδη γὰρ εἶναι. οἱ δὲ κατὰ πλεοναϲμὸν τοῦ α ἀϲφάραγον τὸν φέροντα τὴν φωνήν. οὕτωϲ Ἡρωδιανόϲ.

8.

E. Orion. 57, 29: ἐχθρόϲ: παρὰ τὸ ἔχθοϲ ἐχθηρὸϲ καὶ ϲυγκοπῇ ἐχθρόϲ ἢ ὡϲ κῦδοϲ κυδρόϲ. οἱ δὲ διὰ τοῦ κ γράφοντέϲ φαϲιν εἶναι ἐκθρὸϲ ὁ ἔξω τεθορηκώϲ, εἴγε ϲύμβαϲιϲ ἡ φιλία. οὕτω φηϲὶν Ἡρωδιανὸϲ ἐν τῇ ὀρθογραφίᾳ, διὰ δὲ τοῦ χ̄ γράφει.

9.

E. Or. 167, 15: ψυχρόϲ: παρὰ τὸ ψῦχοϲ ψυχρόϲ. οὕτωϲ ἐν τῇ ὀρθογραφίᾳ Ἡρωδιανόϲ.

Περὶ φωνηέντων.

10.

Theogn. 12, 26 et 85, 7: Πᾶϲα λέξιϲ ἀπὸ τῆϲ χε ϲυλλαβῆϲ ἀρχομένη φεύγει τὴν διὰ τῆϲ αι διφθόγγου γραφήν· ϲεϲημειωμένου τοῦ χαίτη, ὃ δηλοῖ τὴν τρίχα· γέγονε δὲ ἀπὸ τοῦ κρατῶ κράτη· ἐκβολῇ τοῦ ρ καὶ τροπῇ τοῦ κ εἰϲ χ καὶ πλεοναϲμῷ τοῦ ῑ χαίτη. οὕτωϲ Ἡρωδιανὸϲ ἐν τῇ ὀρθογραφίᾳ. ἔτι δὲ καὶ τὸ χαίρω καὶ χαίνω καὶ τὸ χαιόϲ, ὃ δηλοῖ τὴν ῥάβδον, καὶ τῶν παρ' αὐτῶν ϲυγκειμένων τοῦ χαιρέκακοϲ καὶ τῶν ὁμοίων.

11.

Eustath. 1392, 23: ϲημείωϲαι ὡϲ γαιήοχοϲ μὲν μοναχῶϲ διὰ διφθόγγου· γεοῦχοϲ δὲ καὶ γηοῦχοϲ καθ' Ἡρωδιανὸν μὲν καὶ Δίδυμον διὰ τοῦ ε̄ ψιλοῦ παρὰ τὴν ψιλογραφουμένην γέαν, ἧϲ ϲυναίρεμα

primo loco positae originationis, quae iam in fine inde a verbis οἱ δὲ κατὰ πλεοναϲμὸν iterata est: παρὰ τὸ ϲφάραγοϲ πλεοναϲμῷ τοῦ ᾰ (καὶ delevi) ἀϲφάραγον τὸν βρόγχον (pro βρόχον). Similiter Zon. 316 ὁ δὲ Ἡρωδιανὸϲ λέγει παρὰ τὸ ϲφαραγεῖν ὅ ἐϲτι τὸ ἠχεῖν· δι' αὐτοῦ γὰρ ἡ φωνὴ φέρεται· καὶ κατὰ πλεοναϲμὸν τοῦ α ἀϲφάραγοϲ. cf. E. M. 160, 50, Lob. El. I 15. Caeterum haec vitia codicis sustuli: l. 1 Ἡρόδικοϲ scripsi ex Il. Pr. N 29 pro Ἀριδείκηϲ, et l. 2 pro ἀϲπάραγον ἀϲφάραγον. l. 2 in cod. est Πολέμαχοϲ, pro ὅμωϲ scripsi οἱονεί, pro ἀπαίρει ἀϲπαίρει. l. 3 pro κερατώδηϲ κερατώδη et l. 4 pro τοῦ ρ τοῦ α et ἀϲφάραγον pro ἀϲπάραγον.

ad fr. 8 l. 8 ἢ inserui ante ὡϲ κῦδοϲ et addidisse opinor Herodianum ὃ καὶ ἄμεινον collato E. M. 39, 53 αἶϲχοϲ αἰϲχρόϲ ὡϲ κῦδοϲ κυδρόϲ, ψύχοϲ ψυχρόϲ· καὶ ἀπὸ τοῦ θηλυκοῦ ϲάθη ϲαθρόϲ καὶ λύπη λυπρόϲ. οὐ γὰρ ἀπὸ τοῦ αἰϲχηρόϲ ϲυγκέκοπται. De derivatione vocis ἔχθοϲ cf. Apoll. de adv. 558 ἐχθὲϲ παρὰ τὸ ἐκτὸϲ τοῦ χρόνου πεπτωκέναι τὸ κατάϲτημα ἐϲχημάτιϲται, τῶν ψιλῶν ἀντιϲτοίχων εἰϲ τὰ δαϲέα μεταπεϲόντων, καθὼϲ ἐϲτιν ἐπινοῆϲαι καὶ ἐπὶ τοῦ ἔχθοϲ. τὸ γὰρ ἀπόβλητον καὶ ἐκτὸϲ ἡμῶν τοιοῦτον et E. M. s. ἐχθέϲ.

ad fr. 9. Hoc ψυχρόϲ cum ἐχθρόϲ in orthographia comparatum fuit, ἐχθρόϲ autem propter duplicem scripturam et per κ et per χ memoratum.

ad fr. 10. Transiit in E. M. 807, 48, ubi ut in altero Theognosti loco pro ἐκβολῇ scriptum est ἀποβολῇ.

ad fr. 11. cf. Orion. 40, 27 γαιήοχοϲ παρὰ τὴν γαῖαν ἔχειν.

ἡ γῆ, ἄλλοι δὲ διὰ τῆς αι διφθόγγου παρὰ τὴν λοιπὴν γαῖαν, ἐξ ἧς καὶ γαιήοχος.

12.

E. M. 630, 18 coll. Choer. Orth. p. 243. 6: ὀρίγανον: διὰ τοῦ ῑ γράφεται κατὰ παράδοσιν· ὤφειλε δὲ ἐκ τῆς ἐτυμολογίας διὰ διφθόγγου γράφεσθαι. τὰ γὰρ ἀπὸ δοτικῆς τῶν εἰς οc οὐδετέρων συντιθέμενα γίνεται τοιοῦτον τὸν τρόπον· εἰ μὲν φωνῆεν ἐπιφέρεται ἢ ἓν ἁπλοῦν σύμφωνον, φυλάττεται ἡ ει δίφθογγος οἷον ὄρει ὀρείαυλος, ὀρειγενής ὁ ἐν τῷ ὄρει γεννηθείς, ἔγχει ἐγχείμορος. εἰ δὲ δύο σύμφωνα ἐπιφέρηται, ἀποβάλλουσι τὸ ε· ἔγχει ἐγχίκτυπος, ὄρει ὀρίτροφος χωρὶς τῶν παρὰ τὸ κάλλος καὶ τὸ ὕψος οἷον καλλιπάρθενος, ὑψίθρονος. κρεῖττον δὲ σημειοῦσθαι μόνα τὰ παρὰ τὸ κάλλος· περὶ γὰρ τῶν δοκούντων παρὰ τὸ ὕψος εἶναι λέγεται, ὅτι παρὰ τὸ ὕψι ἐπίρρημά εἰσι. τούτων οὕτως ἐχόντων τὸ ὀρίγανον ὤφειλε διὰ τῆς ει διφθόγγου γράφεσθαι· παρὰ γὰρ τὴν ὄρει δοτικὴν καὶ τὸ γάνος τὸ σημαῖνον τὴν χαρὰν γίνεται· τὸ γὰρ ὀρίγανον ἐν τῷ ὄρει χαίρει. ἀλλὰ διὰ τοῦ ῑ ἐπεκράτησε λέγεσθαι. Ἡρωδιανός.

13.

E. Gud. 100, 48: ἄχρι ἀπὸ τοῦ μέχρι ἀποβολῇ τοῦ μ καὶ μεταθέσει τοῦ ε εἰς α. οὕτως Ἡρωδιανὸς ἐν τῇ ὀρθογραφίᾳ.

14.

Steph. Byz. 359, 5 s. v. Καρία: Ἡρωδιανὸς ἐν τῇ ὀρθογραφίᾳ ἀμφίβολον αὐτό (sc. utrum Κᾶιρα an Κάειρα) φησιν. ἐν δὲ τῇ καθόλου χρήσει ἑπόμενος διὰ διφθόγγου φησίν· ὑπομνηματίζων δὲ τὸ περὶ γενῶν Ἀπολλωνίου διὰ τοῦ ῑ μακροῦ.

E. M. 692, 33: τὸ πρώϊρα οἱ μὲν διὰ τοῦ ῑ λέγουσιν ὡς ἀπὸ τοῦ πρῷρα κατὰ διάστασιν τοῦ ῑ πρώϊρα. ὁ δὲ Ἡρωδιανὸς διὰ τῆς ει διφθόγγου γράφει πρὸς τὸν χαρακτῆρα τῶν διὰ τοῦ ειρα.

Schol. ad Arat. v. 342 Bekk. p. 82: διὰ τοῦτο (sc. τὸ προνενευκέναι καὶ προπλεῖν) καὶ πρῷρα καλεῖται κατὰ Ἡρωδιανὸν ἐτυμολογοῦντα αὐτὴν παρὰ τὸ προϊέναι τὸ προπορεύεσθαι, πρόϊρά τις οὖσα καὶ πρῷρα, προσγεγραμμένον ἔχουσα τὸ ι.

E. M. 318, 50 s. ἐθείρῃσι: ἔθειρα γράφεται διὰ διφθόγγου· πάντα γὰρ τὰ διὰ τοῦ ειρα προπαροξυνόμενα διὰ τῆς ει διφθόγγου γράφον-

ad fr. 12. Etymologici Magni locus, in quo Herodiani nomen exstat, exscriptus est ex ampliore exemplari Orthographiae Choerobosci, simile praeceptum habent etiam Theogn. p. 95 et An. Ox. II 398, 7. l. 10 voce ἐγχείμορος rectius existimat Lob. ad Phrynich. p. 683 ἐγχείμαργος, quod exstat ap. Eustath. 460, 25 et alio Choerobosci loco p. 207 et An. Ox. l. c. l. 16 originatio, quae hic ap. Choeroboscum excipit verba ἐν τῷ ὄρει χαίρει: ἢ παρὰ τὸ ὁρᾶν καὶ τὸ γανῶ τὸ λαμπρύνω οἱονεὶ τὸ λαμπρῦνον τὴν ὅρασιν· ὁρᾶν γὰρ καλῶς ποιεῖ τὸ ὀρίγανον ut a Choerobosco assuta a me omissa est.

ad fr. 12. Propter scripturam per ῑ ἄχρι in Orthographia, opinor, prolatum et in transcursu originis mentio facta erat.

ται δότειρα, cώτειρα, ὀλέτειρα, γενέτειρα, εὐπάτειρα, Δηϊάνειρα. οὕτως οὖν καὶ τοῦτο. καὶ καθόλου τὰ εἰc ρᾱ θηλυκὰ οὐδέποτε ἔχει ἐν τῇ παραληγούcῃ τὸ ῑ μόνον, ἀλλ' ἢ μετὰ τοῦ ω οἷον πρῷρα ἢ μετὰ τοῦ ᾱ οἷον cφαῖρα. cεcημείωται τὸ εἱρά καὶ Κάειρα ἀμφιβαλλόμενα.

E. M. 483, 4: Κάειρα: τὸ εἱρά καὶ τὸ Κάειρα ἀμφιβάλλονται· ὥcπερ δὲ ἀπὸ τοῦ μάκαρ μάκαρος γίνεται μάκαιρα, αὕτω καὶ ἀπὸ τοῦ Κάρ Καρός γίνεται Καῖρα καὶ κατὰ διάλυcιν Κάϊρα καὶ τῷ λόγῳ τῶν εἰc ρᾱ θηλυκῶν Κάειρα διὰ τῆς ε̄ι διφθόγγου.

His locis comparatis sic fere Herodianum in Orthographia praecepisse existimaverim:

Πρώειρα οἱ μὲν διὰ τοῦ ῑ λέγουcι, ἐμοὶ δὲ δοκεῖ, καίπερ ἐτυμολογεῖται παρὰ τὸ προϊέναι τὸ προπορεύεcθαι πρόϊρά τις οὖcα καὶ πρῷρα προcγεγραμμένον ἔχουcα τὸ ῑ, διὰ τῆς ει διφθόγγου γράφειν πρὸς τὸν χαρακτῆρα τῶν διὰ τοῦ ε̄ῑρ̄ᾱ. Πάντα γὰρ τὰ διὰ τοῦ ε̄ῑρ̄ᾱ προπαροξυνόμενα διὰ τῆς ε̄ῑ διφθόγγου γράφονται, ἔθειρα, δότειρα, cώτειρα, ὀλέτειρα, γενέτειρα, εὐπάτειρα, Δηϊάνειρα. οὕτως οὖν καὶ τοῦτο. καὶ καθόλου τὰ εἰc ρα θηλυκὰ οὐδέποτε ἔχει ἐν τῇ παραληγούcῃ τὸ ῑ μόνον, ἀλλ' ἢ μετὰ τοῦ ω̄ οἷον πρῷρα ἢ μετὰ τοῦ ᾱ οἷον cφαῖρα ἢ μετὰ τοῦ ο̄ οἷον μοῖρα ἢ μετὰ τοῦ ε̄ οἷον cτεῖρα. cεcημείωται τὸ εἱρά καὶ Κάειρα ἀμφιβαλλόμενα. τὸ μὲν εἱρά διφορεῖται κατὰ τὴν ἐτυμολογίαν· εἰ μὲν παρὰ τὸ εἴρω τὸ λέγω, διὰ διφθόγγου· εἰ δὲ ἀπὸ τοῦ ἱερὰν εἶναι διὰ τὸ ῑ. τὸ δὲ Κάειρα πρὸς μὲν τὸν παραcχηματιcμὸν διὰ τοῦ ῑ· ὥcπερ γὰρ ἀπὸ τοῦ μάκαρ μάκαρος γίνεται μάκαιρα οὕτω καὶ ἀπὸ τοῦ Κάρ Καρός γίνεται Καῖρα καὶ κατὰ διάλυcιν Κάϊρα· τῷ δὲ λόγῳ τῶν εἰc ρᾱ θηλυκῶν Κάειρα διὰ τῆς ε̄ι διφθόγγου.

15.

E. Gud. 289, 31: Κάβιροι: ὁ Ἀλεξίων διὰ τοῦ ῑ, ὡcαύτως ὁ Φιλόξενος· καὶ Ἡρωδιανὸς λέγει τὴν παράδοcιν δίφθογγον ἔχειν καὶ ἴcως cυνέδραμε τῷ μάγειρος αἴγειρος πέπειρος ὄνειρος.

16.

E. Orion. 17, 14: αἴγειρος παρὰ τὸ αἴρεcθαι εἰc ὕψος καὶ αὔξεcθαι, ὅθεν Ὅμηρός φηcι (Od. η 106) «μακεδνῆς αἰγείροιο». οὕτως εὗρον ἐν τῇ Ὀρθογραφίᾳ Ἡρωδιανοῦ.

E. M. 28, 39: αἴγειρος, διὰ τῆς ε̄ι διφθόγγου· εὕρηται καὶ χωρὶς τοῦ ῑ ὡς τὸ «καὶ αἰγέρων ἔφυcαν εὐγενέcτεραι». καὶ ὅτι τὰ εἰc ρος ῥηματικὰ τῇ ει διφθόγγῳ παραλήγεται· οἷον μάccω μάγειρος, πέπτω πέπειρος, ὀνῶ ὄνειρος. οὕτως οὖν καὶ ἀΐccω αἴγειρος ἢ παρὰ τὸ

l. 19 verba ἢ μετὰ τοῦ ο̄ — cτεῖρα addidi ex Choer. Orth. 196, 20. l. 20 τὸ μὲν εἱρά (accentum ex Arcadio 97, 1 in εἶρα mutavi) — l. 23 διά τοῦ ῑ composui ex E. M. 303, 38 coll. Eust. 1060, 36.

ad fr. 15. l. 29 pro cυνέδραcε cum cod. Paris. 2720 in An. Paris. IV 52 scripsi cυνέδραμε; pro τὸ μάγειρος τῷ μ.

αἴρω τουτέστιν εἰς ὕψος αἴρεσθαι καὶ αὐξάνεσθαι. Quum in hoc E. Magni loco etymon ἀΐσσω primo loco positum et in Choer. Orthogr. 177, 29 altera originatio ne commemorata quidem sit, praeterea etiam ap. Theogn. 71, 22 ἀΐσσω αἴγειρος legatur, apparet in E. Orionis Herodiani adnotamentum omissum et explicationem ab eo alienam ei obtrusam esse. Quare sic Herodianum, ut est ap. Choerob., de voce egisse pro certo affirmem:

αἴγειρος: διὰ διφθόγγου τὰ δύο· εὕρηται γὰρ καὶ χωρὶς τοῦ ῑ οἷον «καὶ αἰγέρων ἔφυσαν εὐγενέστεραι» καὶ κατὰ πλεονασμὸν τοῦ ῑ αἴγειρος· τὰ γὰρ εἰς ρος ῥηματικὰ τῇ ει διφθόγγῳ θέλουσι παραλήγεσθαι· οἷον ἀΐσσω αἴγειρος, μάσσω μάγειρος, ὀνῶ ὄνειρος· τὸ δὲ αι τῆς πρώτης συλλαβῆς γέγονεν ἀπὸ τοῦ ἀΐσσω αἴγειρος κατὰ κρᾶσιν.

17.

E. Orion. 100, 4: μάγειρος παρὰ τὸ μάσσω ἤγουν ὁ τὰς μάζας μερίζων. οὕτως Ἡρωδιανὸς ἐν τῇ ὀρθογραφίᾳ.

18.

E. Gud. 415, 45: εἶρις: ὁ μέντοι Ὧρος ἐν τῇ ὀρθογραφίᾳ διὰ τῆς ει γράφει, ἐν δὲ τῷ ὑπομνήματι τῆς ὀρθογραφίας τοῦ Ἡρωδιανοῦ ἐγκρίνει τὴν διὰ τοῦ ῑ γραφήν.

19.

E. M. 539, 11: κριός· ὁ Ἡρωδιανός φησι παρὰ τὸ κεκρίσθαι τὰς τρίχας· διαφέρουσι γὰρ αἱ τρίχες τοῦ κριοῦ τῶν ἄλλων ζώων· τινὲς δὲ λέγουσι παρὰ τὸ κέρας γίνεσθαι κεριός καὶ συγκοπῇ κριός. οὐ καλῶς· κεραῖος γὰρ ὤφειλεν εἶναι ὡς κνέφας κνεφαῖος οὖδας οὐδαῖος.

---

ad fr. 17. Lohrsius me monuit pro μερίζων scribendum esse φυρῶν vel simile quid, sed in libello περὶ ποσότητος 316, 24 legimus δαιτρός ὁ μάγειρος ὁ μερίζων τὰ ὄψα. In E. Orion. et in E. M. 573, 6 Herodianeae originatio Philoxeni opponitur et ipsa ex Herodiano ut videtur deprompta: ὁ δὲ Φιλόξενος ἐν τῷ περὶ ἀναδιπλασιασμοῦ πλεονασμόν λέγει τοῦ ῑ· παρὰ ἀγείρειν τό συναθροίζειν ἤτοι ἐξ ὧν ἀρτύει ἢ ὧν παρασκευάζει ὄψιον et E. Gud. 375, 54 Φιλόξενος δὲ λέγει, ὅτι παρ' Αἰολεῦσιν ἡ γραφὴ διὰ τοῦ ῑ ἐστὶ μάγιρος. Ibidem: Ἀλεξίων δέ φησι ἢ ὅτι μαγεία τίς ἐστιν ἡ ἄρτυσις τῶν ἑψημάτων ἢ ἐπεὶ εἰς μικρὰ (pro μίαν) αὐτὰ συγκόπτει· ῥηματικὸς γὰρ ὁ τύπος καὶ ἁρμόζει τῷ μάσσω ῥήματι.

ad fr. 18. l. 19 ἐγκρίνει pro ἐπικρίνει emendavit Blochius ad E. M. p. 980. Ex hoc loco patet Herodianum hanc vocem in orthographia attigisse neque tamen, utram scripturam adoptaverit, sed vix dubitandum est, quin scripturam per ῑ praetulerit secundum canonem, quem Choer. Orth. 242 ab Herodiano pariter atque multa alia sumpsisse videtur: τὰ εἰς ρις βαρύτονα τῇ ει διφθόγγῳ οὐ παραλήγονται. Eustath. 391, 37, E. M. 209, 30 τὰ διὰ τοῦ ιρις ἀποστρέφεται τὴν ει δίφθογγον.

ad fr. 19. l. 22 ζώων post τῶν ἄλλων accessit ex Choer. Epim. in Psalm. 137, 26. Lehrsius pro ἄλλων suspicatus est αἰγῶν. — Idem quod in E. M., exstat etiam in E. Gud. 347, 3. In Et. Orion. 82, 15 res perversa est, quum Herodiano assignetur sententia, quam reprobatam ab eo esse apparet: κριός Ἡρωδιανὸς οὕτω ἐν τῇ ὀρθογραφίᾳ κέρας κέριος, συγκοπῇ κριός. Quidam vocabulum per ει scripsisse videntur cum κρείων cognatum putantes ὥσπερ λέγεται κρείων ὁ βασιλεύς, οὕτω καὶ κριός ὁ ἐξέχων τῆς ποίμνης, quae verba praemissa sunt modo prolatis Herodianeis in E. M. Atque sic exhibuerunt quidam nomen Titanis Κρεῖος, quod vetatur τῷ κανόνι τῶν διὰ τοῦ ιος δισυλλάβων ἀρσενικῶν διὰ τοῦ ῑ

*20.

E. M. 539, 20: Κρῖοϲ ὄνομα Τιτᾶνοϲ· παρὰ τὸ κεκρίϲθαι. προπεριϲπᾶται πρὸϲ ἀντιδιαϲτολὴν τοῦ κριόϲ τοῦ προϲηγορικοῦ. ὁ δὲ Ἀρίϲταρχοϲ καὶ τὸ κύριον ὀξύνει· τὰ διὰ τοῦ ιοϲ διϲύλλαβα ἀρϲενικὰ τὴν ει δίφθογγον ἀποϲτρέφεται, βίοϲ, δῖοϲ, Χῖοϲ ὁ πολίτηϲ τῆϲ Χίου, Θρῖοϲ ὄνομα ποταμοῦ, Κίοϲ ὄνομα κύριον, Πῖοϲ ὄνομα κύριον, Τίοϲ ὄνομα κύριον. οὕτωϲ οὖν καὶ Κρῖοϲ. πρόϲκειται ἀρϲενικὰ διὰ τὸ νειόϲ, ὃ ϲημαίνει τὴν ἀρουμένην γῆν· ἔϲτι δὲ θηλυκόν· ϲεϲημείωται ταῦτα, θεῖοϲ, Κεῖοϲ ὁ τῆϲ Κέω πόλεωϲ, πλεῖοϲ, μεῖοϲ, λεῖοϲ, ῥεῖοϲ. οὕτω δὲ λέγουϲιν οἱ Κύπριοι τὸν ἀϲθενῆ παρὰ τὸ ῥεῖα, ὃ ϲημαίνει τὸ εὐχερέϲ. χρεῖοϲ παρὰ τὴν χρείαν. τὸ δὲ Φλῖοϲ (ϲημαίνει δὲ τὸν Διόνυϲον) διφορεῖται. τινὲϲ μὲν γὰρ διὰ τοῦ ῑ γράφουϲιν αὐτό, τινὲϲ δὲ διὰ τῆϲ ει διφθόγγου.

21.

E. Orion. 40, 20: γρῖποϲ παρὰ τὸ ἀγρεῖν, ὅ ἐϲτι παρακολουθεῖν τῇ ἄγρᾳ. οὕτωϲ Ἡρωδιανὸϲ ἐν τῇ ὀρθογραφίᾳ.

22.

E. Orion. 77, 7: ἰκμάϲ παρὰ τὸ ἱκνεῖϲθαι ἄνωθεν πρὸϲ ἡμᾶϲ ἀπὸ τοῦ Διὸϲ ὕοντοϲ. οὕτωϲ Ἡρωδιανόϲ.

23.

E. Orion. 76, 26: ἵμεροϲ· παρὰ τὸ ἵημι ἵεϲθαι· «ἵετο γὰρ βαλέειν» (Π 383 et 866). ὁ ποθῶν γὰρ ἵεται ἐπὶ τὸ ποθούμενον. οὕτωϲ Ἡρωδιανόϲ.

24.

E. Orion. 76, 23: ἱμονία παρὰ τὸν ἱμάντα. οὕτωϲ Ἡρωδιανὸϲ ἐν τῇ ὀρθογραφίᾳ.

25.

E. Orion. 77, 3: ἶποϲ: παρὰ τὸ ἴπτω καὶ ἰάπτω, ὡϲ κόπτω κόποϲ, καὶ ἴπτω ἶποϲ· ἔϲτι δὲ εἶδοϲ παγίδοϲ. οὕτωϲ Ἡρωδιανόϲ.

26.

E. Or. 160, 6: φειδωλόϲ οἷον φευγωλόϲ τίϲ ἐϲτιν ὁ φεύγων τὸ δοῦναι. οὕτωϲ Ἡρωδιανὸϲ ἐν τῇ ὀρθογραφίᾳ.

γραφομένων et altero canone in libro περὶ ποϲότητοϲ 289, 12 πᾶν ὄνομα καὶ πᾶν μέροϲ λόγου, ᾧ ἔγκειται τὸ κρι μόριον, διὰ τοῦ ῑ γράφεται. Atque de hoc Κρῖοϲ habemus praeclarum fragmentum, vid. fr. seq.

ad fr. *20. Hoc fragmentum quin Herodiano debeatur, extra dubium ponit et doctrinae praestantia et mira cum Arcadio 37, 16—22 congruentia. Choerobosc. l. c. et p. 271, ut solet, Herodianum exscripsit. cf. Lehrs de Arist. p. 285 ed. II.

ad fr. 21. Idem E. Gud. 129, 54 et E. M. s. v., in quo postremo libri nomen non additum est. Canonem, ex quo per ῑ scribendum sit vocabulum, Choer. Orth. 188 affert: πᾶϲα ϲυλλαβὴ ἀπὸ τῆϲ γρι ἀρχομένη ἀποϲτρέφει τὴν ει δίφθογγον.

ad fr. 24. cf. Choer. Orth. 223, 30 ἱμονία διὰ τοῦ ῑ· παρὰ γὰρ τὸ ἱμάϲ ἱμάντοϲ γέγονεν.

ad fr. 26. οἷον φευγωλόϲ inserui ex E. Gud. 549, 56 φειδωλόϲ φευδωλόϲ (scribe φευγωλόϲ) τιϲ ὢν ὁ φεύγων τὴν δόϲιν καὶ τὸ δοῦναι cf. Excerpta cod.

27.

Herodian. περὶ μον. λέξ. 23, 20: οὐκ ἀγνοῶ, ὅτι καὶ τὸ βαρυνόμενον (sc. εἶμι) ἡ παράδοσις διὰ τῆς ει διφθόγγου γράφει· οὐχ ὑγιῶς μέντοι οὔτε κατὰ τὸ κίνημα αὐτοῦ οὔτε κατὰ τὴν Αἰολίδα διάλεκτον, ὡς δέδεικταί μοι ἐν τοῖς περὶ ὀρθογραφίας.

28.

E. M. 197, 48: βινεῖν: λέγει ὁ Ἡρωδιανὸς ὅτι τοῦτο διφορεῖται κατὰ τὴν γραφήν· τινὰ γὰρ τῶν ἀντιγράφων διὰ τῆς ει διφθόγγου γράφουσι τὴν λέξιν, τινὰ δὲ διὰ τοῦ ῑ.

29.

E. M. 206, 34: [Ἰὼ ἡ Ἰνάχου εἰς βοῦν μεταβληθεῖσα καὶ μετὰ τὴν διὰ γῆς καὶ θαλάσσης πλάνην εἰς Αἴγυπτον παραγενομένη ἐπιβᾶσά τε βροχθώδους τόπου τοῦ Νείλου τῶν χηλῶν ἴχνη τῷ πηλῷ ἐνεχάραξεν. ὁ δὲ τῆς χώρας βασιλεὺς ἑωρακὼς τὸ μὲν τῆς ἐμπροσθίας χηλῆς τῷ ει στοιχείῳ ἐμφερές, τὸ δὲ τῆς ὀπισθίας τῷ ω̄ Εἰὼ τὴν βοῦν ὠνόμασεν· ὥστε κατὰ τοῦτον τὸν λόγον καὶ διὰ τῆς ει διφθόγγου, δεῖ γὰρ Εἰώ]. ὁ μέντοι Ἡρωδιανός φησι διὰ τοῦ ῑ παρὰ τὸ ἰέναι σχηματιζόμενον, ὅτι πολλήν,. φησίν, ἦλθεν γῆν.

Paris. post Orionem p. 190, 22. Caeterum Herodianus verbum δοῦναι in φειδωλὸς inesse non sumpsit, ut apparet ex Choer. Orth. 273: φειδωλός: διὰ διφθόγγου· ὥσπερ παρὰ τὸ ἁμαρτῶ γέγονεν ἁμαρτωλός, οὕτως καὶ παρὰ τὸ φείδω φειδωλός οἱονεὶ ὁ φεύγων τὸ δοῦναι, φευγωλός (sic scribe pro φευδωλός) γάρ. cf. An. Ox. II 422, 14 τὸ φεύγω παρὰ τὸ φέβω τὸ φοβοῦμαι, ὅθεν καὶ φείδω. οἱ γὰρ Δωριεῖς τὸ β̄ εἰς δ̄ τρέπουσιν.

ad fr. 27. Quod ad declinatum attinet, in orthographia Herod. Apollonii sententiam amplexus esse videtur, quam refert Choer. 848 Gaisf., Cram. IV 346 δεῖ δὲ γινώσκειν ὅτι ὁ Ἀπολλώνιος τὸ εἶμι διὰ τοῦ μακροῦ ῑ γράφει ἐκ τοῦ καὶ τὰ δυϊκὰ καὶ τὰ πληθυντικὰ διὰ συνεσταλμένου τοῦ ῐ οἷον ἴτον ἴτον ἴμεν ἴτε καὶ ἐν συνθέσει ἔξιτον καὶ τὸ τρίτον τῶν πληθυντικῶν ἴσι καὶ ἴασιν οἷον «καί τ' ἀγεληδὸν ἴασιν» (Π 160). Cui Apollonii sententiae non concinere paradosin demonstratur Herodiano auctore: οὐ συνᾴδει δὲ αὐτῷ ἡ παράδοσις· φησὶ γὰρ ὁ Ἡρωδιανὸς ἀεὶ τὴν παράδοσιν γινώσκειν τὸ εἶμι ἐν τοῖς ἑνικοῖς διὰ τῆς ει διφθόγγου οἷον «εἶμι μὲν οὐδ' ἁλίη ὁδὸς ἔσσεται» (Od. β 318) καὶ τὸ δεύτερον εἶς οἷον «τῇ δ' εἶς, ᾗ σ' ἂν ἐγώ περ ἄγω καὶ ἀοιδὸν ἐοῦσαν» (Hesiod. Op. 206) ἀντὶ τοῦ ἐκεῖ πορεύῃ καὶ τὸ τρίτον τῶν ἑνικῶν εἶσιν οἷον «εἶσι περὶ πτόλιος μαχεούμενος» (P 147) ἀντὶ τοῦ πορεύεται. τὰ μέντοι δυϊκὰ καὶ τὰ πληθυντικά, ὡς εἴρηται, διὰ συνεσταλμένου τοῦ ῐ εἰσί. (cf. An. Paris. III 315, 20 ἴθι ἐκ τοῦ εἶμι τὸ πορεύομαι, τὸ α' τῶν πληθυντικῶν ἴμεν καὶ τὸ προστακτικὸν ἴθι. φασὶ γὰρ δύο εἶναι πρωτότυπα ῥήματα ἴω διὰ τοῦ ῑ καὶ εἴω διὰ τῆς ει̅ διφθόγγου, καὶ τὰ μὲν ἑνικὰ διὰ τῆς ει̅ γράφεται ὡς ἀπὸ τοῦ εἴω οἷον εἶμι εἶς εἶσι· τὰ δὲ πληθυντικὰ διὰ τοῦ ῐ ὡς ἀπὸ τοῦ ἴω, τὸ πληθυντικὸν ἴμεν ἴτε ἴσι πλεονασμῷ ἴασι, ἐκ τούτου οὖν τοῦ ἴμεν τροπῇ τῆς μεν εἰς θι ἴθι.) — De Aeolica dialecto id dixisse Herodianum consentaneum est, quod a Choerob. Gaisf. 843, 17, Cr. An. IV p. 341 traditur: verba in μι̅ diphthongum non in proxima ultimae habere excepta dialecto Aeolica, in qua tamen nulla nisi αι diphthongus finem μι̅ praecedat: τὰ εἰς μι οὐ θέλουσι παρ' ἡμῖν διφθόγγῳ παραλήγεσθαι οἷον τίθημι δίδωμι σεσημειωμένου τοῦ εἰμί τοῦ σημαίνοντος τὸ ὑπάρχω καὶ τοῦ εἶμι τοῦ σημαίνοντος τὸ πορεύομαι. παρὰ δὲ τοῖς Αἰολεῦσιν εὑρίσκονται διφθόγγῳ παραληγόμενα οἷον ἵσταιμι κίχραιμι γέλαιμι διὰ τῆς αι̅ διφθόγγου· δῆλον οὖν ὅτι οὐκ εἰσὶν Αἰολικά. cf. Eustath. 1064, 18.

ad fr. 28. cf. E. Orion. 34, 25, E. Gud. 108, 49, Schol. ad Aristoph. Ran. 740.

30.

E. M. 370, 38: γίνεται ἐρέθω ἐρεθεύω καὶ πλεοναcμῷ τοῦ ῑ ἐρειθεύω. οὕτω Φιλόξενος· ὁ δὲ Ἡρωδιανὸς ἔριθος ἐριθεύω φηcίν.

31.

E. Gud. 205, 32 collato E. M. 372, 28: ἐρείπω καὶ ἐρείπια: καὶ λέγει ὁ Δίδυμος, ὅτι διὰ τοῦ ῑ ὤφειλε γράφεcθαι, ἐπειδὴ παρὰ τὸ ἐρίπνη ἐcτίν, ὅπερ cημαίνει τὴν μεγάλως περιπνεομένην. τὸ δὲ ἐρίπνη διὰ τοῦ ῑ παρὰ τὴν ερι ἐπίταcιν. ὁ δὲ Φιλόξενος λέγει, ὥc φηcιν ὁ τεχνικός, ὅτι ἐρίπω διὰ τοῦ ῑ ὤφειλεν, ὡc καὶ ὁ Δίδυμός φηcιν. εἰπὼν δὲ «ὤφειλεν» ἐδήλωcεν οὐ διὰ τοῦ ῑ γράφεcθαι, ἀλλὰ διὰ τῆc ει διφθόγγου τῆc παραδόcεωc οὕτωc ἐχούcηc· ἔcτι δὲ καὶ ἀπὸ τοῦ ἔρα ἡ γῆ ἐρέπτω καὶ πλεοναcμῷ τοῦ ῑ καὶ ἀποβολῇ τοῦ τ ἐρείπω.

32.

E. M. 122, 53, Favorin. 120, 21: ὁ Ἡρωδιανὸc λέγει, ὅτι τὰ ἀπὸ βαρυτόνου μεταγόμενα. εἰc περιcπώμενον cυcτέλλει τὴν παραλήγουcαν οἷόν ἐcτι τὸ φείδω φιδῶ· οὕτωc ἐcτὶ καὶ τὸ ἀπιθῶ ῥῆμα, ὅπερ ἀεὶ παρ' Ὁμήρῳ γράφεται διὰ τοῦ ῑ ὡc ἀπὸ τοῦ πιθῶ δευτέρου μέλλοντοc γενόμενον, παρ' ἡμῖν δὲ διὰ διφθόγγου γράφεται ἐκ τοῦ ἀπειθήc ὀνόματοc καθὰ καὶ τὸ ἀφειδῶ ῥῆμα ἐκ τοῦ ἀφειδήc.

33.

E. M. 520, 15: κλίcιον: ὁ μὲν τεχνικὸc διὰ τῆc ει διφθόγγου γράφει, ὁ δὲ Ἡρωδιανὸc διὰ τοῦ ῑ· λέγει ὅτι παρὰ τὸ κλείω ἐcτίν, ὃ cημαίνει τὸ περιέχω. καὶ ἐκεῖθεν κλιcιάc καὶ κλίcιον τὸ ὑποκοριcτικόν. τοῦτο παρὰ μὲν Ὁμήρῳ cυcτέλλει τὸ ῑ καὶ προπαροξύνεται οἷον «περὶ δὲ κλίcιον θέε πάντῃ» (ω 208), παρὰ δὲ τοῖc Ἀττικοῖc ἐκτείνεται τὸ ῑ καὶ παροξύνεται ὡc τὸ θηρίον· τὰ γὰρ διὰ τοῦ ῑ παρώνυμα τριβράχεα προπαροξύνεται cτόμα cτόμιον, θρόνοc θρόνιον, πτύξ πτυχόc πτύχιον. οὕτωc καὶ κλιcιάc κλίcιον· τὰ δὲ δακτυλικὰ πρὸ μιᾶc ἔχει τὸν τόνον.

34.

Choer. Orth. 266, 27: τρεῖc: τὸ περιcπώμενον διὰ τῆc ει διφθόγγου· καὶ ὤφειλε διὰ τοῦ ῑ γράφεcθαι, ἐπειδὴ τριῶν ἐcτι ἡ γενικὴ τῶν

ad fr. 30. cf. Choer. Orth. 199, 15.

ad fr. 31. In E. M., unde verba τῆc παραδόcεωc οὕτωc ἐχούcηc inserui, sequuntur ὁ μὲν Ἡρωδιανὸc διὰ τῆc ει διφθόγγου· οἱ δὲ ποιηταί (? πρὸ αὐτοῦ) διὰ τοῦ ῑ, quo demonstratur technicum in E. Gud. esse Herodianum.

ad fr. 32. Verba inde ab ὅπερ addidi ex Favorino, continent enim Herodiani sententiam, qui in Cathol. ap. Arcad. 156, 19 et 174, 18 verbum ἀπειθῶ a nomine ἀπειθήc propagatum affert. cf. Theogn. 149, 6.

ad fr. 33. l. 22 in E. Gud. 328, 29 et in Cod. Paris. 2638 pro ὁ Ἡρωδιανόc scriptum est ὁ Ὦροc, sed E. M. rectum nomen servasse videtur, quum Herodiano sententia apta (E. M. 500, 39, E. Gud. 312, 14, Arcad. 119) exponatur; pro παρὰ τὸ κλίνω scripsi κλείω cum Schol. ad Od. ω 208, pro καὶ posui ὅ. l. 23 pro κλίcιc ab hoc loco alieno scripsi κλιcιάc.

ad fr. 34. Quae sequuntur p. 267, 5 πρὸc ὃν ἐcτιν εἰπεῖν, ὅτι πρῶτον κτλ. contra Herodiani sententiam a Choerobosco proferuntur.

πληθυντικῶν καὶ τριϲὶν ἡ δοτική. τὰ δὲ ἔχοντα κατὰ τὴν γενικὴν καὶ δοτικὴν τῶν πληθυντικῶν ἐν τῇ παραληγούϲῃ τὸ ῑ καὶ ἐν τῇ εὐθείᾳ τῶν πληθυντικῶν ἔχουϲι τὸ ῑ κατὰ τὴν παραλήγουϲαν οἷον πόλιϲ πολίων πόλιεϲ, ὄφιϲ ὀφίων ὄφιεϲ· εἰ οὖν τριῶν καὶ τριϲίν, δῆλον ὅτι καὶ τρίεϲ διὰ τοῦ ῑ· καὶ λοιπὸν κατὰ κρᾶϲιν τοῦ ῑ καὶ τοῦ ε̄ εἰϲ ῑ δῆλον ὅτι μακρὸν τρῖϲ διὰ τοῦ ῑ ὥϲπερ πόλιεϲ πόλιϲ, μάντιεϲ μάντιϲ. ἀλλὰ λέγει ὁ τεχνικόϲ, ὅτι, ἵνα μὴ ϲυνεμπέϲῃ τῷ τρίϲ ἐπιρρήματι, τούτου χάριν οὐκ ἐγράφετο διὰ τοῦ ῑ, ἀλλὰ διὰ τῆϲ ει διφθόγγου. καὶ ἄλλωϲ ὅτι οἱ Αἰολεῖϲ διὰ τοῦ η γράφουϲιν αὐτὸ τρῆϲ ἔθοϲ ἔχοντεϲ τὴν ει δίφθογγον εἰϲ η τρέπειν.

35.

Choer. Orth. 274: Φθιρῶν: ἰϲτέον, ὅτι τὸ «Φθιρῶν τ' ὄροϲ ἀκριτόφυλλον» (Β 868) ὁ τεχνικὸϲ διὰ τοῦ ῑ γράφει λέγων παρὰ τὸ Φθίρ τὸ ἐπὶ τοῦ υἱοῦ τοῦ Ἐνδυμίωνοϲ.

36.

περὶ ποϲότητοϲ Cram. An. Ox. II 303: τὰ εἰϲ υϲ λήγοντα ὀνόματα διὰ τοῦ ῑ γράφονται κατὰ τὴν παραλήγουϲαν καὶ οὐκ ἔχει δίφθογγον τὴν ει οἷον πίτυϲ, ἰλύϲ, ἰϲχύϲ, ἰχθῦϲ, δριμύϲ, ἥμιϲυϲ, ὀϊζύϲ, Ἐρινύϲ, ἰξύϲ ἡ ῥάχιϲ, λιγύϲ, βριθύϲ ὁ ἰϲχυρόϲ χωρὶϲ τοῦ κλειτύϲ, ϲημαίνει δὲ τὰ ἐξέχοντα μέρη τῶν ὀρέων. τοῦτο γὰρ διὰ τῆϲ ει διφθόγγου, ὥϲ φηϲιν Ἡρωδιανόϲ.

37.

Choer. Orth. 183, 31: βοϊκὰ ζεύγη: ῑ ἡ παράδοϲιϲ· Ἡρωδιανὸϲ δὲ δίφθογγον αὐτῷ ἔταξεν ἐν τῷ περὶ ὀρθογραφίαϲ.

38.

E. Orion. 118, 1: οἶκοϲ; παρὰ τὸ εἴκω τὸ οἶκοϲ, ὑφ' ὃν ὑποχωροῦμεν. Ἡρωδιανὸϲ ἐν τῇ ὀρθογραφίᾳ.

39.

E. M. 226, 49: γερόντειον: τὸ τει δίφθογγον· τὰ ἀπὸ τῶν εἰϲ ων βαρυτόνων διὰ τοῦ ντ κλινομένων διὰ τῆϲ ει διφθόγγου γράφεται, λέων

---

ad fr. 35. Technici nomine a Choerobosco Herodianum designari diserte dicit Eustath. 368, 11 ἡ γραφὴ τῆϲ παραληγούϲηϲ τῶν Φθειρῶν τούτων διάφοροϲ κατὰ τὸν Χοιροβοϲκόν· οἱ μὲν γὰρ πλείουϲ διὰ διφθόγγου γράφουϲιν αὐτό, ὁ δὲ τεχνικὸϲ φηϲι διὰ τοῦ ῑ, τεχνικὸν λέγων τὸν Ἡρωδιανόν· παρὰ τὸ Φθίρ γάρ, φηϲί, γέγονε κύριον τὸ ἐπὶ τοῦ υἱοῦ τοῦ Ἐνδυμίωνοϲ.

ad fr. 36. cf. Eustath. 1066, 19 ὡϲ καὶ διὰ τῆϲ ει διφθόγγου γράφουϲί τινεϲ τὴν κλιτὺν ἀπὸ τοῦ κλέταϲ πλεοναϲμῷ τοῦ ῑ, δηλοῦϲιν οἱ τὸν Ἡρωδιανὸν ἀμφιπενόμενοι τεχνικοί.

ad fr. 37. cf. Arcad. 51, 25 et Lob. Proll. 320 seqq., ubi dicit Choeroboscum verbis ὁ δὲ λόγοϲ οὐ ϲυγχωρεῖ, quae propositis adnexa sunt, innisso sibi displicere Herodiani sententiam, qua βοεικόϲ ex βοειακόϲ contractum putavit.

ad fr. 38. Ex Choer. Orth. 205, 21 apparet, quomodo hoc praeceptum in Orthographia locum invenerit: εἴκω τὸ ὑποχωρῶ διὰ τῆϲ ει διφθόγγου γράφεται, ἀντιπαράκειται γὰρ αὐτῷ τὸ οἶκοϲ οἱονεὶ εἰϲ ὃν ὑποχωροῦμεν πάντεϲ. cf. E. M. 617, 26, St. B. 485, 4, Choer. Epim. in Psalm. p. 77, Lob. Rhemat. 59.

ad fr. 39. In articulo E. Magni duo Herodiani adnotamenta, unum de γε-

λεόντειος δορά (τὸ κύριον διὰ τοῦ ῑ), δράκων δρακόντειον αἷμα, γέρων γερόντειος, Ἀνακρέων Ἀνακρεόντειος, Λαομέδων Λαομεδόντειος καὶ τὰ ἀπὸ τῶν εἰς ων περισπωμένων, Ξενοφῶν Ξενοφώντειος, Δημοφῶν Δημοφώντειος πλὴν τοῦ Ποσειδῶν Ποσειδώνιος· καὶ τὰ ἀπὸ τῶν εἰς ων βαρυτόνων μὴ κλινομένων διὰ τοῦ ντ δίφθογγον ἔχει «Θέων Θεώνειος, Τρύφων Τρυφώνειος πλὴν τοῦ Ἀπόλλων Ἀπολλώνιος καὶ Ἀμμώνιος. τὰ θηλυκὰ αὐτῶν ταῦτα διφθογγογραφεῖται Ἀπολλωνεία βάξις καὶ Ἀπολλωνεία φήμη. οὕτως Ἡρωδιανός.

40.

E. M. 629, 7: ὀπτανεῖον· δεῖ γινώσκειν ὅτι διὰ τῆς ει διφθόγγου γράφεται, πρῶτον μὲν ὅτι λέγεται ὀπτανήϊον, δεύτερον δὲ τῷ λόγῳ τοῦ βαλανεῖον· λέγει δὲ ὁ Ἡρωδιανὸς καὶ ἐνταῦθα καὶ ἐν τῇ καθόλου, ὅτι παρὰ τοῖς Ἀττικοῖς καὶ διὰ τοῦ ῑ γράφεται καὶ προπαροξύνεται, οἷον ὀπτάνιον.

41.

Phot. p. 99: θωρακείοις: προμαχῶσιν ἢ δρυφάκτοις· λουρικίοις διὰ διφθόγγου. οὕτως αὐτὸ Ἡρωδιανός.

42.

Eustath. ad Dionys. 815: τὸ Δορύλαιον τὸ καὶ Δορυλάϊον, κατὰ δὲ τὴν ὀρθογραφικὴν τέχνην Δορυλάειον διὰ διφθόγγου.

43.

E. M. 604, 42: νηρίτης σημαίνει τὸν θαλάσσιον κοχλίαν. τινὲς λέγουσιν ἀπὸ τοῦ Νηρεύς γίνεσθαι· ἀλλ' ὤφειλε γράφεσθαι διὰ διφθόγγου ὁ τεχνικὸς λέγει νηρείτης ὡς Ὠρεύς Ὠρέος Ὠρεῖτης καὶ Ὠρείτης. ἀλλ' ἔστιν νέω νῶ· τὸ ἀπαρέμφατον νεῖν οἷον «πεζῇ πορεύου· νεῖν γὰρ οὐκ ἐπίστασαι». ὁ μέλλων νήσω· ἐκ τούτου γίνεται νηρός, λέγεται ὁ ἰχθῦς ἀπὸ τοῦ νήχεσθαι, ἐξ οὗ νηρίτης ὡς τόπος τοπίτης.

ρόντειος adiectivo alterum de genetivo γεροντέων coniuncta sunt illud ex Orthographia, hoc ex libro περὶ παθῶν translatum, ita ut subscriptio οὕτως Ἡρωδιανός ad utrumque pertineat. Lobeck ad Phrynich. p. 371 de origine Herodianea huius praecepti non dubitat, sed postrema non satis patefacta esse dicit, sed ad Aiac. p. 114 exceptionem πλὴν τοῦ Ἀπόλλων etc. recte se habere pronunciat feminina Ἀπολλωνεία Ἀμμωνεία ad exitum ειος revolvi suspicatus propter topica Ἀπολλωνία Ἀμμωνία.

ad fr. 40. De βαλανεῖον cf. infra canones generales, Choerob. Orth. p. 186 et 245, Lob. Phrynich. p. 276. verbo ἐνταῦθα epitomator Orthographiam significare videtur, quam ante oculos habuit haec describens.

ad fr. 42. Sic emendat Meinekius ad Steph. Byz. 236, 9 hunc locum scribens Δορυλάϊον pro Δορυλάειον et Δορυλάειον pro Δορύλλειον. Firmatur Meinekii coniectura Choer. Orth. 197, 10 Δορυλάειον: δίφθογγος ει καὶ Κοτιάειον.

ad fr. 43. l. 23 scripsi γίνεσθαι pro γίνεται, l. 24 δὲ post ὁ τεχνικός omisi et post λέγει pro ἀπὸ τοῦ Νηρῆς, ἀλλ' ὤφειλεν εἶναι Νηρηΐτης ex superioribus male repetitis nihil nisi νηρείτης. Lobeckius Proll. 395 (cf. ad Buttm. II 433) pro ὀρεύς scripsit Ὠρεύς. cf. Steph. Byz. s. Ὠρεός.

44.

E. M. 703, 14: λέγει Ὧρος διὰ διφθόγγου ῥειτός καὶ ὀξύνεται, ὁ δὲ Ἡρωδιανὸς διὰ τοῦ ῑ ῥῖτος, καὶ βαρύνεται ὡς cῖτος.

45.

E. Orion. 108, 26: Νέαιρα τὸ ἔcχατον τῆc κοιλίαc. νέατον τὸ ἔcχατον. ὅθεν καὶ λαγὼν τὸ αὐτὸ εἴρηται παρὰ τὸ λήγειν. Ἡρωδιανὸc ἐν τῇ ὀρθογραφίᾳ.

In E. M. 599, 3 postquam inepta explicatio (a νέεcθαι) allata est, quae ipsis verbis sumpta est ex Choerob. Orthogr. 241 haec altera sequitur nunc non satis ab illa distincta:

νέαιρα καὶ πλεοναcμῷ τοῦ ῑ νείαιρα ὡc τὸ «νειαίρῃ δ' ἐν γαcτρὶ διὰ ζωcτῆροc ἔλαccεν» (Ε 539) ὡc νέατοc νείατοc «νείατον ἐc κενεῶνα» (Ε 857) καὶ «ἔκειτο δὲ νείατοc ἄλλων» (Ζ 295). παρὰ τὸ νέοc γίνεται νέατοc ὥcπερ παρὰ τὸ μέcον γίνεται μέcατον καὶ πλεοναcμῷ τοῦ ῑ νείατον ὡc ἔcχατον· ὅθεν καὶ λαγὼν τὸ αὐτὸ εἴρηται παρὰ τὸ λήγειν.

46.

Eustath. 183, 6: τὸ Ἀργειφόντηc ἀεὶ τὴν διὰ διφθόγγου ἔχει γραφήν. ἰcτέον δὲ ὅτι τὸ Ἀργεφόντηc καθὰ καὶ τὸ ἀνδρεφόντηc, ἐξ ὧν Ἀργειφόντηc καὶ ἀνδρειφόντηc Δωρικά εἰcιν, ὡc Ἡρωδιανὸc δηλοῖ ἐν οἷc λέγει τοιαῦτα· αἱ εἰc ο̅c̅ ὀξύτονοι γενικαὶ cυντιθέμεναι cυμφώνου ἐπιφερομένου ἢ διὰ τοῦ ο̅ λέγονται οἷον Ζηνόc Ζηνόθεοc, θριπόc θριπόβρωτοc, ἁλόc ἁλοθήκη, ἢ διὰ τοῦ ῑ οἷον Αἰγίπαν, πυρίχαλκοc, νυκτίκοραξ. οὕτωc οὖν φηcι καὶ ἀλοτρίβανοc ὡc ἀλοπώληc καὶ ἁλοθήκη. ὁ μέντοι διὰ τοῦ ε̅ ἀλετρίβανοc μήποτε Δώριόν ἐcτιν. οἱ γὰρ τὸν Ἀπόλλωνα Ἀπέλλωνα εἰπόντεc καὶ τὸν ἀνδροφόνον ἀνδρεφόνον, οὗτοι καὶ τὸν ἀλοτρίβανον ἀλετρίβανον εἴποιεν ἄν.

E. M. 137, 1: ὥcπερ ἀπὸ τοῦ ἀλοτρίβανον γίνεται ἀλετρίβανον τροπῇ τοῦ ο εἰc ε̅, οὕτω καὶ ἀπὸ τοῦ ἀργοφόντηc γίνεται ἀργεφόντηc καὶ πλεοναcμῷ τοῦ ῑ ἀργειφόντηc. Δίδυμοc δὲ διὰ τοῦ ῑ γράφει, λέγει γάρ, ὥcπερ ἀπὸ τοῦ ἀρι̅ ἐπιτατικοῦ γίνεται ἀριδείκετοc, οὕτω τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ ἀ̅ρ̅ι̅ γίνεται ἀριφόντηc καὶ πλεοναcμῷ τοῦ γ̅ ἀργιφόντηc.

47.

E. M. 436, 56: ἠρήκαμεν· ἤρημεν διὰ τοῦ η γράφεται. Ἡρωδιανὸc περὶ παθῶν.

ad fr. 44. cf. Choer. Orth. 256, Arcad. 79, 4.

ad fr. 45. post κοιλίαc interpunxi et pro νέατον καὶ scripsi νέατον τὸ monente Lehrsio. τὸ αὐτὸ εἴρηται ex E. M. inserui l. 11 per se patet νείαιρα propter scripturam per ε̅ι̅ diphthongum in Orthographia locum habuisse.

ad fr. 46. De re confer Lob. ad Phrynich. p. 677 seqq.

ad fr. 47. Pro hoc scribendum arbitror ἠρήκαμεν: ἤρημαι διὰ τοῦ η̅ γράφεται Ἡρωδιανὸc περὶ ὀρθογραφίαc, sic ut ἠρήκαμεν ab εἰρήκαμεν distingueretur.

48.

Il. Pr. A 129: δῷϲι: Ζωΐλοϲ ὁ Ἀμφιπολίτηϲ καὶ Χρύϲιπποϲ ὁ Cτωϊκὸϲ ϲολοικίζειν οἴονται τὸν ποιητήν, ἀντὶ ἑνικοῦ πληθυντικῷ χρηϲάμενον ῥήματι. τὸ γὰρ δῷϲι φαϲὶ πληθυντικόν. ἀγνοοῦϲι δέ· ἔϲτι γὰρ τὸ δῷ ἑνικὸν ἐπεκτεταμένον, ὡϲ τὸ λέγῃ λέγηϲι, φέρῃ φέρηϲι· τοιοῦτόν ἐϲτι καὶ τὸ ἐν τῇ Ὀδυϲϲείᾳ (α 168) τὸ «φῇϲιν ἐλεύϲεϲθαι» καὶ τὸ «εἰϲόκε μοι μάλα πάντα πατὴρ ἀποδῷϲιν ἔεδνα» (Od. θ 318)· κἀνταῦθα γὰρ ἀποδῷ. διὸ καὶ τὸ ῑ ἔχει προϲκείμενον· μέμνηται αὐτοῦ κἀν τῇ ὀρθογραφίᾳ Ἡρωδιανόϲ.

49.

Choer. Gaisf. 857, 18, Cram. IV 34: τὸ φῇϲ οὐκ οἶδεν ὁ Ἀπολλώνιοϲ ϲὺν τῷ ῑ γεγραμμένον· ἡ δὲ παράδοϲιϲ καὶ ὁ Ἡρωδιανὸϲ ϲὺν τῷ ῑ οἶδεν.

Epim. Cr. I 432, 25: φῄϲ: τὸ φῄϲ οὐ δοξάζει ὁ τεχνικὸϲ ϲὺν τῷ ῑ γράφειν· ἡ μέντοι παράδοϲιϲ οἶδεν αὐτὸ ϲὺν τῷ ῑ γεγραμμένον.

E. M. 791, 49: δεῖ γινώϲκειν, ὅτι τὸ φῄϲ ἐνεϲτὼϲ ἐϲτι δευτέρου προϲώπου καὶ ϲὺν τῷ ῑ γράφεται. καὶ ὅϲον κατ᾽ ἀναλογίαν, οὐκ ὤφειλεν ἔχειν τὸ ῑ· τὰ γὰρ εἰϲ μῑ τροπῇ τῆϲ μι εἰϲ ϲ̄ τὸ δεύτερον ποιοῦϲιν. εἰ οὖν τὸ φημί οὐκ ἔχει τὸ ῑ (τὰ γὰρ εἰϲ μι οὐ θέλει διφθόγγῳ παραλήγεϲθαι χωρὶϲ τοῦ εἰμί καὶ εἶμι) δῆλον ὅτι οὐδὲ τὸ φῄϲ ὤφειλεν ἔχειν τὸ ῑ· ἀλλὰ κατὰ παράδοϲιν ἔχει τὸ ῑ. — τινὲϲ δὲ θέλουϲι λέγειν ὑπὲρ τοῦ φῄϲ· ὅτι τὸν μὲν τόνον ἀπὸ τῶν εἰϲ μῑ ἔϲχε, τὴν δὲ γραφὴν ὡϲ ἀπὸ τῶν εἰϲ ω ἀπὸ τοῦ φῶ. τὰ γὰρ εἰϲ ω θέλει ἔχειν ἐν δευτέρῳ καὶ τρίτῳ προϲώπῳ δίφθογγον μετὰ τοῦ ῑ· ἄλλοι δὲ θέλουϲιν αὐτὸ εἶναι Δωρικὸν ὥϲπερ τὸ ζῇϲ, οἷϲτιϲι καὶ ὁ τόνοϲ ἀντίκειται· ὤφειλε γὰρ περιϲπᾶϲθαι καὶ τὸ τρίτον τῶν ἑνικῶν. ὤφειλε γὰρ ἀποβολῇ τοῦ ϲ̄ ποιεῖν τὸ τρίτον.

50.

E. M. 229, 54: γηγενήϲ· χωρὶϲ τοῦ ῑ. οἱ γὰρ Δωριεῖϲ γαγενήϲ λέγουϲιν, ὥϲ φηϲιν Ἡρωδιανόϲ. ὅλα ταῦτα χωρὶϲ τοῦ ῑ, ἐπειδὴ ἀπὸ τῆϲ γῆ εὐθείαϲ ἔχει τὴν ϲυνθήκην οἷον γήπεδον, γηπόνοϲ, γηλεχήϲ ὡϲ

---

ad fr. 48. cf. Ep. Cr. I 431, 1, Lob. El. II 264, ubi etiam p. 286 de scripturae δῴηϲι et δώηϲι fluctuatione disputatur. de qua praeter Choerobosci locum περὶ ποϲότητοϲ in E. M. 73, 43 (ubi utrum ἀλῴη an ἀλώῃ scribendum sit disceptatur) habemus memorabilem locum in Anecd. Paris. III 348, 25 δῴηϲι: ἀορίϲτου δευτέρου ἐϲτὶ τῶν εἰϲ μι εὐκτικόν, ἡ μετοχή ἐϲτιν δούϲ δόντοϲ, δοίην εὐκτικόν, τὸ β' δοίηϲ καὶ τὸ γ' δοίη καὶ κατ' ἐπέκταϲιν τοῦ ō εἰϲ ω δῴη καὶ πλεοναϲμῷ τῆϲ ϲι ϲυλλαβῆϲ δῴηϲιν, ἔχει ἐν τῷ δω̄ τὸ ῑ, ἐν δέ τῷ η̄ οὐδαμῶϲ (cf. Choer. Dict. 897, 32). εἰ δέ ἐϲτιν ὑποτακτικόν, γέγονεν ἀπὸ τοῦ δώω ἕκτηϲ ϲυζυγίαϲ, οὗ ὁ μέλλων δώϲω, τὸ ὑποτακτικὸν τοῦ ἐνεϲτῶτοϲ ἐὰν δώω, τὸ β' ἐὰν δώῃϲ καὶ τὸ γ' ἐὰν δώῃ καὶ προϲθέϲει τῆϲ ϲι ϲυλλαβῆϲ ἐὰν δώῃϲι (cf. Schol. Ven. ad Il. A 324 δώηϲιν ἀπὸ τοῦ δώω, ἐπεὶ δύο δεῖ λαμβάνειν τὰϲ ἐπεκτάϲειϲ, ἐάν ἐϲτιν ἀπὸ τοῦ δῶ, τό τε η̄ καὶ τὴν ϲι ϲυλλαβήν).

ad fr. 49. cf. περὶ ποϲότητοϲ 311, 11, Il. Pr. P 174.

ad fr. 50. In Choerob. Orthogr. haec non reperiuntur. — Omnes hic relatae voces exstant etiam ap. Hes.

παρὰ Καλλιμάχῳ «γελεχέες θεράποντες ἀσιγήτοιο λέβητος» (hymn. in Del. 286). — Χοιροβοσκός.

51.

E. M. 263, 48: Δηώ ἡ Δημήτηρ· καὶ διφορεῖται, ὥς φησιν ὁ τεχνικός. οἶδε γὰρ ἡ παράδοσις τὸ η̅ μετὰ τοῦ ι̅ καὶ χωρίς. καὶ εἰ μὲν μὴ ἔχει τὸ ι̅, λέγει ὅτι ἐστὶ παρὰ τὸ δήω τὸ σημαῖνον τὸ εὑρίσκω. καὶ γὰρ ἡνίκα περιήρχετο εἰς ζήτησιν τῆς θυγατρὸς αὐτῆς, κατ' εὐφημισμὸν ἔλεγον πάντες «δήεις» τουτέστιν εὑρήσεις. ἢ ἐπειδὴ αὕτη ἐφεῦρε τὸν σῖτον. εἰ δὲ ἔχει τὸ ι̅, λέγεται ὅτι γέγονε παρὰ τὸ δαίω τὸ κόπτω κατὰ τροπὴν Ἰωνικὴν τοῦ α̅ εἰς η̅. καὶ γὰρ ἡ Δημήτηρ γῆ ἐστιν. ἡ δὲ γῆ διακόπτεται ἐν τῷ ἀροτριᾶσθαι. ἢ παρὰ τὸ δαίω τὸ καίω, ὅτι μετὰ λαμπάδων ἐζήτει τὴν θυγατέρα κτλ.

52.

E. M. 770, 36: Τρῳάς: τὸ μὲν Τρῳαί σημαίνει τὰς Τρωϊκὰς ἢ γυναῖκας ἢ ἵππους, τὸ δὲ δμῳαί τὰς δούλας. καὶ οὐκ ὤφειλεν ἔχειν τὸ ι̅, ὅτι ἐστὶ Τρώς Τρωός καὶ δμώς δμωός χωρὶς τοῦ ι̅ καὶ μετάγεται ἡ γενικὴ εἰς εὐθεῖαν καὶ γίνεται Τρωός καὶ δμωός χωρὶς τοῦ ι̅. λέγει δὲ ὁ τεχνικός, ὅτι ἔχει τὸ ι̅, ἐπειδὴ εὕρηται κατὰ διάστασιν «Τρωϊάδας γυναῖκας» (Il. I 139) καὶ ἵππους. καὶ Τρῳούς ἀντὶ τοῦ Τρωϊκοὺς ἢ ἄνδρας ἢ ἵππους (Ψ 291). ἀποβολῇ τοῦ κ̅ Τρωΐους καὶ συναιρέσει Τρῳούς.

53.

E. M. 741, 43: τὸ σῷος, ἔλεγεν ὁ Δίδυμος, σὺν τῷ ι̅ γράφεται, ὡς ἀπὸ τοῦ ὁ σῶς τοῦ σῶ· τὰ γὰρ ἀπὸ τοῦ εἰς ω̅ς̅ διὰ τοῦ ω̅ο̅ς̅ σὺν τῷ ι̅, Μίνως Μινῷος, ἥρως ἡρῷος· οὕτω σῶς σῷος. ὁ δὲ Ἡρωδιανὸς λαβόμενος αὐτοῦ λέγει, ὅτι τὸ σῶς ἀπὸ τοῦ σῶος πέπονθε. λέγει δὲ πάλιν ὁ τεχνικός, ὅτι οὐδέν ἐστιν εἰς ω̅ς̅ μονοσύλλαβον πλέον ἀρσενικὸν εἰ μὴ τοῦτο. δεῖ δὲ γινώσκειν ὅτι τὸ σῶος ἄνευ τοῦ ι̅ ἡ παράδοσις οἶδε· καὶ λέγει ὁ τεχνικός, ὅτι ἐστὶ σώω σώσω διὰ τοῦ ω μεγάλου ὡς γνώω γνώσω καὶ σόω διὰ τοῦ ο̅ μικροῦ. ταῦτα τρέπουσι τὸ τελευταῖον ω̅ εἰς ο̅ς̅ καὶ γίνεται ἐκ τοῦ σώω τὸ σῶος, ἐκ δὲ τοῦ σόω τὸ σόος.

---

ad fr. 52. cf. Lehrs Il. Pr. Ψ 291, Eustath. 541, 22. De viris errari docet Lobeck. El. II 45, quum hi Τρῶες appellentur, Τρῳούς autem ἵππους oxytonos scribendum praecipi propter διαστολήν, ut Trois regis equi, quos hoc loco poeta celebrat, distinguerentur a caballis Troianorum; femininum Τρῳαί semper accentum in ultima habere. cf. Hesych. Τρώϊοι ἵπποι· ἀπὸ Τρωός τοῦ ἥρωος ἢ ἀπὸ Τροίας.

ad fr. 53 l. 25. De ortu formae σῶς aliter statuit in Il. Pr. Ε 887 σῶς γεγονὸς ἢ ἐκ τοῦ σόος, ὡς οἴεται Φιλόξενος, ἢ ἐκ τοῦ σάος, ὅπερ κρεῖττον. l. 26 epitomator neglexit Herodianum addidisse περισπώμενον, quod pro πλέον substituit Gaisfordius, et excepisse propria cf. Il. Pr. l. c. Lob. El. II 121. — Servatum est hoc fragmentum a Choerobosco, qui etiam Ori Milesii sententiam per ι̅ exhibentis proferri, cuius futiles contradictiones omisi.

ΠΕΡΙ ΑΝΕΚΦΩΝΗΤΟΥ.

1.

E. M. 292, 56: δυςωπεῖϲθαι ὑφορᾶϲθαι, φοβεῖϲθαι μεθ' ὑπονοίαϲ, ϲκυθρωπάζειν· οἱ γὰρ παλαιοὶ ἐπὶ τοῦ κρίνειν καὶ ἐλέγχειν λαμβάνουϲι· δυϲωπεῖν γὰρ εἴρηται, παρ' ὅϲον οἱ κατακεκριμένοι κακῶϲ ἔχουϲι τοὺϲ ὦπαϲ. οὕτωϲ εὗρον εἰϲ τὸ ῥητορικὸν λεξικὸν τὴν λέξιν· καὶ εἰϲ τὸ ἀνεκφώνητον Ἡρωδιανόϲ.

*2.

Choer. Dict. 100, 34: Τότε εὑρίϲκεται τὸ ῑ ἀνεκφώνητον, ἡνίκα εὑρεθῇ ἢ μετὰ τοῦ ᾱ μακροῦ ἢ μετὰ τοῦ η̄ ἢ μετὰ τοῦ ω ἐν μιᾷ ϲυλλαβῇ οἷον τῷ κοχλίᾳ, τῷ Χρύϲῃ, τῷ καλῷ. πρόϲκειται «ἐν μιᾷ ϲυλλαβῇ» διὰ τὸ Λάϊοϲ (ἔϲτι δὲ ὄνομα κύριον) καὶ ἠϊὼν ὁ αἰγιαλόϲ καὶ ἥρωϊ. Ἰδοὺ γὰρ ἐνταῦθα τὸ ῑ μετὰ τοῦ α μακροῦ καὶ μετὰ τοῦ η καὶ μετὰ τοῦ ω οὐκ ἔϲτιν ἀνεκφώνητον, ἀλλ' ἐκφωνούμενον οἷον Λάχητι, λέβητι, ἠδέϊ, ταχέϊ, τῇ Cαπφοῖ, τῇ Λητόϊ.

*3.

Choer. Dict. 124, 6: οἱ Αἰολεῖϲ τοῖϲ εἰϲ ω̄ ληγούϲαιϲ δοτικαῖϲ οὐ προϲγράφουϲι τὸ ῑ, τῷ Ὁμήρῳ γάρ φαϲι καὶ τῷ ϲοφῷ χωρὶϲ τοῦ ῑ· καὶ πάλιν οἱ Βοιωτοὶ ταῖϲ εἰϲ η ληγούϲαιϲ δοτικαῖϲ οὐ προϲγράφουϲι τὸ ῑ, τῇ Ἑλένῃ γάρ φαϲι καὶ τῇ Πηνελόπῃ χωρὶϲ τοῦ ῑ.

*4.

Choer. Dict. 124, 11: ἔϲτι ζελᾶϲ τοῦ ζελᾶ τῷ ζελᾷ (οὕτωϲ δὲ λέγεται κατὰ Θρᾷκαϲ ὁ οἶνοϲ) καὶ τούτου ἡ δοτικὴ εὑρίϲκεται παρ' Εὐριπίδῃ (?) χωρὶϲ τοῦ ῑ. ϲυϲτεῖλαι γὰρ βουλόμενοϲ τὸ ᾱ οὐ προϲέγραφε τὸ ῑ οἷον

ταὐτὸν ποιεῖ τό τ' Ἀττικὸν τῷ ζελά ϲυγκεραννύϲ.

*5.

Choer. Dict. 124, 17: ἔϲτι τῷ κυανοχαίτῃ καὶ γίνεται κατὰ μεταπλαϲμὸν τῷ κυανοχαῖτα καὶ οὐκ ἔχει προϲγεγραμμένον τὸ ῑ οἷον ὡϲ παρὰ Ἀντιμάχῳ «πατρί τε κυανοχαῖτα Ποϲειδάωνι πεποιθώϲ».

---

ad fr. *2. Non alienum indico hic subiicere quae de pronunciatione iota ineffabilis a Choerobosco eodem loco proferuntur, quorum certe ea particula quae cur ῑ infirmissima omnium vocalium sit, exponit, ex Herodiani libro περὶ ϲυντάξεωϲ ϲτοιχείων prompta videtur. Δεῖ γινώϲκειν ὅτι οἱ μὲν γραμματικοὶ ὡϲ πρὸϲ τὴν ἐκφώνηϲιν ἀποβλέποντεϲ λέγουϲι τὸ ῑ ἀνεκφώνητον εἶναι, ἡνίκα εὑρεθῇ ἢ μετὰ τοῦ ᾱ μακροῦ ἢ μετὰ τοῦ η̄ ἢ μετὰ τοῦ ω̄ οἷον τῷ Χρύϲῃ, τῷ ϲοφῷ, τῷ Αἰνείᾳ. οἱ δὲ μουϲικοὶ τῆϲ ἀκριβείαϲ φροντίζοντεϲ λέγουϲιν, ὅτι ἐκφωνεῖται μέν, οὐκ ἐξακούεται δὲ διὰ τὸ μέγεθοϲ τῶν μακρῶν φωνηέντων. Εἰ γὰρ φωνῆέν ἐϲτι, φαϲίν, πῶϲ δύναται ἀνεκφώνητον εἶναι; ἀλλ' ὥϲπερ αὐλοῦ φαϲι καὶ ὀργάνου ἠχούντων ὁ αὐλὸϲ οὐκ ἐξακούεται διὰ τὸ μείζονα ἦχον ἔχειν τὸ ὄργανον καὶ τὸν τοῦ αὐλοῦ ἦχον ἀϲθενέϲτερον ὄντα, τὸν αὐτὸν τρόπον καὶ τὸ ῑ ἀϲθενέϲτερον ὑπάρχον πάντων τῶν φωνηέντων, ἡνίκα εὑρεθῇ μετὰ τοῦ ᾱ μακροῦ ἢ μετὰ τοῦ η̄ ἢ μετὰ τοῦ ω ἐν μιᾷ ϲυλλαβῇ, οὐκ ἐξακούεται διὰ τὸ μέγεθοϲ τούτων· ὅτι δὲ ἀϲθενέϲτερόν ἐϲτι πάντων τῶν φωνηέντων δῆλον ἐντεῦθεν κτλ, quae posui in fragmentis libri περὶ ϲυντάξεωϲ ϲτοιχείων 5.

*6.

E. M. 201, 45: βοᾷ: ἔχει τὸ ῑ προϲγεγραμμένον. τὸ δὲ βοᾶν καὶ γελᾶν ἀπαρέμφατον οὐκ ἔχει τὸ ῑ προϲγεγραμμένον, ὅτι ἀπὸ τοῦ παρατατικοῦ γέγονε τοῦ ἐβόα καὶ ἐγέλα καὶ ὁ παρατατικὸϲ οὐκ ἔχει τὸ ῑ προϲγεγραμμένον ἢ ὅτι τὰ εἰϲ ν̄ λήγοντα ῥήματα οὐδέποτε ἔχει πρὸ τοῦ ν̄ τὶ ἀνεκφώνητον.

*7.

E. M. 410, 47: τινὲϲ λέγουϲι τὸ ζῇϲ ζῇ μὴ ἔχειν τὸ ῑ προϲγεγραμμένον καταϲκευάζοντεϲ ἀπὸ τοῦ εἰϲ μι̅ τοῦ ζῆμι. οἵτινεϲ οὐκ ἀκριβῶϲ λέγουϲιν· εἰ γὰρ ἀπὸ τοῦ εἰϲ μι, ὤφειλεν εἶναι ἡ μετοχὴ ζάϲ ὥϲπερ ϲτάϲ καὶ τὸ θηλυκὸν ζᾶϲα ὥϲπερ ϲτᾶϲα. νῦν δὲ ζῶν ἐϲτιν ἡ μετοχὴ καὶ τὸ θηλυκὸν ζῶϲα· καὶ εἰ ἀπὸ τοῦ εἰϲ μι, ὤφειλεν εἶναι τὸ πρῶτον τῶν πληθυντικῶν ζάμεν ὥϲπερ φάμεν. νυνὶ δὲ ζῶμέν ἐϲτιν ὥϲπερ βοῶμεν. ἄρα οὐκ ἔϲτιν ἀπὸ τῶν εἰϲ μι.

Sequuntur, quae ad orthographiam spectant in Herodiani praeter Orthographiam scriptis omnibus, composita cum epitomatorum adnotamentis, quae Herodianeae originis videntur esse.

ΚΑΝΟΝΕϹ ΚΑΘΟΛΙΚΟΙ.

Περὶ τῆϲ αι διφθόγγου.

Τὰ ἔχοντα τὴν αι δίφθογγον κατά τινα ϲυλλαβὴν καὶ πεφυκότα ἀποβάλλειν τὸ ῑ κατὰ διάλεκτον διὰ τῆϲ αι διφθόγγου γράφεται οἷον κλαίω κλάω, καίω κάω, αἰετόϲ ἀετόϲ, αἰεί ἀεί, ἑταῖροϲ ἕταροϲ, παλαιόϲ παλαόϲ.

Τὰ εἰϲ ε̅ω̅ν̅ λήγοντα ὀξύτονα, ὧν ἡ γενικὴ διὰ τοῦ ω̅ν̅ο̅ϲ̅ ἐκφέρεται, διὰ τοῦ ε̅ ψιλοῦ γράφεται δίχα τῶν γινομένων παρὰ πρωτοτύπων διὰ τῆϲ α̅ι̅ οἷον ϲυφεών, ἀνδρεών, λυμεών, ἀπατεών. τὸ δὲ ἐλαιών διὰ τῆϲ αι διφθόγγου γραφόμενον οὐκ ἐναντιοῦται. ἀπὸ γὰρ τοῦ ἐλαία, ὡϲαύτωϲ καὶ Ἑκατομβαιών παρὰ τὸ ἑκατομβαῖοϲ.

Τὰ διὰ τοῦ αιων βαρύτονα κύρια ὑπὲρ δύο ϲυλλαβὰϲ διὰ τῆϲ αι διφθόγγου γράφεται οἷον Εὐφραίων, Αἰγαίων, Εὐγαίων, μεθ' ὧν καὶ δυϲαίων, εὐαίων, ἰϲαίων.

ad fr. *6. Explicatias de infinitivo in ᾶν sine ῑ subscripto agit Choer. Dict. 720, 28—723, 25, unde hoc E. Magni adnotamentum in brevius contractum opinor. Herodiani autem sententiam a Choerobosco proferri inde patet, quod apud Arcadium 173, 13 ζῆν δρᾶν sine ῑ exhibentur et quod omnes huius generis infinitivi apud Hesychium sine ῑ reperiuntur. Diverse ab Herodiano statuisse Apollonium huiuscemodi infinitivis ῑ attribuentem docet Macrob. p. 325 Bipont.

l. 20 περὶ ποϲότητοϲ p. 311, 30, cod. τὴν αι δίφθογγον ϲυλλαβήν. l. 24 sic fere collato Theogn. 28, 22 canon in libro περὶ ποϲότητοϲ p. 297, 1 restituendus est nequiter corruptus, nam ibi ἀπαταιών λυμαιών scribendum esse dicitur, ἐλαιών habet Theogn., Ἑκατομβαιών recepi ex Arcad. 18, 8.

l. 29 Theogn. 28, 33.

Τὰ εἰς εμων ὀξύτονα ἀρσενικὰ καὶ θηλυκὰ ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ ε γράφεται, ἡγεμών, κηδεμών, ἀκρεμών. πρόσκειται «ὀξύτονα ὑπὲρ δύο συλλαβὰς» διὰ τὸ δαίμων δισύλλαβον βαρύτονον διὰ τῆς αι διφθόγγου γραφόμενον.

Πάντα τὰ εἰς ας λήγοντα ἀρσενικὰ παροξύτονα, ὧν ἡ γενικὴ εἰς ου περατοῦται, τὴν παρατέλευτον διὰ τοῦ ε ψιλοῦ ἔχει γραφομένην οἷον Ἀνδρέας Χαρέας Μνασέας, Ἀνδρέου γὰρ καὶ Χαρέου καὶ Μνασέου.

Πάντα τὰ εἰς νης σύνθετα παροξύτονα παρὰ τὸ γένος ἢ σθένος γινόμενα διὰ τοῦ ε γράφεται οἷον Διογένης, Ἐπιγένης, εὐγενής, Δημοσθένης, Καλλισθένης, Κλεισθένης.

Τὰ εἰς της εἴτε βαρύτονα εἴτε ὀξύτονα ἔχοντα πρὸ τοῦ τ τὸ σ οὐκ οἶδε τὴν διὰ τῆς αι διφθόγγου πρὸ τέλους γραφήν, οἷον κηδεστής, Ὀρέστης, Θυέστης. σεσημείωται τὸ παλαίστης διὰ διφθόγγου.

Τὰ διὰ τοῦ ετης εἴτε ὀξύτονα εἴτε βαρύτονα, μηδενὸς συμφώνου πρὸ τοῦ τ ἡγουμένου διὰ τοῦ ι γράφει τὴν παραλήγουσαν, εὑρετής, προπετής, εὐπετής, εὐνέτης, ὀφειλέτης, φυλέτης, ἐρέτης, πλὴν τοῦ προσαίτης ὁ πένης καὶ εὐχαίτης ὁ καλλίθριξ ἵππος.

Τὰ εἰς της ἔχοντα πρὸ τοῦ τ ἀμετάβολον καθόλου πᾶσαν δίφθογγον ἀποστρέφεται κατὰ τὴν παραλήγουσαν οἷον ὀξύντης, ἀγύρτης, ἐγέρτης, ὀρίντης, αὐθέντης, Λαέρτης, ποικιλτής, Σιβύρτης.

Τὰ εἰς ης λήγοντα ἔχοντα πρὸ τοῦ η ἀμετάβολον οὐκ οἶδε τὴν αι δίφθογγον πρὸ τέλους οἷον Ἀκέλης, ἀμελής, ἀφελής, εὐμενής, δυσμενής, Δημοσθένης, Ὑπέρης, ὑψικέρης, ἀμερής.

Τὰ διὰ τοῦ αιος ἀρσενικὰ κύριά τε καὶ προσηγορικὰ ὀξύτονα δισύλλαβα διὰ τῆς αι διφθόγγου γράφεται οἷον λαιός, σκαιός, Σκαῖος δὲ τὸ κύριον, φαιός, Σαῖος ὄνομα ἔθνους, βαιὸς καὶ Βαῖος τὸ κύριον. σεσημείωται τὸ θεός διὰ τοῦ ε γραφόμενον.

Τὰ διὰ τοῦ αιος γινόμενα κατὰ διάστασιν διὰ τῆς αι διφθόγγου γράφεται οἷον Ἰουδαῖος Ἰουδαϊκά, Ἑβραῖος Ἑβραϊκά.

Τὰ εἰς ος καθαρὸν ὑπὲρ δύο συλλαβὰς ὀξύτονα τριγενῆ διὰ τῆς αι διφθόγγου γράφεται οἷον κραταιός, Ἀχαιός, παλαιός. σεσημείωται τὸ ἐνεός, στερεός. πρόσκειται «ὀξύτονα» διὰ τὸ κήλεος ὁ καυστικός. «τριγενῆ» διὰ τὸ Κελεός. τὰ γὰρ μονογενῆ διὰ τοῦ ε γράφεται.

Τὰ εἰς τεος λήγοντα ὀνόματα τῷ ε ψιλῷ παραλήγεται πλὴν τῶν παρὰ ἀριθμῶν γινομένων οἷον γραπτέος, ἐπαινετέος, λεκτέος. τὸ τριταῖος καὶ τεταρταῖος ἐπὶ ἡμερῶν παρὰ ἀριθμῶν διὰ τῆς αι διφθόγγου.

---

l. 1 περὶ ποc. 297, 7, Theogn. 34, 24. l. 9 περὶ ποc. 297, 22. l. 12 Theogn. 43, 19. l. 15 Theogn. 43. 19, exceptionibus ex Ep. Cr. I 35, 28, E. Gud. 16, 47 ex An. Ox. II 322, 20 additis. l. 19 Theogn. 43, 27. l. 22 Theogn. 43, 33. l. 25 Theogn. 48, 4, Arc. 37, 4, E. M. 417, 26. l. 29 περὶ ποc. 315, 11. l. 31 περὶ ποc. 288, 8. l. 35 περὶ ποc. 297, 14. l. 37 ἐπὶ ἡμερῶν παρὰ scripsi pro περὶ μέτρων καὶ. Theogn. 50, 26, Choer. Orth. 254, 24.

Τὰ ἀπὸ τῶν εἰς α καὶ η θηλυκῶν ἢ ἀπὸ τῶν εἰς ος διὰ τοῦ αιος γενόμενα χαίρει τῇ αι διφθόγγῳ οἷον Ῥώμη Ῥωμαῖος, δάφνη δαφναῖος, Θήβη Θηβαῖος, τρίτη τριταῖος, Γάζα Γαζαῖος, μοῦσα μουσαῖος, δρόμος δρομαῖος, λῆνος ληναῖος.

Τὰ ἀπὸ οὐδετέρων διὰ τοῦ αιος γινόμενα διὰ τῆς αι διφθόγγου γράφεται, γῆρας γηραιός, γέρας γεραιός, κράτος κραταιός.

Εἰσί τινα ὀνόματα διὰ τοῦ αιος ἀπὸ ἀπτώτων, ἅτινα διὰ τῆς αι γράφεται, μάτην μάταιος, χύδην χυδαῖος, πάλαι παλαιός.

Τὰ διὰ τοῦ αιος ὑπὲρ τρεῖς συλλαβὰς πρὸ μιᾶς τὸν τόνον ἔχοντα μὴ ἔχοντα τὸ λ ἢ τὸ τ, διὰ τῆς αι διφθόγγου γράφεται οἷον Ἰουδαῖος, ὀβελιαῖος, ἡμισαῖος, Βιθυναῖος, ταλαντιαῖος, ἐναυσιαῖος. πρόσκειται «πρὸ μιᾶς τὸν τόνον ἔχοντα» διὰ τὸ ἀδελφιδεός, θυγατριδεός ὁ ἀδελφιδοῦς καὶ θυγατριδοῦς. ταῦτα γὰρ ὀξύνεται καὶ διὰ τοῦ ε ψιλοῦ γράφεται. τὸ νηφαλέος, ἀργαλέος, σμερδαλέος ὁ καταπληκτικὸς καὶ χαλεπός, ποιητέος, νοητέος διὰ τοῦ ε γράφεται, διότι ἔχει τὸ λ καὶ τὸ τ

Τὰ διὰ τοῦ αιθος διὰ τῆς αι γράφεται, Σάλαιθος, Κύναιθος, Ὀλίγαιθος, Κύμαιθος.

Τὰ διὰ τοῦ αικος σπάνια διὰ τῆς αι γράφεται, Πάταικος, Φίλαικος, Μίθαικος.

Τὰ διὰ τοῦ εμος ἁπλᾶ ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ ε γράφεται οἷον ἄνεμος, πόλεμος, Ἔχεμος, Τήλεμος, Ἰάλεμος, κοάλεμος, Φάλεμος, ἄτρεμος, ἄνθεμος, θελεμός. πρόσκειται ἁπλᾶ διὰ τὸ ἄναιμος σύνθετον παρὰ τὸ αἷμα καὶ εἴ τι παρ' αὐτὸ ἕτερον, σύναιμος, πολύαιμος.

Τὰ διὰ τοῦ αιτερος καὶ αιτατος ἀπὸ τῶν εἰς ος χαίρει τῇ αι διφθόγγῳ οἷον φίλος φιλαίτερος, πλησιαίτερος, περαίτερος, μεσαίτατος, ἰδιαίτατος καὶ τὰ ὅμοια.

Πάντα τὰ εἰς εστερος καὶ εστατος συγκριτικὰ καὶ ὑπερθετικὰ διὰ μόνου τοῦ ε γράφεται οἷον εὐτελέστερος, εὐτυχέστατος.

Τὰ διὰ τοῦ ετος ὑπὲρ δύο συλλαβὰς ἅπαντα διὰ τοῦ ε ψιλοῦ γράφεται οἷον νιφετός, αἰετός χωρὶς τῶν παρὰ τὸ χαίτη συγκειμένων ὡς τὸ εὔχαιτος.

Τὰ διὰ τοῦ αια δισύλλαβα ἀπαρασχημάτιστα διὰ τῆς αι διφθόγγου γράφεται οἷον γαῖα, γραῖα, μαῖα, Φαῖα, Ζαῖα ἡ πόλις, αἶα. σεσημείωται τὸ Ῥέα, Βρέα, θέα τὸ βαρύτονον, ὅπερ Συρακόσσιοι θάα λέγουσιν. τὸ γὰρ γέα γῆ διὰ τοῦ ε γραφόμενον καὶ εἰς η συναιρούμενον

---

l. 1 περὶ ποσ. 315, 17, Theogn. 52, 22, Choer. 201, 27. l. 5 Theogn. 52, 15, περὶ ποσ. 316, 3. l. 7 περὶ ποσ. 315, 14, Theogn. 53, 17. l. 9 περὶ ποσ. 315, 23. l. 16 περὶ ποσ. 318, 18; emendavit Lob. Proll. 363 Σάλαιθος pro Γάλαιθος, Κύναιθος pro Κύμαιθος. cf Theogn. 59, 3. l. 18 Theogn. 60, 24.

l. 20 Theogn. 64, 13, Choer. Epim. in Psalm. 57, 1. l. 24 Theogn. 70, 27, περὶ ποσ. 317, 30; 314, 29. l. 27 περὶ ποσ. 307, 3. l. 29 An. Ox. II 324, 34.

l. 32 Theogn. 102, 17, E. M. 222, 39 τὰ ἀπὸ περισπωμένων μονοσυλλάβων ῥημάτων διὰ τοῦ αια γινόμενα θηλυκὰ διὰ τῆς αι διφθόγγου γράφεται οἷον μῶ μαῖα, γῶ γαῖα non Herodiani est, qui γαῖα pro paronymo a γῆ habet Dichr. 288, 24;

δῆλόν ἐϲτιν ὡϲ ἑτέρῳ κανόνι ὑπείκει. τὸ νέα οὐκ ἀντίκειται, ἀπὸ γὰρ τοῦ νέοϲ.

Πάντα τὰ εἰϲ εᾱ λήγοντα θηλυκὰ μονογενῆ παροξύτονα διὰ τοῦ ε̄ γράφεται, γέα, μηλέα, πτελέα, ἰτέα, Νεμέα, Μαντινέα, Ἐλέα πόλιϲ Ἰταλίαϲ. ϲεϲημείωται τὸ Ἡλιαία, ἐλαία καὶ Ἐλαία πόλιϲ τῆϲ Ἀϲίαϲ Αἰολική, Πυλαία.

Πάντα τὰ εἰϲ εᾱ λήγοντα παροξύτονα θηλυκὰ ϲυναιρέϲει ὑποπίπτοντα τοῦ ε̄ καὶ ᾱ εἰϲ η̄ διὰ τοῦ ε̄ γράφεται οἷον ϲυκέα, ϲηϲαμέα, ἀμυγδαλέα, χολέα, λεοντέα, ϲυκῆ γὰρ καὶ ἀμυγδαλῆ.

Τὰ διὰ τοῦ ᾱῑᾱ παρώνυμα διὰ τῆϲ αι διφθόγγου γράφεται ϲεληναία, ἁμαξαία, θυραία, εὐναία, γαληναία, ϲφενδοναία, δραχμαία, ὀπαία.

Πάντα τὰ εἰϲ ᾱῑᾰ λήγοντα προπαροξύτονα διὰ τῆϲ αι διφθόγγου γράφεται οἷον Ἥραια, Ποτίδαια, Ἱϲτίαια, Πλάταια.

Τὰ διὰ τοῦ αινα προπαροξύτονα διὰ τῆϲ αι διφθόγγου γράφεται οἷον θέαινα, Λάκαινα, δράκαινα, θεράπαινα, ϲμύραινα εἶδοϲ θαλαττίου θηρίου, τρίαινα· τὸ χλαῖνα μόνον διϲύλλαβον ὃν τὴν αι δίφθογγον ἐφύλαξεν ὡϲ καὶ τὸ δέϲποινα μονῆρεϲ ὃν τὴν οι δίφθογγον. πρόϲκειται «προπαροξύτονα», ἐπεὶ τὸ Ἑλένα διὰ τοῦ ε̄ γράφεται, ἀπὸ γὰρ τοῦ Ἑλένη γέγονε κατὰ τροπὴν τοῦ η εἰϲ ᾱ μακρόν.

Πάντα τὰ εἰϲ αιρα λήγοντα ὑπὲρ δύο ϲυλλαβὰϲ προπαροξύνεται καὶ διὰ τῆϲ αι διφθόγγου γράφεται οἷον μάχαιρα, μάκαιρα, νέαιρα, χίμαιρα· «προπαροξύτονον» εἶπον διὰ τὸ ἡμέρα, διφθέρα, χολέρα, ἑϲπέρα, Τερμέρα.

Τὰ εἰϲ ρᾱ βαρύτονα, ἐὰν ἔχῃ τὸ ῑ, ἐν διφθόγγῳ αὐτὸ ἔχει παραληγόμενον οἷον ϲφαῖρα, μάχαιρα, ὀλέτειρα.

Τὰ διὰ τοῦ ϲᾰ οὐκ οἶδε τὴν διὰ τῆϲ αι διφθόγγου γραφήν, ἐρώεϲϲα, τιμήεϲϲα, χαρίεϲϲα, μόνον τὸ Θρᾷϲϲα διϲύλλαβον καὶ διὰ τῆϲ ᾳ διφθόγγου ἀπὸ τοῦ Θρᾄϊϲϲα ϲυναιρεθὲν καὶ τὸ αἶϲα, ὅ ἐϲτι παραγωγὸν ἀπὸ τοῦ δαίω τὸ μερίζω καὶ Φαῖϲα.

Τὰ εἰϲ θη διϲύλλαβα βραχείᾳ φύϲει παραληγόμενα ϲπάνια οἷον

---

cum Herodiano concinit E. M. 222, 54 τὸ γέα κατὰ κρᾶϲιν τοῦ ε̄ καὶ ᾱ εἰϲ η̄ γίνεται γῆ. ἐκ τούτου γίνεται ἄλλη παραγωγὴ διὰ τῆϲ αι διφθόγγου γαῖα ὥϲπερ ϲελήνη Ϲεληναία, Ἀθήνη Ἀθηναία. l. 3 περὶ ποϲ. 306, 27 Ἐλέα et Ἐλαία propria addidi ex Steph. Byz., Ἡλιαία scripsi pro ἁλιαῖα et Πυλαία pro πτελέα. cf. An. Ox. II 323, 4 Ἐλαία: τὰ εἰϲ ᾱῑᾱ λήγοντα θηλυκὰ μονογενῆ πρὸ μιᾶϲ τὸν τόνον ἔχοντα ἅπαντα διὰ τοῦ ε̄ ψιλοῦ γράφεται οἷον μηλέα, ϲυκέα, ἀπιδέα (scr. ἀμυγδαλέα vel πτελέα), ϲηϲαμέα καὶ τὰ ἑξῆϲ· πλὴν τοῦ μαῖα πτελέα (scr. Πυλαία) ῥομφαία, Ἀλθαία. Idem An. Ox. II 407, 20. l. 7 περὶ ποϲ. 306, 30 et Theogn. 103, 18. An. Ox. II 410, 12, E. M. 733, 33 τὰ διὰ τοῦ αιᾰ παροξύτονα θηλυκὰ μὴ ἐπιδεχόμενα ϲυναίρεϲιν διὰ διφθόγγου γράφεται, ἐλαία, ἀλκαία. μὴ ἐπιδεχόμενα ϲυναίρεϲιν διὰ τὸ ϲυκέα ϲυκῆ, ἀμυγδαλέα ἀμυγδαλῆ καὶ τὰ ἐπὶ δένδρων διὰ τοῦ ε̄ γράφεται ϲυκομορέα (quod huc traxi ex superioribus, ubi corrupte ϲυκομοραία scriptum est). l. 10 Theogn. 103, 14. l. 12 περὶ ποϲ. 301, 15, Theogn. 102, 31. l. 14 Theogn. 99, 16, περὶ ποϲ. 316, 6, An. Ox. II 325, 22. l. 20 περὶ ποϲ. 301, 18, Theogn. 151, 14 et 106, 2, Choer. Epim. in Psalm. 39, 4. l. 24 περὶ ποϲ. 301, 22, Theogn. 101, 8. l. 26 Theogn. 99, 23. l. 30 Theogn. 109, 11.

μέθη, ποθή. τὸ Αἴθη διὰ τῆς αι διφθόγγου γράφεται· ἔστι δὲ ὄνομα κύριον.

Τὰ διὰ τοῦ ελη θηλυκὰ βαρύτονα μονογενῆ διὰ τοῦ ε̄ ψιλοῦ γράφεται οἷον θυμέλη, κυψέλη, ἕλη, νεφέλη.

Τὰ εἰς μη ἔχοντα πρὸ τοῦ μ̄ σύμφωνον κατὰ σύλληψιν ἢ κατὰ διάστασιν ἢ βραχεῖ ἢ βραχυνομένῳ φωνήεντι παραλήγεται οἷον δεσμή, ἐφετμή, Μέδμη, λόχμη, λόγχη, τόλμη, ἴθμη, δυθμή. σεσημειωμένου τοῦ αἰχμή.

Τὰ διὰ τοῦ ενη θηλυκὰ ὑπὲρ δύο συλλαβὰς μονογενῆ διὰ τοῦ ε̄ ψιλοῦ γράφεται ἐπί τε βαρυτόνων καὶ ὀξυτόνων, ἐπὶ βαρυτόνων, ὠλένη, Κλυμένη, ὀξύτονα δεξαμενή, εἱαμενή. πρόσκειται μονογενῆ διὰ τὸ κελαινή.

Τὰ διὰ τοῦ ετη ἅπαντα διὰ τοῦ ε ψιλοῦ γράφεται οἷον τηλύγέτη, Βρεμέτη, Ὠκυπέτη, Δημαρέτη, τελετή. τὸ χαίτη, βαίτη ἡ διφθέρα, δαίτη σεσημείωται διὰ τῆς αι διφθόγγου γραφόμενα.

Τὰ διὰ τοῦ αιον οὐδέτερα μονογενῆ προπαροξύτονα διὰ τῆς αι διφθόγγου γράφεται, σεσημειωμένου τοῦ χαῖον δισυλλάβου μόνου καὶ διὰ τῆς αι διφθόγγου γραφομένου. ὁ γὰρ κανὼν περὶ τρισυλλάβων γίνεται οἷον Κώπαιον, Ἥραιον τὸ τέμενος, νόμαιον τὸ μονογενές, ἔλαιον, οὔραιον, Σκύλλαιον, πρέμναιον, Κίρκαιον τὸ ὄρος, Δίρκαιον, Κότταιον τὸ ὄρος, Ἕρμαιον, Φοίβαιον, Κύταιον ἡ πόλις, γύναιον, Λύκαιον τὸ ὄρος, δέραιον. σεσημείωται τὸ ὄρνεον, ὄστρεον διὰ τοῦ ε̄ γραφόμενα. λέγεται δὲ καὶ ὄστρειον διὰ τῆς ει διφθόγγου κατὰ πλεονασμὸν τοῦ ῑ. οὕτω δὲ κάνεον διὰ τοῦ ε̄ ψιλοῦ καὶ κατὰ συναίρεσιν γίνεται κανοῦν. ὤεον δὲ διὰ τοῦ ε̄ ψιλοῦ γραφόμενον οὐ μάχεται, διότι ἐκ πλεονασμοῦ ἔχει τὸ ε̄· τὸ χρύσεον, ἀργύρεον, χάλκεον καὶ εἴ τι ὅμοιον οὐ μονογενές. ἀπὸ γὰρ τοῦ χρύσειος, ἀργύρειος, χάλκειος Ἰωνικῶς ἐγένετο χρύσεος καὶ ἀργύρεος καὶ τὸ οὐδέτερον ἔχει χρύσεον καὶ ἀργύρεον καὶ χάλκεον. τὸ δένδρεον καὶ αὐτὸ οὐκ ἀντίκειται, ἐκ πλεονασμοῦ γὰρ τὸ ε̄.

Τὰ διὰ τοῦ αιον ὑπὲρ τρεῖς συλλαβὰς εἴτε προπαροξύνεται εἴτε προπερισπᾶται, διὰ τῆς αι διφθόγγου γράφεται οἷον Χαλαστραῖον τὸ νίτρον, Στεφαναῖον ὄνομα τόπου, Ἠλακαταῖον ὄρος Θεσσαλίας, Καναστραῖον, Ἀμυκλαῖον, Ἀραχναῖον.

Τὰ εἰς θρον οὐδέτερα διὰ τοῦ ε̄ γράφεται οἷον βέρεθρον, πολίεθρον, πέλεθρον, θύρεθρον. σεσημείωται τὸ ὕπαιθρον.

Τὰ εἰς ος οὐδέτερα εἴτε δισύλλαβα εἴτε ὑπὲρ δύο συλλαβὰς ὀνόματα διὰ τοῦ ε ψιλοῦ γράφει τὴν παραλήγουσαν οἷον βέλος, δέλος,

l. 3 An. Ox. II 326. l. 5 Theogn. 111, 33. l. 9 Ep. Cr. I 127, 20, E. M. 328, 10, An. Ox. II 323, 8. l. 13 Theogn. 117, 18. l. 16 Theogn. 127, 3, περὶ ποс. 309, 28, Choer. Orth. 262, 30. l. 31 Theogn. 127, 20, Ἠλακαταῖον explevi ex St. B. s. v. ap. Theogn. τόπος Λακωνικῆς ad vocem praetermissam pertinere videntur. l. 35 περὶ ποс. 309, 21, coll. An. Ox. II 324, 3, unde πέλεθρον θύρεθρον addidi. l. 37 Theogn. 77, 3, περὶ ποс. 309, 19. Specia-

βρέφος, δέος, κλέος, μέγεθος, ςτέλεχος. ςεςημείωται τὸ λαῖφος καὶ αἶςχος διὰ τῆς αι διφθόγγου γραφόμενα.

Τὰ διὰ τοῦ εγω ῥήματα διὰ τοῦ ε̄ ψιλοῦ γράφεται οἷον φλέγω, ψέγω· ἢ καὶ τὰ ἔχοντα τὸ ο ἐγκείμενον ἐν τοῖς ὀνόμαςιν ἔχει τὸ ε ἀντιπαρακείμενον ἐν τοῖς ῥήμαςιν.

Τὰ διὰ τοῦ εδω ῥήματα εἴτε βαρύτονα εἴτε περιςπώμενα διὰ τοῦ ε̄ ψιλοῦ γράφεται, ἔδω τὸ ἐςθίω, μέδω. ταῦτα δὲ διφορεῖται· εἰςὶ γὰρ βαρύτονα καὶ περιςπώμενα ὡς παρὰ τῷ ποιητῇ «Δωδώνης μεδέων» (Π 234) καὶ ἐδῶ, ἐξ οὗ ἤδεςται ἐδεςτόν καὶ ἀνέδεςτον τὸ μὴ ἐςθιόμενον. περιςπώμενα δέ εἰςι πεδῶ μεδῶ ςκεδῶ. ςεςημείωται τὸ αἰδῶ, ὃ ςημαίνει τὸ αἰδοῦμαι. γράφεται δὲ διὰ τῆς αι διφθόγγου.

Τὰ διὰ τοῦ εθω ῥήματα δις́υλλαβά τε καὶ ὑπὲρ δύο ςυλλαβὰς διὰ τοῦ ε̄ ψιλοῦ γράφεται καὶ βαρύνεται οἷον ςπερέθω, ςχέθω, νεμέθω, ἔθω, βρεμέθω, ἀερέθω, χρεμέθω, φαέθω, τελέθω, ἐγερέθω, φλεγέθω. τὸ τηλεθῶ περιςπώμενον ςεςημείωται τὴν τρίτην ἀπὸ τέλους ἔχον φύςει μακρὰν καὶ τὸ αἴθω ἐπὶ τοῦ καίω διὰ τῆς αι διφθόγγου γραφόμενον.

Τὰ διὰ τοῦ εζω ῥήματα δις́υλλαβα οὐδέποτε τῇ αι διφθόγγῳ παραλήγεται οἷον ῥέζω, ἕζω. τὸ παίζω ςεςημείωται διὰ τῆς αι διφθόγγου.

Τὰ διὰ τοῦ ελω ῥήματα διὰ τοῦ ε̄ ψιλοῦ γράφεται, πέλω, κέλω, μέλω, θέλω.

Τὰ διὰ τοῦ εμῶ ῥήματα διὰ τοῦ ε ψιλοῦ γράφεται, πλὴν τοῦ μαιμῶςα ἢ ὁρμῶςα.

Τὰ εἰς νῶ ῥήματα παραληγόμενα τῇ αι διφθόγγῳ, ἐὰν ἔχῃ τὸ α ἐν τῷ μέλλοντι ἀναφαινόμενον, διὰ τῆς αι διφθόγγου γράφεται οἷον φανῶ φαίνω, ῥανῶ ῥαίνω. τὸ μέντοι μένω διὰ τοῦ ε ψιλοῦ γράφεται, ἐπειδὴ οὐκ ἔχει ἐν τῷ μέλλοντι τὸ α.

Τὰ διὰ τοῦ αιρῶ ὑπὲρ δύο ςυλλαβὰς ὄντα διὰ τῆς αι διφθόγγου γράφεται οἷον μαρμαίρω τὸ λάμπω, μεγαίρω τὸ φθονῶ, καρκαίρω τὸ κτυπῶ. πρόςκειται ὑπὲρ δύο ςυλλαβὰς διὰ τὸ δέρω καὶ φέρω.

Τὰ διὰ τοῦ αιω δις́υλλαβα ἢ καὶ ὑπὲρ δύο ςυλλαβάς, μὴ μελετήςαντα παραςχεῖν ςυναίρεςιν ἢ ἐν κινήςει τινὶ γεννᾶν τὸ ο ἢ τὸ υ προςλαμβάνειν ἐν τῷ μέλλοντι διὰ τῆς αι διφθόγγου γράφεται οἷον κλαίω, καίω, παίω, ναίω τὸ οἰκῶ. ἐπὶ γὰρ τοῦ κολυμβῶ διὰ τοῦ ε̄ ψιλοῦ. προςλαμβάνει γὰρ τὸ ῡ ἐν τῷ νεύςω. γαίω τὸ γαυριῶ, ῥαίω, παλαίω, κεραίω, λιλαίω, ἀγαίω, ςταλαίω, χαλαίω, κρεμαίω, διχαίω. πρόςκειται «μὴ μελετήςαντα πάςχειν ςυναίρεςιν» διὰ τὸ ποιέω ποιῶ, νοέω νοῶ.

---

tim de nominibus in εφος An. Ox. II 391, 16 τὰ διὰ τοῦ εφος δις́υλλαβα μονογενῆ διὰ τοῦ ε̄ ψιλοῦ γράφονται, βρέφος, κέφος, ςτέφος, νέφος χωρὶς τοῦ λαῖφος. l. 3 E. M. 559, 21. l. 6 Ep. Cr. I 235, 5 (E. M. 498, 57), Theogn. 140, 30. l. 12 Theogn. 141, 13. l. 17 Theogn. 142, 1 cf. Mon. 22, 31. l. 19 E. M. 444, 48; μέλω scripsi pro φέλω. l. 21 Ep. Cr. I 91, 5. l. 23 περὶ ποc. 312, 1, Theogn. 144, 20 et 145, 4. l. 27 περὶ ποc. 312, 6 cf Theogn. 145, 9. l. 30 Theogn. 145, 24 cf. Ep. Cr. I 259, 8 et 112, 11, Choer. Ep. in Psalm. 3, 55, An. Ox. II 324, 8.

πρόσκειται «μὴ ἐν κινήσει τινὶ γεννῶντα τὸ ο̅» διὰ τὸ ῥέω ῥοή καὶ πνέω πνοή καὶ εἴ τι ἄλλο τοιοῦτον. ταῦτα γὰρ καὶ τὸ υ̅ προσλαμβάνει ἐν τῷ ῥεύσω, πλεύσω μέλλοντι· καὶ ὁμοίως δὲ ἐν τῷ νεύσω, χεύσω. καὶ τρέπει τὸ ε̅ εἰς ο̅ ἐν τῷ χοή καὶ προχοή. σεσημείωται τὸ κέω, ἐξ οὗ τὸ κέομαι καὶ ἐν πλεονασμῷ τοῦ ι̅ καὶ συγκοπῇ τοῦ ο̅ κεῖμαι. σημειωτέον διὰ τοῦ ε̅ ψιλοῦ γραφόμενον καὶ τὸ ἔω τὸ ὑπάρχω, ἐξ οὗ τὸ εἰμί, καὶ τὸ ἔω τὸ πορεύομαι, ἐξ οὗ τὸ εἶμι τὸ περισπώμενον, καὶ ἕω τὸ δασυνόμενον καὶ βαρυνόμενον, ἐξ οὗ παραγωγὸν τὸ ἑννύω.

Τὰ εἰς α̅ι̅ λήγοντα ἐπιρρήματα μονοσύλλαβα τρία ἐστὶν αἵ, τὸ δασυνόμενον ὡς ὅταν λέγωμεν αἳ τάλας, καὶ αἴ τὸ εὐκτικόν, ὅπερ ἀντὶ τοῦ εἴ γέγονε Δωρικῇ τροπῇ τοῦ ε̅ εἰς α̅ ὡς κύπειρον καὶ τὸ ναί συγκαταθέσεως.

Τὰ σχετλιαστικὰ εἰς α̅ι̅ λήγοντα ἐπιρρήματα χαίρει τῇ α̅ι̅ διφθόγγῳ βαβαί, ἀτταταῖ, παπαῖ, μεθ᾽ ὧν. πάλαι καὶ χαμαί.

Περὶ τῆς ει διφθόγγου.

Τὸ β̅ κατὰ πάντα οὐ θέλει ἔχειν τὴν ε̅ι̅ δίφθογγον προηγουμένην οἷον θλίβω, λίβανον, λιβάς, κιβωτός. εἰ δέ που εὑρέθη τὸ β ἔχον τὴν ει δίφθογγον προηγουμένην, γνῶθι ὅτι ἐν ῥήματί ἐστιν ἔχοντι τὸ ο ἀντιπαρακείμενον διὰ τῆς ο̅ι̅ διφθόγγου οἷον ἀμείβω ἀμοιβή, λείβω λοιβή, στείβω στοιβή.

Πᾶσα λέξις ἀπὸ τῆς β̅ι̅ συλλαβῆς ἀρχομένη διὰ τοῦ ι̅ γράφεται, εἰ μὴ ἐστι κατὰ γλῶσσαν Λακώνων ἢ κατὰ πάθος οἷον Βισάλται, ἔστι δὲ ἔθνος Θρᾴκης, βίος ἡ ζωή, βιός τὸ τόξον, βιόδωρος, Βιθυνία, βιστάκια, σημαίνει τὰ πιστάκια, ψιττάκια. πρόσκειται «εἰ μὴ ἐστι κατὰ γλῶσσαν Λακώνων» διὰ τὸ βείδιοι· τοῦτο διὰ τῆς ε̅ι̅ διφθόγγου γράφεται· βείδιοι λέγονται οἱ ἄρχοντες παρὰ τοῖς Λακεδαιμονίοις. βειέλοπες οἱ λεγόμενοι ἱμάντες — ὁ δὲ Δίδυμος διὰ τοῦ ι̅ γράφει — πρόσκειται «εἰ μὴ ἐστι κατὰ πάθος», ἐπειδή ἐστιν ἐὰν βῶ κατὰ προσθήκην τοῦ ι̅ ἐὰν βείω κατὰ πάθος.

Πᾶσα λέξις ἀπὸ τῆς β̅λ̅ι̅ συλλαβῆς ἀρχομένη διὰ τοῦ ι̅ γράφεται χωρὶς εἰ μὴ ἀπὸ κλίσεως ῥήματος σχῇ αὐτήν. πρόσκειται «ἀπὸ κλίσεως ῥήματος» διὰ τὸ βλῆμι καὶ βλεῖο.

Πᾶσα λέξις ἀπὸ τῆς βρι συλλαβῆς ἀρχομένη διὰ τοῦ ι̅ γράφεται οἷον Βρισηΐς, βρί τὸ μέγα, βριθοσύνη τὸ βάρος, βριαρός ὁ ἰσχυρός, βριάειν αὔξειν καὶ οὐκ ἔχει δίφθογγον.

l. 9 Theogn. 155, 30. l. 13 Theogn. 158, 25. περὶ ποс. 314, 26. l. 16 Choer. 218, 28. l. 21 περὶ ποс. 289, 31, Choer. 183, 21 cf. E. M. 198, 9 de βίος et compositis: τὰ παρὰ βίος συγκείμενα εἴτε κατ᾽ ἀρχὰς λέγεται εἴτε κατὰ τὸ μέσον διὰ τοῦ ι γράφεται οἷον βιωφελής, βιοτελής, βιοπλανής (ὄλβιος, quod Herod. non a βίος, sed ab ὅλος derivavit), ἀμφίβιος. l. 30 E. M. 201, 35. l. 33 περὶ ποс. 289, 27, Choer. 183, 24.

Πᾶca λέξιc ἀπὸ τῆc γλι cυλλαβῆc ἀρχομένη ἀποcτρέφεται τὴν ει δίφθογγον Γλιcᾶc, γλίον τὸ ἰcχυρόν, γλία ἡ κόλλα, γλιῶcαι τὸ παίζειν.

Πᾶca λέξιc ἀπὸ τῆc γρι cυλλαβῆc ἀρχομένη διὰ τοῦ ι γράφεται οἷον γρίντηc ὁ βυρcεύc, γριπεύc ὁ ῥάπτων τὰ ἁλιευτικὰ δίκτυα, γριφᾶcθαι· οὕτω λέγουcι τὸ γράφειν Λάκωνεc, γρῖφοc, cημαίνει δὲ τὸ δύcλυτον αἴνιγμα, γρῖνοc τὸ δέρμα, γρίcων ὁ χοῖροc, γρῖποc παρὰ τὸ ἀγρεῖν, ὅ ἐcτι παρακολουθεῖν τῇ ἄγρᾳ.

Πᾶν ὄνομα καὶ πᾶν μέροc λόγου, ᾧ ἔγκειται τὸ κρι μόριον, διὰ τοῦ ι γράφεται οἷον κριόc, κριτήc, κρίcιc, κριθή, κριθάριον, κριθιῶ, κρίθινοc. cεcημείωται τὸ κρείccων, καὶ κρέccων μὴ πλεονάζοντοc τοῦ ι λέγεται

κρέccων γὰρ οἰκτιρμοῦ φθόνοc·
ἦν θεὸc ἢ κρέccον· τί ὀνηcόμεθα;

τὸ κρειοφάγοc οὐκ ἐναντιοῦται, κρεοφάγοc γάρ, καὶ κρείων, κρέων γάρ.

Πᾶca λέξιc ἀπὸ τῆc τρι cυλλαβῆc ἀρχομένη διὰ τοῦ ι γράφεται οἷον τριcμάκαρεc, τριcάθλιοc, τριcάκιc, τριccῶc, τριcμύρια, τριcόλβιοc. cεcημείωται τὸ τρεῖc πληθυντικὸc ἀριθμὸc καὶ τὸ τρεῖc τὸ ῥῆμα τὸ cημαῖνον τὸ τρέμειc· ἐκ τοῦ τρῶ τρεῖc.

Οὐδέποτε μετὰ τοῦ φ εὑρίcκεται δίφθογγοc καταλήγουcα εἰc ρ cυμφώνου ἐπιφερομένου οἷον φάρμακον «φροντίδοc εὑρέἰηc — cτῆθοc καὶ χείλεα φύρcω» (c 21), «κείμενον ἐν φέρτρῳ» (C 236) πλὴν τοῦ φθειρcὶ παρὰ Ἀρχιλόχῳ «φθειρcὶ μοχθίζοντα» ἀπὸ τοῦ φθείρ φθειρόc.

Οὐδέποτε μετὰ τοῦ χ εὑρίcκεται δίφθογγοc καταλήγουcα εἰc ρ cυμφώνου ἐπιφερομένου οἷον χάρμα «αὐλῆc ἐν χόρτῳ» (Λ 773), «χέρνιβα δ' ἀμφίπολοc» (α 136), ὅθεν ὁ ποιητὴc φυλάξαc τὴν δίφθογγον τοῦ χείρ ἐν παντὶ ἀριθμῷ καὶ ἐν πάcῃ πτώcει διήλλαξεν ἐν τῇ πληθυντικῇ δοτικῇ «χερcὶ μὲν οὔτοι ἔγωγε μαχήcομαι» (Α 301), οὐκέτι δὲ χειρcί· τοῦτο δὲ ἐν παραγωγῇ οὐ χέρεccιν εἶπεν ἀλλὰ χείρεccι «τοίω τὼ χείρεccι ὑφ' ἡμετέρῃcι» (Ε 559).

Τὰ ἀπὸ τῆc ψι cυλλαβῆc ἀρχόμενα οὐ γράφεται διὰ τῆc ει διφθόγγου οἷον ψιλόc, ψιλή, ψιλίον· cημαίνει δὲ τὸ ἐπιτιθέμενον ἐν ἄκροιc τῶν χειρῶν, ὅπερ ἐν τῇ cυνηθείᾳ ψέλιον εἰώθαcι λέγειν διὰ τοῦ ε. ψίω τὸ ἐμβρωματίζω.

Οὐδέποτε πρὸ τῶν δύο ρρ εὑρίcκεται δίφθογγοc ὑποδηματορράφοc, Κίρρα.

Οὐδέποτε πρὸ δύο cc δίφθογγοc εὑρίcκεται οἷον ἑλίccω, φρίccω,

---

l. 1 Choer. Orth. 187, 30, E. M. 234, 23 cf. Hes. s. vv. l. 3 περὶ ποc. 290, 15, Choer. 188, 15, E. Orion. 40, 20 cf. fr. 21. l. 8 περὶ ποc. 289, 19 καὶ κρέccων — ὀνηcόμεθα ex Mon. 40, 23 inserui. cf. fr. 20. l. 15 περὶ ποc. 289, 7, Choer. Epim. in Psalm. 97, 25 cf. fr. 34. l. 19 Ep. Cr. I 441, 16 cf. fr. 35. l. 23 Ep. Cr. I 441, 10. l. 30 περὶ ποc. 289, 18, l. 32 χειρῶν scripsi pro χειλέων. l. 34 Choer. Orth. 229, 20. l. 36 Choer. 218, 1; 255, 1; 205, 9; περὶ ποc. 304, 10, Ep. Cr. I 6, 15, E. M. 537, 20, An. Paris. III 327, 27 cf. Lehrs ad Mon. 40, 25.

μέλιςςα, κιςςός, τριςςός χωρὶς τοῦ κρείςςων καὶ τοῦ ἐξ αὐτοῦ ῥήματος γινομένου κρειςςῶ καὶ λεύςςω καὶ γλαύςςω τὸ φωτίζω.

Οὐδέποτε ἡ ει δίφθογγος πρὸ τῶν δύο ςυμφώνων εὑρίςκεται ἐν ςυλλήψει. εἰ δὲ ἐγράφετο δίφθογγος (sc. in μίςγω), μέμοιγα ἦν ὁ μέςος παρακείμενος· οὐκ ἔςτι δὲ ἀλλὰ μέμιγα.

Οὐδέποτε τὸ ςκ ἐν ςυλλήψει ὂν ἔχει τὴν ει δίφθογγον προηγουμένην χωρὶς μιᾶς λέξεως καὶ ταύτης ἀμφιβαλλομένης οἷον Ἡρακλεῖςκος Ἡρακλεΐςκος. παραδείγματα δὲ ταῦτα· βαςιλίςκος, μειρακίςκος, ἴςκω. ἀμέλει ἔςτιν εἴδω εἴςω διὰ τῆς ει διφθόγγου. καὶ προςελθόντος τοῦ κ̄ διίςταται τὸ ῑ καὶ γίνεται ἐΐςκω διὰ μὴ δύναςθαι τὴν ει δίφθογγον προηγεῖςθαι, ἡνίκα ἐςτὶν τὸ ςκ ἐν ςυλλήψει· ἡνίκα δὲ γίνεται ςύλληψις, ἀποβάλλει τὸ ε̄ καὶ γίνεται ἴςκω διὰ τοῦ ῑ.

Αἱ ἀναδιπλαςιάςεις ἀεὶ διὰ τοῦ ῑ γράφονται, τιτρώςκω.

Τὰ ἀμφιβαλλόμενα κατὰ τὴν πρώτην ςυλλαβήν, ἔχοντα δὲ ἐν τῇ δευτέρᾳ ςυλλαβῇ τὸ ῑ ἢ τὸ υ διὰ τοῦ ι γράφεται, δριμύς, ἰλύς, Τῖφυς, Τῖρυς, κῖκυς, βριθύς, πίτυς, Ἶρις, ἶβις, Ἶςις, ῥιπίς, Βιθυνία, Λακινία.

Πολλά ἐςτιν ὀνόματα ἀπὸ ῥημάτων γινόμενα γραφομένων τῶν ῥημάτων διὰ διφθόγγου, τῶν δὲ ὀνομάτων διὰ τοῦ ῑ οἷον πείθω πιθανός, οἰκτείρω οἰκτιρμός, ςείω ςῖτος, νείφω νιφετός, λείχω λίχανος. οὕτω καὶ παρὰ τὸ λείπω λιμός.

Τὰ παρὰ τὸ ἀεὶ διὰ τῆς ει̅ διφθόγγου γράφεται, ἀείμνηςτος, ἀειγενής, ἀείφρουρος, ἀειπάρθενος, ἀειφανής. τὸ μέντοι ἀΐδιος μόνον διὰ τοῦ ῑ γράφεται παρὰ τὸ ἄϊ Αἰολικόν. καὶ τὸ ἀειπάρθενος διὰ τῆς ει̅ διφθόγγου γράφεται κοινῶς, Αἰολικῶς δὲ διὰ τοῦ ῑ.

Τὸ εἴκελος διφορεῖται κατὰ τὴν γραφήν, τὰ μέντοι παρ' αὐτὸ ςυντεθειμένα δίφθογγον ἔχει, θεοείκελος, πανείκελος, ἀνδρείκελος.

Περὶ τῆς ἐπὶ τέλους ςυλλαβῆς.

Καθόλου τὰ εἰς ν λήγοντα εἴτε ἀρςενικὰ εἴτε θηλυκὰ οὐκ ἔχει πρὸ τοῦ ν δίφθογγον οἷον Ἕλλην, αὐχήν, Τιτάν, Πλάτων, Τρύφων, Cιδών, Χαλκηδών, δελφίν, Cαλαμίν. πρόςκειται ἀρςενικὰ καὶ θηλυκὰ διὰ τὰ οὐδέτερα· ταῦτα γὰρ πολλάκις πρὸ τοῦ ν̄ ἔχει δίφθογγον οἷον ὀςτοῦν, χρυςοῦν, χαλκοῦν, ἀργυροῦν.

l. 3 An. Ox. II 325, 26. l. 6 Choer. 268, 1. l. 9 ἴςκω inserui, pro ἡνίκα προςελθὼν τὸ scripsi προςελθόντος τοῦ. περὶ ποc. 291, 1, Choer. 176, 20 cf. Il. Pr. Λ 799, Π 44, Ep. Cr. I 151, 5, E. M. 272, 11 et 318, 9. l. 13 Ep. Cr. I 219, 10, An. Paris. III 313, 4. pro parum apto exemplo κιχείω posui τιτρώςκω. l. 14 Choer. 195; 183, 17; 264, 6 et 8; 236, 12; περὶ ποc. 302, 22. l. 17 E. M. 568, 26. l. 21 An. Paris. III 321, 11, περὶ ποc. 284, 3. l. 25 περὶ ποc. 284. 29, Ep. Cr. I 156, 6, Choer Orth. 177, 12. l. 28 Choer. Orth. 167, 26 et περὶ ποc. 294, 11. cf. Dict. 270, 11; 281, 6, ubi additur τούτου χάριν τὸ κτεὶν κτενός ἔτρεψε τὸ ν̄ εἰς c̄ καὶ γέγονε κτείς καὶ ἐφύλαξε τὴν αὐτὴν κλίςιν τουτέςτι τὴν διὰ τοῦ ν̄; 378, 7 et E. M. 583, 4 μὴν ἦν καὶ ἐτράπη τὸ η̄ Δωρικῶς εἰς τὴν ει δίφθογγον· ἐπειδὴ τὰ εἰς ν̄ λήγοντα ἀρςενικὰ οὐ θέλει ἔχειν πρὸ τοῦ ν̄ δίφθογγον οἷον ςωλήν, Πλάτων, ἔτρεψε τὸ ν εἰς c̄ καὶ ἐγένετο μείς.

Πάντα τὰ δικατάληκτα διὰ τοῦ ῑ μακροῦ γράφεται οἷον δελφίϲ δελφίν, Ἐλευϲίϲ Ἐλευϲίν, χλωχίϲ χλωχίν, Τελχίϲ Τελχίν, ἑρμίϲ ἑρμίν, Τραχίϲ Τραχίν, ῥηγμίϲ ῥηγμίν, ὠδίϲ ὠδίν, πηρίϲ πηρίν, ἴϲ ἴν, ῥίϲ ῥίν, θίϲ θίν. τὸ δὲ θίϲ καὶ ῥίϲ ὁ Ἀρίϲταρχοϲ διὰ τῆϲ ει διφθόγγου ἀξιοῖ γράφεϲθαι καὶ ἀκολουθῶν τῇ ἐτυμολογίᾳ ἔλεγεν, ὅτι τὸ θείϲ παρὰ τὸ θείνεϲθαί ἐϲτι· καὶ γὰρ ἐν αἰγιαλῷ θείνονται καὶ τύπτονται τὰ κύματα· ἢ παρὰ τὸ θέειν, καὶ γὰρ ἐν αἰγιαλῷ θέει ἤγουν τρέχει τὰ κύματα. τὸ δὲ ῥείϲ παρὰ τὸ ῥεῖν γέγονε, καὶ γὰρ ἐκ τῆϲ ῥινόϲ ῥέουϲι καὶ κατέρχονται τὰ περιττώματα τῆϲ κεφαλῆϲ. ἀκολουθῶν οὖν ταύτῃ τῇ ἐτυμολογίᾳ εἴρηκεν αὐτὸ διὰ τῆϲ ει διφθόγγου. ἡ δὲ παράδοϲιϲ οἶδεν αὐτὸ διὰ τοῦ ῑ γράφεϲθαι.

Πάντα τὰ εἰϲ ειρ λήγοντα εἴτε ἁπλᾶ εἴτε ϲύνθετα διὰ τῆϲ ει διφθόγγου γράφεται οἷον χείρ παρὰ τὸ ἔχειν, ὅπερ οἱ Αἰολεῖϲ χήρ φαϲι τρέποντεϲ τὴν ει εἰϲ τὸ η οἷον πλείων πλήων, μείων μήων, φθείρ τὸ ἀπὸ τῆϲ φθορᾶϲ τοῦ ϲώματοϲ ἀπὸ τοῦ φθείρω, Εἴρ ὄνομα ποταμοῦ ἀπὸ τοῦ εἴρω τὸ ϲυμπλέκω, πολύχειρ, αὐτόχειρ, ἑκατόγχειρ, ἀντίχειρ, χρυϲοέθειρ, Βέχειρ, Cάπειρ, Ἀλάζειρ, Λίγειρ, Ἐλάτειρ, μεθ' ὧν τὰ Βοιωτικὰ πατείρ, μήτειρ. ϲεϲημείωται τὸ Φθίρ τὸ ἐπὶ τοῦ υἱοῦ Ἐνδυμίωνοϲ, ἀφ' οὗ τὸ «Φθιρῶν ὄροϲ ἀκριτόφυλλον» (Β 868).

Τὰ εἰϲ ξ λήγοντα ἀποϲτρέφεται τὴν ει δίφθογγον οἷον πέρδιξ, μάϲτιξ, θρίξ, ψίξ, Τέμμιξ, Φοῖνιξ, Χοῖνιξ, ἀΐξ, πίφιξ.

Τὰ εἰϲ ιϲ ὀξύτονα θηλυκὰ ὑπὲρ μίαν ϲυλλαβὴν κοινολεκτούμενα ἀποϲτρέφεται τὴν ει δίφθογγον, ϲανίϲ, ῥανίϲ, βολίϲ, θυρίϲ, ἁψίϲ, γλωϲϲίϲ, ἀϲπίϲ, ϲφραγίϲ, κρηπίϲ, κεραμίϲ, κηκίϲ, φαρκίϲ, φλυκτίϲ, ψωφίϲ, ψηφίϲ, ψωμίϲ. πρόϲκειται «ὀξύτονα» διὰ τὸ ἀντήρειϲ, εἰϲ ὃ ἐπερείδεταί τιϲ· «ὑπὲρ μίαν ϲυλλαβὴν» διὰ τὸ κλείϲ, ὅθεν καὶ τὸ κατάκλειϲ «κοινολεκτούμενα»· τὸ γὰρ εὐϲεβήϲ καὶ εὐγενήϲ διὰ τῆϲ ει διφθόγγου γράφουϲιν οἱ Βοιωτοί.

Τὰ εἰϲ ειϲ ἔχοντα οὐδέτερον εἰϲ εν διὰ τῆϲ ει διφθόγγου γράφεται οἷον χαρίειϲ χαρίεν, ἀϲτερόειϲ ἀϲτερόεν, δενδρήειϲ δενδρῆεν, αἱματόειϲ αἱματόεν, τιμήειϲ τιμῆεν, ἑρϲήειϲ ἑρϲῆεν, ἠχήειϲ, κερόειϲ, φωνήειϲ, ειϲ ἕν.

Τὰ εἰϲ ειϲ διὰ τοῦ εντοϲ κλινόμενα διὰ τῆϲ ει διφθόγγου γράφε-

---

l. 1 Choer. 168, 15 collat. p. 187, 21 γλωχίϲ, 192, 11 δελφίϲ, 197, 25 ἑρμίϲ, 263, 18 Τραχίϲ, 255, 1 ῥηγμίϲ, 281, 10 et 18 ὠδίϲ, 243, 30 πηρίϲ, 220, 18 ἴϲ, 217, 26 θίϲ et 255, 4 ῥίϲ, 197, 29 Ἐλευϲίϲ. Verba inde a τὸ θίϲ καὶ ῥίϲ ὁ Ἀρίϲταρχοϲ addidi ex E. Gud. 30, 29. l. 12 canonem composui ex libro περὶ ποϲ. 283, 15, Choer. 273, 33 collato E. Gud. 566, 44, Choer. 274, 5, Theogn. 41, 23, Arcad. 20. 15 cf. Choer. Epim. in Psalm. 4, 7. l. 20 Choer. 170, 10; 263, 19; 274, 14; 276, 31; 279, 15; 249, 32. l. 22 Choer. Orth. 172, 10 collato E. M. 183, 39 et περὶ ποϲ. 305, 7; de ἁψίϲ praecepit Choer. praeterea 182, 4, de γλωχίϲ 187, 21, κεραμίϲ 227, 23, κηκίϲ 227, 25, φαρκίϲ 271, 10, φλυκτίϲ 275, 11, ψωφίϲ 279, 10, ψηφίϲ 279, 13, ψωμίϲ 279, 28. Epim. Cr. I 283, 23. l. 29 Choer. 174, 10; 208, 12; δενδρήειϲ 194, 13, ἑρϲήειϲ 210, 7, ἠχήειϲ 217, 1, κερόειϲ 231, 1, φωνήειϲ 274, 21, Ep. Cram. I 283, 23. l. 33 Choer. 174, 13, de Cιμόειϲ 262, 4.

ται, δαφνήεις δαφνήεντος, ἀστερόεις ἀστερόεντος, Σιμόεις Σιμόεντος. ἄλλως οἱ Δωριεῖς ἄνευ τοῦ ι προφέρονται αὐτὰ οἷον ἀστερόες αἱματόες καὶ ἡμεῖς λοιπὸν προσθέσει τοῦ ι γράφομεν.

Τὰ εἰς ις μονοσύλλαβα μονογενῆ κοινολεκτούμενα ἀποστρέφεται τὴν ει δίφθογγον, οἷον κίς, λίς πλὴν τοῦ κλείς καὶ κτείς. πρόσκειται «μονογενῆ» διὰ τὸ εἷς τριγενές. «κοινολεκτούμενα» διὰ τὸ μείς.

Καθόλου τὰ εἰς ις λήγοντα εἴτε ἀρσενικὰ εἴτε θηλυκὰ εἴτε δικατάληκτα εἴτε μὴ εἴτε ἁπλᾶ εἴτε σύνθετα εἴτε μακροκατάληκτα εἴτε μὴ μακροκατάληκτα, οἷον ἂν τόνον ἐπιδέχηται, κατὰ κοινὴν διάλεκτον ὄντα ἀποστρέφεται τὴν διὰ τῆς ει διφθόγγου γραφήν· εἰ δέ τι διὰ τῆς ει διφθόγγου εὑρεθῇ γραφόμενον, τοῦτο ἔχει ἐν τῇ γενικῇ ἀναφαινόμενον τὸ ε οἷον Πάρις, ὄφις, μάντις, Θέτις, κράστις, πίστις, ὄρνις, Βούσιρις, Ὄσιρις, Ἦτις ὄνομα πόλεως, λιπόπατρις, Εὔπολις, ἄπολις, κνημίς, ἀσπίς, ῥανίς, βολίς, ψηφίς, κρηπίς, Ἐλευσίς. πρόσκειται «κατὰ κοινὴν διάλεκτον» ἐπειδὴ οἱ Βοιωτοὶ τὸ λέβης πένης παρ' ἡμῖν διὰ τοῦ η γραφόμενα διὰ τῆς ει γράφουσιν οἷον λέβεις, πένεις. πρόσκειται «εἰ δέ τι εὑρεθῇ διὰ τῆς ει διφθόγγου γραφόμενον, τοῦτο ἔχει ἐν τῇ γενικῇ ἀναφαινόμενον τὸ ε» διὰ τὸ χαρίεις χαρίεντος, τιμήεις τιμήεντος, εἷς ἑνός, κτείς κτενός. ταῦτα γὰρ διὰ τῆς ει γράφεται καὶ ἔχει ἐν τῇ γενικῇ τὸ ε ἀναφαινόμενον. δεῖ σημειώσασθαι τὸ κλείς κλειδός, ὃ σημαίνει τὸ κλειδίον καὶ τὰ παρ' αὐτὸ οἷον κατάκλεις κατάκλειδος, ἀντήρεις ἀντήρειδος. σημαίνει δὲ πᾶν εἰς ὃ ἐπερείδεταί τις. ταῦτα γὰρ διὰ τῆς ει διφθόγγου γράφεται καὶ οὐκ ἔχει τὸ ε ἐν τῇ γενικῇ ἀναφαινόμενον. ἀντιτιθέασι δέ τινες πρὸς τὸν λόγον τὸν λέγοντα «εἰ δέ τι εὑρεθῇ διὰ τῆς ει διφθόγγου γραφόμενον, τοῦτο ἔχει ἐν τῇ γενικῇ τὸ ε», ἰδοὺ γὰρ τὸ ὄφις ὄφεως καὶ πόλις πόλεως καὶ μάντις μάντεως καὶ τὰ ὅμοια ἔχει ἐν τῇ γενικῇ τὸ ε ἀναφαινόμενον καὶ οὐ γράφεται διὰ τῆς ει διφθόγγου, ἀλλὰ διὰ τοῦ ι. πρὸς οὓς ἐστιν εἰπεῖν, ὅτι τοῦτο γίνεται, ἐπειδὴ οὐκ ἔστι κοινὸν τὸ ε, ἀλλὰ κατὰ Ἀττικούς. ἔστι γὰρ ὄφις ὄφιος κοινῶς. οἱ Ἀττικοὶ οὖν ἔτρεψαν τὸ ι εἰς ε καὶ τὸ ο εἰς ω καὶ ἐγένετο ὄφεως καὶ πόλεως.

Τὰ εἰς ψ λήγοντα πᾶσαν δίφθογγον ἀποστρέφεται, λίψ, θρίψ, αἰγίλιψ, Κίνυψ, Κύκλωψ, Πέλοψ, ἴψ, σκίψ, ὃ καὶ σκνίψ καὶ κνίψ λέγουσιν, Νίψ Νιβός ὄνομα κρήνης.

Πᾶν ὄνομα στοιχείου εἰς ι καταλῆγον οὐκ ἔχει αὐτὸ ἐν διφθόγγῳ

l. 4 Choer. 230, 1, adhibito Arcadio 125, 22. l. 7 Choer. 167, 17, περὶ ποc. 295, 21 collato Choer. 217, 28 Θέτις, 232, 12 κράστις et πίστις, 244, 4 ὄρνις, 184, 19 Βούσιρις, 245, 4 Ὄσιρις, 216, 25 Ἦτις. verba πρὸς οὓς ἐστιν εἰπεῖν, ὅτι τοῦτο γίνεται, quae excidisse apparet, ipse addidi cf. praeterea An. Ox. II 342, 8 et Anecd. Paris. III 296, 16. l. 32 Choer. 218, 18; 224, 17 ἴψ, 236, 20 λίψ, 258, 17 σκίψ, Epim. in Psalm. 174, 2, E. M. 568, 15, Ep. Cr. I 391, 5, ubi canon sic conceptus est: δίφθογγος εἰς διπλοῦν οὐ λήγει οἷον λίψ, θρίψ, κνίψ, στίξ et paullo post l. 20 τὰ εἰς ξ οὐδέποτε διφθόγγῳ παραλήγεται οἷον στίξ. l. 35 Choer. 276, 3, περὶ ποc. 309, 26, Ep. Cr. I 284, 7.

οἷον ξῖ, πῖ, φῖ, ψῖ, χῖ χωρὶϲ τοῦ ε̅· τοῦτο γὰρ ῑ ἔχει ἐν διφθόγγῳ. καί ἐϲτιν εἰπεῖν ταύτην τὴν ἀπολογίαν, ὅτι τὰ ὀνόματα τῶν ϲτοιχείων ἀφ᾽ ἑαυτοῦ θέλει ἄρχεϲθαι οἷον ἄλφα ἀπὸ τοῦ α̅ ἄρχεται, βῆτα ἀπὸ τοῦ β̅· εἰ οὖν τὸ ε̅ τὸ ὄνομα τοῦ ϲτοιχείου διὰ τοῦ ῑ ἐγράφετο, οὐκ ἤμελλεν ἀπὸ ἑαυτοῦ ἄρχεϲθαι. τούτου οὖν χάριν διὰ τῆϲ ε̅ι̅ διφθόγγου γράφεται, ἵνα εὑρεθῇ ἀπὸ τοῦ ε̅ ἀρχόμενον.

ΠΕΡΙ ΤΩΝ ΠΡΟ ΤΕΛΟΥϹ ϹΥΛΛΑΒΩΝ.

Περὶ ὀνομάτων.

Περὶ τῶν εἰϲ α̅ν̅.

Τὰ εἰϲ α̅ν̅ οὐ παραλήγεται τῇ ε̅ι̅ διφθόγγῳ οἷον Ἀλκμάν, Παιάν, Ἑρμάν, Ποτιδάν ὁ Ποϲειδῶν, Τιτάν. τὸ γὰρ Ἀργειάν, ἔϲτι δὲ ὄνομα ὄρουϲ Μεϲϲηνίαϲ, ἀπὸ τοῦ Ἀργεῖοϲ ἔχει τὴν δίφθογγον.

Περὶ τῶν εἰϲ ω̅ν̅.

Πᾶν ὄνομα ἀρϲενικὸν ἢ θηλυκὸν εἰϲ δ̅ω̅ν̅ λῆγον ἑνὶ φωνήεντι θέλει παραλήγεϲθαι, Ϲιδών ἐπὶ τοῦ πολίτου καὶ ἐπὶ τῆϲ πόλεωϲ, Ϲαρπηδών, ϲηπεδών, χελιδών, ϲινδών. τὸ δὲ Ποϲειδῶν διφορεῖται. παρὰ γὰρ τοῖϲ Ἀθηναίοιϲ διὰ τῆϲ ε̅ι̅ διφθόγγου γράφεται, οἱ δὲ Αἰολεῖϲ καὶ οἱ Δωριεῖϲ διὰ τοῦ ῑ.

Πάντα τὰ εἰϲ ι̅μ̅ω̅ν̅ κύρια παροξύτονα διὰ τοῦ ῑ γράφεται, οἷον Ϲίμων, Τίμων, Κίμων. τὸ γὰρ λειμών καὶ χειμών ὀξύνονται.

Πάντα τὰ εἰϲ μ̅ω̅ν̅ βαρύτονα ὑπὲρ δύο ϲυλλαβὰϲ παρὰ τὸ εἷμα γινόμενα τουτέϲτιν τὸ ἔνδυμα, διὰ τῆϲ ει διφθόγγου γράφεται οἷον λευχείμων, ἀνείμων, μελανείμων.

Τὰ εἰϲ ιφρων διὰ μόνου τοῦ ῑ γράφεται οἷον καλλίφρων, μελίφρων, Ἀλκίφρων, περίφρων.

Τὰ εἰϲ τ̅ω̅ν̅ λήγοντα μὴ ὄντα κοινὰ τῷ γένει οὐ θέλει τῇ ει διφθόγγῳ παραλήγεϲθαι οἷον Βίτων, χιτών, Τρίτων ὄνομα ποταμοῦ, Κρίτων, Ἴτων, Ἀρίϲτων, Χαρίτων. πρόϲκειται «μὴ κοινὰ τῷ γένει» διὰ τὸ ὁ γείτων καὶ ἡ γείτων.

Τὰ εἰϲ ων καθαρὰ ϲυγκριτικὰ οὐ παραλήγεται τὴν ει δίφθογγον, ἀλλὰ τὸ ῑ, ἀλγίων, αἰϲχίων, βραδίων, ταχίων, ἡδίων, γλυκίων, βελτίων, κακίων, φιλίων, μεθ᾽ ὧν καὶ διπλαϲίων, χωρὶϲ τοῦ χερείων καὶ ἀρείων καὶ διϲυλλαβῶν τινων μείων, πλείων.

Τὰ ἐπὶ μηνῶν τῶν Ἀθηναίων διὰ τοῦ ῑ γράφεται κατὰ τὴν

l. 10 Choer. 263, 21. l. 14 περὶ ποϲ. 294, 17, Choer. Orth. 257, 25; 277, 13, Dict. 298, 31 et de Ποϲειδῶν 253, 22, Mon. 10, 30. l. 19 περὶ ποϲ. 289, 25, l. 20 λειμών χειμών ex Pros. Cath. ap. Arc. 13, 9 addidi. l. 21 περὶ ποϲ. 290, 10. l. 24 περὶ ποϲ. 290, 13. l. 26 Choer. Orth. 264, 10 et περὶ ποϲ. 295, 5. l. 30 Choer. 171, 22; 184, 20; 184, 24; 184, 27; 188, 22; 193, 3; 265, 4; 270, 24. cf. An. Paris. III 342 τὰ εἰϲ ων ϲυγκριτικὰ τριϲύλλαβα διφθόγγῳ θέλει παραλήγεϲθαι· δ᾽ εἰϲὶ ταῦτα· καὶ τὰ δύο ἐκφωνοῦϲι τὸ ῑ οἷον πλείων, μείων, τὰ δὲ δύο ἀνεκφώνητον αὐτὸ ἔχουϲιν οἷον λῴων, ῥᾴων. l. 34 περὶ ποϲ. 295, 18.

παραλήγουσαν οἷον Ἐλαφηβολιών, Πυανεψιών, Βοηδρομιών, Μεταγειτνιών.

Καθόλου τὰ διὰ τοῦ ιων βαρύτονα τρέποντα τὸ ω ἐν τῇ γενικῇ εἰς τὸ ο εἴτε κύρια εἴτε μὴ κύρια ἀποστρέφεται τὴν ει δίφθογγον κατὰ τὴν παραλήγουσαν οἷον Ἐχίων Ἐχίονος, βραχίων βραχίονος, Ἰξίων Ἰξίονος, Πανδίων Πανδίονος, πίων πίονος ὁ λιπαρός, Ἀμφίων Ἀμφίονος, Ἀρίων Ἀρίονος, Δηΐων Δηΐονος, πρίων πρίονος, κίων κίονος, κυλλοποδίων κυλλοποδίονος, Ὑπερίων Ὑπερίονος.

Τὰ διὰ τοῦ ειων διὰ τῆς ει διφθόγγου γράφεται μὴ ὄντα συγκριτικὰ φυλάττοντα τὸ ω κατὰ τὴν γενικὴν οἷον Ἀτρείων Ἀτρείωνος, Καδμείων Καδμείωνος, Ἀργείων Ἀργείωνος, Πηλείων Πηλείωνος. πρόσκειται «μὴ συγκριτικὰ» διὰ τὸ χερείων χερείονος, ἀρείων ἀρείονος. τὸ δὲ Ὠρίων Ὠρίωνος Εὐριπίδης συνέστειλεν.

Τὰ εἰς δης εἰς ων ἔχοντα πατρωνυμικὰ τὴν αὐτὴν παραλήγουσαν θέλει ἔχειν, Κρονίδης Κρονίων, Ἀτρείδης Ἀτρείων.

Περὶ τῶν εἰς ξ.

Τὰ εἰς αξ ἀποστρέφεται τὴν ει δίφθογγον κατὰ τὴν παραλήγουσαν οἷον Φαῖαξ, κλῖμαξ, κόραξ, θρῖδαξ πλὴν τοῦ μεῖραξ καὶ λεῖμαξ, σημαίνει δὲ τὸν λειμῶνα, καὶ τοῦ ἐν τῇ συνηθείᾳ λεγομένου λείαξ.

Περὶ τῶν εἰς ρ.

Τὰ εἰς ηρ βαρύτονα ἑνὶ φωνήεντι θέλει παραλήγεσθαι οἷον Πίηρ, πλὴν τοῦ Ἐξαύτηρ.

Περὶ τῶν εἰς ας.

Τὰ εἰς ας εἴτε ὀξύτονα εἴτε περισπώμενα ἀρσενικὰ οὐ θέλει τῇ ει διφθόγγῳ παραλήγεσθαι οἷον Ζηνᾶς, Μητρᾶς, Γλισᾶς, Κερκιδᾶς, πινακᾶς, Φιλητᾶς, Κομητᾶς, Μαρικᾶς, ἰλᾶς ὁ εὐμενής, ἱμάς, ἀνδριάς. πρόσκειται «ἀρσενικὰ» διὰ τὸ πελειάς Ἡρακλειάς θηλυκά.

Τὰ διὰ τοῦ ιας ὑπὲρ δύο συλλαβὰς ἀρσενικὰ διὰ τοῦ ι γράφεται οἷον Χαβρίας, Ἱππίας, φρονηματίας, Κινησίας, Σωσίας, πωγωνίας, Γλαυκίας, τοξίας, Λυσίας, Ἀγρίας, Γοργίας, Φανίας, τραυματίας, ὀνοματίας. τὸ γὰρ Αἰνείας καὶ Αὐγείας καὶ Ἑρμείας ἐκ τοῦ Αἰνέας καὶ Αὐγέας καὶ Ἑρμέας πλεονασμῷ τοῦ ι γέγονεν. ὡσαύτως καὶ παρείας ὁ ὄφις διὰ τῆς ει διφθόγγου, τὸ δὲ Παρίας κύριον διὰ τοῦ ι γράφεται.

l. 3 περὶ ποc. 294, 27, Choer. 168, 6, unde E. M. 92, 1 translatum est, 171, 26; 182, 6; 193, 3; 249, 11; 230, 10; 230, 12: 269, 27, An. Ox. II 352, 4, Arc. 27, 17 et 18, 5. l. 9 Choer. 269, 27; 176, 29: 249, 21; de Ὠρίων 280, 16. l. 14 Choer. 250, 33 et 229, 3. l. 17 Choer. 218, 5; 229, 10; 238, 22. l. 21 Choer. 250, 15. l. 24 Choer. 270, 29, περὶ ποc. 295, 13, Theogn. 44, 13 cf. Ahrens Philol. XXIII p 12 not. l. 28 Choer. Orth. 180, 16; 229, 26; 263, 11; 176, 4; 176, 10. Theogn. 42, 20, περὶ ποc, 288, 32, Choer. Dict. 32, 9.

Περὶ τῶν εἰc ηc.

Τὰ εἰc οc ἀρcενικὰ εἴτε ἀπὸ εὐθείαc εἴτε ἀπὸ γενικῆc ποιοῦντα πατρωνυμικὰ ἢ τύπον πατρωνυμικὸν ἔχοντα εἰc δηc διὰ τοῦ ι γράφει τὴν παραλήγουcαν, Κρονίδηc, Κλυτίδηc, Πριαμίδηc, Ταντιαλίδηc, Ἑκτορίδηc, Πελοπίδηc, Κεκροπίδηc, Μεμνονίδηc, Φοινικίδηc, Ἀλεξανδρίδηc, Λεωνίδηc, Ἀπολλωνίδηc, Βηλίδηc, Κοδρίδηc, Λαγίδηc, Ὑπερίδηc — ὥcπερ γὰρ παρὰ τὴν ἀνά πρόθεcιν γίνεται Ἄνιοc καὶ παρὰ τὴν ὑπό Ὕπιοc ποταμόc, οὕτω καὶ παρὰ τὴν ὑπέρ ὕπεροc καὶ ἐκεῖθεν λοιπὸν Ὑπερίδηc — Εὐριπίδηc. τύπου δὲ πατρωνυμικοῦ ὄντα παρετάθηcαν διὰ τῆc ει Λυcιθείδηc, Κηκείδηc, Κυθνείδηc, Ὠρείδηc, Ἐχεφυλλείδηc, Cκυθρωπείδηc, Θαρρελείδηc, Φιλομηλείδηc «Φιλομηλείδῃ ἐπάλαιcεν ἀναcτάc» (Od. δ 343).

Τὰ ἀπὸ τῶν εἰc ηc εἰc τὴν ου δίφθογγον ἐχόντων τὴν γενικὴν διὰ τοῦ ιδηc γινόμενα διὰ τοῦ ι γράφεται οἷον Λυκάμβηc Λυκάμβου Λυκαμβίδηc, κορυνήτηc κορυνήτου Κορυνητίδηc, Βούτηc Βούτου Βουτίδηc.

Τὰ ἀπὸ τῶν εἰc ηc εἰc ουc ἐχόντων τὴν γενικήν, εἰ μὲν βραχείᾳ παραλήγεται, διὰ τοῦ ι γράφεται, Εὐτυχίδηc, Πλειcθενίδηc, Ἀχαιμενίδηc· εἰ δὲ μακρᾷ παραλήγεται, διὰ τῆc ει Εὐήρηc Εὐηρείδηc, Εὐκλείδηc, Ἡρακλείδηc, Χαρικλείδηc. τὸ δὲ Θουκυδίδηc, Θραcυμηδίδηc, Δικηρίδηc τύπου ἔχονται πατρωνυμικοῦ.

Τὰ ἀπὸ τῶν εἰc ευc ὄντα πατρωνυμικὰ διὰ τῆc ει θέλει γράφεcθαι, Πηλείδηc, Ἀτρείδηc, Αἰγείδηc, Νηλείδηc, Βαcιλείδηc, Οἰνείδηc· τὸ δὲ Ἀλκείδηc ἀπὸ τοῦ Ἀλκαῖοc τροπῇ τῆc αι διφθόγγου εἰc τὴν ει.

Τὰ ἀπὸ τῶν εἰc ωc Ἀττικῶν διὰ τῆc ει γράφεται, ὁ Νείλεωc τοῦ Νείλεω Νειλείδηc ὁ υἱὸc τοῦ Νείλεω, ὁ Εὔνεωc τοῦ Εὔνεω Εὐνείδηc.

Τὰ εἰc δηc μητρωνυμικὰ διὰ τοῦ ι γράφεται οἷον Λητωΐδηc ὁ υἱὸc τῆc Λητοῦc, Λαναΐδηc ὁ υἱὸc τῆc Λανάηc, Φιλυρίδηc ὁ υἱὸc Φιλύραc. ὅθεν Νιοβίδηc ὁ τῆc Νιόβηc. ὅθεν τὸ Φιλομηλείδηc τὸ παρ' Ὁμήρῳ οὐ λέγομεν εἶναι πατρωνυμικὸν οὐδὲ λέγομεν τὸν υἱὸν τῆc Φιλομήλαc. ὄνομα κύριόν ἐcτιν. εἰ γὰρ ἦν μητρωνυμικόν, διὰ τοῦ ι ὤφειλεν εἶναι· καὶ ὁ Διονύcιοc λέγει ὅτι ἀπὸ μητέρων οὐ cχηματίζει πατρωνυμικὸν ὁ Ὅμηροc.

Τὰ διὰ τοῦ ινηc ἀποcτρέφεται τὴν ει δίφθογγον, Αἰcχίνηc, Cμικρίνηc, Λεπτίνηc, ἀργυροδίνηc.

---

l. 2 hunc canonem composui ex E. M. 165, 39 seqq. Choer. Orth. 184, 33; 201, 7; 230, 19; 235, 25; 256, 33; 270, 17, περὶ ποc. 298 et 299. In extremis verbis secutus sum Lob. Parall. p. 5 pro Κηδείδηc Κηκείδηc et pro Θαρραλείδηc Θαρρελείδηc scribentem, pro Καλλείδηc et Ἀχιλλείδηc inextricabilibus posui Κυθνείδηc ex Choer. 201, 7 et Ὠρείδηc ex Schol. ad Apoll. B 110: Ὠρείδηc διὰ τῆc ει διφθόγγου ἡ παραλήγουcα. οὕτωc Ἡρωδιανὸc ἐν τῷ τρίτῳ τῆc καθόλου. l. 13 περὶ ποc. 298, 30. l. 17 E. M. l. c., περὶ ποc. 299, 1. l. 22 E. M. l. c., Choer. 173, 21; 186, 1; 202, 29; 245, 10. l. 25 E. M. l. c., περὶ ποc. 298, 20, Choer. 245, 9. l. 27 E. M. l. c., περὶ ποc. 299, 9. l. 34 Choer. 171, 3, Theogn. 44, 3.

Τὰ διὰ τοῦ ιcηc πάντα διὰ τοῦ ι γράφεται οἷον Ἀγχίcηc, Ἀντίcηc, Ἀμφίcηc, Ἐρίcηc ὄνομα κύριον, Κυρίcηc ποταμὸc Κελτικῆc, Τιπανίcηc ἐθνικόν.

Τὰ εἰc ιτηc παρώνυμα μὴ ἔχοντα ἀντιπαρακείμενον τὸ ο μήτε ἀπὸ πρωτοτύπου τὸ ε διὰ τοῦ ι γράφεται, Μεμφίτηc, τοπίτηc, πολίτηc, Ναυκρατίτηc, τεμενίτηc, Ἀσκαλωνίτηc, βωνίτηc, ἐπαλξίτηc, Θερcίτηc, λοχίτηc, μεcίτηc, Μαργίτηc, Ταυρομενίτηc, Φαcηλίτηc, Χρυcίτηc, Ζευγίτηc, cτυλίτηc, ἑρκίτηc, cτεφανίτηc, πυρίτηc, ὁδίτηc, μαγνίτηc, φεγγίτηc, λυχνίτηc καὶ εἴ τι ὅμοιον. πρόcκειται «μὴ ἔχοντα ἀντιπαρακείμενον τὸ ο» διὰ τὸ ἀλείτηc· ἀντιπαράκειται γὰρ αὐτῷ ἀλοίτηc. καθόλου δὲ τὰ ἔχοντα τὸ ο ἀντιπαρακείμενον ἔχει τὸ ε ἐγκείμενον ἐν τοῖc ῥήμαcιν ὥcπερ cπείρω cπορὰ καὶ φθείρω φθορά, οὕτωc ἀλείτηc ἀλοίτηc κατὰ διάλεκτον Αἰολικήν· οἱ γὰρ Αἰολεῖc τὴν ει δίφθογγον εἰc οι τρέπουcι· τὸ γὰρ ὄνειροc ὄνοιροc λέγουcι καὶ τὸ ἐπείγω ἐποίγω. γίνεται δὲ παρὰ τὸ ἀλιτῶ τὸ ἁμαρτάνω ἀλείτηc ὁ ἁμαρτωλὸc παρὰ τὸ τὰc λιτὰc μὴ τηρεῖν· ὅθεν καὶ Ἀλεξίων τὸ ἀλείτηc ἠξίου διὰ τοῦ ι γράφεcθαι· ἡ δὲ παράδοcιc διὰ τῆc ει διφθόγγου. πρόcκειται «μὴ ἀπὸ πρωτοτύπου τὸ ε ἔχοντα»· τὰ γὰρ ἀπὸ τῶν εἰc ευc διὰ τοῦ ειτηc γινόμενα διὰ τῆc ει διφθόγγου γράφει τὴν παραλήγουcαν οἷον ἱερεύc ἱερείτηc, Cαμαρεύc Cαμαρείτηc, Ἀταρνεύc Ἀταρνείτηc. τὸ δὲ τραπεζίτηc ἐπὶ διαφόρου cημαcίαc διάφορον ἔcχε τῆc παραληγούcηc τὴν γραφήν. ἐπὶ μὲν γὰρ τοῦ ἐν τῇ ἀγορᾷ διαπονουμένου διὰ τοῦ ι γράφεται, παρὰ τὸ τράπεζα· ἐπὶ δὲ τοῦ κυνόc, ἐπεὶ ἀπὸ τοῦ τραπεζεύc παρῆκται, διὰ τῆc ει διφθόγγου γράφεται. τοῦτο δὲ παρ' Ἰβύκῳ εἴρηται κατὰ τροπὴν τῆc ει διφθόγγου εἰc η. ἔτι τὰ παρὰ τῶν εἰc εια γινόμενα διὰ τῆc ει διφθόγγου γράφεται, Ζέλεια Ζελείτηc, Καυκώνεια Καυκωνείτηc, Δικαιάρχεια Δικαιαρχείτηc, Ἁγνώνεια Ἁγνωνείτηc, Μαρώνεια Μαρωνείτηc. ἔτι τὰ ἀπὸ τῆc εἰc οc εὐθείαc ἢ γενικῆc τὸ ε παραληγομένηc γινόμενα διὰ τῆc ει διφθόγγου γράφεται Ὠρεόc Ὠρεοῦ Ὠρεῖτηc καὶ κατὰ cύνοδον τοῦ ε καὶ ι Ὠρείτηc. Ἕλοc Ἕλεοc Ἑλεΐτηc καὶ Ἑλείτηc. ἔδει οὖν καὶ ἀπὸ τοῦ Βορυcθένηc Βορυcθένεοc Βορυcθενείτηc διὰ διφθόγγου· οὐ γὰρ ὅμοιον τῷ τεμενίτηc οὐδὲ τῷ ἑρκίτηc· οὐ γὰρ ἀπὸ τῆc γενικῆc ἀλλ' ἀπὸ τῆc εἰc οc εὐθείαc ταῦτα καὶ εἰκότωc ἔχει τὸ ι· τὸ δὲ Βορυcθένηc οὐκ εἰc οc λήγει. ἀλλ' ἠκολούθηcε τῷ πλείονι χαρακτῆρι διὰ τοῦ ι, τὰ γὰρ διὰ διφθόγγου ὀλίγα· ἔτι καὶ πάντα παρὰ τὸ ῥέειν διὰ τῆc ει διφθόγγου γράφεται, εὐρρείτηc, βαθυρρείτηc, ἀκαλαρρείτηc ὁ ἡcύχωc ῥέων. ἀκαλὸν γὰρ παρὰ Cικελοῖc τὸ ἥcυχον.

l. 1 Choer. 170, 1, E. M. 14, 57. l. 4 Choer. Orth. 169, 7, περὶ ποc. 292, 32, Theogn. 45, 5. De Ζελείτηc Ὠρείτηc Βορυcθενείτηc quae proposui, sumpta sunt ex St. B. s. Ὠρεόc et Βορυcθένηc; praeterea consului Choer. 184, 29 (E. M. 218, 23); 200, 16; 217, 31; 230, 27; 236, 29; 239, 23; 239. 24; 264, 4 et 5; 270, 28; 276, 18; 169, 14 coll. E. Gud. 33, 20, Ep. Cr. I 28, 29, Choer. 169, 28; 256, 11; 280, 17.

Περὶ τῶν εἰϲ ιϲ.

Τὰ εἰϲ ριϲ βαρύτονα τῇ ει διφθόγγῳ οὐ παραλήγεται οἷον ἔριϲ, ἶριϲ, ἔϲτι δὲ εἶδοϲ ὀρνέου, καὶ Ἶριϲ, δῆριϲ, Cῖριϲ, ἔϲτι δὲ ὄνομα πόλεωϲ Φοινίκηϲ, Ξῖριϲ, ἔϲτι δὲ εἶδοϲ ἀρωματικοῦ φυτοῦ, κῖριϲ, ἔϲτι δὲ εἶδοϲ ἱέρακοϲ· λέγεται δὲ καὶ παρὰ Κυπρίοιϲ Κῖριϲ ὁ Ἄδωνιϲ, παρὰ δὲ Λάκωϲιν ὁ λύχνοϲ. πρόϲκειται «βαρύτονα» διὰ τὸ χειρίϲ χειρῖδοϲ.

Περὶ τῶν εἰϲ οϲ.

Τὰ διὰ τοῦ ιοϲ διϲύλλαβα ἀρϲενικὰ τὴν ει δίφθογγον ἀποϲτρέφεται, βίοϲ, βιόϲ τὸ τόξον, δῖοϲ, Δῖοϲ τὸ κύριον, ἴοϲ ὁ μόνοϲ, ἰόϲ τοῦ ὄφεωϲ, μνιόϲ ὁ ἁπαλόϲ παρ' Εὐφορίωνι, Χῖοϲ ὁ πολίτηϲ τῆϲ Χίου. Θρῖοϲ ὄνομα ποταμοῦ, Κίοϲ ὄνομα κύριον, Πῖοϲ ὄνομα κύριον, Τίοϲ ὄνομα κύριον, Κρῖοϲ ὄνομα Τιτᾶνοϲ καὶ κριόϲ ὁ προηγούμενοϲ τῆϲ ποίμνηϲ παρὰ τὸ κεκρίϲθαι τὰϲ τρίχαϲ· διαφέρουϲι γὰρ αἱ τρίχεϲ τοῦ κριοῦ τῶν ἄλλων ζῴων. τινὲϲ δὲ λέγουϲι παρὰ τὸ κέραϲ γίνεϲθαι κεριόϲ καὶ ϲυγκοπῇ κριόϲ. οὐ καλῶϲ. κεραῖοϲ γὰρ ὤφειλεν εἶναι ὡϲ κνέφαϲ κνεφαῖοϲ, οὖδαϲ οὐδαῖοϲ. πρόϲκειται «ἀρϲενικά» διὰ τὸ νειόϲ, ὃ ϲημαίνει τὴν ἀρουραίαν γῆν. ἔϲτι δὲ θηλυκόν. ϲεϲημείωται ταῦτα· θεῖοϲ, Κεῖοϲ ὁ τῆϲ Κέω πόλεωϲ, πλεῖοϲ, μεῖοϲ, λεῖοϲ, ῥεῖοϲ, οὕτω δὲ λέγουϲιν οἱ Κύπριοι τὸν ἀϲθενῆ παρὰ τὸ ῥεῖα, ὃ ϲημαίνει τὸ εὐχερέϲ. χρεῖοϲ παρὰ τὴν χρείαν. τὸ δὲ Φλῖοϲ — ϲημαίνει δὲ τὸν Διόνυϲον· ἔϲτι δὲ καὶ ὄνομα πόλεωϲ — διφορεῖται. τινὲϲ μὲν γὰρ διὰ τοῦ ι γράφουϲιν αὐτό, τινὲϲ δὲ διὰ τῆϲ ει διφθόγγου.

Τὰ ἀπὸ τῶν εἰϲ ϲ ληγόντων ὀνομάτων μονοϲυλλάβων περιϲπωμένων διὰ τοῦ ειοϲ παραγόμενα διὰ τῆϲ ει γράφεται οἷον βοῦϲ βόειοϲ, ϲῦϲ ϲύειοϲ, μῦϲ μύειοϲ, παῖϲ παιδεῖοϲ τρόποϲ· δεῖ δὲ προϲθεῖναι μὴ ἀπὸ τῶν εἰϲ αυϲ, ἐπειδὴ ταῦτα διὰ τοῦ ι γράφεται οἷον γραῦϲ γράϊοϲ

1. 2 Choer. 242, 10 et 227, 30 et 228, 8. Cῖριϲ urbs Phoeniciae ignota sed cognita Italiae et Pannoniae Steph. B. — E. M. 209, 25 Βούϲιριϲ ὁ ἥρωϲ ὁ τῆϲ Αἰγύπτου βαϲιλεύϲ, ἀφ' οὗ καὶ ἡ πόλιϲ οὕτω καλεῖται· εἴρηται παρὰ τὸ βοῦϲ εἴρειν ὁ δυνάμενοϲ μόνοϲ ζευγνύειν δύο βοῦϲ. παρὰ τὸ βοῦϲ καὶ τὴν ϲειράν, ἵν' ᾖ ὁ ἰϲχυρὸϲ καὶ ἀνδρεῖοϲ, ὥϲτε δύναϲθαι βοῦν ἄγειν ϲειραῖϲ ὥϲπερ καὶ Λαέρτηϲ λέγεται. γράφεται δὲ διὰ τοῦ ι. ὤφειλε δὲ διὰ διφθόγγου. τὰ γὰρ εἰϲ ιριϲ ἀποϲτρέφεται τὴν ει δίφθογγον οἷον Ὄϲιριϲ ὁ Διόνυϲοϲ παρ' Αἰγυπτίοιϲ (scripsi pro παρ' αἶγα). ἔϲτι καὶ ὄνομα πόλεωϲ οὕτω λεγομένη καὶ Νεῖλοϲ, καλάϲιριϲ λινοῦν ἱμάτιον. ἶριϲ ἡ τῶν θεῶν ἄγγελοϲ. Κῖριϲ ὄνομα ποταμοῦ, Τῖριϲ ὄνομα δούληϲ, ϲῖριϲ ἢ ξῖριϲ. ποτὲ μὲν γὰρ διὰ τοῦ ϲ λέγεται, ποτὲ δὲ διὰ τοῦ ξ καὶ ποτὲ μὲν διὰ τοῦ ι γράφεται, ποτὲ δὲ διὰ διφθόγγου. κρεῖττον δὲ διὰ τοῦ ι. ϲημαίνει δὲ ἀρωματικὸν φυτόν. χωρὶϲ εἰ μὴ ἔχει τοῦτο ἀπὸ προϋποκειμένου διὰ τὸ χείρ χειρόϲ χειρίϲ. ϲημαίνει τὸ χειρομανικόν. — Choer. 221, 7 et E. M. 475, 46 τὰ εἰϲ ριϲ θηλυκὰ ῥηματικὰ διϲύλλαβα βαρύτονα ἑνὶ φωνήεντι παραλήγεται, χαίρω χάριϲ, εἴρω ἔριϲ — κυρίωϲ γὰρ ἡ μάχη ἡ διὰ λόγων γενομένη — καὶ Ἶριϲ, δαίω τὸ κόπτω δάϊϲ δῆϊϲ δῆριϲ. τὸ κουρίϲ ὃ ϲημαίνει τὸ ἐργαλεῖον τοῦ κουρέωϲ ὀξύνεται. τὸ δὲ Χαῖριϲ Χαίριδοϲ ὄνομα κύριον ἀρϲενικόν ἐϲτι. τὸ θοῦριϲ ἀπὸ τοῦ θοῦροϲ γίνεται. cf. fr. 18. l. 8 E. M. 539, 3. Choer. 191, 29; 226, 21; 263, 29; 271, 1; 275, 14. — 219, 9; 232, 3; 238, 16; 241, 18; An. Ox. I 23, 20, II 377, 30, E. M. 472, 43 cf. fr. 19 et 20. l. 23 περὶ ποϲ. 286, 3.

καὶ γρήϊος παρὰ Καλλιμάχῳ «γρήϊον εἶδος ἔχουσα» τουτέστι γραός. ναῦς νάϊος καὶ νήϊος. πρόσκειται «περισπώμενα» διὰ τὸ Τρώς Τρώϊος ἤγουν ὁ Τρωϊκός.

Τὰ ἀπὸ τῶν ἄλλων μονοσυλλάβων τῶν μὴ ληγόντων εἰς ϲ̄ διὰ τοῦ ιος παραγόμενα, μὴ σημαίνοντα μέρος σωματικὸν ἢ μετουσίαν διὰ τοῦ ῑ γράφεται οἷον νύξ νύχιος, μήν μήνιος, σκοτομήνιος, σημαίνει δὲ τὴν ἐσκοτισμένην νύκτα, Στύξ Στύγιος, Θρᾷξ Θρᾴκιος, χθών χθόνιος, Φρύξ Φρύγιος, Κάρ Κάριος. πρόσκειται «μὴ σημαίνοντα μέρος σωματικὸν» διὰ τὸ χήν χήνειος, θήρ θήρειος πούς. πρόσκειται «μὴ μετουσιαστικὰ» διὰ τὸ φλόξ φλόγειος ἤγουν ὁ μετέχων πυρός.

Τὰ διὰ τοῦ ειος σημαίνοντα μέρος σωματικὸν ἢ μετουσίαν διὰ τῆς ει διφθόγγου γράφεται· τὰ σημαίνοντα μέρος σωματικὸν οἷον ἀνθρώπειος χείρ, βουβάλειον κέρας, ἐλάφειος βύρσα, βόειος ὁπλή, χοίρειος, δόρκειος, θήρειος, γύπειος χολή, δρακόντειον αἷμα. τὸ δὲ κύριον διὰ τοῦ ῑ Δρακόντιος. λεόντειος δορά. τὸ δὲ κύριον διὰ τοῦ ῑ. μετουσιαστικὰ δὲ οἷον χάλκειος ὁ μετέχων τοῦ χαλκοῦ καὶ χρύσειος ὁ μετέχων χρυσοῦ. ἀργύρειος, σιδήρειος, δούρειος.

Πάντα τὰ εἰς ος καθαρὸν κτητικὰ ἀπὸ τῶν εἰς ρος γινόμενα μὴ ἀπὸ πόλεως παραλήγεται ἡ ει δίφθογγος οἷον ταῦρος ταύρειος, χοῖρος χοίρειος, ἄργυρος ἀργύρειος ὡς χρύσειος. τὰ γὰρ ἀπὸ πόλεως τὴν παραγωγὴν ἔχοντα διὰ τοῦ ῑ γράφεται οἷον Τύριος, Κύπριος. σεσημείωται τὸ Κάριος παρὰ τὸ Κάρ Καρός τῷ κανόνι τῶν μονοσυλλάβων.

Τὰ διὰ τοῦ ρειος ἀπὸ τῶν εἰς ρος ἐχόντων τὸ τ̄ τῆς προηγουμένης συλλαβῆς ἐχούσης τὸ ε̄ ἔχει τὸ ει διὰ τῆς ει διφθόγγου γραφόμενον οἷον ἀβέλτερος ἀβελτέρειος, ἕτερος ἑτέρειος, ἡμέτερος ἡμετέρειος. τὸ νέρτερος νερτέριος οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔχει φύσει ἐν τῇ προηγουμένῃ τοῦ τ̄ συλλαβῇ τὸ ε̄. ἐνερότερος γὰρ ἦν παρὰ τὴν ἔραν τὴν γῆν συγκοπῇ τοῦ ο̄ καὶ ἀφαιρέσει τοῦ ε̄ γίνεται νέρτερος καὶ λοιπὸν ὡς μὴ ἐχούσης φύσει ἐν τῇ προηγουμένῃ τοῦ τ̄ συλλαβῇ τὸ ε̄ οὐκ ἠκολούθησε τούτοις.

Τὰ διὰ τοῦ ιος καθαρὸν ἐχούσης τῆς παραληγούσης τὸ ρ̄, καιροῦ ὑπόνοιαν ἔχοντα, διὰ τοῦ ῑ γράφεται χωρὶς εἰ μὴ ὦσιν ἀπὸ τῶν εἰς ος οὐδετέρων οἷον καίριος ἀκαίριος, ἄωριος «πραγμάτων ἀωρίων», παναώριος «ἀλλ' ἕνα παῖδα τέκεν παναώριον» (Ω 540), ἑσπέριος, ἡμέριος, ἠέριος. εἶπον χωρὶς εἰ μὴ ὦσιν ἀπὸ τῶν εἰς ος οὐδετέρων διὰ τὸ θέρος θέρειος.

Τὰ ἀπὸ τῶν εἰς ης εἴτε περιττοσυλλάβως κλίνεται εἴτε ἰσοσυλλά-

---

l. 4 περὶ ποc. 286, 28, Choer. Orth. 191, 29, Epim. in Psalm. 5, 23, Cram. Ep. I 349, 8; 438, 20. φλόγειος habet etiam Arc. 44, 27 cf. Ep. Cr. I 40, 4; 54, 20 et 273, 28; 373, 10; 426, 26, E. M. 64, 27. l. 11 περὶ ποc. 285, 9, Choer. 185, 25; 186, 23; 196, 9; 277, 23, An. Paris. III 343, 4. l. 18 περὶ ποc. 285, 21. l. 23 Choer. 216, 16, E. M. 430, 1. l. 31 Ep. Cr. I 437, 5, E. M. 810, 18, εἶπον scripsi pro εἶπε. l. 37 E. M. 139, 42, Choer. Orth. 171,

βως, διὰ τοῦ ειος γινόμενα κτητικὰ διὰ τῆς ει διφθόγγου γράφεται, εἰ μὴ τρέπει τὸ τ εἰς c Ἰορδάνειος, Αἰςχίνειος, Ἀριςτοφάνειος, Δημοcθένειος, Ἀριςτοτέλειος, Ἀςκληπιάδειος, Ἄρης Ἄρειος, Ἡρακλῆς Ἡράκλειος, Θηρικλῆς Θηρίκλειος «Θηρίκλειον ζεῦγος». Θηρίκλειον κύλικος εἶδος, ἐπιτηδής ἐπιτήδειος. πρόςκειται «χωρὶς εἰ μὴ τρέπει τὸ τ εἰς c» διὰ τὸ ἱκέτης ἱκέσιος, δεςπότης δεςπόςιος, ςυμπότης ςυμπόςιος.

Τὰ ἀπὸ τῶν εἰς ευς ὑπὲρ μίαν ςυλλαβὴν διὰ τοῦ ειος παραγόμενα διὰ τῆς ει γράφεται οἷον Ὀδυςςεύς Ὀδύςςειος, Ἀχιλλεύς Ἀχίλλειος, βαςιλεύς βαςίλειος. καὶ τὸ κύριον δὲ ὄνομα διὰ τῆς ει διφθόγγου γράφεται.

Τὰ ἀπὸ τῶν εἰς ις διὰ τοῦ ειος γινόμενα πρὸ μιᾶς ἔχοντα τὸν τόνον διὰ τῆς ει διφθόγγου γράφεται, δῆρις δηρεῖος καὶ τροπῇ Δαρεῖος οἱονεὶ ὁ πολεμικός. Ἧτις ὄνομα πόλεως καὶ Ἡτεῖος ὁ πολίτης, μάντις μαντεῖος ὁ Ἀπόλλων. ἔφορος γὰρ τῆς μαντείας. πρόςκειται «πρὸ μιᾶς ἔχοντα τὸν τόνον», ἐπειδὴ ἀπὸ τοῦ μάντις γίνεται κύριον Μάντιος.

Τὰ ἀπὸ τῶν εἰς ωρ, εἰ μὲν τρέπει τὸ ω, διὰ τῆς ει διφθόγγου γράφεται διὰ τὸ εἶναι κτητικὰ οἷον Νέςτωρ Νεςτόρειος «Νεςτορέῃ παρὰ νηΐ» (Β 54)· εἰ δὲ φυλάττει τὸ ω, διὰ τοῦ ι οἷον πέλωρ πελώριος, ἔλωρ ἑλώριος.

Αἱ γενικαὶ αἱ εἰς τος λήγουςαι τὰ κτητικὰ διὰ τῆς ει διφθόγγου cχηματίζουςιν οἷον Αἴαντος Αἰάντειος, Θόαντος Θοάντειος, Βύζας Βύζαντος Βυζάντειος τὸ κτητικὸν Βυζαντίου, Βυζάντιος δὲ τὸ ἐθνικόν. Ἄβας Ἄβαντος Ἀβάντειος τὸ κτητικὸν ἢ τοῦ κυρίου ἢ τῶν Ἀβάντων. τὸ δὲ Ὑάντιος ὡς ἐθνικὸν ςυνέςτειλεν Ἀπολλώνιος ἐν τῷ «Ὑαντίου Ὀγχηςτοῖο» (Arg. III 1241) ἢ παρὰ λόγον ὡς «Ποιάντιον ἀγλαὸν υἱόν» (Od. γ 190) καὶ παρὰ τὸ Ἀπέςας Ἀπεςάντειος ἔμελλεν εἶναι ὥςπερ Αἴας Αἴαντος Αἰάντειος, ἀλλὰ λέγεται Ζεὺς Ἀπεςάντιος.

Πάντα τὰ εἰς ιος κτητικὰ ἀπὸ πρωτοτύπων εἰς τος γινόμενα, εἰ μεταβάλλει τὸ τ εἰς c, διὰ τοῦ ι γράφεται οἷον ἄμβροτος ἀμβρόςιος, ἀκήρατος ἀκηράςιος, ἐνιαυτός ἐνιαύςιος, πλοῦτος πλούςιος. εἰ δὲ φυλάττει τὸ τ, διὰ τῆς ει διφθόγγου γράφεται οἷον Καλλίςτρατος Καλλιςτράτειος, Ἀρχέςτρατος Ἀρχεςτράτειος. παράλογον δὲ τὸ «Αἰπύτιον παρὰ τύμβον» (Β 604). δεῖ προςθεῖναι «εἰ μὴ ἐθνικὰ εἴη». ταῦτα δὲ

29; 217, 2; 256, 22; 209, 10; Ep. Cr. I 36, 24, An. Ox. II 363, 30. l. 7 Choer. 185, 17, περὶ ποc. 286, 13. l. 11 E. M. 248, 31, Choer. 216, 25. l. 17 Ep. Cr. I 333, 11, pro διὰ τοῦ ιος κτητικὰ scripsi διὰ τὸ εἶναι κτητικά. περὶ ποc. 285, 27, Choer. 208, 32; 241, 26; E. M. 660, 41, E. Gud. 458, 49. l. 21 περὶ ποc. 285, 29; Steph. B. s. Βυζάντιον et Ἀβαντίc collato Eustath. ad Dionys. 803 cf. Lobeck. ad Ai. p. 113, de Ἀπέςας quae dedi sunt ex Choer. Dict. 39, 14 coll. Steph. B. 104, 16. l. 29 περὶ ποc. 287, 30, E. M. 80, 42, Ep. Cr. I 1, 16, An. Ox. II 320, 4, Eustath. ad Dionys. 803 Αἰπύτιον τύμβον comparat cum Ποιάντιον υἱόν.

κἂν τὸ τ̄ φυλάττῃ, διὰ τοῦ ῑ γράφεται οἷον Βοιωτός Βοιώτιος, Αἴγυπτος Αἰγύπτιος.

Τὰ ἀπὸ τῶν εἰς ων βαρυτόνων διὰ τοῦ ντ διὰ τῆς ει διφθόγγου γράφεται λέων λεόντειος δορά κτλ. fr. 39.

Τὰ ἀπὸ τῶν εἰς ων ὀξυτόνων διὰ τοῦ ιος παραγόμενα κτητικὰ διὰ τοῦ ῑ γράφεται οἷον Παφλαγών Παφλαγόνος Παφλαγόνιος, Καλυδών Καλυδῶνος Καλυδώνιος, χθών χθονός χθόνιος.

Τὰ ἀπὸ τῶν εἰς ος οὐδετέρων παραγόμενα ἀρσενικά, εἰ μὲν τὸ ᾱ παραλήγοιτο, διὰ τοῦ ῑ σχηματίζεται οἷον ἄγος ἅγιος, θάλπος θάλπιος, πέλαγος πελάγιος. εἰ δὲ μὴ παραλήγοιτο τὸ ᾱ, διὰ τῆς ει διφθόγγου γράφεται οἷον τέλος τέλειος, ὄρος ὄρειος, εἶδος εἴδειος, ἕρκος ἕρκειος, ἦθος ἠθεῖος, κῆδος κήδειος. σεσημείωται τὸ τέμενος τεμένιος, διὰ τοῦ ῑ γραφόμενον, ἵνα μὴ εὑρεθῇ τὸ ε̄ ἀλλεπάλληλον ἐν τρισὶ συλλαβαῖς.

Τὰ παρὰ τὸ γέα διὰ τῆς ει διφθόγγου γράφεται οἷον βαθύγειος, εὔγειος, ἔγγειος, μεσόγειος, κατώγειος, ὑπόγειος, ἀνώγειος, γέγειος ὁ ἀρχαῖος. ἀπὸ γὰρ τοῦ γέα γέγονε γέειος διὰ τῆς ει διφθόγγου καὶ κατὰ πλεονασμὸν τοῦ γ̄ γέγειος.

Τὰ κτητικὰ τὰ ὑπὲρ δύο συλλαβὰς ἔχοντα μακρὰν τὴν παραλήγουσαν οὐδέποτε διὰ τοῦ ῑ γράφεται, ἀλλὰ διὰ διφθόγγου οἷον Αἰάντειος, κύνειος, αἴγειος, ἀνθρώπειος, Ἀργεῖος.

Τὰ διὰ τοῦ ιος τρισύλλαβα βαρύτονα ἔχοντα ἐν τῇ πρώτῃ συλλαβῇ τὸ α, μεθ' ὃ ἐπιφέρεται δύο σύμφωνα ἢ καὶ πλείονα, διὰ τῆς ει διφθόγγου γράφεται οἷον Καδμεῖος, Βακχεῖος, ἀστεῖος, ἀγρεῖος ὁ ἄγροικος. ἐπὶ γὰρ τοῦ ἀνημέρου ἄγριος προπαροξυτόνως διὰ τοῦ ῑ· χωρὶς τοῦ ἀντίος. τοῦτο γὰρ βαρύτονόν ἐστι καὶ ἔχει ἐν τῇ πρώτῃ συλλαβῇ τὸ ᾱ, μεθ' ὃ ἐπιφέρεται δύο σύμφωνα· τὸ δὲ Ἄμφιος καὶ Ἄγριος καὶ Βάκχιος καὶ Μάντιος οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔστι προπερισπώμενα, ἀλλὰ προπαροξύτονα.

Τὰ διὰ τοῦ ειος τρισύλλαβα πρὸ μιᾶς τὸν τόνον ἔχοντα καὶ ἐν τῇ κατ' ἀρχὴν συλλαβῇ τὸ ᾱ μακρὸν διὰ τῆς ει διφθόγγου γράφεται πλὴν τοῦ ἀντίος οἷον Καδμεῖος, Βακχεῖος, ἀνδρεῖος. οὕτω καὶ Δαρεῖος.

l. 5 An. Ox. II 321, 31. l. 8 περὶ ποc. 288, 12 et 283, 5, An. Par. III 326, 6, unde verba ἵνα μὴ usque ad finem recepi pro iis, quae in libro περὶ ποc. leguntur: ἀπὸ τοῦ τεμενικός λεγόμενον ἄλλως τε καὶ τόπου δηλωτικόν, nam Herodianum propter epallelian τεμένιος dictum esse testatur Eustath. 149, 1 (Cr. An. Ox. III 398) ὁ τεμένιος δέον ὂν διφθόγγῳ παραλήγεσθαι κατὰ τὸν κανόνα τοῦ κήτειος, κήδειος, ἐπιτήδειος καὶ τῶν ὁμοίων, ἵνα μὴ ἐπάλληλα εἴη τὰ τρία ε̄, ἐγράφη διὰ τοῦ ῑ. Σοφοκλῆς (Oed. T 756) «τεμενίαν τε φυλλάδα». — Choer. 268, 19; 216, 29; 233, 19; 246, 21, Ep. in Psalm. 33, 16, E. M. 422, 18, Il. Pr. Φ 471, Lob. ad Ai. p. 119. l. 15 Choer. 178, 22; 189, 31; 214, 5, Choer. Ep. in Psalm. 5, 20. l. 19 Choer. 173, 33 huc referendum est etiam ψώγειος Choer. 279, 26 cf. Hes. s. v. l. 22 περὶ ποc. 284, 6, Choer. 173, 26, Βάκχιος et Μάντιος addidi ex Arc. 41, 29, Theogn. 58, 24. — E. M. 248, 31, Ep. Cr. I 8, 5, Choer. Ep. in Psalm. 123, 21, An. Ox. II 319, 1 et 351, 26, An. Par. III 327, 14. l. 30 Choer. 195, 31.

Τὰ εἰς ος καθαρὸν ὑπὲρ δύο cυλλαβὰς ὄντα, μὴ ὄντα κύρια μήτε πρὸς ἀντιδιαςτολὴν ἑτέρου cημαινομένου τονωθέντα διὰ τῆς ει διφθόγγου γράφεται οἷον ἀγρεῖος, Ἀργεῖος τὸ ἐθνικόν. Ἀρνεῖος ὁ μήν, ἀχρεῖος. τοῦτο δὲ οἱ Ἀττικοὶ προπαροξύνουςι. ἠθεῖος· cημαίνει δὲ φιλοφρόνηςιν ἀπὸ νεωτέρου πρὸς παλαιότερον. πρόςκειται «μὴ πρὸς ἀντιδιαςτολὴν ἑτέρου cημαινομένου τονωθέντα» διὰ τὸ μύριος καὶ νύμφιος. τὸ γὰρ νυμφίος ὁ γαμετὴς παροξύνεται, τὸ δὲ κτητικὸν ὁ νύμφιος οἶκος προπαροξύνεται. τὸ δὲ μυρίος πρὸς ἀντιδιαςτολὴν τοῦ μύριος παροξύνεται. cημαίνει δὲ παροξύτονον ἀόριςτον πληθύν, τὸ δὲ προπαροξύτονον τὸν ἀριθμόν.

Τὰ διὰ τοῦ ειος ὀνόματα ποταμῶν δίφθογγον ἔχει, Πηνειός, Ἀλφειός, Cπερχειός, Ὀλμειός πλὴν τοῦ Μηνιός.

Τὰ διὰ τοῦ ειος κύρια ὀξύτονα τριςύλλαβα διὰ τῆς ει διφθόγγου γράφεται οἷον Πηνειός, Ἀρνειός, Ἀλφειός, Cπερχειός, Ὀλμειός, Ἐπειός.

Τὰ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιος γινόμενα, ἡνίκα προπαροξύνεται, διὰ τοῦ ῑ γράφεται, οἷον ὀρθός ὄρθιος, λοῖςθος λοίςθιος, κάπρος κάπριος, Αἰτωλός Αἰτώλιος, Κάϋςτρος Καΰςτριος «Καϋςτρίου ἀμφὶ ῥέεθρα» (Β 46), αἰζηός αἰζήϊος, ὅμοιος ὁμοίιος, γελοῖος γελοίιος, ἡνίκα δὲ ὀξύνεται, διὰ τῆς εῑ διφθόγγου οἷον θαμειός, ἀδελφειός, ἀρνειός.

Τὰ διὰ τοῦ ιος κύρια ὑπὲρ τρεῖς cυλλαβὰς ὄντα ὡς ἐπὶ τὸ πλεῖςτον διὰ τοῦ ῑ γράφεται χωρὶς τῶν παρὰ τὸ κλέος καὶ τῶν ἀπὸ τῶν εἰς ευς οἷον Θεοδόςιος, Ἀθανάςιος, Ἀςτέριος, Ἀμβρόςιος, Ταλθύβιος. πρόςκειται «ὑπὲρ τρεῖς cυλλαβὰς» διὰ τὸ Ἐπειός καὶ Δαρεῖος καὶ Ἀρνεῖος τριςύλλαβα. πρόςκειται «κύρια» διὰ τὰ κτητικὰ Ἀριςτάρχειος, Ἡροδότειος βίβλος. πρόςκειται «χωρὶς τῶν παρὰ τὸ κλέος καὶ τῶν ἀπὸ τῶν εἰς ευς», ἐπειδὴ ταῦτα διὰ τῆς εῑ διφθόγγου γράφεται οἷον Ἡρακλῆς Ἡράκλειος, Ἀνδροκλῆς Ἀνδρόκλειος, Cοφοκλῆς Cοφόκλειος, Ἀχιλλεύς Ἀχίλλειος, βαςιλεύς Βαςίλειος. πρόςκειται «ὡς ἐπὶ τὸ πλεῖςτον», ἐπειδή ἐςτί τινα ὀνόματα κύρια ὑπὲρ τρεῖς cυλλαβάς, ἅτινα διὰ τῆς εῑ διφθόγγου γράφεται, καὶ οὔτε παρὰ τὸ κλέος εἰςὶν οὔτε ἀπὸ τῶν εἰς ευς οἷον Νυττέρειος, ἔςτι δὲ ὄνομα λιμένος. Πεδεύκειος ὄνομα ἀνδρός, Δαρδανειός ὄνομα ποταμοῦ.

l. 1 περὶ ποc. 284, 15, An. Paris. l. c. Arc. 41, 21. l. 11 περὶ ποc. 284, 27, Choer. 172, 14; de Μηνιός cf. Fritzschium ad Theocr. XXV 15, Pausan. 5, 1, accentus ex hoc loco pro Μήνιος exhibendus est Μηνιός. l. 13 Choer. 210, 11 nomen Δεινειός post Ὀλμειός omisi, ex Πηνειός male repetitum videtur.
l. 15 Ep. Cr. I 199, 26, Κάϋςτρος Καΰςτριος addidi ex p. 235, 29. Similis canon recurrit p. 101, 14, An. Ox. II 319, 25; 368, 2, An. Par. III 322, 15 cf. St. B. s. φῦλον: ἔμφυλος ἐμφύλιος ὡς Βοιωτός Βοιώτιος καὶ κάπρος κάπριος καὶ Πάμφυλος Παμφύλιος. l 20 περὶ ποc. 292, 8, pro Προκόπιος, Γεώργιος, Ἀναςτάςιος posterioris aevi nominibus substitui ex Steph. B. 167, 9 Θεοδόςιος, Ἀθανάςιος, Ἀμβρόςιος. Pro Αἰπεῖος scripsi Ἐπειός, pro Ἀργεῖος Ἀρνεῖος. De andronymicis in ειος cf. Lob. ad Ai p. 115, qui tria tantum Βαςίλειος Ἡράκλειος Ἄρειος (cf. Ep. in Psalm. 5, 30) exstare pertendit, sed ex hoc loco apparet plura nomina huius generis in usu fuisse atque fortasse nomen patronymici characteris Ἀχιλλείδης ab Ἀχίλλειος hoc loco rotato repetitum est. Nimis breviter canon conceptus et in Ep. Cr. I 406, 8, E. M. 746, 19, unde Ταλθύβιος recepi.

Τὰ διὰ τοῦ διος ὑπὲρ δύο συλλαβὰς μὴ μετουσιαστικὰ παρηγμένα διὰ τοῦ ῑ γράφεται οἷον Ῥοδίος, Cχεδίος, Ὀδίος. ἴδιος, ἀΐδιος, μαψίδιος, παυρίδιος, ἁρμόδιος, Κνίδιος, Ῥόδιος, ἐρῳδιός καὶ τὰ λοιπά. πρόσκειται «μὴ ὄντα μετουσιαστικά» διὰ τὸ κνίδειος καρπός καὶ σίδειος κλάδος.

Τὰ ἀπὸ τῶν εἰς αν ὑπὲρ μίαν συλλαβὴν ὄντα διὰ τοῦ ιος παραγόμενα διὰ τοῦ ῑ γράφεται οἷον Τιτάν Τιτάνιος, Παιάν Παιάνιος. τούτῳ τῷ λόγῳ καὶ Ἀλκμάν Ἀλκμάνιος ὤφειλεν εἶναι διὰ τοῦ ῑ· ἀλλ' ἔστιν Ἀλκμάνειος, ἐπειδὴ τὰ ἐπὶ πραγματειῶν διὰ διφθόγγου γράφεται οἷον Ἀλκμάνειος, Μενάνδρειος, Ἀριστοφάνειος, Εὐριπίδειος. πρόσκειται «ὑπὲρ μίαν συλλαβὴν» διὰ τὸ Πάν Πανός Πάνειος.

Τὰ ἀπὸ τῶν εἰς ην ὑπὲρ μίαν συλλαβὴν ὄντα διὰ τοῦ ιος παραγόμενα διὰ τοῦ ῑ γράφεται οἷον γέρην γερήνιος ὁ ἔντιμος (?), Ἕλλην Ἑλλήνιος ὁ Ἑλληνικός. τὸ δὲ αὐχήν ὁ τράχηλος αὐχένιος διφορεῖται καὶ διὰ τοῦ ῑ καὶ διὰ τῆς ει διφθόγγου γραφόμενον. πρόσκειται «ὑπὲρ μίαν συλλαβὴν» διὰ τὸ χήν χήνειος πούς. τὸ γὰρ μήν μήνιος διὰ τοῦ ῑ γραφόμενον ὑπάγεται τῷ κανόνι τῶν μὴ ληγόντων εἰς ς̄ μονοσυλλάβων.

Τὰ ἀπὸ τῶν εἰς ιν διὰ τοῦ ιος παραγόμενα διὰ τοῦ ῑ γράφεται οἷον δελφίν δελφίνιος, Ἐλευσίν Ἐλευσίνιος, Τραχίν Τραχίνιος.

Τὰ διὰ τοῦ ονιος καὶ ωνιος ὑπὲρ δύο συλλαβὰς μὴ σημαίνοντα μέρος σωματικὸν μήτε κτητικὰ ἀπὸ τῶν εἰς ων βαρυτόνων διὰ τοῦ ῑ γράφεται Μακεδόνιος, δαιμόνιος, Cαρπηδόνιος, Ἑλικώνιος, Κιθαιρώνιος, Μαραθώνιος καὶ τὰ ὅμοια. πρόσκειται «μὴ ὄντα μετουσιαστικὰ» διὰ τὸ χελώνειος καὶ χελώνειος οὐρά. πρόσκειται «μήτε κτητικά» διὰ τὸ Θεώνειος, Τρυφώνειος. σεσημείωται τὸ Ἀπολλώνιος καὶ Ἀμμώνιος.

Τὰ ἀπὸ τῶν εἰς ξ ἢ εἰς ψ ἢ εἰς ρ̄ διὰ τοῦ ιος παραγόμενα διὰ τοῦ ῑ γράφεται, Φαιάκιος, Κιλίκιος, Θρῄκιος, Ναρύκιος, Βεβρύκιος, Ἀράβιος, Πελόπιος, ἀέριος, αἰθέριος, σωτήριος, ὀλετήριος, μακάριος. τὸ δὲ σμιλάκειος μετουσιαστικὸν καὶ τὸ περδίκειος «περδίκειον κάρα» ἐπὶ μέρους σωματικοῦ.

Τὰ διὰ τοῦ ιος ἀπὸ τῶν εἰς ος δισυλλάβων ὀξυτόνων μακρᾷ παραληγομένων παραγόμενα διὰ τοῦ ῑ γράφεται οἷον Μυσός Μύσιος, Λυδός

l. 1 Theogn. 54, 20 coll. Arc. 39, 15 omisi post μετουσιαστικά verba ἢ ἀπὸ ῥήματος et in fine πρόσκειται «μὴ ἀπὸ ῥήματος» διὰ τὸ ἐπιτηδεύω ἐπιτήδειος διὰ τῆς ει διφθόγγου γραφόμενον, quia Choer. 209, 10 ἐπιτήδειος rectius ab ἐπιτηδής repetere videtur. l. 6 περὶ ποc. 287, 3 cf. Ep. Cr. I 101, 21 et An. Ox. II 322, 18. l. 12 περὶ ποc. 287, 10. l. 18 περὶ ποc. 287, 17. l. 20 Theogn. 55, 1 coll. Arc. 39, 22 et fr. 39. l. 26 Arc. 40, 5, Theogn. 55, 29, περὶ ποc. 287, 24, Ep. Cr. I 183, 21, E. M. 65, 26; 421, 22, An. Ox. II 327, 21, de πελώριος, ἐλώριος cf. supra; praecipuus canon de nominibus a nominibus in ηρ derivatis exstat in An. Ox. II 323, 22: τὰ ἀπὸ τῶν εἰς ηρ ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ ιος γινόμενα διὰ τοῦ ῑ γράφεται οἷον συντακτήρ συντακτῆρος συντακτήριος, ἀστήρ ἀστέρος ἀστέριος, ὀλετήρ ὀλετῆρος ὀλετήριος, σωτήρ σωτῆρος σωτήριος· πρόσκειται «ὑπὲρ μίαν συλλαβὴν» διὰ τὸ θήρ θηρός θήρειος (pro θήριος).
l. 31 περὶ ποc. 287, 20, Ep. Cr. I 58, 30; 443, 10, An. Ox. II 380, 9.

Λύδιος, βωμός βώμιος, ῥυθμός ῥύθμιος. cεcημείωται τὸ χάλκειος καὶ χρύcειος μετουcιαcτικά.

Τὰ εἰc ιοc ἐθνικὰ προπαροξύτονα διὰ τοῦ ῑ γράφεται οἷον Πύλιος, Φρύγιος, Δήλιος, Ῥόδιος. τὸ δὲ Ἀργεῖος καὶ Ἠλεῖος οὐκ ἐναντιοῦνται, προπεριcπώμενα γάρ.

Τὰ εἰc cιοc διὰ τοῦ ῑ γράφεται οἷον ἀcπάcιος, Ταράcιος, ἀμβρόcιος, ἱκέcιος, ἀνάρcιος, Ἐφέcιος, Cυρακόccιος: ὁμοίως καὶ τὰ ἐπὶ τῶν ἀριθμῶν διακόcιοι, τριακόcιοι, πεντακόcιοι. τὸ δὲ χρύcειος μετουcιαcτικόν.

Τὰ διὰ τοῦ τιοc διὰ τοῦ ῑ γράφεται οἷον Ὑπάτιος, Εὐcτράτιος, Ἀέτιος, Φιλοίτιος, Μενοίτιος, ὑcτάτιος, ὀccάτιος. τὸ δὲ ἐλάτειος μετουcιαcτικὸν καὶ τὸ γερόντειος καὶ Ἀχερόντειος κτητικά. τοῦτο δὲ διὰ τὸ μέτρον ἔφη Ἀριcτοφάνης (Ran. 471) «Ἀχερόντιος δὲ cκόπελος αἱματοcταγής» ὁμοίως τῷ «Ποιάντιον ἀγλαὸν υἱόν» (Od. γ 190) καὶ τῷ «Αἰπύτιον παρὰ τύμβον» (B 604).

Τὰ διὰ τοῦ ϊοc πρὸ τοῦ ῑ η ἢ ῳ ἔχοντα διὰ τοῦ ῑ γράφεται, νήϊος, βαcιλήϊος, Ἰλιήϊος, Κώϊος, πατρώϊος, ἡρώϊος, Τρώϊος, Μινώϊος, Λητώϊος.

Τὰ διὰ τοῦ λιοc τριcύλλαβα κἂν τε ἐθνικὰ ᾖ κἂν τε κύρια, διὰ τοῦ ῑ γράφεται, φαλιός, cκολιός, λαλιός, βαλιός, πολιός. Βαλίος, Ἄλιος. τὸ δὲ μήλειος μετουcιαcτικόν.

Τὰ εἰc λιοc ὑπερτριcύλλαβα διὰ τοῦ ῑ γράφεται, ἐνάλιος, Δαcάλιος, θεμέλιος, ἠέλιος, καμήλιος, Ταργήλιος, ἀπατήλιος, Αἰτώλιος, ἀποφώλιος. τὸ δὲ ἀμπέλειος μετουcιαcτικόν.

Τὰ ἀπὸ τῶν εἰc νοc ἐχόντων ἔννοιαν τοπικὴν διὰ τοῦ ιοc παραγόμενα διὰ τοῦ ῑ γράφεται οἷον Αἶνος Αἴνιος, Δάρδανος Δαρδάνιος.

Τὰ παρὰ μέλλοντα διὰ τοῦ ιοc γινόμενα διὰ τοῦ ῑ γράφεται, Ὀρθώcιος, ἀcπάcιος, φυλάξιος, πληcίος, δεξιός, ἀνεψιός.

Τὰ διὰ τοῦ ιοc τριcύλλαβα, εἰ ἔχοι ῡ ἐν τῇ πρώτῃ cυλλαβῇ, διὰ τοῦ ῑ γράφεται, Cύριος, Τύριος, Κύπριος, νύχιος, Cτύγιος, Μύcιος, Πύθιος, δύϊος, κύκλιος, μύριος καὶ μυρίος, νύμφιος καὶ νυμφίος.

---

l. 3 περὶ ποc. 288, 22, pro Δηλεῖοc scripsi Ἠλεῖοc. l. 6 Theogn. 56, 25, unde E. M. 80, 35 derivatum est. Arc. 40, 18. An. Ox. II 324, 16. l. 10 Theogn. 57, 1, Arc. 40, 18. Steph. B. s. Ἀχέρων et Ἀβαντίc. l. 16 Theogn. 57, 7, Arc. 40, 23. l. 19 Theogn. 57, 31, Arc. 41, 1, περὶ ποc. 288, 5. l. 22 Theogn. 57, 18, Arc. l. c. In E. M. 33, 30 canon sic conversus est: αἰθάλειοc: τὰ ἀπὸ τῶν εἰc λοc βαρυτόνων ὑπὲρ δύο cυλλαβὰc μὴ ὄντα ἐθνικὰ διὰ τῆc ει διφθόγγου γράφονται, Αἴολοc Αἰόλειοc [ὁ ποικίλοc]. [αἴθαλοc αἰθάλειοc, cημαίνει δὲ τὸν καπνὸν]. δαίδαλοc ὁ ποικίλοc δαιδάλειοc, μέγαλοc μεγάλειοc [ὡc ἀπὸ τοῦ μεγάλεοc]. βαρύτονα πρόcκειται διὰ τὸ ὀμφαλόc ὀμφάλιοc. μὴ ἐθνικὰ διὰ τοῦ Μαίναλοc Μαινάλιοc (pro Εὐδαμόλιοc). De hoc loco disseruit Lob. Proll. p. 101, ubi αἰόλειοc significare ποικίλοc et μεγάλειοc ex μεγάλεοc ortum negat. Dubium est etiam, num αἴθαλοc αἰθάλειοc proposuerit Herodianus, quum in Mon. 4, 12 et ap. Arcad. 39 δαιδάλεοc et κονιcάλεοc tantum excipiat ex nominibus in αλεοc ut proparoxytona et αἰθαλέοc scribendum indicasse videtur. l. 25 An. Ox. II 322, 27. l. 27 Theogn. 58, 1, E. M. 635, 41, Arc. 41, 12. l. 29 Theogn. 58, 6, Arc. 41, 16.

Τυχίοc, Φρυγίοc, Πλυτίοc, Κλυτίοc, Cκυφίοc κύρια. τὸ δὲ κύκνειοc μέροc cώματοc cημαίνει.

Τὰ διὰ τοῦ ῑοc παρ' ἐπιρρήματα γινόμενα διὰ μόνου τοῦ ῑ γράφεται, ὄψιοc, πρώϊοc, cτάδιοc παρὰ τὸ cταδόν, ἀμφάδιοc, ἐκτάδιοc, ὀπιcθίδιοc, ῥηΐδιοc, ἀντίοc.

Τὰ εἰc ῑοc τριcύλλαβα κύρια ἔχοντα τὴν τρίτην μακρὰν διὰ τοῦ ῑ γράφεται, Μούλιοc, Βάκχιοc, Ἑρχίοc.

Τὰ διὰ τοῦ ιοc ἐπὶ ἀλόγων ζῴων, μὴ ὄντων τετραπόδων διὰ τοῦ ῑ γράφεται οἷον ἐρῳδιόc, βομβυλιόc, χαραδριόc, αἰγυπιόc, κωβίοc, cκορπίοc. πρόcκειται «μὴ ὄντα ἐπὶ τετραπόδων» διὰ τὸ ἀρνειόc, cημαίνει δὲ τὸν ἄρνα. γέγονε δὲ οὕτωc· ἀρὴν ἀρῆνοc καὶ κατὰ cυγκοπὴν ἀρνόc καὶ μετάγεται αὕτη ἡ γενικὴ εἰc εὐθεῖαν οἷον ἀρνόc κατὰ πλεοναcμὸν τῆc ει γίνεται ἀρνειόc ὡc ἀμνόc ἀμνειόc, ἀδελφόc ἀδελφειόc.

Τὰ διὰ τοῦ φιοc κύρια διὰ τοῦ ῑ γράφεται, Ἄμφιοc, Cκυφίοc, Cόφιοc, Cτρόφιοc, Χρυcάφιοc χωρὶc τοῦ Ἀλφειόc.

Τὰ διὰ τοῦ ιcιοc διὰ τοῦ ῑ γράφεται, Χαρίcιοc, Ἀφροδίcιοc, Ἀρτεμίcιοc πλὴν τοῦ Ἀρκείcιοc, Cιμοείcιοc.

Τὰ διὰ τοῦ ινδοc εἴτε διcύλλαβα εἴτε ὑπὲρ δύο cυλλαβὰc διὰ τοῦ ῑ γράφεται οἷον Ἰνδόc, Ἄλινδοc, Ἴcινδοc πόλιc Μακεδονίαc, Ἄρινδοc ὄνομα ποταμοῦ.

Τὰ εἰc θοc οὐ θέλει τῇ ει διφθόγγῳ παραλήγεcθαι οἷον ἔριθοc, λέκιθοc, Λάπιθοc, Προβάλινθοc, πίθοc.

Τὰ εἰc ῑκοc ὀξύτονα κτητικὰ διὰ τοῦ ῑ γράφεται οἷον Ὁμηρικόc, δουλικόc, βαcιλικόc, δεcποτικόc πλὴν τοῦ βοεικόc, Δαρεικόc, Δεκελεικόc, Κεραμεικόc. τὸ δὲ ὑεικὸν δέρμα παρὰ Ἀξιονίκῳ ἡμάρτηται. οὐδέποτε γὰρ λέξιc cημαίνουcα μέροc cώματοc ἔχει εἰc κον κτητικόν, ἀλλὰ διὰ καθαροῦ τοῦ ον· οὐ γὰρ λέγομεν χοιρικὸν κέραc, ἀλλὰ χοίρειον οὐδὲ ἀνθρωπικὸc πούc, ἀλλ' ἀνθρώπειοc. οὕτωc οὖν οὐ δεῖ λέγειν ὑεικόν, ἀλλὰ ὕειον δέρμα.

Τὰ εἰc ῑκοc εἴτε κύρια εἴτε προcηγορικά, μὴ κτητικῆc ἐννοίαc ἐχόμενα, διὰ τοῦ ῑ γράφεται· καὶ ῑ μακρῷ μὲν παραλήγεται ταῦτα. Εὔνικοc,

l. 3 περὶ ποc. 288, 22, Theogn. 58, 16, Arc. 41. 24 cf. E. M. 40, 18 τὰ ἀπὸ ἀπτώτων διὰ τοῦ ιοc γινόμενα ὀνόματα ὑπὲρ δύο cυλλαβὰc διὰ τοῦ ῑ γράφεται, ἀρκῶ ἄρκιοc, αἰτῶ αἴτιοc, An. Ox. II 320, 30, ubi adduntur ἁρμόζω ἁρμόδιοc, πλήccω πλάγιοc. l. 6 Theogn. 58, 22, Arc. 41, 28. l. 8 περὶ ποc. 293, 17, Arc. 42, 1, Choer. Orth. 168, 22; 174, 32, E. M. 195, 53 et 146, 33. l. 14 περὶ ποc. 293, 20; de Ἄμφιοc Choer. Orth. 168 et in E. M. 92, 42. l. 16 περὶ ποc. 293, 26, E. M. 114, 20, Choer. Orth. 172, 1; 276, 18. l. 18 Theogn. 54, 5.

l. 21 Choer. 248, 25; 237, 15; 248, 29; 229, 22, ubi de κακῖθοc (hoc accentu, quum primo loco κάκιθοc scriptum sit) agitur, quod vocabulum omisi, quia perversa pronunciatione ex κακηθόc ap. Arc. 49, 25 ortum videtur. Theogn. 58, 30. l. 22 pro Προβάλιθοc scripsi Προβάλινθοc. l. 23 Theogn. 59, 7, περὶ ποc. 286, 25, Choer. Orth. 186, 17, 183, 15 et 31; 186, 4; 193, 13; 196, 6; 233, 17, Arc. 52, 1 seqq. ὑεικόc recepi ex Choer. 270, 15 coll. E. M. 775, 30.
l. 30 Theogn. 59, 30, Arc. 51, 23, Choer. Orth. 187, 25; 201, 17; 228, 21.

Καΐκοc, Γρήνικοc, Φιλόνικοc, Ἑλλάνικοc, Ἀριcτόνικοc, Καμικόc, Παλικόc. cυνεcταλμένῳ τῷ ῑ παραλήγεται, ἀνθέρικοc, Κύζικοc, Ὤρικοc, Ἀcφόδικοc, Ὅρικοc, Cίνδικοc, Νήρικοc, Θορικόc.

Τὰ εἰc ῑκοc cύνθετα ὀνόματα παρὰ τὴν νίκην γινόμενα διὰ τοῦ ῑ γράφεται οἷον Καλλίνικοc, Ἐπίνικοc, Cτρατόνικοc. τὸ φιλόνικοc ἐπὶ τοῦ τὴν νίκην φιλοῦντοc. τὸ δὲ φιλόνεικοc διὰ τῆc ει διφθόγγου γραφόμενον παρὰ τὸ νεῖκοc ἐγένετο. καὶ τὸ προύνεικοc δὲ διὰ διφθόγγου γράφεται· cημαίνει δὲ τοὺc ὑβριcτὰc καὶ τοὺc ἄνδραc ἱcταμένουc ἐν ταῖc ἀγοραῖc καὶ φέρονταc τὰ ὤνια καὶ λαμβάνονταc ὑπὲρ τούτων μιcθόν. εἴτε δὲ τοὺc ὑβριcτὰc cημαίνει εἴτε τοὺc ἄλλουc, διὰ τῆc ει διφθόγγου γράφεται. καὶ ἐπὶ μὲν τῶν ὑβριcτῶν, ἐπειδὴ παρὰ τὴν πρό πρόθεcιν καὶ τὸ νεῖκοc γέγονε πρόνεικοc, τὸ δὲ νεῖκοc διὰ τῆc ει διφθόγγου γράφεται· εἰ δὲ τοὺc ἄλλουc cημαίνει, ἐπειδὴ παρὰ τὴν πρό πρόθεcιν καὶ τὸ ἐνείκω Βοιωτιακὸν γέγονε προένεικοc καὶ κατὰ κρᾶcιν τοῦ ō καὶ ε̄ εἰc τὴν ου δίφθογγον προὔνεικοc ὥcπερ τὸ ἐμόν τοὐμόν.

Οὐδεὶc μὴν Μακεδόνων τὴν ει δίφθογγον ἔχει ἐν παρατελεύτῳ, διὸ Ξανθίαc ὁ μὴν διὰ τοῦ ῑ.

Πάντα τὰ εἰc cκοc κύρια ἢ ὑποκοριcτικὰ διὰ τοῦ ῑ γράφεται, κορακίcκοc, cτυλίcκοc, παιδαρίcκοc, χιτωνίcκοc. οὐδέποτε γὰρ τὰ cκ ἐν cυλλήψει ἔχοντα ἔχει τὴν ει δίφθογγον προηγουμένην κτλ. cf. supra p. 430, 6.

Πάντα τὰ εἰc ιλοc ἔχοντα πρὸ τέλουc τὸν τόνον διὰ τοῦ ῑ γράφεται, εἰ μὴ ἀπὸ cυναιρέcεωc εἴη, Ἶλοc, πῖλοc, cπῖλοc, τῖλοc, κτίλοc, φίλοc. cεcημείωται τὸ χεῖλοc· χέλλοc γὰρ λέγουcιν οἱ Αἰολεῖc ὥcπερ κείρω κέρρω καὶ τὸ Νεῖλοc· Νῆλοc γὰρ κατὰ διάλεκτον.

Πάντα τὰ εἰc ιλοc διcύλλαβα ὀξύτονα διὰ τοῦ ῑ γράφεται οἷον χιλόc ἡ τροφή, ψιλόc. cεcημείωται τὸ δειλόc παρὰ τὸ δέοc τὸ cημαῖνον τὸν φόβον.

Πάντα τὰ εἰc ιλοc λήγοντα ὑπὲρ δύο cυλλαβὰc πρὸ τέλουc ἔχοντα

l. 4 περὶ ποc. 290, 30, Choer. Orth. 271, 12; προύνεικοc addidi ex Choer. Orth. 251, 5, pro cuius verbis ἐνεῖ καὶ Βοιωτιακῶc recepi ex E. M. s. v. ἐνείκω Βοιωτιακόν cf. Lob. Rhem. p. 59, Agiaoph. 1325. Memorabilis est locus ex Cyrilli lexico ap. Cram. An. Par. IV 189, 9: προύνεικοι: λέγονται οἱ μιcθοῦ τὰ ὤνια κομίζοντεc ἐκ τῆc ἀγορᾶc. δῆλον δὲ ἐcτιν, εἴτε κατὰ τὸν Ἀλεξίονοc λόγον εἴτε κατὰ τὸν Δημητρίου διὰ ει διφθόγγου γραφή ἐcτι, παρὰ γὰρ τὸ ἐνέγκαι, οὕτω καὶ Φιλόξενοc. — προύνεικοc: καὶ οἱ μὲν ἀπὸ τῶν νεικῶν ἐcχημάτιcαν· ἐπὶ γὰρ ἀπαιδεύτων κεῖcθαί φαcι τὴν φωνήν. Ἀλεξίων μέντοι παρὰ τὸ ἐνοητὲc (scr. ἐνείκω Βοιωτιακόν)· κυρίωc γὰρ λέγεcθαι προυνείκουc τοὺc μιcθοῦ τὰ ἐξ ἀγορᾶc ὤνια κομίζονταc παῖδαc· Δημήτριοc δέ φηcιν τοὺc διδόνταc τὰ ὤνια πρὶν λαβεῖν τιμήν. cf. Schmidt. ad Hesych. s. v. προυνικόc. l. 16 Choer. 242, 32. l. 22 περὶ ποc. 291, 3 pro ἔπιλοc scripsi πῖλοc, cf. Choer. 263, 10, τῖλοc addidi ex Mon. 14, 14, l. 23 χεῖλοc explevi ex Choer. 278, 10, l. 24 Νεῖλοc ex Mon. 14, 10. Ἶλοc accessit ex Choer. 220, 34, de πῖλοc cf. eundem 249, 25, de κτίλοc 233, 27. l. 26 περὶ ποc. 291, 7: diphthongum in δειλόc Choer. 193, 24 ex verbo δείδω repetit: ὥcπερ παρὰ τὸν βήcω μέλλοντα βηλόc, οὕτω καὶ ἀπὸ τοῦ δείδω δείcω δειλόc, utraque originatio coniungitur in Ep. Cr. I 115, 3 δειλόc παρὰ τὸ δέω τὸ φοβοῦμαι πλεοναcμῷ τοῦ ῑ, ὁ μέλλων δείcω δειλόc ἢ παρὰ τὸ δέοc δεελόc καὶ δειλόc. l. 29 περὶ ποc. 291, 10 cf. Lob. Proll. 115 cum

τὸν τόνον διὰ τοῦ ῑ γράφεται, Ζωΐλοϲ, Μυρϲίλοϲ, Ὀρτίλοϲ, Πενθίλοϲ, ναυτίλοϲ, Πορϲίλοϲ, Καδμῖλοϲ.

Τὰ διὰ τοῦ ῑλοϲ βαρύτονα ἀρϲενικά, μὴ ὄντα ϲύνθετα ἀπὸ ὀνόματοϲ ἔχοντα τὴν ει δίφθογγον, διὰ τοῦ ῑ γράφεται χωρὶϲ τοῦ Νεῖλοϲ οἷον Πάμμιλοϲ, Διόμιλοϲ, ὅμιλοϲ τὸ πλῆθοϲ, Τρωῖλοϲ, Ζωΐλοϲ. πρόϲκειται «βαρύτονα» διὰ τὸ δειλόϲ ὀξυνόμενον. πρόϲκειται «ἀρϲενικὰ» διὰ τὸ χεῖλοϲ οὐδέτερον. πρόϲκειται «μὴ ὄντα ϲύνθετα ἀπὸ ὀνόματοϲ ἔχοντα τὴν ει δίφθογγον», ἐπεὶ ἀπὸ τοῦ χεῖλοϲ καὶ τοῦ δειλόϲ γίνεται τρίχειλοϲ, ἀγκυλόχειλοϲ, κροκόδειλοϲ· παρὰ γὰρ τὸ δειλόϲ διὰ τῆϲ ει διφθόγγου. καὶ πάλιν ἀπὸ τοῦ εἵλη τοῦ ϲημαίνοντοϲ τὴν θερμαϲίαν γίνεται εὔειλοϲ διὰ τῆϲ ει διφθόγγου. ϲημαίνει δὲ τὸν τόπον ἔχοντα τὴν θερμαϲίαν.

Τὰ ἔχοντα δύο λλ εἰϲ οϲ κύρια διὰ τοῦ ῑ γράφεται καὶ προπαροξύνεται, Κύριλλοϲ, Μέγιλλοϲ, Τήριλλοϲ, Πέριλλοϲ, Ἄϊλλοϲ, ἔπιλλοϲ, ἀνάϲιλλοϲ, Cόφιλλοϲ, δόριλλοϲ, Πράϲτιλλοϲ.

Τὰ διὰ τοῦ ῑγμοϲ διὰ τοῦ ῑ γράφεται οἷον φοινιγμόϲ, ϲυριγμόϲ.

Τὰ εἰϲ μοϲ καθαρὸν οὐ παραλήγει τῇ διφθόγγῳ, χωρὶϲ εἰ μὴ ἀπὸ ϲυναιρέϲεωϲ ἔχει τὴν ει δίφθογγον οἷον φιμόϲ, κημόϲ, λιμόϲ, ϲιμόϲ, μῖμοϲ, τῖμοϲ, ἀγώγιμοϲ, ὄψιμοϲ, ὠφέλιμοϲ, θανάϲιμοϲ, γνώριμοϲ, ἄλκιμοϲ, γόνιμοϲ, ἀοίδιμοϲ ὁ περιβόητοϲ, ὄβριμοϲ ὁ ἰϲχυρόϲ, εὐδόκιμοϲ. πρόϲκειται «εἰϲ μοϲ καθαρὸν» διὰ τὸ εἱρμόϲ καὶ ϲειϲμόϲ. ταῦτα γὰρ ϲύμφωνον ἔχει πρὸ τοῦ μ. πρόϲκειται «χωρὶϲ εἰ μὴ ἀπὸ ϲυναιρέϲεωϲ ἔχει τὴν ει δίφθογγον» διὰ τὸ Δεῖμοϲ τὸ ϲημαῖνον τὸν φόβον· δέϊμοϲ γὰρ διὰ τοῦ ῑ καὶ κατὰ ϲυναίρεϲιν τοῦ ε καὶ ῑ εἰϲ τὴν ει δίφθογγον γίνεται δεῖμοϲ.

Τὰ εἰϲ οϲ διϲύλλαβα ἔχοντα τὴν πρώτην καὶ τὴν δευτέραν ϲυλλαβὴν ἀπὸ τοῦ αὐτοῦ ϲυμφώνου ἀρχομένην ἑνὶ φωνήεντι θέλει παραλήγεϲθαι οἷον Νίνοϲ, μῖμοϲ, βίβλοϲ.

Τὰ εἰϲ οϲ ὑπὲρ δύο ϲυλλαβὰϲ ἔχοντα ἐν τῇ ἀρχούϲῃ καὶ ἐν τῇ μετὰ ταύτην τὸ αὐτὸ ϲύμφωνον διὰ τοῦ ῑ γράφεται οἷον τίτανοϲ, διδάϲκαλοϲ, δίδυμοϲ, Cιϲίννηϲ.

Τὰ διὰ τοῦ ῑνοϲ βαρύτονα διὰ τοῦ ῑ γράφεται, οἷον ξύλινοϲ, δερμάτινοϲ, Κρατῖνοϲ, Ἀκραγαντῖνοϲ, Κωνϲταντῖνοϲ.

Τὰ εἰϲ νοϲ ὀξύτονα παρώνυμα διὰ τῆϲ ει διφθόγγου γράφεται, εἰ μὴ καιρὸν ϲημαίνει, οἷον δεινόϲ παρὰ τὸ δέοϲ δεεινόϲ καὶ δεινόϲ,

not. 7, l. 2 Καδμῖλοϲ addidi ex Choer. 229, 13 coll. Arc. 56, 2. l. 3 περὶ ποϲ. 291, 13 Διόμιλοϲ cum Lob, Proll. 117 not. 10 scr. Ἀνθόμιλοϲ. Eundem causam plenius profert Choer. 276, 23, minus accurate 220, 34, 229, 13, εὔειλοϲ cf. eundem 210, 6. Ep. Cr. I 303, 7, An. Ox. II 326, 10 et 473, 13, ubi adduntur Καδμῖλοϲ, ναυτίλοϲ, προπῖλοϲ (scr. Πορϲίλοϲ), κτίλοϲ. l. 13 Choer. 227, 16, Theogn. 62, 10, Arc. 54, 12. l. 16 περὶ ποϲ. 290, 28. l. 17 περὶ ποϲ. 291, 27 cf. Theogn. 63, 8, Lob. Rhem. 282, de δεῖμοϲ Choer. 195, 4, E. M. 261, 14, de λιμόϲ Choer. 235, 12, de μῖμοϲ 240, 11, ϲιμόϲ 259, 1, φιμόϲ 272, 8.

l. 26 Choer. 240, 11, περὶ ποϲ. 293, 26, Theogn. 65, 6. l. 29 Theogn. 65, 9 cf. Lob. Proll. 156 cum not. 2. l. 32 περὶ ποϲ. 297, 26. l. 34 περὶ ποϲ.

κλεινός ἐλεεινός καὶ ἐλεινός, ὀρεινός, βορεινός, ἐρατεινός, ποθεινός, κελαδεινός, σκοτεινός, αἰπεινός, εὐδεινός, ψυχεινός, ταπεινός, φαεινός, φωτεινός καὶ τὸ κύριον ὄνομα ὁμοίως Φωτεινός διὰ διφθόγγου. τὸ δὲ χειμερινός, θερινός, αὐρινός, ὀπωρινός ἐπὶ καιροῦ διὰ τοῦ ῑ· τὸ ταχινός καὶ ἀληθινός, ἀδινός, πυκινός οὐκ εἰσὶ παρώνυμα, ἀλλ' ἐξ ἐπιρρήματος τοῦ τάχα καὶ ἄληθες καὶ ἄδην καὶ πύκα. τὸ φυζακινός λεπτακινός διὰ τοῦ ῑ γραφόμενα οὐκ ἀντίκειται ἡμῖν. ἀπὸ οὖν τοῦ φύζα τοῦ σημαίνοντος τὴν φυγὴν γέγονε φυζεινός διὰ τῆς ει διφθόγγου καὶ κατὰ πλεονασμὸν τοῦ ακ γέγονε φυζακινός διὰ τοῦ ῑ· τὸ λεπτακινός καὶ αὐτὸ γέγονεν ἀπὸ τοῦ λεπτός, λεπτεινός διὰ διφθόγγου καὶ κατὰ πλεονασμὸν τοῦ ακ λεπτακινός διὰ τοῦ ῑ.

Τὰ διὰ τοῦ ινος δισύλλαβα προσηγορικὰ διὰ τοῦ ῑ γράφεται, λίνος, σχῖνος, πρῖνος, σπίνος εἶδος ὀρνέου, πίνος ὁ ῥύπος, δῖνος ἡ συστροφή, γρῖνος.

Τὰ διὰ τοῦ ῑνος ὀνόματα δισύλλαβα πρὸ μιᾶς τὸν τόνον ἔχοντα μὴ ἔχοντα ἀπὸ πλεονασμοῦ τὸ ῑ διὰ τοῦ ῑ γράφεται οἷον σχῖνος, πρῖνος, δῖνος· τὸ δὲ ξεῖνος διὰ διφθόγγου γράφεται· ὥσπερ γὰρ ἀπὸ τοῦ κενός γίνεται κεινός κατὰ πλεονασμὸν τοῦ ῑ οἷον «κεινὴ δὲ τρυφάλεια ἅμ' ἕσπετο χειρὶ παχείῃ» (Γ 376), τὸν αὐτὸν τρόπον καὶ ξένος γέγονε ξεῖνος. καὶ πάλιν οἱ Αἰολεῖς ξέννος λέγουσιν· μηδεὶς δὲ οἰέσθω ὅτι τὸ ξέννος ἀπὸ τοῦ ξεῖνος γέγονεν· οὐδέποτε γὰρ οἱ Αἰολεῖς τὸ ῑ τὸ ἀπὸ πλεονασμοῦ ἀποβάλλουσι καὶ διπλασιάζουσι τὸ σύμφωνον οἷον ὁ κενός γίνεται κεινός καὶ οὐ λέγουσι παρ' αὐτοῦ κέννος· ἀλλὰ ἀπὸ τοῦ ξένος γέγονε ξέννος· καὶ γὰρ πολλάκις καὶ ἐπὶ βραχείας συλλαβῆς ποιοῦνται τοῦ συμφώνου διπλασιασμὸν οἷον Ἔννη· ἔστι δὲ ὄνομα πόλεως, θεράπων θεράπωνων. οὕτω καὶ ξένος ξέννος.

Τὰ διὰ τοῦ ῑνος ὑπὲρ δύο συλλαβὰς πρὸ τέλους τὸν τόνον ἔχοντα [μὴ ἔχοντα ἀπὸ πλεονασμοῦ τὸ ῑ] ἀποστρέφεται τὴν ει δίφθογγον καὶ πάντα ἐκτείνει τὸ ῑ καὶ προπερισπᾶται οἷον Ἀγαθῖνος, Κωνσταντῖνος,

297, 28 et 298, 9 coll. Theogn. 65, 16 et p. 67, Choer. 190, 26; 194, 19; 231, 5; 208, 28; 245, 29; 186, 2; 210, 19; 179, 22; 207, 33; 279, 23; 268, 26; 273, 30; 179, 32; 243, 2. de adiectivis ab adverbiis derivatis cf. praeter Choer. 179, 33, E. M. 17, 33; 58, 50, Ep. Cr. I 315 et 349, 26; 432, 23, ubi additur ὡς δίψα διψηρός πλεονασμῷ τοῦ ακ διψακηρός ἅμα τῷ πλεονασμῷ συσταλέντος τοῦ η̄, E. M. 801, 42. l. 12 Theogn. 65, 33. l. 15 Choer. Orth. 190, 28 et 142, 15; geminum de Aeolice displasiasmo adnotamentum ex Herodiano profert E. M. 582, 43, unde post λέγουσι l. 23 inserui παρ' αὐτοῦ. l. 27 περὶ ποσ. 297, 33, Choer. 170, 26; 197, 31; 188, 15; 198, 1 et 3; 228, 18; 236, 14 et 19; 247, 9 et 13; 260, 1: 264, 6 et 8; 276, 17 cf. Ep. Cr. I 125, 13 ἐκεῖνος: καθόλου αἱ ὑπὲρ μίαν συλλαβὴν λήγουσαι μονοπρόσωποι ἀντωνυμίαι φιλοῦσι διφθόγγῳ παραλήγεσθαι οἷον αὐτός, οὗτος, ὁ δεῖνα· σεσημείωται τὸ ὅδε «ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει» (Α 287). πρόσκειται ὑπὲρ μίαν συλλαβὴν διὰ τὸ μίν καὶ νίν. πρόσκειται μονοπρόσωποι, ἐπειδὴ δεύτερον καὶ πρῶτον (pro τρίτον) πρόσωπον κατὰ ἀκολουθίαν οὐκ ἔχουσιν. E. M. 793, 45. Verbis canonis μὴ ἔχοντα ἀπὸ πλεονασμοῦ τὸ ῑ significari videtur scriptura Ἀγαθεῖνος, Ἱππαρεῖνος Lobeckio Proll. 191, sed quum haec scriptura ipso canone reprobetur, potius ex sequente canone ea verba in hunc irrepsisse suspicor.

Cαβῖνος, Ἐχῖνος, Ἀκραγαντῖνος, Πραξῖνος, Ἐρυθῖνος, Καλλῖνος, Λατῖνος, Λεοντῖνος, Πρηξῖνος, παλλακῖνος, Τελεςῖνος, Ταυρῖνος, Χαρῖνος. τὸ δὲ καρκίνος βραχὺ ἔχει τὸ ῐ καὶ προπαροξύνεται. πρόςκειται «ὀνόματα» διὰ τὴν ἐκεῖνος ἀντωνυμίαν. αὕτη γὰρ διὰ τῆς ει διφθόγγου γράφεται καὶ προπεριςπᾶται.

Τὰ διὰ τοῦ ῑνος προπαροξύτονα διὰ τοῦ ῑ γράφεται, φήγινος, λίθινος, δρύϊνος, ξύλινος, κόφινος, ἀνθρώπινος, κάμινος, ἔνδινος ὅθεν ἔνδινον. πλὴν εἰ μὴ ὦςιν ἀπὸ ἁπλοῦ ἔχοντα τὴν ει δίφθογγον οἷον ἀπὸ τοῦ ξένος γίνεται ξεῖνος κατὰ πλεοναςμὸν τοῦ ῑ καὶ ἐκεῖθεν εὔξεινος καὶ ἀπὸ τοῦ πεῖνα ὀξύπεινος.

Πάντα τὰ εἰς ποc λήγοντα ὀνόματα παρὰ τὸν ἵππον γινόμενα διὰ τοῦ ῑ γράφεται οἷον Χρύςιππος, Ἀρίςτιππος, Ἕριμππος. καὶ τὰ θηλυκὰ ὡςαύτως οἷον Ξανθίππη, Λευκίππη, Μελανίππη.

Τὰ εἰς κρος γινόμενα δισύλλαβα εἴτε κύρια εἴτε μὴ κύρια ἀποςτρέφεται τὴν ει δίφθογγον, μικρός, πικρός, ἴγκρος.

Τὰ εἰς ρος ἔχοντα προηγούμενον cύμφωνον εἴτε διςύλλαβα εἴτε ὑπὲρ δύο ςυλλαβὰς ἀποςτρέφεται τὴν ει δίφθογγον, Ἴμβρος ὄνομα πόλεως, Κίμβρος ἐθνικόν, λιβρός ἡ ςκοτεινὴ νύξ, φιτρός, δίκρος, ἴγκρος ὁ ἐγκέφαλος, λίςτρος ὁ ξυςτήρ.

Τὰ διὰ τοῦ ῑρος διςύλλαβα κύρια καὶ βαρύνεται καὶ διὰ τοῦ ῑ γράφεται οἷον Ἶρος, εἰ καὶ παρὰ τὸ εἴρειν «οὔνεκ' ἀγγέλεςκε κιὼν ὅτε κέν τις ἀνώγοι» (ς 7), Πῖρος ὄνομα ποταμοῦ, Τίρος ὄνομα ποταμοῦ, Cκίρος τὸ κύριον, μεθ' ὧν ἱρός ὁ ἱερός, λιρός ὁ ἀναιδής, ςιρός τὸ προςηγορικὸν ὁ κατώγειος οἶκος.

Τὰ διὰ τοῦ ειρος προπαροξύτονα ἀπὸ ῥημάτων γινόμενα διὰ τῆς ει διφθόγγου γράφεται, οἷον μάςςω μάγειρος, πέπτω πέπειρος, ὀνῶ τὸ ὠφελῶ ὄνειρος, ἀΐςςω αἴγειρος, ἥδω Ἄνδειρος ὄνομα ποταμοῦ. κονῶ Κόνειρος ὄνομα ἔθνους, καίω καυςτειρός, οἷς ἴςως ςυνέδραμε τὸ Κάβειροι, ὅπερ Ἀλεξίων καὶ Φιλόξενος διὰ τοῦ ῑ, ἡ δὲ παράδοςις δίφθογγον ἔχει.

---

l. 6 Choer. 170, 30; 201, 11; 246, 17. l. 11 περὶ ποc. 290, 14. l. 14 Choer. 239, 16, Arc. 74, 4. l. 16 Choer. 235, 6; 239, 16. E. M. 387, 40. l. 20 Theogn. 69, 31, Arc. 68, 12; Ep. Cr. I 210, 6, unde Ἶρος explevi. In E. M. 475, 23 τὰ διὰ τοῦ ῑρος διςύλλαβα κύρια καὶ βαρύνονται καὶ διὰ τοῦ ῑ γράφονται οἷον Κίρος ὄνομα κύριον, Πῖρος ὄνομα ποταμοῦ, καὶ Τίρος ὄνομα ποταμοῦ, Μίρος ποταμὸς Φρυγίας. ςκῖρος ὁ γύψος. Cβῆρος (? Cῆρος) δὲ ὄνομα κύριον. πρόςκειται κύρια διὰ τὸ λῆρος ἡ φλυαρία καὶ νειρός ὀξύτονον. οὐκ ἔςτι δὲ κύριον. ςημαίνει δὲ τὸν ὁρμητικόν. praeter vocabula, quae Theogn. et Arcad. proferunt, Κίρος et Μίρος propria proponuntur omisso Cκίρος; ex appellativis ςκῖρος ὁ γύψος, quod ap. Hesych. ςκεῖρος scriptum est, et adiectivum νειρός, quod Hesych. explicat ςφοδρός, ἔςχατος. Hinc apparet grammaticum E. Magni non ab omni parte Herodianea tradere, sed suspicio oritur Herodianum etiam quaedam vocabula per ει scribi adnotasse, licet id fortasse non probaret. De ἱρός cf. Choer. 223, 33, de λιρός 235, 3 et 238, 25. l. 25 Theogn. 71, 19, E. M. 28, 39, Choer. 177, 29; 245, 7, E. Orion. 17, 14. Ep. Cr. I 306, 6 ubi τὰ διὰ τοῦ ειρος ῥήματα (scr. ῥηματικὰ) δίφθογγον (οὐκ omittendum) ἔχει. cf. supra fr. 15, 16, 17.

Τὰ διὰ τοῦ ιροc ἐπὶ πόλεωc λεγόμενα καὶ μὴ οὐδέτερα διὰ τοῦ ῑ γράφεται, Πίϲτιροϲ, Ϲτάλιροϲ, Κύϲτιροϲ, Δύϲιροϲ, Ϲίτιροϲ, Βεδύϲιροϲ. Κάμιροϲ ὄνομα πόλεωϲ. τὸ ἤπειροϲ οὐκ ἀντίκειται ἡμῖν. οὐκ ἐπὶ πόλεωϲ γὰρ ἀλλ' ἐπὶ χωρίου. οὔτε τὸ Ϲτάγειροϲ· ἔχει γὰρ οὐδέτερον τὰ Ϲτάγειρα. κατὰ δὲ τὴν παράδοϲιν διὰ τοῦ ῑ γράφεται. τὰ δὲ ἄλλα πάντα διὰ τῆϲ ει γράφεται, μάγειροϲ, Κάμειροϲ (sc. ὁ ἥρωϲ) χωρὶϲ εἰ μὴ ὦϲιν ἀπὸ διϲυλλάβου οἷον ἄϊροϲ.

Τὰ διὰ τοῦ ιϲοϲ διϲύλλαβα κύρια μονογενῆ βαρύτονα διὰ μακροῦ τοῦ ῑ γράφει τὴν παραλήγουϲαν οἷον Κρῖϲοϲ, Νῖϲοϲ, Ἶϲοϲ, Κῖϲοϲ, Πῖϲοϲ.

Τὰ εἰϲ ιϲϲοϲ ὑπὲρ δύο ϲυλλαβὰϲ διὰ τοῦ ῑ γράφεται οἷον κυπάριϲϲοϲ, νάρκιϲϲοϲ, Μέλιϲϲοϲ, Μύρμιϲϲοϲ, Βόλιϲϲοϲ, Ἀρχέμιϲϲοϲ ὄνομα ποταμοῦ, περιϲϲόϲ.

Τὰ εἰϲ ιϲοϲ ὑπὲρ δύο ϲύλλαβὰϲ ὀξύτονα καὶ βαρύτονα διὰ τοῦ ῑ γράφεται, Κηφιϲόϲ, Ἰλιϲόϲ, Κεδριϲόϲ, Ἀμιϲόϲ, Ἀμνιϲόϲ. Ἄρνιϲοϲ, Λάριϲοϲ, Μήριϲοϲ, Μάριϲοϲ, Πάμιϲοϲ, Κρίμιϲοϲ, Μόρμιϲοϲ, Νάϊϲοϲ, ὕριϲοϲ. τὸ δὲ παράδειϲοϲ ἀπὸ τοῦ δεῖϲα ἔχει τὴν ει δίφθογγον.

Τὰ διὰ τοῦ ιϲοϲ ἐπὶ ποταμῶν ὀξύνεται καὶ διὰ τοῦ ῑ γράφεται Ἰλιϲόϲ, Κηφιϲόϲ, Ἀμνιϲόϲ. εἰ δέ τι βεβαρυτόνηται, τοῦτο παρώνυμον ὤφθη ἀπὸ θηλυκοῦ Ἄρνιϲοϲ Ἄρνιϲα, Λάριϲοϲ Λάριϲα.

Τὰ εἰϲ ϲτοϲ ὑπερθετικὰ διϲύλλαβα ὄντα φυλάττει τὴν δίφθογγον, λῴων λῷϲτοϲ, ῥᾴων ῥᾷϲτοϲ, μείων μεῖϲτοϲ, πλείων πλεῖϲτοϲ. εἰ δὲ εἴη ὑπὲρ δύο ϲυλλαβάϲ, ἀποβάλλει τὸ ε, ἀρείων ἄριϲτοϲ, χερείων χείριϲτοϲ.

Τὰ διὰ τοῦ ιτοϲ ἀποϲτρέφεται τὴν ει δίφθογγον οἷον ἄτιτοϲ ὁ ἀτιμώρητοϲ, ἀκόνιτοϲ, Ἐπαφρόδιτοϲ, ἀδήριτοϲ, ϲῖτοϲ, μίτοϲ, λιτόϲ, Τρῖτοϲ, ῥῖτοϲ· δεῖ προϲθεῖναι χωρὶϲ τοῦ κλειτόϲ ὁ εὔδοξοϲ καὶ τὰ παρ' αὐτό· ταῦτα γὰρ διὰ τῆϲ ει διφθόγγου γράφεται οἷον πολύκλειτοϲ, ἀγάκλειτοϲ, Ἡράκλειτοϲ. τὸ δὲ ἄϲειϲτοϲ πολύϲειϲτοϲ οὐκ ἀντίκειται ἡμῖν, ἐπειδὴ οὐκ ἔϲτι διὰ τοῦ ιτοϲ ἀλλὰ διὰ τοῦ ειϲτοϲ.

Τὰ εἰϲ φοϲ μονογενῆ μὴ ὄντα οὐδέτερα ἁπλᾶ μὴ ὄντα Ἰταλικὰ ἑνὶ φωνήεντι θέλει παραλήγεϲθαι οἷον λόφοϲ, Ζόφοϲ, κέκφοϲ, ϲέρφοϲ, γρῖφοϲ, ἔριφοϲ, Τήλεφοϲ, Κίνυφοϲ, Ϲέριφοϲ. πρόϲκειται «μονογενῆ» διὰ τὸ ὁ

l. 1 E. M. 488, 7, Theogn. 71, 33, ubi de Πύϲτιροϲ· τοῦτο καὶ διὰ διφθόγγου γράφεται, Choer. 259, 22, ubi idem de urbibus canon atque in E. M. proponitur, unde κατὰ δὲ τὴν παράδοϲιν διὰ τοῦ ῑ γράφεται addidi. περὶ ποϲ. 283, 10; de ἤπειροϲ Choer. 217, 7, An. Ox. II 327, 1. l. 8 Theogn. 72, 13. l. 11 Theogn. 73, 5, Arc. 77, 9. l. 14 Theogn. 73, 12, Arc. 77, 14, παράδειϲοϲ ex Choer. 251, 17 apposui. l. 18 Choer. 172, 12; 220, 26; 228, 25; verba εἰ δέ τι l. 19 usque ad finem ipse addidi, quum ex superiore canone appareat hunc non plenum esse praetermissis barytonis fluviorum nominibus. cf. Lob. Proll. 414. l. 21 E. M. 676, 13, An. Paris. III 328, 20. l. 25 περὶ ποϲ. 293, 3, Theogn. 74, 25 et 75, 21, Arc. 79, 3 et 82, 8, E. M. 703, 15, Choer. 170, 4; 180, 29; 238, 12; 252, 26; 256, 16; 257, 12. cf. fr. 44. l. 31 Choer. 257, 3; 188, 5, περὶ ποϲ. 294, 1, Theogn. 76, 13.

κοῦφος, ἡ κοῦφος τὸ κοῦφον· «μὴ ὄντα» δὲ «οὐδέτερα» διὰ τὸ λαῖφος· «ἁπλᾶ» δὲ διὰ τὸ φιλοῖφος ὁ συνουσιαστής· «Ἰταλικὰ» δὲ διὰ τὸ Ῥοῦφος.

Τὰ εἰς φος λήγοντα οὐ θέλει τῇ ει διφθόγγῳ παραλήγεσθαι οἷον γρῖφος, ἔριφος, Κίνυφος, Σέριφος, ξίφος, στῖφος.

Τὰ εἰς χος οὐ θέλει τῇ ει διφθόγγῳ παραλήγεσθαι οἷον Σωτήριχος, Ἰάμβλιχος, Φρύνιχος, ὄσσιχος, μείλιχος ὁ πρᾶος, δόλιχος τὸ ὄσπριον, δολιχός ὁ μακρός· τάριχος, λέγεται δὲ καὶ ἀρσενικῶς καὶ οὐδετέρως. δεῖ προσθεῖναι χωρὶς τοῦ τεῖχος καὶ τῶν παρ' αὐτοῦ, εὔτειχος, δίτειχος, καλλίτειχος. ταῦτα γὰρ διὰ τῆς ει διφθόγγου γράφεται.

Περὶ τῶν εἰς υς.

Τὰ εἰς υς λήγοντα ὀνόματα διὰ τοῦ ι γράφεται κατὰ τὴν παραλήγουσαν καὶ οὐκ ἔχει δίφθογγον τὴν ει, οἷον πίτυς, ἰλύς, ἰσχύς, ἰχθύς, δριμύς, ἥμισυς, ὀϊζύς, Ἐρινύς, ἰξύς ἡ ῥάχις, λιγύς, βριθύς ὁ ἰσχυρός χωρὶς τοῦ κλειτύς, σημαίνει δὲ τὰ ἐξέχοντα μέρη τῶν ὀρῶν. πρόσκειται «τὴν ει δίφθογγον» διὰ τὸ εὐρύς καὶ αἰπύς. ταῦτα γὰρ διφθόγγῳ παραλήγεται, ἀλλ' οὐ τῇ ει.

Περὶ τῶν εἰς ευς.

Τὰ εἰς ευς ὡς ἐπὶ τὸ πλεῖστον οὐ θέλει τῇ ει διφθόγγῳ παραλήγεσθαι, εἰ μὴ ἀπὸ πρωτοτύπου ἔχει τὴν ει δίφθογγον οἷον βασιλεύς, ἱππεύς, Ἰλεύς ὄνομα κύριον, Ἀχιλλεύς, ἐριθεύς· ἔστι δὲ εἶδος ὀρνέου, Ἐρετριεύς, ἁλιεύς, Ἰλιεύς ἀπὸ τοῦ Ἰλίου. τὸ δὲ Ἴλιον πόλις ἐστίν. Κιτιεύς, Δωριεύς, Τειριεύς, Φινεύς. πρόσκειται «ὡς ἐπὶ τὸ πλεῖστον» διὰ τὸ Νειλεύς· τοῦτο γὰρ διὰ τῆς ει διφθόγγου γράφεται· οὐκ ἐπὶ τοῦ Νηλέως τοῦ πατρὸς τοῦ Νέστορος, ἐκεῖνο γὰρ διὰ τοῦ η γράφεται, ἀλλ' ἐπὶ τοῦ λεγομένου Ἀττικῶς οἷον ὁ Νείλεως τοῦ Νείλεω. πρόσκειται «εἰ μὴ ἀπὸ πρωτοτύπου ἔχει τὴν ει δίφθογγον» διὰ τὸ Ῥοιτειεύς καὶ Σιγειεύς. ἀπὸ γὰρ τοῦ Ῥοίτειον καὶ Σίγειον γεγόνασι. ἔστι δὲ ἀκρωτήριον Τροίας.

Περὶ τῶν εἰς α θηλυκῶν ὀνομάτων.

Τὰ διὰ τοῦ τρια προπαροξύτονα πάντα διὰ μόνου τοῦ ι γράφεται, ψάλτρια, μαθήτρια, μονάστρια, λεκάστρια ἡ πόρνη, αὐλήτρια, πανδοκεύτρια, Ἐρέτρια, ποιήτρια.

l. 4 περὶ πος. l. c. collatis reliqnis epitomatoribus; omisi exceptionem quae in περὶ πος. addita est: σεσημείωται τὸ στεῖφος· ἔστι δὲ ἄθροισμα ὄχλου; nam abest a Choer. et Theogn., qui diserte στῖφος praescribit, quod etiam ap. Hesych. exstat. cf. Ep. Cr. I 300, 21. l. 6 περὶ πος. 294, 4, ubi quod est βόττιχος scripsi ὄσσιχος. Choer. 265, 8; 266, 22, Theogn. 76, 25, Ep. Cr. I 112, 1. l. 12 περὶ πος. 303, 3 cf. fr. 36. l. 19 περὶ πος. 296, 14, Choer. 244, 31; 273, 1, unde accesserunt Τειριεύς pro corrupto Τηριεύς, Δωριεύς et Φινεύς. E. M. 226, 39. cf. Lob. Parall. 26 et locos Stephani B. ibi citatos. l. 31 Theogn.

Καθόλου τὰ διὰ τοῦ εια προπαροξύτονα εἴτε ἐπὶ πόλεως εἴτε ἐπ᾽ ἄλλης τινὸς οἱασοῦν σημασίας πλὴν τῶν διὰ τοῦ τρια διὰ τῆς ει διφθόγγου γράφεται. ἀλήθεια, εὐλάβεια, Ἀλεξάνδρεια, Ἀπάμεια, Μήδεια, βοήθεια, ὠφέλεια, χαλκοβάρεια, Πηνελόπεια, ἀναίδεια, εὐγένεια, ἀδράνεια, ἀπώλεια, Ἀντιόχεια, Ἄντεια, ἐπιφάνεια, ἀπέχθεια, εὔκλεια, ἄδεια. σεσημειωμένων τοῦ πότνια, Ὄμπνια, Λάμια, Πολύμνια.

Τὰ ἀπὸ τῶν εἰς ευς ἀρσενικῶν διὰ τοῦ εια παρηγμένα θηλυκὰ δίφθογγον ἔχει οἷον βασιλεύς βασίλεια, πανδοκεύς πανδόκεια, ἱερεύς ἱέρεια. τοῦτο δὲ οἱ Ἀττικοὶ ἐκτείνοντες τὸ α ἱερεία παροξυτόνως λέγουσιν.

Τὰ ἀπὸ τῶν εἰς υς ἀρσενικῶν διὰ τοῦ εια παρηγμένα θηλυκὰ δίφθογγον ἔχει οἷον ὀξύς ὀξεῖα, βαρύς βαρεῖα, ἡδύς ἡδεῖα, ἥμισυς ἡμίσεια, θῆλυς θήλεια, λίγεια, ἐλάχεια, μεθ᾽ ὧν καὶ θάλεια ἐπιθετικῶς, θαλία δὲ ἐπὶ τῆς ἀνέσεως ἢ εὐωχίας.

Τὰ διὰ τοῦ εια παρώνυμα ἐπὶ τοῦ αὐτοῦ σημαινομένου παρηγμένα θηλυκὰ δίφθογγον ἔχει οἷον Πηνελόπη Πηνελόπεια, Καλλιόπεια, Πλειστοδόκεια, Εὐρώπεια, χαλκοβαρής χαλκοβάρεια, ἠριγενής ἠριγένεια, ἱππόδασυς ἱπποδάσεια.

Τὰ ἐπὶ πραγματείας ἤγουν συγγράμματος διὰ τῆς ει διφθόγγου γράφεται ἡ Ὀδύσσεια ἡ κατὰ Ὀδυσσέα, Ἡράκλεια ἡ κατὰ Ἡρακλέα, Τηλεγόνεια ἡ κατὰ Τηλέγονον, Δολώνεια, Γιγάντεια, Διομήδεια.

Τὰ διὰ τοῦ εια ἐπὶ πόλεων προπαροξύτονα θηλυκὰ δίφθογγον ἔχει οἷον Ἀλεξάνδρεια, Ἀπάμεια, Καισάρεια, Ἀντιόχεια, Θέσπεια· τὸ δὲ ὀξυτόνως λεγόμενον Θεσπιά διὰ τοῦ ι. τὰ δὲ ἐπὶ χώρας ὄντα διὰ τοῦ ι γράφεται καὶ παροξύνεται, Λυκία, Πισιδία, Κιλικία, Σικελία, Παφλαγονία, Ἀρμενία, Συρία, Καππαδοκία, Ἰταλία, Ἀσία, Θεσσαλία, Βοιωτία, Βιθυνία, Ἰτουρία.

Τὰ διὰ τοῦ ια εἴτε ἐπὶ πόλεως εἴτε ἐπὶ χώρας πρὸ μιᾶς τὸν τόνον ἔχοντα οὐ θέλει τῇ ει διφθόγγῳ παραλήγεσθαι, ἐπὶ χώρας οἷον Καππαδοκία, Ἀσία, Γαλατία, Ἰταλία, Λυκία· ἐπὶ δὲ πόλεως οἷον Φαρσαλία, Ἀπολλωνία, Φθία. πρόσκειται «πρὸ μιᾶς τὸν τόνον ἔχοντα» διὰ τὸ Ἀλεξάνδρεια.

Τὰ διὰ τοῦ εια δισύλλαβα μονογενῆ ἔχοντα τὸ α μακρὸν ὀξύτονα διὰ τῆς ει διφθόγγου γράφεται ζειά, χειά, φειά, μεθ᾽ ὧν καὶ τὰ βαρύτονα μνεία, χρεία, λεία, δεία ἢ ἔνδεια καὶ θεία τὸ τριγενές. σεση-

---

98, 24, Choer. 247, 11, περὶ ποσ. 300, 23. l. 1 Theogn. 98, 28, Choer. 178, 12, περὶ ποσ. 300, 19, Ep. Cr. I 370, 17. l. 7 περὶ ποσ. 300, 3, Choer. 190, 6, Dichr. 290, 20. l. 11 περὶ ποσ. 300, 5, Choer. 208, 5, Theogn. 99, 10; de θάλεια et θαλία Choer. 291, 21. l. 15 περὶ ποσ. 300, 8, Choer. 206, 15. l. 19 περὶ ποσ. 299, 26, Choer. 189, 7 et 196, 33. l. 22 περὶ ποσ. 299, 17, Choer. 178, 12 et 183, 20, Theogn. 103, 32, Θέσπεια et Θεσπιά ex Il. Pr. B 498. l. 28 Choer. 271, 17. l. 33 hunc canonem finxi ex Theogn. 103, 23 coll. Arc. 98, 13, Dichr. 290, 24. Ep. Cr. I 181, 12, Choer. Ep. in Psalm. 91, 35 et 131, 33.

μείωται τὸ φλιά, ϲτιά, Θριά, μεθ' ὧν καὶ ϲκιά. τὸ δὲ Φλία βαρύνεται ὡϲ καὶ τὰ τριγενῆ βραχυκατάληκτα δῖα, ἴα, μία.

Τὰ διὰ τοῦ ῑᾱ ὑπὲρ δύο ϲυλλαβὰϲ ὀξύτονα διὰ τοῦ ῑ γράφεται οἷον λαλιά, καλιά, ϲποδιά, ῥοδωνιά, ἱμονιά τὸ ἀντλητήριον, ὁρμιά, πραϲιά, ἀνθρακιά. ϲεϲημείωται διὰ τῆϲ ει διφθόγγου γραφόμενα τὸ παρειά, φορβειά, ϲτελειά, φορειά, ἀρειά.

Τὰ διὰ τοῦ ειᾱ θηλυκὰ ἔχοντα ῥῆμα ἀντιπαρακείμενον διὰ τοῦ ευω, εἰ μέν ἐϲτιν ἀπὸ τῶν εἰϲ μων ὀξυτόνων, διὰ τοῦ ῑ γράφεται οἷον ἡγεμών ἡγεμονεύω ἡγεμονία, κηδεμών κηδεμονεύω κηδεμονία· εἰ δὲ μή ἐϲτιν ἀπὸ τῶν εἰϲ μων, διὰ τῆϲ ει διφθόγγου γράφεται οἷον ἀλαζών ἀλαζονεύω ἀλαζονεία καὶ ἀπὸ ἄλληϲ δὲ οἱαϲδήποτε καταλήξεωϲ ἐὰν ᾖ, διὰ διφθόγγου γράφεται οἷον ῥήτωρ ῥήτοροϲ ῥητορεύω ῥητορεία, εἴρων εἰρωνεύω εἰρωνεία, πρᾶγμα πραγματεύω, ἐξ οὗ πραγματεύομαι, πραγματεία. ὁμοίωϲ κολακεία, ἑρμηνεία, προφητεία, ξενιτεία, ἀριϲτεία ἐκ τοῦ ἀριϲτεύϲ, ἀλητεία, βουλεία ἡ βούλευϲιϲ, γοητεία, δυναϲτεία, ἱκετεία· ἱκεϲία δὲ διὰ τοῦ ῑ. λαγνεία, λάγνοϲ γὰρ τὸ ἀρϲενικόν, προϲτατεία, προϲτάτηϲ γὰρ τὸ ἀρϲενικόν, προϲταϲία δὲ διὰ τοῦ ῑ, νηϲτεία, πολιτεία, τερατεία, πρεϲβεία, δεϲποτεία, ὑδρεία τὸ ἐπὶ τῆϲ ὑδρεύϲεωϲ, ἐπὶ δὲ τοῦ ἀγγείου διὰ τοῦ ῑ ὑδρία. χωρὶϲ τῶν ἀπὸ τῶν εἰϲ οϲ ϲυνθέτων διὰ τοῦ ια παραγομένων θηλυκῶν, κἂν γὰρ ἔχῃ ἀντιπαρακείμενον ῥῆμα διὰ τοῦ ευω, διὰ τοῦ ῑ γράφεται οἷον πρόεδροϲ προεδρεύω προεδρία, φιλανθρωπία, ἀϲωτία, ἐμπορία, παρθενία, ϲυνοδία· ἡνιοχεία διὰ τῆϲ ει διφθόγγου ἐκ τοῦ ἡνιοχεύϲ, ἑϲπερεία ἐκ τοῦ ἑϲπερεύϲ, μαϲτροπεία ὁμοίωϲ. Ἰϲτέον δὲ ὅτι ἐκ τούτων τὰ διὰ τοῦ ῑ ἐκφερόμενα διὰ τῆϲ ει διφθόγγου γράφεται, ὅϲα δὲ διὰ τοῦ ϲ, διὰ τοῦ ῑ γράφεται.

Τὰ ἀπὸ τῶν εἰϲ οϲ ἁπλῶν μὴ ἔχοντα ῥῆμα ἀντιπαρακείμενον διὰ τοῦ ευω διὰ τοῦ ιᾱ γινόμενα θηλυκὰ διὰ τοῦ ῑ γράφεται οἷον κακόϲ κακία, ϲοφόϲ ϲοφία, μωρόϲ μωρία, ἥϲυχοϲ ἡϲυχία. πρόϲκειται «μὴ ἔχοντα ῥῆμα ἀντιπαρακείμενον διὰ τοῦ ευω» διὰ τὸ δοῦλοϲ δουλεύω δουλεία, μοιχόϲ μοιχεύω μοιχεία.

Τὰ ἀπὸ τῶν εἰϲ οϲ ϲυνθέτων διὰ τοῦ ιᾱ γινόμενα παροξύτονα ὄντα διὰ τοῦ ῑ γράφεται οἷον φιλόϲοφοϲ φιλοϲοφία, κακοῦργοϲ κακουργία, πρόθυμοϲ προθυμία, ἄϲωτοϲ ἀϲωτία, ῥᾴθυμοϲ ῥᾳθυμία, ἀϲπιδοποιόϲ ἀϲπιδοποιΐα, ὀρθογράφοϲ ὀρθογραφία, εὔκαιροϲ εὐκαιρία, ἀεργόϲ ἀεργία, ὑπερήφανοϲ ὑπερηφανία (ἀνόρεκτοϲ ἀνορεξία, ὑπόδεκτοϲ ὑποδεξία διὰ τὴν ϲύνταξιν?). πρόϲκειται «παροξύτονα» διὰ τὸ βοηθόϲ βοήθεια καὶ εὔεροϲ εὐέρεια.

l. 3 Theogn. 105, 25, περὶ ποϲ. 301, 10 (Epim. Cr. An. Paris. III 335, 6), Arcad. 98, 23. l. 7 Choer. 181, 1, περὶ ποϲ. 300, 25, Theogn. 104, 3. l. 27 περὶ ποϲ. 305, 3, Theogn. 104, 28, Choer. 171, 12. l. 32 περὶ ποϲ. 304, 22, Choer. 171, 12; 269, 18, ubi de ὑποδεξία agitur, de quo cf. Il. Pr. I 73 cum Lehrsii adnotatione, qui Herodianum haec ap. Arcad. p. 99 a futuris repetere monet.

Τὰ ἀπὸ ἀρcενικῶν ἐχόντων τὸ τ̄ διὰ τοῦ ια γινόμενα καὶ τρέποντα τὸ τ̄ εἰc c̄ διὰ τοῦ ῑ γράφεται οἷον (ἄλουτοc ἀλουcία?) ἀθάνατοc ἀθαναcία, ὑπηρέτηc ὑπηρεcία.

Τὰ ἀπὸ τῶν εἰc ηc βαρυτόνων εἰc ουc ἐχόντων τὴν γενικὴν γινόμενα θηλυκὰ διὰ τοῦ ῑ γράφεται καὶ διὰ τῆc ει διφθόγγου· διὰ τοῦ ῑ μὲν παροξυνόμενα, διὰ δὲ τῆc ει διφθόγγου προπαροξυνόμενα οἷον αὐθάδηc αὐθάδουc αὐθαδία καὶ αὐθάδεια, κακοήθηc κακοήθουc κακοηθία καὶ κακοήθεια, cυνήθηc cυνηθία καὶ cυνήθεια.

Τὰ εἰc ηc ἀρcενικὰ εἰc θηλυκὰ μεταγόμενα διὰ τῆc ει διφθόγγου γράφεται καὶ μάλιcτα ὀξύτονα ὄντα οἷον ἀληθήc ἀλήθεια, εὐλαβήc εὐλάβεια, ἀκρίβεια, ἀπέχθεια, ἀδεήc ἀδέεια καὶ ἄδεια, εὐκλεήc εὐκλέεια καὶ εὔκλεια, ἀναίδεια, εὐγένεια, ἀπάθεια, εὐμάθεια. λέγεται δὲ καὶ ποιητικώτερον ἀναιδία, εὐγενία, ἀπαθία, εὐμαθία. τὸ μέντοι ἀμαθία μόνωc παροξύνεται καὶ διὰ τοῦ ῑ γράφεται.

Τὰ παρὰ τὸ ἦθοc διφορεῖται, ἀήθεια καὶ ἀηθία, ποιητικώτερον δὲ διὰ τοῦ ῑ καὶ παρὰ τὸ κέρδοc φιλοκέρδεια καὶ φιλοκερδία, αἰcχροκέρδεια καὶ αἰcχροκερδία· καὶ τὰ παρὰ τὸ παθεῖν καὶ μαθεῖν, εὐπάθεια καὶ εὐπαθία, εὐμάθεια καὶ εὐμαθία, προμήθεια καὶ προμηθία, εὐέπεια καὶ εὐεπία, ὠφέλεια καὶ ὠφελία, εὐμάρεια καὶ εὐμαρία, οἰκωφελία καὶ κοινωφελία μόνωc καὶ ἀμαθία· καὶ τὸ ῑ ποιητικόν. τὰ παρὰ τὸ φυή διὰ τοῦ ῑ εὐφυΐα· εὕρηται καὶ εὐφύεια παρὰ Ἀλέξιδι. τὰ παρὰ τὸ τύχη διὰ τοῦ ῑ, εὐτυχία· εὕρηται καὶ εὐτύχεια παρὰ Cοφοκλεῖ. τὰ παρὰ τὸ ἔτοc διὰ τοῦ ῑ γράφεται· τὰ δὲ παρὰ τὰ ἄλλα διὰ διφθόγγου.

Τὰ ἀπὸ ἐνεcτώτων παρηγμένα θηλυκὰ προπαροξύτονα δίφθογγον ἔχει οἷον ἀπόλω ἀπώλεια, ἐξώλεια, προώλεια, μήδω Μήδεια, θέρω θέρεια, θάλλω Θάλεια, ἀνθῶ Ἄνθεια, χαίρω Χάρεια, κρατῶ Κράτεια.

Τὰ παρὰ μέλλοντα διὰ τοῦ ια διὰ τοῦ ῑ γράφεται, θύcω θυcία, ἄξω ἀξία, λούcω λουcία καὶ ἀλουcία, ὀρέξω ὀρεξία, ἔχω ἕξω ἑξία καὶ εὐεξία, πέψω πεψία ἀπεψία.

Τὰ διὰ τοῦ cια ὑπὲρ δύο cυλλαβὰc μὴ ἔχοντα ἀντιπαρακείμενον ῥῆμα διὰ τοῦ ευω διὰ τοῦ ῑ γράφεται οἷον ἱκεcία, τὸ δὲ ἱκετεία διὰ τῆc ει διφθόγγου, ἱκετεύω γάρ· μετουcία, ἀφαcία, γερουcία, πανδοcία, ἐκκληcία, ὑπερβαcία. πρόcκειται «μὴ ἔχοντα ἀντιπαρακείμενον ῥῆμα διὰ τοῦ ευω» διὰ τὸ περιccεύω περιccεία διὰ τῆc ει διφθόγγου.

---

l. 1 Choer. 269, 23. ἀλουcία Herodianus videtur sic propagasse λούcω λουcία καὶ ἀλουcία cf. infra. l. 4 Choer. 182, 10. l. 9 Choer. 179, 9; 178, 25 et 28, Theogn. 105, 1, περὶ ποc. 299, 22, ubi ὁ πολιτικὸc διὰ τοῦ ῑ corruptum est ex ποιητικώτερον ut in E. M. 462, 15; περὶ ποc. 299, 29. l. 15 E. M. 462, 14 cf. Lob. El. II 28 ad Phrynich. 493. de προμήθεια cf. etiam An. Ox. II 402, 27 ἐκ τοῦ μήθω τὸ μανθάνω προμηθήc καὶ προμήθεια καὶ προμηθία. τὰ γὰρ παρὰ τὸ μαθεῖν cύνθετα ἅπαντα διφοροῦνται πλὴν τοῦ ἀμαθία et de compositis a φυή E. M. 399, 37 εὐφυΐα: ὤφειλε διὰ διφθόγγου ὡc γίνεται ἀπὸ τῶν εἰc ηc ὡc εὐcεβήc εὐcέβεια, ἀλλὰ τὰ παρὰ τὸ φύω καὶ ὄζω (pro δυc scr.) cύνθετα διὰ τοῦ ῑ γράφεται οἷον εὐωδία δυcωδία, ἀφυΐα καὶ εὐφυΐα. l. 24 περὶ ποc. 300, 12, Choer. 180, 17; 219, 26, E. M. 558, 1 cf. Lob. ad Ai. 158 et Parall. 164. l. 27 Theogn. 105, 16. l. 30 Theogn. 105, 19, γερουcία — ὑπερβαcία l. 33 addidi ex

. Τὰ διὰ τοῦ νια θηλυκὰ ἔχοντα μακρὸν τὸ α διὰ τοῦ ι γράφεται μὴ ὄντα ἀπὸ τῶν διὰ τοῦ ευω ῥημάτων οἷον μανία, πενία, γωνία, ξενία, Βιθυνία, γειτονία, ἁρμονία, ἀνία. πρόσκειται «ἔχοντα μακρὸν τὸ α» διὰ τὸ δυσγένεια, εὐγένεια, σαφήνεια, εὐμένεια. πρόσκειται «μὴ ὄντα ἀπὸ τῶν διὰ τοῦ ευω ῥημάτων» διὰ τὸ ἑρμηνεία, πορνεία, ἀλαζονεία.

Πάντα τὰ διὰ τοῦ ια καθαρεύοντα παροξύτονα διὰ μόνου τοῦ ι γράφεται οἷον εὐφυΐα, μεγαλοφυΐα, λογοποιΐα. τὸ δὲ ὑγίεια προπαροξυτόνως λέγεται.

Τὰ διὰ τοῦ ια θηλυκὰ μονογενῆ παροξύτονα ὑπὲρ δύο συλλαβὰς ὄντα κατὰ κοινὴν διάλεκτον, μὴ ὄντα σύνθετα ἀπὸ ἁπλοῦ ἔχοντα τὴν ει δίφθογγον μήτε ἀπὸ ἐθνικῶν γινόμενα κύρια διὰ τοῦ ι γράφεται οἷον κοιλία, ἀγγελία, εὐσπλαγχνία, ἀδοξία, εὐδία, ἁμαρτία, δυσωδία, φαντασία, εὐμορφία, θεωρία, οἰκία. πρόσκειται «μονογενῆ» διὰ τὸ Πολυδευκεία χεὶρ καὶ Ἀγαμεμνονεία ναῦς. ταῦτα γὰρ διὰ τῆς ει διφθόγγου γράφεται ὅτι τριγενῆ ἐστιν, Ἀγαμεμνόνειος Ἀγαμεμνονεία Ἀγαμεμνόνειον. πρόσκειται «παροξύτονα» διὰ τὸ εὐσέβεια καὶ ἀναίδεια· ταῦτα γὰρ διὰ τῆς ει διφθόγγου γράφεται. πρόσκειται «ὑπὲρ δύο συλλαβὰς» διὰ τὸ μνεία καὶ χρεία. ταῦτα γὰρ ὁμοίως γράφεται· πρόσκειται «κατὰ κοινὴν διάλεκτον», ἐπειδὴ πολλάκις οἱ Ἀθηναῖοι ἐπὶ τῶν διὰ τοῦ εια προπαροξυτόνων μακρὸν ποιοῦσι τὸ α καὶ καταβιβάζουσι τὸν τόνον καὶ φυλάττουσι τὴν ει δίφθογγον οἷον ἀλήθεια κοινῶς καὶ ἀληθεία Ἀττικῶς, ἱέρεια κοινῶς καὶ ἱερεία Ἀττικῶς. πρόσκειται «μὴ ὄντα σύνθετα ἀπὸ ἁπλῶν ἔχοντα τὴν ει δίφθογγον» διὰ τὸ σιτοδεία, ὃ σημαίνει τὴν ἔνδειαν τοῦ σίτου. τοῦτο γὰρ πρὸ τοῦ α τόνον ἔχει, ἀλλ' ἀπὸ ἁπλοῦ γέγονεν ἔχοντος τὴν ει δίφθογγον. ἀπὸ γὰρ τοῦ δεία, ὃ σημαίνει τὴν ἔνδειαν, ὅπερ διὰ τῆς ει διφθόγγου γράφεται, ἐφύλαξε τὴν ει δίφθογγον. πρόσκειται «μὴ ἀπὸ ἐθνικῶν γινόμενα κύρια», ἐπειδή ἐστιν Ἀργεῖος ἀνὴρ ἀπὸ τοῦ Ἄργους καὶ Ἀργεία γυνὴ ἡ τοῦ Ἄργους. καὶ γίνεται τὸ Ἀργεία ὄνομα κύριον καὶ φυλάττει τὴν ει δίφθογγον τοῦ ἐθνικοῦ. τούτων οὖν οὕτως ἐχόντων τὸ ὑγεία πρὸ μιᾶς τὸν τόνον ἔχον οὐκ ἀντίκειται ἡμῖν γραφόμενον διὰ τῆς ει διφθόγγου, ἐπειδὴ δυνάμει προπαροξυτόνόν ἐστιν. ὥσπερ γὰρ ἀπὸ τοῦ εὐσεβής γέγονεν εὐσέβεια, οὕτως ἀπὸ τοῦ ὑγιής ὑγίεια προπαροξυτόνως καὶ κατὰ κρᾶσιν τοῦ ι καὶ τῆς ει διφθόγγου γέγονεν ὑγεία. δεῖ σημειώσασθαι τὸ ἀνδρεία, ὅτι πρὸ μιᾶς τὸν τόνον ἔχον διὰ τῆς ει διφθόγγου γράφεται. λέγω δὲ τὸ ἐπὶ τῆς ἀρετῆς οἷον ἡ ἀνδρεία ὥσπερ ἡ δικαιο-

---

Ep. Cr. I 421, 8. l. 1 Choer. 169, 1, περὶ ποc. 303, 31, Ep. Cr. I 41, 5, An. Ox. II 320, 14 et 339, 13. l. 7 περὶ ποc. 301, 1. l. 10 περὶ ποc. 305, 21, cum quo loco congruit fere E. M. 461, 35, ubi Atticis formis productis adduntur εὔκλεια, θυεία ἡ ἴγδη; de quo cf. Lob. ad Phrynich. 165, et memoratur Apollonium per ι exhibere ἀνδρία, Orum autem per ει scribere: εὕρηται γὰρ κατὰ διάστασιν ἀνδρεῖα.

σύνη. πρόσκειται «τὸ ἐπὶ τῆς ἀρετῆς», ἐπειδὴ ἐπὶ τῆς γυναικὸς ὥσπερ ἀνδρεῖος ἀνήρ ἀνδρεία γυνή.

Πάντα τὰ εἰς ιλλα ὀνόματα διὰ τοῦ ῑ γράφεται, σκίλλα ἡ βοτάνη, Κίλλα ἡ πόλις, Μύριλλα, Τελέσιλλα, Κύδιλλα.

Τὰ διὰ τοῦ ῑνα ἀποστρέφεται τὴν ει δίφθογγον, Μύρινα, Ἄρπινα, Ἰουστῖνα, Φαυστῖνα, Ἀντωνῖνα, Κωνσταντῖνα, Καμάρινα χωρὶς τοῦ πεῖνα τοῦ ἐπὶ τῆς ἐνδείας, πῖνα δὲ ἐπὶ τοῦ θαλασσίου διὰ τοῦ ῑ, καὶ τοῦ τέρεινα, ὃ σημαίνει τὴν ἁπαλήν.

Τὰ διὰ τοῦ ιννα διὰ τοῦ ῑ γράφεται, Φίλιννα, Ἤριννα, Κόριννα, Βίτιννα.

Πάντα τὰ διὰ τοῦ ειρα προπαροξύτονα διὰ τῆς ει διφθόγγου γράφεται κτλ.

Τὰ διὰ τοῦ ισα μὴ ὄντα ἀπὸ ῥημάτων ἐχόντων τὴν ει δίφθογγον διὰ τοῦ ῑ γράφεται οἷον σάρισα, Πῖσα, Λάρισα, Ἔμισα, Κρῖσα, κνῖσα, Νῖσα. πρόσκειται «μὴ ὄντα ἀπὸ ῥημάτων ἐχόντων τὴν ει δίφθογγον» διὰ τὸ πεῖσα ἡ πειθὼ καὶ δεῖσα ἡ ὑγρασία. ἀπὸ γὰρ τοῦ δεύσω μέλλοντος γέγονε δεῦσα καὶ κατὰ τροπὴν τοῦ ῡ εἰς ῑ δεῖσα.

Πάντα τὰ εἰς σσα λήγοντα διὰ τοῦ ῑ γράφεται, κίσσα, πίσσα, βασίλισσα, Φοινίκισσα, μέλισσα· οὐδέποτε γὰρ πρὸ τῶν δύο σσ ἡ ει δίφθογγος εὑρίσκεται κτλ.

Τὰ εἰς ᾱ λήγοντα δισύλλαβα μονογενῆ ἔχοντα πρὸ τοῦ ᾱ διπλοῦν διὰ τοῦ ῑ γράφεται, ῥίζα, σχίζα, δίψα, Φρίξα.

Τὰ εἰς ᾱ λήγοντα ὑπὲρ δύο συλλαβὰς ἔχοντα πρὸ τοῦ ᾱ διπλοῦν διὰ τοῦ ῑ γράφεται οἷον Δούριζα λίμνης ὄνομα, Τυρόδιζα ὄνομα πόλεως.

Περὶ τῶν εἰς η.

Τὰ εἰς η λήγοντα θηλυκὰ ἔχοντα πρὸ τοῦ η ἢ τὸ β ἢ τὸ γ ἢ τὸ δ οὐ θέλει τῇ ει διφθόγγῳ παραλήγεσθαι οἷον τριβή, ἐρυσίβη, στίβη ἡ ψυχρία, Θήβη, ἥβη ἡ ἀκμή, βλάβη, λώβη, λοιβή ἡ σπονδή, στοιβή, ἀμοιβή ἡ ἀνταπόδοσις.) ταῦτα μὲν δίφθογγον ἔχει, ἀλλ' οὐ τὴν ει. τὰ δὲ ἔχοντα τὸ γ οἷον σιγή, πηγή, καὶ τὸ δ Σίδη, κνίδη ὁ κόσμος καὶ ἡ τρυφή.

---

l. 3 Theogn. 100, 27, περὶ ποσ. 302, 20. l. 5 περὶ ποσ. 298, 6, Choer 171, 8; 227, 21; 250, 12; 269, 1, Ep. in Psalm. 139, 30, Theogn. 100, 31, E. M. 27, 9. l. 9 Theogn. 100, 33. l. 11 cf. fr. 14. Choer. 196, 20, περὶ ποσ. 300, 14, Ep. Cr. I 357, 28. l. 13 Choer. 236, 8; 227, 8; 248, 19; 199, 13 et 196, 16, Theogn. 102, 3, Eustath. 1766, 29 et 1819, 39. Scriptura vocis δεῖσα fluctuasse videtur inter ῑ et ει, nam ap. Hesych. δίσαλα i. e. δῖσα vel δισαλία legitur et in E. M. 263, 1 etiam etymon δίω, unde δῖσα fiat, proponitur. l. 18 Theogn. 99, 31, περὶ ποσ. 304, 8. l. 21 Theogn. 100, 12. l, 23 Theogn. 100, 15. l. 26 περὶ ποσ. 301, 34, Choer. 257, 20; 256, 25; 262, 9, Theogn. 108 et 109; de nominibus in δη singularem canonem profert E. M. 465, 54 τὰ εἰς δη βαρύτονα οὐ θέλει διφθόγγῳ παραλήγεσθαι, κνίδη, ἔστι δὲ βοτάνη στυπτική, Σίδη ὄνομα πόλεως, πέδη, σημαίνει δὲ τὸν δεσμόν, κράδη, σημαίνει τὴν συκῆν. πρόσκειται «βαρύτονα» διὰ τὸ σπουδή καὶ αὐδή cf. An. Ox. I 258, Lob. Rhem. p. 258.

Τὰ εἰς η λήγοντα θηλυκὰ ἔχοντα πρὸ τοῦ η ἢ τὸ θ ἢ τὸ φ ἢ τὸ χ οὐ θέλει τῇ ει διφθόγγῳ παραλήγεσθαι οἷον τίτθη ἡ τροφός, κριθή, μέθη, ποθή ἡ ἐπιπόθησις, ἀγρίφη τὸ δίκελλον, σκιδάφη ἡ ἀλώπηξ, Ἐρίφη, κορυφή. Μυστίχη, πυρρίχη, Σιμίχη.

Τὰ εἰς η λήγοντα θηλυκὰ ἔχοντα πρὸ τοῦ η ἢ τὸ λ ἢ τὸ μ ἢ τὸ ν οὐ παραλήγεται τῇ ει διφθόγγῳ οἷον κίχλη, τρίγλη, ὁμίχλη, εἰσίθμη, ἰφθίμη, τιμή, παλάμη, σπιθαμή, αἰχμή ἡ λόγχη, πολίχνη ἡ μικρὰ πόλις, λίμνη, κυλίχνη, σημαίνει δὲ φιάλην ἰατρικήν, Αἴτνη χωρὶς τοῦ Εὐδείπνη, ἔστι δὲ ὄνομα νήσου, καὶ τοῦ πείνη, ἀπὸ γὰρ τοῦ πένομαι γέγονε πεῖνα καὶ κατὰ τροπὴν Ἰώνων τοῦ α εἰς η πείνη.

Τὰ εἰς η λήγοντα θηλυκὰ ἔχοντα πρὸ τοῦ η ἢ τὸ κ ἢ τὸ π ἢ τὸ τ οὐ θέλει τῇ ει διφθόγγῳ παραλήγεσθαι.

Τὰ διὰ τοῦ ιλη μήτε ἀπὸ κράσεως ἔχοντα μήτε ἀπὸ πλεονασμοῦ τὸ ι ἀποστρέφεται τὴν ει δίφθογγον οἷον σμίλη τὸ σμιλίον, ἴλη ἡ ἄθροισις, παστίλη ἡ τελευταία ἡμέρα τοῦ ἐνιαυτοῦ, σπατίλη τὸ ἀπόξυσμα τῶν δερμάτων καὶ τὸ ὑγρὸν διαχώρημα, μυστίλη ὁ κοῖλος ἄρτος, μαρίλη ἡ κόνις ἡ γινομένη ἐκ τοῦ σβέννυσθαι τοὺς καρπούς. πρόσκειται ἐν τῷ κανόνι «μὴ ὄντα ἀπὸ κράσεως» διὰ τὸ δείλη ἡ δειλινή. τοῦτο γὰρ διὰ τῆς ει διφθόγγου γράφεται, ἀλλ' ἀπὸ κράσεώς ἐστιν, ἀπὸ γὰρ τοῦ ἐνδεῖν τῇ ἕλῃ, ὅ ἐστι τῇ θερμασίᾳ — τότε γὰρ ἄρχεται ἡ θερμασία τοῦ ἡλίου ἐνδεῖν — γέγονε δεέλη καὶ κατὰ κρᾶσιν τῶν δύο εε εἰς τὴν ει δίφθογγον δείλη. πρόσκειται πάλιν «μὴ ἔχοντα ἀπὸ πλεονασμοῦ τὸ ι» ἐπειδὴ ἀπὸ τοῦ ἕλη τοῦ σημαίνοντος τὴν θερμασίαν γίνεται εἵλη διὰ τῆς ει διφθόγγου κατὰ πλεονασμὸν τοῦ ι. δεῖ προσθεῖναι χωρὶς τοῦ ὀφειλή τὸ χρέος καὶ ἀπειλή καὶ ὠτειλή τὸ τραῦμα.

Τὰ διὰ τοῦ ινη μονογενῆ, μὴ γενόμενα ἀπὸ ἐπιθέτων κύρια ἀποστρέφεται τὴν διὰ τῆς ει διφθόγγου γραφὴν οἷον δίνη, ῥινή, ἰατρίνη, θριδακίνη, ὑσμίνη, Ὠκεανίνη, Εὐηνίνη, Αἰητίνη, Ἀδρηστίνη, εἰλαπίνη, μυρσίνη, Κλεοβουλίνη, δωτίνη, ἡρωΐνη, ῥητίνη, ἀξίνη, Παλαιστίνη. πρόσκειται «μονογενῆ» διὰ τὸ ἐκεῖνος ἐκείνη. πρόσκειται «μὴ ἀπὸ ἐπιθέτων γινόμενα κύρια» διὰ τὸ φωτεινός φωτεινή καὶ τὸ κύριον ὄνομα Φωτεινή. μετάγεται γὰρ ἀπὸ ἐπιθέτου. χωρὶς τοῦ πείνη, ὅπερ ἀπὸ τοῦ πεῖνα γέγονεν.

Τὰ εἰς τη λήγοντα οὐ θέλει τῇ ει διφθόγγῳ παραλήγεσθαι οἷον

l. 1 περὶ ποσ. 302, 7, Choer. 257, 20, E. M. 44, 22, ubi Σίφη ἡ πόλις additur. l. 5 περὶ ποσ. 302, 12, Choer. 257, 20; 264, 23. l. 11 Choer. 257, 20. An. Ox. II 321, 20 τὰ εἰς η λήγοντα θηλυκὰ παραληγόμενα ἑνὶ τῶν ψιλῶν ἢ ἑνὶ τῶν δασέων ἢ τὸ κ λ μ ν οὐ θέλουσι τῇ ει διφθόγγῳ παραλήγεσθαι πλὴν τοῦ Εὐδείπνη, πείνη, εἵλη, ὀφειλή, ἀπειλή, ὠτειλή. l. 13 περὶ ποσ. 303, 16, Choer. 259, 28; 195, 26, An. Ox. II 347, 8, Theogn. 110 et 111; in E. M. 655, 48 παστείλη per ει scriptum est. cf. Lob. Proll. 108. l. 26 Choer. 170, 33 coll. E. M. 276, 15, E. Gud. 146, 36 et 9, 6, Choer. 190, 18; 172, 16; 191, 8; 199, 33; 216, 9; 218, 22; 255, 5 et 6; 270, 5, περὶ ποσ. 306, 25, Ep. Cr. I 422, 10. l. 34 Choer. 169, 23.

Ἀμφιτρίτη, Ἀφροδίτη, λιτή πλὴν τοῦ εἱρκτή. τοῦτο γὰρ διὰ τῆς ει διφθόγγου γράφεται.

Τὰ εἰς τη λήγοντα θηλυκὰ βαρύτονα ὑπὲρ δύο συλλαβὰς ἑνὶ φωνήεντι παραλήγεται, Θεοδότη, μελέτη, Ἀφροδίτη, Ἀμφιτρίτη, ἐλάτη. πρόσκειται «ὑπὲρ δύο συλλαβὰς» διὰ τὸ χαίτη ἡ θρὶξ καὶ κοίτη. πρόσκειται «βαρύτονα» διὰ τὸ τελευτή ὀξύτονον.

Περὶ οὐδετέρων.

Τὰ διὰ τοῦ ιον οὐδέτερα δισύλλαβα μονογενῆ βαρύτονα διὰ τοῦ ι γράφεται οἷον μνίον, ῥίον, σίον, ἴον, δρίον, τοῦτό τινες καὶ δρίος γράφουσι, Δῖον ἡ πόλις. σεσημείωται τὸ κρεῖον τὸ δεκτικὸν τῶν κρεῶν ἀγγεῖον, εἶον ὃ καὶ ἤϊον ἐν διαλύσει λέγεται, τὸ εἰς τὸ ἰέναι ἐπιτήδειον, νεῖον τῆς νηὸς τὸ πυθμενοειδὲς ξύλον, διὰ τῆς ει διφθόγγου γραφόμενα.

Τὰ ὑποκοριστικὰ διὰ τοῦ ι γράφεται οἷον ἰχθύδιον, δελφάκιον.

Τὰ διὰ τοῦ ιδιον ὑποκοριστικὰ τὴν τρίτην ἀπὸ τέλους, εἰ μὲν ἀπὸ πρωτοτύπου ἔχει τὸ ε, διὰ τῆς ει διφθόγγου γράφεται οἷον φύσεως φυσείδιον, λέξεως λεξείδιον, γλυκείδιον, ἑξείδιον, ὀξείδιον, ῥησείδιον, ταμιείδιον, θυείδιον, εἰ δὲ μή, διὰ τοῦ ι βιβλίον βιβλίδιον, κοιλία κοιλίδιον, γωνία γωνίδιον, ὀψάριον ὀψαρίδιον, κοχλίας κοχλίδιον, ῥιπίδιον, σελίδιον, ψαλίδιον, γραμματίδιον, ὅτε ἀπὸ τοῦ γραμμάτιον ὑποκοριστικόν, διὰ τοῦ ι, ὅτε δὲ ἀπὸ τοῦ γραμματεῖον, διὰ τῆς ει διφθόγγου.

Τὰ διὰ τοῦ οντιον ὑποκοριστικὰ μονογενῆ διὰ τοῦ ι γράφει τὴν παραλήγουσαν οἷον λεόντιον ὁ μικρὸς λέων, δρακόντιον, ἀκόντιον, ὀδόντιον ἡ βοτάνη καὶ τὸ τοῦ στόματος, γερόντιον. τὸ δὲ δρακόντειον αἷμα καὶ λεόντειον μετουσιαστικὰ καὶ τὸ γερόντειον κτητικόν.

Τὰ διὰ τοῦ ιον οὐδέτερα πρὸ μιᾶς τὸν τόνον ἔχοντα μὴ ὄντα κτητικὰ μηδὲ ἀπὸ τῶν διὰ τοῦ ευω ῥημάτων ἢ ἀπὸ τῶν εἰς ω ληγόντων ἐνεστώτων διὰ τοῦ ι γράφεται οἷον ἐρκίον, τειχίον, τεκνίον, βιβλίον. πρόσκειται «μὴ ὄντα κτητικὰ» [διὰ τὸ κουρεῖον, βαφεῖον], πρόσκειται «μὴ ἀπὸ τῶν διὰ τοῦ ευω ῥημάτων» [διὰ τὸ πορνεύω πορνεία, πρυτανεύω πρυτανεία]. πρόσκειται «μὴ ὄντα ἀπὸ τῶν εἰς ω ῥημάτων» διὰ τὸ ἄγω ἀγγεῖον, λέγω λογεῖον καὶ ἀναλογεῖον.

Τὰ διὰ τοῦ ιον οὐδέτερα μονογενῆ προσηγορικὰ ἔχοντα μετὰ τὴν πρώτην δύο σύμφωνα κατὰ σύλληψιν ἢ κατὰ διάστασιν, πρὸ τέλους ἔχοντα τὸν τόνον, μὴ ὄντα ἀπὸ τῶν διὰ τοῦ ευω ῥημάτων διὰ τοῦ

---

l. 3 Choer. 173, 16, unde E. M. 94, 46; περὶ ποσ. 304, 13, Choer. Ep. in Psalm. 38, 3. l. 8 Theogn. 121, 12, Arc. 119, 4. l. 14 περὶ ποσ. 309, 32. l. 15 Theogn. 121, 21, Choer. 187, 29; 206, 26; 220, 1; 238, 18; 246, 24; 255, 20; 266, 19; 185, 2; 230, 16; 244, 19; 256, 21; 257, 29; 190, 11, E. M. 241, 4. l. 23 Theogn. 123, 1, Herod. in E. M. 226, 49. l. 27 An. Ox. II 322, 5; lacunas codicis explevi verbis uncinis inclusis. l. 34 Theogn. 123, 24.

ῑ γράφεται οἷον ὀγκίον, ἀντίον τοῦ ἱστοῦ, κυμβίον, ἰςχίον. πρόςκειται «μὴ ἔχοντα ῥῆμα διὰ τοῦ ευω» διὰ τὸ πορνεύω πορνεῖον.

Τὰ διὰ τοῦ αντιον οὐδέτερα μονογενῆ διὰ τοῦ ῑ γράφεται οἷον Αἰάντιον ἡ πόλις, Περγάντιον ἡ πόλις, βαλάντιον τὸ ἀκόντιον. πρόςκειται «μονογενῆ», ἐπεὶ τὰ τριγενῆ διὰ τῆς ει διφθόγγου γράφεται οἷον Αἰάντειον βούλημα.

Τὰ διὰ τοῦ ινιον μονογενῆ οὐδέτερα διὰ τοῦ ῑ γράφει τὴν παραλήγουςαν οἷον ἑλένιον ἡ βοτάνη, Ὁρμένιον, Παρθένιον ὄνομα ὄρους, αὐχένιον. τοῦτο δὲ διφορεῖται ὡς καὶ διὰ τῆς ει διφθόγγου γράφεται. ςεςημείωται τὸ γένειον διὰ τῆς ει διφθόγγου γραφόμενον.

Τὰ ἀπὸ τῶν εἰς ευς διὰ τοῦ ειον γενόμενα οὐδέτερα μονογενῆ διὰ τῆς ει διφθόγγου γράφεται καὶ προπεριςπᾶται, κουρεύς κουρεῖον, κναφεύς κναφεῖον, γραμματεύς γραμματεῖον, βαλανεύς βαλανεῖον, βαφεύς βαφεῖον πλὴν τοῦ Θηςεύς Θήςειον καὶ Φύτειον πόλις ἀπὸ Φυτέως τοῦ κτίςαντος αὐτήν. πρόςκειται «μονογενῆ» διὰ τὸ βαςιλεύς βαςίλειον· ἔςτι δὲ τριγενές. βαςίλειος οἶκος, βαςιλεία χείρ καὶ βαςίλειον οἴκημα.

Τὰ ἀπὸ τῶν εἰς ω διὰ τοῦ ειον γινόμενα οὐδέτερα διὰ τῆς ει διφθόγγου γράφεται καὶ προπεριςπᾶται, γράφω γραφεῖον, ἄγω ἀγγεῖον, λέγω λογεῖον, φέρω φορεῖον, πορνεύω πορνεῖον, πρυτανεύω πρυτανεῖον, ταμιεύω ταμιεῖον.

Τὰ ἀπὸ τῶν εἰς ος ἀρςενικῶν παρηγμένα οὐδέτερα εἰς ον καθαρὸν λήγοντα διὰ τῆς ει διφθόγγου γράφεται οἷον πρῶτος πρωτεῖον, διδάςκαλος διδαςκαλεῖον, ςτοῖχος ςτοιχεῖον.

Τὰ ἀπὸ τῶν εἰς ος οὐδετέρων διςυλλάβων διὰ τοῦ ειον γινόμενα οὐδέτερα μονογενῆ διὰ τῆς ει διφθόγγου γράφεται, δάνος δάνειον, γένος γένειον, βρένθος βρένθειον, γήτος γήτειον. πρόςκειται «μονογενῆ» διὰ τὸ ἄγος ἅγιον διὰ τοῦ ῑ. ἀλλ᾽ οὐκ ἔςτι μονογενές, ὁ ἅγιος γὰρ καὶ ἡ ἁγία καὶ τὸ ἅγιον. χωρὶς τοῦ ἴχνος ἰχνίον.

Τὰ διὰ τοῦ ειον οὐδέτερα ἀπὸ τῶν εἰς μα οὐδετέρων γινόμενα πρὸ τέλους ἔχοντα τὸν τόνον μὴ ὑποκοριςτικὴν ἔχοντα ςημαςίαν διὰ τῆς ει διφθόγγου γράφεται οἷον ςῆμα ςημεῖον, ςῶμα ςωματεῖον, γράμμα γραμματεῖον. τὸ δὲ ςωμάτιον καὶ γραμμάτιον ὑποκοριςτικά ἐςτι καὶ προπαροξύτονα καὶ διὰ τοῦ ῑ γράφεται.

Εἰςί τινα ἀπὸ τῶν εἰς διπλοῦν ληγόντων γινόμενα διὰ τοῦ ειον, ἅτινα διὰ τῆς ει διφθόγγου γράφεται οἷον Κύκλωψ Κυκλώπειον· ἔςτι δὲ ὄρος ἐν Λιβύῃ, Φοῖνιξ Φοινίκειον, κῆρυξ Κηρύκειον.

Τὰ διὰ τοῦ ειον τριςύλλαβα κύρια ἢ καὶ ἰδιάζοντα κατὰ πόλεων

l. 3 Theogn. 124, 8. l. 7 Theogn. 124, 24. l. 11 περὶ ποc. 308, 21, Choer. 219, 10 coll. E. Gud. 262, 54 et E. M. 451, 45. l. 17 περὶ ποc. l. c. Choer. 237, 9; 189, 17, E. M. 569, 21; 280, 27; 253, 24; 268, 19. l. 21 περὶ ποc. 308, 31. l. 24 Choer. 189, 9; 183, 16, E. M. 225, 43; 230, 25, Choer. Ep. in Psalm. 28, 21. l. 29 περὶ ποc. 309, 3, Choer. 262, 22. l. 34 Choer 230, 28, E. M. 511, 47, ubi additum est: ἰςτέον ὅτι ἔςτι καὶ κηρύκιον διὰ τοῦ ῑ, ὅπερ ἐπὶ μόνης τῆς ῥάβδου λέγεται τοῦ Ἑρμοῦ. l. 37 Theogn. 127, 25, Choer.

προπαροξύτονα διὰ τῆς ει διφθόγγου γράφεται· εἶπον δὲ «ἰδιάζοντα» διὰ τὸ Λάγειον παρὰ Ἀλεξανδρεῦσιν ἐν αὐτῇ τῇ πόλει μόνον λεγόμενον καὶ τὸ Λύκειον Ἀθήνησι, Χλούνειον τόπος ἐν Αἰωλίᾳ, ὅπου ἦν ὁ χλούνης, Λαύρειον τόπος ἐν Ἀττικῇ ἔχων μέταλλα· τὸ γὰρ χαλκεῖον προπερισπώμενον κοινὸν κατὰ πᾶσαν πόλιν ἐπὶ τόπου λαμβανόμενον. ἔστωσαν δὲ παραδείγματα τοῦ κανόνος ταῦτα· Γύθειον, Σέρρειον ἡ πόλις, Φίκειον ὄνομα τόπου. τοῦτο δὲ εὕρηται καὶ διὰ βραχέος τοῦ ῑ. ἴσως δὲ ξυνέδραμε τῷ Ῥύτιον Αἴγιον Σούνιον. Βούδειον, Σίγειον, Λέπρειον Καυκώνων πόλις, Ῥοίτειον πόλις, Φύτειον, Κράνειον γυμνάσιον ἐν Κορίνθῳ.

Τὰ διὰ τοῦ ειον τρισύλλαβα ν παραληγόμενα προπαροξύτονα ἀπὸ ἑνὸς φωνήεντος ἀρχόμενα διὰ τῆς ει διφθόγγου γράφεται, ὄνειον, Φάνειον, κράνειον, κώνειον, δάνειον, γένειον, κάνειον, Πάνειον, κτένειον.

Τὰ διὰ τοῦ ειον μονογενῆ τρισύλλαβα προπαροξύτονα ἀπὸ ἑνὸς συμφώνου ἀρχόμενα, ἔχοντα τὸ η ἢ τὸ ω διὰ τῆς ει διφθόγγου γράφεται, κώρειον, ζώτειον, γήτειον, χήλειον, γήρειον, βήχειον, κήτειον.

Τὰ διὰ τοῦ ειον μονογενῆ τρισύλλαβα προπερισπώμενα διὰ τῆς ει διφθόγγου γράφεται, μνημεῖον, σημεῖον, πρωτεῖον, σφηκεῖον, ἠχεῖον, πορνεῖον, λυχνεῖον, ἀρχεῖον, φυλλεῖον, στοιχεῖον, ἀγγεῖον, χυτρεῖον, χυρρεῖον, τοπεῖον, σκαφεῖον, κουρεῖον τὸ κοινῶς λεγόμενον. τὸ δὲ ἰδίως παρ' Ἀθηναίοις προπαροξύνεται καὶ διὰ τοῦ ῑ γράφεται, γραφεῖον, πρεσβεῖον, χαλκεῖον, λοφεῖον, πορθμεῖον, μουσεῖον, βραβεῖον, φορεῖον, πορεῖον, ποδεῖον, πομπεῖον, ὀχεῖον. σεσημείωται βαΐον ἐπὶ φοίνικος διὰ τοῦ ῑ γραφόμενον.

Τὰ διὰ τοῦ ιον οὐδέτερα ὑπὲρ τρεῖς συλλαβὰς μονογενῆ προπαροξύτονα διὰ τοῦ ῑ γράφεται οἷον Βυζάντιον, παρθένιον, γενέθλιον, θεοφάνιον, συβόσιον, αἰπόλιον χωρὶς τῶν κτητικῶν διὰ τὸ Ἀνακτόρειον καὶ Ἡράκλειον.

Τὰ διὰ τοῦ ειον οὐδέτερα μονογενῆ ὑπὲρ τρεῖς συλλαβὰς πρὸ μιᾶς τὸν τόνον ἔχοντα διὰ τῆς ει διφθόγγου γράφεται οἷον μαγειρεῖον, ἰατρεῖον, ὀρφανοτροφεῖον, ἰχθυοτροφεῖον, ἰαμβεῖον, βαλανεῖον, ὀπτανεῖον, ὅπερ παρὰ τοῖς Ἀττικοῖς προπαροξύνεται καὶ διὰ τοῦ ῑ γράφεται. πρόσκειται «μονογενῆ» διὰ τὸ ἐναντίον. «πρὸ μιᾶς τὸν τόνον ἔχοντα» διὰ τὸ αἰπόλιον καὶ ἀρτοπώλιον. «ὑπὲρ τρεῖς συλλαβὰς» διὰ τὸ παιδίον· οὐκ ἀναστρέφοντος τοῦ κανόνος· οὐ γὰρ πάντα τὰ τρισύλλαβα διὰ τοῦ ῑ. ἰδοὺ γὰρ τὸ πτωχεῖον, πορνεῖον, πρωτεῖον διὰ τῆς ει διφθόγγου γράφεται.

255, 23; 237, 20, 24, E. M. 533, 29, Arc. 121, 1. l. 11 Theogn. 128, 4, Arc. 121, 3, Choer. 233, 12. l. 14 Theogn. 128, 9. Post τὸ ω verba μὴ ἔχοντα τὸ μ πρὸ τῆς ει διφθόγγου, quae ad accentum e. g. in σημεῖον spectant, omisi. l. 17 Theogn. 128, 16, περὶ πος. 309, 1. l. 25 An. Ox. II 322, 1 et 333, 23. l. 29 Choer. 186, 6; 192, 20, E. M. 187, 10, περὶ πος. 308, 26, Theogn. 128, 29.

Τὰ διὰ τοῦ ειον ὑπὲρ τρεῖς συλλαβὰς κύρια μονογενῆ ποπαροξύτονα διὰ τῆς ει διφθόγγου γράφεται, Ἀδραμύττειον, Κροκύλειον, Ὑπάτειον, Ἐφιάλτειον, Κηρύκειον, Ταντάλειον, Δασκύλειον, Φορβάντειον, Νάξειον, Κυκλώπειον, Μυρμήκειον. τὸ γὰρ ἕτερον προπερισπᾶται. Κλεάδειον, Γορδίειον, Δοκιμίειον πόλεις Φρυγίας, Δορυλάειον, Κοτιάειον, Καπετωλίειον καὶ ἐν συναιρέσει Καπετώλειον.

Τὰ ἐπὶ τεμενῶν καὶ ἑορτῶν διὰ τοῦ ειον οὐδέτερα μονογενῆ ὑπὲρ τρεῖς συλλαβὰς προπαροξύτονα καὶ προπερισπώμενα διὰ τῆς ει διφθόγγου γράφεται πρυτανεῖον, Νεμεσεῖον, Σεραπεῖον, Ὀσιρεῖον, Ἀνουβεῖον, Βενδίδειον, Θετίδειον, Ἡράκλειον, Ποσειδώνειον, Χαρώνειον, Αἰάκειον κτλ.

Τὰ διὰ τοῦ ινον προπαροξύτονα ἀποστρέφεται τὴν ει δίφθογγον χωρὶς εἰ μή ἐστιν ἀπὸ ἁπλοῦ ἔχοντος τὴν ει δίφθογγον οἷον κύμινον, σέλινον, ἀνθρώπινον, λίθινον, ξύλινον.· «χωρὶς εἰ μή ἐστιν ἀπὸ ἁπλοῦ» διὰ τὸ ξεῖνος ξένος ἄξεινον.

Τὰ εἰς ρον οὐδέτερα μετ' ἐπιπλοκῆς συμφώνου ὑπὲρ δύο συλλαβὰς ὄντα ἑνὶ φωνήεντι παραλήγεται οἷον πέλεθρον, τέρεθρον, βέρεθρον, φέλετρον καὶ φέλετρα· οὕτω καὶ θύρετρον. πρόσκειται «ὑπὲρ δύο συλλαβὰς» διὰ τὸ ῥεῖθρον καὶ κλεῖθρον.

Τὰ εἰς α λήγοντα ὀνόματα τῶν στοιχείων ἑνὶ φωνήεντι θέλει παραλήγεσθαι οἷον ἄλφα, βῆτα, γάμμα, δέλτα. οὕτως οὖν καὶ τὸ ς ἑνὶ φωνήεντι θέλει παραλήγεσθαι.

Πᾶν ὄνομα οὐδέτερον εἰς ισμα λῆγον διὰ τοῦ ι γράφεται οἷον βάδισμα, ῥάπισμα, σόφισμα. ἀπὸ γὰρ τῶν εἰς ζω ῥημάτων βαδίζω, ῥαπίζω, σοφίζω·. σεσημείωται τὸ ἔρεισμα ἐκ τοῦ ἐρείδω γενόμενον, ὅ ἐστιν ὑποστήριγμα, καὶ δάνεισμα.

Τὰ εἰς ι λήγοντα οὐδέτερα οὐ θέλει τὴν ει δίφθογγον παραλήγεσθαι οἷον μέλι, κιννάβαρι, σίνηπι, πέπερι, στίμμι.

Περὶ ῥημάτων.

Ὅσα ῥήματα ἐν τῷ μέλλοντι ἔχει τὸ ε, ταῦτα πολὺ πρότερον καὶ ἐν τῷ ἐνεστῶτι εἶχεν οἷον κερῶ κείρω, δερῶ δείρω, φθερῶ φθείρω.

l. 1 Theogn. 129,15, Choer. 197, 10 et Καπετώλειον ex Steph. B. s. Καπετώλιον. l. 7 Theogn. 129, 5 cf. Cathol. p. 374, 28. De festorum nominibus cf. An. Ox. III 277, 26: τὰ διὰ τοῦ ια ὀνόματα ἐπὶ ἑορτῶν λεγόμενα διὰ τοῦ ι γράφεται οἷον Ἀπατούρια, Ἀρτοφόρια, Βουφόνια, Διάσια, Ἐλευσίνια, Θαλύσια, Θεσμοφόρια, Ἴσθμια (pro Ἴσια scripsi), Κρόνια, Ποσειδώνια, Τιτάνια, Ὑακύνθια, Ὀσχοφόρια καὶ τὰ ὅμοια πλὴν τοῦ Αἰάκεια, Κυδωνίδεια, Ἀντιγόνεια, Δημήτρεια, Διόμεια, Διπόλεια, Ἡράκλεια, Ἡφαίστεια, Θήσεια, Πανάκεια, Φιλεταίρεια καὶ εἴ τι ὅμοιον. γίνωσκε δὲ ὅτι Ἀσκληπιεῖα (sic scripsi pro Ἀσκληπιαῖα vel Ἀσκληπίαια) ἡ ἑορτὴ τοῦ Ἀσκληπιοῦ διὰ διφθόγγου γράφεται et Theodos. 69, 25 Goettling., qui habet etiam modo prolatum canonem: τὰ διὰ τοῦ ια οὐδέτερα ἐπὶ ἀγώνων λεγόμενα διὰ τοῦ ι γράφεται οἷον Δήλια· ἔστι δὲ ἀγὼν τελούμενος ἐν τῇ Πυθοῖ τῆς Ὀλυμπίας πλὴν τοῦ Νέμεια. Νεμέα γάρ ἐστι καὶ πλεονασμῷ τοῦ ι Νέμεια. ἦν δὲ τὰ Νέμεια ἀγὼν τελούμενος ἐν τῇ Νεμέᾳ cf. Moin. ad Callimach. p. 228. De Ἰλίεια cf. Eustath. 878, 31, Lob. Parall. p. 23. l. 12 Choer. 228, 34 et 258, 6. l. 16 Ep. Cr. I 351, 1, An. Ox. II 324, 3. l. 20 Choer. 259, 3, περὶ ποσ. 309, 23. l. 23 περὶ ποσ. 309, 9. l. 27 Choer. 259, 13. l. 30 περὶ ποσ. 311, 31,

Ὅcα ῥήματα ἐν κινήcει εὑρίcκεται γεννῶντα τὸ ο̄, τὸ ε̄ πρότερον εἶχεν οἷον ἀμείβω ἀμοιβή, λείβω λοιβή, λείχω λοιχός.

Τὰ ἔχοντα ὥcπερ ἀναδιπλαcιαcμόν τινα ἤγουν πλεοναcμὸν κατὰ τὴν ἄρχουcαν διὰ τοῦ ῑ γράφεται οἷον cτῶ ἱcτῶ, δῶ διδῶ, θῶ τιθῶ, χρῶ κιχρῶ, μνήcκω μιμνήcκω, πλῶ πιπλῶ, τρώcκω τιτρώcκω.

Τὰ εἰc βω λήγοντα ῥήματα οὐ θέλει τῇ ει διφθόγγῳ παραλήγεcθαι οἷον cτίλβω, θλίβω, βιβῶ, τρίβω, φέρβω, cέβω, βαυβῶ τὸ καθεύδω. τρία δ' ἐcτὶν εἰc βω ῥήματα διὰ τῆc ει διφθόγγου γραφόμενα οἷον ἀμείβω, cτείβω τὸ περιπατῶ καὶ λείβω καὶ εἴβω κατὰ ἀποβολὴν τοῦ λ̄.

Τὰ εἰc πτω λήγοντα ῥήματα ἑνὶ φωνήεντι παραλήγεται οἷον βάπτω, cκάπτω, τύπτω, ἴπτω, λίπτω, νίπτω, πίπτω, ῥίπτω, πλὴν τοῦ φιλαλειπτῶ.

Τὰ εἰc χω ῥήματα τῇ ει διφθόγγῳ οὐ παραλήγεται οἷον κιχῶ ὀμιχῶ αὐχῶ πλὴν τοῦ cτείχω καὶ λείχω.

Τὰ διὰ τοῦ ειδω ῥήματα εἴτε διcύλλαβα εἴτε τριcύλλαβα διὰ τῆc ει διφθόγγου γράφεται, εἴδω, φείδω, ἐρείδω. τοῦτο διὰ τοῦ ῑ γράφεcθαι λέγει ὁ Ἀπολλώνιοc, ἀλλ' ἡ παράδοcιc διὰ τῆc ει διφθόγγου οἶδεν αὐτὸ γεγραμμένον.

Τὰ διὰ τοῦ ιζω ῥήματα εἴτε διcύλλαβα εἴτε ὑπὲρ δύο cυλλαβὰc διὰ τοῦ ῑ γράφεται οἷον τρίζω, cχίζω, πρίζω, κτίζω, χαρίζω, χωρίζω, βαπτίζω, ὀνειδίζω, αἰκίζω, πορίζω, Λυδίζω, λακτίζω. cεcημείωται τὸ δανείζω, χρήζω, κλήζω, μειζῶ. τὸ μὲν δανείζω ἀπὸ τοῦ δάνειον γέγονε δανειάζω ὥcπερ γένειον γενειάζω καὶ ἐν cυγκοπῇ δανείζω. τὸ δὲ χρήζω διὰ τοῦ η̄ γράφεται καὶ μετὰ τοῦ ῑ, ἐπειδὴ ἀπὸ τοῦ χρέοc γέγονε χρεῖζω καὶ κατὰ τροπὴν τοῦ ε̄ εἰc η̄ καὶ cυναιρέcει τοῦ ῑ γέγονε χρήζω. ὡcαύτωc ἀπὸ τοῦ κλέοc κλεῖζω καὶ κληῖζω καὶ κλήζω κατὰ διάλεκτον. τὸ δὲ μειζῶ διὰ τῆc ει διφθόγγου, ἐπειδὴ ἀπὸ τοῦ μείζων cυγκριτικοῦ γέγονε· τὸ δὲ μείζων cυγκριτικὸν γράφεται διὰ διφθόγγου, ἐπειδὴ ἀπὸ τοῦ μέγαc γέγονε μεγάτεροc ὁ πρῶτοc τύποc καὶ ὁ δεύτεροc μεγίων καὶ ὁ τρίτοc ὁ διὰ δύο cc μέccων. τὰ δὲ δύο

Choer. 201, 10. l. 1 περὶ ποc. 311, 3, Choer. 175, 29; 238, 7, Theogn. 136, 18. l. 3 περὶ ποc. 312, 34, Choer. 249, 17, E. Gud. 467, 51. l. 6 Choer. 218, 28; 203, 10, 265, 21, Epim. in Psalm. 17, 17. l. 11 Choer. 249, 17; 199, 5; 200, 12; 278, 13; 222, 18; 258, 32; περὶ ποc. 312, 18, Epim. in Psalm. 56, 25, exceptum ἐρείπτω ἀνερείπτω, ἀφ' οὗ ἀνηρείψαντο omisi ut fictum ab epitomatoribus ex aoristo ἀνηρείψαντο Lob. Rhem. p. 43 seqq.; sed conferas fr. 31. l. 14 Choer. Orth. 245, 1 cf. Dict. 590, 2. l. 16 Choer. 202, 5, E. M. 372, 22, Choer. Dict. 571, 22 cf. Lob. Rhem. 72. l. 20 περὶ ποc. 312, 19, qui locus omnino congruit cum Herodiano περὶ παθῶν in E. Gud. 294, 37 de χρήζω, unde etiam κλήζω addidi, quod fortasse in παίζω ab hoc loco alieno latet. Adnotamentum de ortu comparativi μείζων explevi premens Herodiani vestigia in Il. Pr. C 519 in E. Gud. s. κάρρων, cf. praeterea Mon. 41, 9. Theogn. 142, 6 in reliquis Herodianum secutus est, sed suas ipsius ineptias de origine verbi χρήζω supposuit Herodianeae explicationi. Videas Choer. 260, 20; 185, 6; 193, 10, Dict. 649, 6, Ep. in Psalm. 28, 18.

cc μετέπεσεν εἰς ζ καὶ ἀπετελέσθη μέζων καὶ ἐν πλεονασμῷ τοῦ ῑ μείζων.

Τὰ διὰ τοῦ εινω δισύλλαβα, εἰ μὲν διὰ τοῦ ε̄ ἐκφέρεται κατὰ τὸν μέλλοντα, διὰ τῆς ει διφθόγγου γράφεται οἷον κτενῶ κτείνω, τενῶ τείνω· εἰ δὲ μὴ ἐκφέρεται διὰ τοῦ ε̄, διὰ τοῦ ῑ γράφεται οἷον κλίνω κλινῶ, κρίνω κρινῶ.

Τὰ διὰ τοῦ εινω ὑπὲρ δύο συλλαβάς, μὴ συντεθειμένα ἀπὸ ἁπλοῦ γραφομένου διὰ τοῦ ῑ, διὰ τῆς ει διφθόγγου γράφεται οἷον φαείνω, ἀλεείνω, ἐρεείνω πλὴν τοῦ ὀρίνω ὠδίνω. «ὑπὲρ δύο συλλαβάς» δὲ διὰ τὸ κρίνω κλίνω· «ἀπὸ ἁπλῶν» δὲ «διὰ τοῦ ῑ γραφομένων» διὰ τὸ κρίνω καὶ συγκρίνω.

Πάντα τὰ διὰ τοῦ ειρω τὴν διὰ τοῦ ῑ μόνου γραφὴν ἀποστρέφεται οἷον ἀγείρω, ἀείρω, ἱμείρω, οἰκτείρω, ἐγείρω, ἐθείρω τὸ ἐξ ἔθους τὶ διαπράττομαι, σπείρω, εἴρω, δείρω.

Τὰ εἰς ω̄ λήγοντα ῥήματα βαρύτονα ἔχοντα δύο τὰ αὐτὰ σύμφωνα οὐ θέλει τῇ ει διφθόγγῳ παραλήγεσθαι οἷον τίλλω, πάλλω, ἀΐσσω, ἑλίσσω. πρόσκειται «βαρύτονα» διὰ τὸ κρεισσῶ.

Τὰ παρὰ μέλλοντα ἢ ἐνεστῶτα περισπώμενον ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ ειω γινόμενα παραγωγὰ διὰ τῆς ει διφθόγγου γράφεται οἷον θῶ θείω, σῶ σείω, κῶ τὸ ὑπνῶ, ἐξ οὗ κῶμα ὁ ὕπνος, κείω, οὗ ὁ μέλλων κείσω καὶ παθητικὸν κείομαι καὶ κατὰ συγκοπὴν κεῖμαι, ὀλῶ ὀλείω, κιχῶ κιχείω, ὄψω ὀψείω, βρώσω βρωσείω, ποιήσω ποιησείω, γαμήσω γαμησείω, τελῶ τελείω, κρατῶ κρατείω, ῥιγῶ ῥιγείω, ὀκνῶ ὀκνείω, θάλπω θαλπείω.

Τὰ διὰ τοῦ ιω ὑπὲρ δύο συλλαβὰς περισπώμενα μὴ ἀπὸ ὀνομάτων ἔχοντα τὴν γένεσιν τῶν διὰ τῆς ει διφθόγγου γραφομένων διὰ τοῦ ῑ γράφεται, μηνιῶ, μητιῶ, ἀνιῶ, μειδιῶ, ἀγωνιῶ, ἀκηδιῶ, ἐρυθριῶ, κοπιῶ, ἀγαλλιῶ, ἀξιῶ, μετριῶ. πρόσκειται «μὴ ἀπὸ ὀνόματος γεγενημένα ἔχοντα τὴν ει δίφθογγον» διὰ τὸ οἰκεῖος οἰκειῶ, τέλειος τελειῶ, ἀνδρεῖος ἀνδρειῶ, ἀχρεῖος ἀχρειῶ. τὸ ἐσθίω, ἀτίω, ἀΐω τὸν τόνον ἀμείψαντα τὴν διὰ τοῦ ῑ γραφὴν ἐφύλαξαν, οἷς ἀκόλουθον καὶ τὸ μαστίω ἐκ τοῦ μαστίζω γενόμενον.

Τὰ διὰ τοῦ ιω δισύλλαβα βαρύτονα μὴ παρ' ἐνεστῶτα ἢ μέλλοντα παρηγμένα μηδὲ ἀπὸ πλεονασμοῦ ἔχοντα τὸ ῑ μηδὲ ἔχοντα ἀντιπαρακείμενον τὸ ο̄ διὰ τοῦ ῑ γράφεται, ἴω, ὅπερ καὶ περισπᾶται, ἐξ οὗ

---

l. 3 περὶ ποс. 310, 28. l. 7 Choer. 212, 14; 176, 14; 244, 8, Ep. in Psalm. 59, 13, περὶ ποс. 310, 32; 283, 25. l. 12 Choer. 194, 3; 201, 20 et 22; 232, 20; de οἰκτείρω dissensio fuit cf. infra s. v. l. 15 Choer. 272, 29, de verbis in ιλλω specialis canon proponitur in An. Ox. II 421, 28 τὰ διὰ τοῦ ιλλω ῥήματα (δισύλλαβα dele) διὰ δύο λλ ἐκφερόμενα διὰ τοῦ ῑ γράφεται οἷον ποικίλλω, ναυτίλλω, τίλλω τὸ ἀνασπῶ. l. 18 Theogn. 146, 13 et 147, 12, Choer. 189, 9 et 246, 1, E. M. 220, 42, Herod. περὶ παθῶν in E. M. 620, 44 et in E. M. p. 449 s. θείομεν. l. 25 Theogn. 146, 19, περὶ ποс. 311, 13, Arc. 164, 16. l. 33 Theogn. 146, 33, Ep. Cr. II 329, 14, I 401, E. Gud. 529, Ep. in Psalm.

καὶ ἵημι, μνίω τὸ ἐcθίω, τίω διφορεῖται περὶ τόνον οὐ περὶ γραφήν, λίω δ καὶ αὐτὸ διφορεῖται γεγονὸc ἀπὸ τοῦ λῶ λιῶ τὸ θέλω, πίω, ἀφ' οὗ πίcω καὶ πιπίcκω, ψίω, κτίω, ἐξ οὗ τὸ «εὐκτίμενον πτολίεθρον», δίω τὸ διώκω. cημειωτέον τὸ εἴω τὸ πορεύομαι διὰ τῆc ει διφθόγγου γραφόμενον. πρόcκειται «μὴ παρ' ἐνεcτῶτα ἢ μέλλοντα παρηγμένα» διὰ τὸ θῶ θείω, cῶ cείω, κῶ κείω. «μηδὲ ἀπὸ πλεοναcμοῦ ἔχοντα τὸ ῑ» διὰ τὸ χέω χείω, πνέω πνείω. «μηδὲ ἔχοντα ἀντιπαρακείμενον τὸ ō» διὰ τὸ κλείω κλοιόc.

Τὰ διὰ τοῦ ῑω̄ ὑπὲρ δύο cυλλαβὰc ὄντα βαρύτονα κλινόμενα εἰc μέλλοντα διὰ τοῦ ῑ γράφεται οἷον μητίω μητίcω, κονίω κονίcω, κυλίω κυλίcω, μηνίω μηνίcω τὸ ὀργίζομαι ὥcπερ καὶ τὸ μηνιῶ περιcπώμενον, δηρίω δηρίcω. πρόcκειται «ὑπὲρ δύο cυλλαβὰc» διὰ τὸ κλείω κλείcω. πρόcκειται «βαρύτονα» διὰ τὸ ἀχρειῶ ἀχρειώcω, τελειῶ τελειώcω. πρόcκειται «κλινόμενα εἰc μέλλοντα» διὰ τὸ κιχείω, ὃ cημαίνει τὸ καταλαμβάνω καὶ τὸ ὀλείω ὃ cημαίνει τὸ ἀπόλλυμι, καὶ ὀψείω ὃ cημαίνει τὸ ἐπιθυμίαν ἔχω τοῦ θεωρῆcαι· ἀλλ' οὐ κλίνεται εἰc μέλλοντα.

Τὰ εἰc μι οὐ θέλει παρ' ἡμῖν διφθόγγῳ παραλήγεcθαι οἷον τίθημι, δίδωμι cεcημειωμένου τοῦ εἰμί τὸ ὑπάρχω καὶ τοῦ εἶμι τὸ πορεύομαι. παρὰ δὲ τοῖc Αἰολεῦcι πολλὰ εὑρίcκεται διφθόγγῳ παραληγόμενα οἷον ἵcταιμι, κίχραιμι, γέλαιμι διὰ τῆc αι διφθόγγου.

Τὰ εἰc ναι ἀπαρέμφατα ἔχοντα τὸ ν̄ κλιτικὸν οὐ θέλει διφθόγγῳ παραλήγεcθαι οἷον τυφθῆναι, τυπῆναι, τετυφέναι. πρόcκειται «ἔχοντα τὸ ν̄ κλιτικὸν» διὰ τὸ μεῖναι. τοῦτο γὰρ διφθόγγῳ παραλήγεται, ἀλλ' οὐκ ἔχει τὸ ν̄ κλιτικόν, ἀλλὰ θεματικόν, ἀπὸ γὰρ τοῦ ἐνεcτῶτοc ἔχει αὐτό. μένω γάρ ἐcτιν ὁ ἐνεcτὼc καὶ ἔχει τὸ ν̄. παράλογα οὖν ἐcτι ταῦτα, φημὶ δὲ τὸ θεῖναι, δοῦναι, εἶναι ὡc διφθόγγῳ παραληγόμενα ἔχοντα τὸ ν̄ κλιτικόν κτλ.

Περὶ ἐπιρρημάτων.

Τὰ εἰc ει δικύλλαβα ἐπιρρήματα εἴτε βαρύτονα εἴτε περιcπώμενα διὰ τῆc ει διφθόγγου γράφεται. καὶ βαρύτονα μὲν δύο ἐcτὶ τὸ ἄγρει παρακελευcματικὸν ἐπίρρημα καὶ τὸ οἴκει παρὰ Μενάνδρῳ ἀντὶ τοῦ οἴκοι. περιcπώμενα τὰ τοπικὰ Δώρια τουτεῖ, τηνεῖ, πεῖ, αὐτεῖ. τὸ δὲ ἐκεῖ ἀποκέκοπται.

Τὰ ὀξύτονα εἰc ει λήγοντα ἐπιρρήματα διὰ τῆc ει διφθόγγου γραφόμενα δύο ἐcτί, τὸ ἐπεί χρονικὸν καὶ τὸ ἀεί.

59, 31 cf. Lob. Rhem. p. 17. Verbi εἴω τὸ πορεύομαι meminit Choer. Dict. 584, 31. Ex hoc canone repetitur in Ep. Cr. I 125, 2 scriptura verbi φθίω per ῑ, quam p. 426, 32 tradatur: τὸ φθίω διφορεῖται καὶ διὰ τοῦ ῑ καὶ διὰ τῆc ει διφθόγγου ὡc τὸ «φθείcει δὲ τὸ cὸν μένοc» (Z 407), cum quo congruit Choer. Orth. 273, 6; 275, 12 et Hesych. l. 9 περὶ ποc. 311, 17. l. 17 Choer. Dict. 743, 17. l. 21 Choer. Dict. 724, 7 cf. Choer. Ep. in Psalm. p. 25. l. 29 Theogn. 159, 4, Io. Al. 36, 29. l. 34 Theogn. 159, 10, Io. Al. 36, 26, Choer. 212, 28 et 176, 33; 172, 32.

Τὰ δεικτικῶϲ ἐπεκτεινόμενα διὰ τοῦ ῑ γράφεται, δευρί, νυνί, τουτί, ὡδί, ἐνθαδί, ἐντευθενί. τὸ αὐτὸ καὶ ἐπὶ τῶν αὐτωνυμιῶν ἐκεινοςί, οὑτοςί. τὸ οὖν οἱονεί καὶ ὡϲπερεί γραφόμενα διὰ τῆϲ ει̅ διφθόγγου οὐκ ἔϲτι κατὰ ἐπέκταϲιν, ἀλλὰ διάφορα μέρη λόγου εἰϲίν. τὸ γὰρ οἱονεί δύο μέρη λόγου ἐϲτίν τὸ οἷον ὄνομα καὶ τὸ εἰ ϲύνδεϲμοϲ ϲυναπτικόϲ. τὸ δὲ ὡϲπερεὶ τρία μέρη λόγου ἐϲτίν. ἔϲτι γὰρ ὡϲ ἐπίρρημα καὶ τὸ πέρ ϲύνδεϲμοϲ παραπληρωματικὸϲ καὶ τὸ εἰ ϲύνδεϲμοϲ ϲυναπτικόϲ.

Τὰ εἰϲ ῑ λήγοντα διϲύλλαβα βαρύτονα διὰ βραχέοϲ τοῦ ῐ γράφεται ἶφι, νόϲφι, αὖθι, ἄγχι, μέχρι, ἄρτι, ἔτι, ἦρι, ὕψι, χῶρι, ἦχι, ναίχι, μεθ' ὧν καὶ οὐχὶ καὶ πρωῒ ὀξύτονα.

Τὰ εἰϲ τι̅ λήγοντα ἐπιρρήματα ὀξύτονα, εἰ γένοιτο ἀπὸ τῶν εἰϲ ζω̅ ληγόντων ῥημάτων ἢ ἀπὸ τῶν εἰϲ ωϲ̅ ἐπιρρημάτων, διὰ ϲυνεϲταλμένου τοῦ ῐ γράφεται οἷον Ἰαϲτί, Λυδιϲτί, Φρυγιϲτί, Δωριϲτί, μεγαλωϲτί, δημιωϲτί, ἱερωϲτί, νεωϲτί. τὰ δὲ ἀπὸ πτωτικῶν διὰ μακροῦ τοῦ ῑ γράφεται, ἀπνευϲτί, ἀνωϊϲτί, ἀκονιτί, ἀναιμωτί, ἀκλαυτί, πανθοινί, ἀκριτί, ἀμογητί. τὸ ῑ ἔϲθ' ὅτε καὶ ϲυνεϲταλμένωϲ προφέρεται ἀδείᾳ ποιητικῇ. τὰ δὲ παρωνύμωϲ παρηγμένα τινὲϲ διὰ τῆϲ ει διφθόγγου, τινὲϲ δὲ διὰ τοῦ ῑ μακροῦ γράφουϲιν.

[Τὰ ἔχοντα θ̄ λ̄ μ̄ ξ̄ ρ̄ φ χ̄ ψ διὰ τῆϲ ει διφθόγγου γράφεται οἷον διὰ τοῦ θ̄ ἀμοθεί, ἀμοχθεί. τὸ ἀμιϲθί ϲεϲημείωται μόνον διὰ τοῦ ῑ. τὸ λ̄ ἀϲυλεί, πανομιλεί, ἀναυλεί, οἷϲ ἀκόλουθον καὶ τὸ ἀμέλει. τὸ μ̄ πανδημεί, ἀτρεμεί, ἠρεμεί. τὸ ξ̄ αὐτολεξεί. τὸ ρ̄ ἀμετρεί. τὸ αὐτοχειρί δὲ διὰ τοῦ ῑ. τὸ φ̄ παμψηφεί. τὸ χ̄ τριϲτοιχεί, ἀμαχεί. τὸ ψ̄ παμψηφεί.]

l. 1 Theogn. 159, 14, Io. Al. 36, 34, Diehr. 301, 3, Choer. 200, 32, περὶ ποϲ. 314, 8. l. 8 Theogn. 159, 21, Io. Al. 37, 3, Ep. Cr. I 131, 16, E. M. 169, 27. l. 11 Diehr. 300, 17 et Io. Al. 37, 1. Haec sunt, quae ex ipsius Herodiani scriptis et Ioanne technici vestigia accurate premente Herodianea esse demonstrari potest; Theognostus et Choerob. et scriptor περὶ ποϲότητοϲ complures canones speciales proponunt, in quibus quid Herodiano assignandum sit, certo dici non potest. Id sane apparet Herodianum ad scripturam per ῑ inclinasse, et ex Ioannis verbis, qui si Herodianus ει praeoptasset, aliter regulam de accentu proposuisset atque fecit, et ex loco Eustathii 702, 2 τὸ αὐτονυχεὶ ἐν μὲν τοῖϲ Ἀπίωνοϲ καὶ Ἡροδώρου διὰ τοῦ ῑ γράφεται, ἄλλοι δὲ διὰ διφθόγγου αὐτὸ ἔγραψαν. Quum autem pro certo sumendum sit Herodianum in Orthographia explicite de scripturae diversitate egisse, non ab re fore arbitror, si quae ab epitomatoribus, quos dixi, prolata sunt, sub uno conspectu proponam: τὰ καθαρεύοντα ἐπιρρήματα διὰ τῆϲ ει διφθόγγου γράφεται οἷον ἀθεεί, αὐτοβοεί χωρὶϲ τοῦ πρωΐ: περὶ ποϲ. 313, 11. l. 19 Choer. 172, 20, περὶ ποϲ. 313, 13, Theogn. 165, 6, qui de exitibus θει̅ μει̅ λει̅ tantum agit. In reliquis Choer. et scriptor περὶ ποϲ. differunt, nam Choerob. omnibus in τει diphthongum assignat, in hoc certo declinans ab Herodiano, quem adverbiis in τι productum ῑ attribuisse ex Diehr. patet, scriptor περὶ ποϲ. in universum ῑ vindicat exceptis ἀπλευϲτεί, ἀγελαϲτεί, ἀνοητεί, ἀκηρυκτεί. Neque vero Choeroboscus sibi constat, nam p. 245, 6 dicit ὀνομαϲτί διὰ τοῦ ῑ, ἐπειδὴ καὶ ϲυνέϲταλται. Aliter rursus Anecd. Ox. II 319, 20 τὰ εἰϲ ει λήγοντα παραληγόμενα ἢ τὸ ρ̄ ἢ τὸ λ̄ ἢ τὸ ξ̄ ἢ τὸ φ ἢ τὸ ψ διὰ τοῦ ῑ γράφεται οἷον αὐτολεξί, αὐτοψί, αὐτονυχί. ϲεϲημείωται τὸ ἄγρει καὶ ἀμέλει et Ep. Cr. I 124, 21 τὰ εἰϲ θι ἐπιρρήματα βαρύτονα διὰ τοῦ ῑ γράφεται οἷον οὐρανόθι, αὐτόθι, ἔνδοθι· πρόϲκειται βαρύτονα διὰ τὰ ὀξύτονα, ταῦτα γὰρ διὰ τῆϲ ει διφθόγγου γράφονται οἷον ἀμοθεί, τὸ ἄνευ μάχηϲ παρὰ Θουκυδίδῃ (V 77), ἀμοχθεί. ϲεϲημείωται τὸ ἀμιϲθί τὸ ἄνευ μιϲθοῦ.

Πάντα τὰ ἀριθμητικὰ ἐπιρρήματα διὰ τοῦ ῑ γράφεται, δίϲ, τρίϲ, τετράκιϲ καὶ τετράκι.

Τὰ εἰϲ ιϲ ἐπιρρήματα πεφυκότα λέγεϲθαι καὶ ἄνευ τοῦ ϲ διὰ τοῦ ι γράφεται, αὖτιϲ καὶ αὖτι, μέχριϲ καὶ μέχρι, αὖθιϲ καὶ αὖθι.

Πᾶν ἐπίρρημα εἰϲ ιον λῆγον προπαροξύτονον τύπου ὀνοματικοῦ ὑπάρχον διὰ τοῦ ι γράφεται, ῥᾴδιον, τάχιον, ἔγγιον.

Πᾶν ἐπίρρημα τοπικὸν εἰϲ κα λῆγον τὸ ῑ παραλήγεται οἷον αὐτίκα, ὁπηνίκα, ἡνίκα, πηνίκα.

Τὰ εἰϲ ᾱν λήγοντα ἐπιρρήματα οὐ θέλει τῇ ει διφθόγγῳ παραλήγεϲθαι οἷον ἄγαν, πέραν, λίαν.

ΕΚ ΤΩΝ ΗΡΩΔΙΑΝΟΥ ΠΕΡΙ ΟΡΘΟΓΡΑΦΙΑϹ ΚΑΤΑ ϹΤΟΙΧΕΙΟΝ.

Α.

Ἀβάκαινον πόλιϲ Ϲικελίαϲ. ἡ παραλήγουϲα διὰ διφθόγγου.

Ἀβάντειοϲ τὸ κτητικὸν ἢ τοῦ κυρίου ἢ τῶν Ἀβάντων, οὐ τόπου τινὸϲ Ἀβαντίου ὡϲ τὸ Βυζάντειοϲ Βυζαντίου, ἀλλ' ὡϲ Θόαϲ Θοάντειοϲ. τὸ δὲ Ἀβάντιοϲ, ἀφ' οὗ δοκεῖ εἶναι τὸ Ἀβαντιάϲ, ϲυϲτέλλεται ὡϲ ἐθνικὸν ὡϲ Ὑάντιοϲ ϲυνέϲτειλεν Ἀπολλώνιοϲ ἐν τῷ «Ὑαντίου Ὀγχηϲτοῖο» (Argon. III 1241) ἢ παρὰ λόγον ὡϲ «Ποιάντιον ἀγλαὸν υἱόν» (Od γ 190).

Ἀβαντία τὸ θηλυκὸν τοῦ Ἀβάντιοϲ κατὰ βαρβαρικὴν τροπὴν τοῦ β εἰϲ μ Ἀμαντία ἐλέχθη παρὰ Ἀντιγόνῳ ἐν Μακεδονικῇ περιηγήϲει.

Ἀβαρνίϲ πόλιϲ καὶ χώρα καὶ ἄκρα τῆϲ Παριανῆϲ. εὕρηται δὲ καὶ διὰ τοῦ π Ἀπαρνίϲ ὡϲ παρὰ Ἀρτεμιδώρῳ τῷ γεωγράφῳ.

ἄβληρα ἡνία. εὔληρα καὶ ἐπὶ ἱματίου καὶ ἐπὶ δεϲμοῦ τίθεται. ἔϲτι δὲ παρὰ τὸ εἰλῶ εἴληρα καὶ εὔληρα. παρὰ δὲ Ἐπιχάρμῳ αὔληρα εἴρηται παρὰ τὸν αὐλόν, ἵν' ᾖ τὰ ἐπιμήκη.

Ἀβρινάται Ποντικὸν ἔθνοϲ. καὶ μετὰ τοῦ ρ καὶ χωρὶϲ τοῦ ρ λέγεται.

ἀβρότη ἀμβρότη θεία.

Ἀβύλη ϲτήλη Ἡρακλέουϲ. λέγεται καὶ Ἀλύβη.

---

l. 1 Choer. 191, 23, περὶ ποϲ. 313, 22; 315, 6, Theogn. 160, 4. l. 3 E. M. 169, 25. l. 5 περὶ ποϲ. 314, 21. l. 7 περὶ ποϲ. 314, 24, Theogn. 156, 1. l. 9 Choer. 234, 24, E. Gud. 369, 4. l. 13 St. B. s. v. l. 14 Steph. Byz. s. Ἀβαντίϲ, verba paullulum immutavi sententia salva, ut verba ad orthographicum praeceptum quadrarent. l. 20 St. B. — Hesych. Ἄμαντοι (Ἄμαντεϲ?) ἔθνοϲ Ἠπειρωτικόν. l. 22 St. B. — Hesych. habet tantum Ἀβαρνεύϲ: Φωκαέων φυλή et Ἄβαρνοϲ πόλιϲ Φωκαέων. l. 24 ἄβληρα Hes. et Theogn. 131, 11 εὔληρα Hes. et Schol. ad Il. Ψ 481, ubi Ἡρωδιανόϲ φηϲι τίθεϲθαι. αὔληρα ex E. M. 393, 6 collato Hesych. αὔληρα ἡνίαϲ. l. 27 Steph. B. 9, 1, ubi ὁ δὲ τεχνικόϲ φηϲι καὶ — λέγεϲθαι. l. 29 Hes. l. 30 Ἀβύλη Hes., Ἀλύβη Eust. ad Dionys. 64 cf. Lob. El. I 511.

Ἀcβυcταῖοι Λυβύων ἔθνοc. λέγονται δὲ καὶ Ἀcβύcται. Καλλίμαχοc Αἰτίων πρώτῃ. καὶ Ἀcβύται· Ἀγροίταc α' Λιβυκῶν.

Ἀγαθοῦccα: ἡ Τῆλοc ἐκαλεῖτο πρότερον, ὡc Ἰάcων. διὰ δύο cc.

ἀγακλειτόc: διὰ τῆc ε̅ι̅ διφθόγγου. ἔγκειται γὰρ τὸ κλειτόc. γράφεται δὲ διὰ τῆc ει διφθόγγου· ἀπὸ γὰρ τοῦ κλείω γέγονε τοῦ cημαίνοντοc τὸ δοξάζω. τὸ δὲ κλείω διὰ τῆc ε̅ι̅ διφθόγγου γράφεται, ἐπεὶ ἀπὸ τοῦ κλέοc γέγονε κλέω καὶ κατὰ πλεοναcμὸν τοῦ ῑ κλείω καὶ κλειτόc καὶ ἐν cυνθέcει ἀγακλειτόc.

ἀγακλεῖοc (Ψ 529), οἱ δὲ ἀγακλῆοc.

Ἀγαμεμνόνειοc: τὰ γὰρ ἀπὸ τῶν εἰc ω̅ν̅ βαρυτόνων δίφθογγον ἔχει.

Ἀγάμμεια. ἄκρα καὶ λιμὴν περὶ Τροίαν. ἐκλήθη δὲ ἀπὸ τοῦ ἄγαμον τὴν Ἡcιόνην ὑπὸ τοῦ πατρὸc παραδοθῆναι τῷ κήτει. διὰ δύο μμ.

Ἀγβάτανα πολίχνιον Cυρίαc. Δημήτριόc φηcιν Ἀγβάτανα διττά, τὰ μὲν τῆc Μηδίαc, τὰ δὲ Cυρίαc. Κτηcίαc δὲ πανταχοῦ τῶν Περcικῶν τὰ παρὰ Μήδοιc Ἀγβάτανα διὰ τοῦ α γράφει. παρὰ δὲ τοῖc ἀρχαίοιc διὰ τοῦ ε̅ τὸ Περcικόν, παρὰ δὲ Χάρακι δὲ καὶ αὕτη διὰ τοῦ ε̅. κρείττων δὲ ἡ διὰ τοῦ κ̅ γραφή.

ἀγγαρρεύει καὶ ἀγγαρρεύεται καὶ ἄγγαροc. δύο γ̅γ̅.

ἄγγελοc: β' γ̅γ̅· παρὰ τὸ ἄγω ἐγένετο ἄγελοc καὶ κατὰ πλεοναcμὸν τοῦ γ̅ ἄγγελοc ὁ τὰc ἀγγελίαc ἄγων.

Ἀγγελή δῆμοc τῆc Πανδιονίδοc φυλῆc. δύο γ̅γ̅.

ἀγείρω: διὰ τῆc ε̅ι̅ διφθόγγου. οἱ γὰρ Αἰολεῖc ἀγέρρω λέγουcι καὶ παρὰ τὸ ἀγερῶ ἀγείρω· καὶ διὰ τὸ ἔχειν ἀντιπαρακείμενον τὸ ο̅ οἷον ἀγορά ὡc ἀλείφω ἀλοιφή.

ἀγελαίαc: ἀγραύλουc. ἀγελείηc λαφυραγωγοῦ.

ἀγινεῖν: τὸ γ̅ι̅ ῑ· ἀπὸ τοῦ ἄγω ἀγινῶ καὶ κατὰ πλεοναcμὸν τοῦ ῑ μακροῦ γίνεται ἀγινῶ.

ἅγιοc: διὰ τοῦ ῑ· ἐκ γὰρ τοῦ ἄγοc γέγονεν ἅγιοc.

ἀγκυλοχείληc: ε̅ι̅. παρὰ γὰρ τὸ χεῖλοc.

ἀγλαΐα: ἀπὸ τοῦ ἀγλαόc ἀγλαΐα.

---

l. 1 Ἀcβυcταῖοι Hes., Ἀcβύcται St. B. s. v., Ἀcβύται Herod. περὶ μον. 11, 20. l. 3 Hes. et St. B. 621, 1. διὰ δύο cc ipse addidi, quia ob hanc causam in Orthographia vocem memoratam esse arbitror. l. 4 Choer. Orth. 180, 29. Hes. l. 9 Hes. cf. Il. Pr. K 281 εὐκλεΐαc. Lob. El. II 54. l. 10 Herod. in E. M. 226, 49, Hes. l. 13 διὰ δύο μμ ipse addidi, reliqua ex St. B., Hesych. etiam duplex μ̄ habet. l. 14 Steph. B. s. v., Ἡρωδιανὸc δ' ἐν τῷ περὶ cυντάξεωc cτοιχείων ἐγκρίνει τὴν διὰ τοῦ κ̄ γραφήν κτλ., pro quibus scripsi κρείττων δὲ κτλ. l. 19 Hes. l. 20 Choer. Orth. 179, 1. l. 22 Steph. B. et Hes., ap. quem Schmidt s. Ἀγελή restituere vult Ἀγγελή. l. 23 Choer. 275, 21. l. 26 Hes. l. 27 Choer. 168, 31. Hes. ἀγεινεῖν, qua scriptura nihil aliud nisi productio vocalis significatur. l. 29 Choer. 182, 5. l. 30 Hes. collat. E. M. 11, 15 τινὲc φαcι, ὅτι ἀπὸ τοῦ χηλή, ὃ cημαίνει τὸν ὄνυχα, γίνεται κατὰ τροπὴν Βοιωτῶν τοῦ η̄ εἰc ει δίφθογγον. κακῶc δὲ λέγουcιν κτλ. cf. ἀγκυλόχειλοc in libro περὶ ποcότητοc 291, 20. l. 31 Choer. 180, 28.

Ἄγλαυρος θυγάτηρ Κέκροπος. λέγεται καὶ Ἄγραυλος ὅθεν Ἀγραυλὴ δῆμος.

Ἀγρίαι ἔθνος Παιονίας. παρὰ Πολυβίῳ δὲ διὰ τοῦ ᾱ· λέγονται καὶ Ἀγράϊοι τετρασυλλάβως καὶ Ἀγριεῖς, ὡς Θεόπομπος, καὶ Ἀγριᾶνες.

ἀγρεῖος ὁ ἀγροῖκος διὰ τῆς ει διφθόγγου τῷ λόγῳ τοῦ ἀρνεῖος. ἄγριος δὲ ὁ ἀνήμερος διὰ τοῦ ῑ.

Ἀγχίσης: διὰ τοῦ ῑ τὸ χῑ. τὰ παρὰ τὸ ἄγχι καὶ ἐρί καὶ ἀρί καὶ τὴν ἀμφί καὶ ἀντί καὶ ἐπί πρόθεσιν διὰ τοῦ ῑ γράφεται· ἀρίδηλος, ἐριβρεμέτης, ἀμφίρρυτος, ἀντίθεος, ἀγχίθεος, Ἀγχίσης, ἀγχίμαχος· τὸ γὰρ ἀγχέμαχος ἐτράπη διὰ εὐφωνίαν τὸ ῑ εἰς ε̄· τὰ δὲ παρὰ τὸ ἄγχι σύνθετά εἰσι χωρὶς τοῦ Ἀγχίσης. ἀπὸ γὰρ τοῦ ἄγχι παρήχθη καί ἐστιν ἁπλοῦν. ἄλλως· τὰ διὰ τοῦ ισης διὰ τοῦ ῑ γράφεται κτλ.

ἄδδην (Ε 203) Νικίας διὰ δύο δδ γράφει διὰ τὸ μέτρον ὁμοίως τῷ «κύον ἀδδεές» (Il. Φ 481) καὶ ψιλοῖ. Ἀρίσταρχος δὲ δι᾽ ἑνὸς δ̄ καὶ βραχέως καὶ ψιλῶς.

ἀδελφειός: ει.

ἀδήριτος: διὰ τοῦ ῑ· ἔστι δῆρις δηρίω ὥσπερ κόνις κονίω καὶ μῆτις μητίω. τούτου τοῦ δηρίω ὁ παθητικὸς παρακείμενος δεδήριμαι δεδήρισαι δεδήριται διὰ τοῦ ῑ καὶ λοιπὸν ἐκεῖθεν ἀδήριτος διὰ τοῦ ῑ. καὶ ἄλλως τά διὰ τοῦ ιτος ἀποστρέφεται τὴν ει δίφθογγον.

Ἅιδης παρὰ τὸ ἀΐδης καὶ μένει τὸ ῑ προσγεγραμμένον.

Ἀδραμύττειον πόλις τῆς κατὰ Κάϊκον Μυσίας. ἡ γραφὴ διχῶς, διὰ τοῦ ῑ καὶ διὰ τοῦ δ̄ καὶ διὰ διφθόγγου καὶ διὰ τοῦ ῑ καὶ δι᾽ ἑνὸς τ̄ καὶ διὰ δύο. ἀλλὰ δι᾽ ἑνὸς τ̄, ὅταν ἔχῃ δίφθογγον, καὶ διὰ δύο τὸ ῑ μόνως. κέκληται ἀπὸ Ἀδραμύτου κτίστου, ὡς Ἀριστοτέλης ἐν πολιτείαις καὶ ἄλλοι. τινὲς δὲ ἀπὸ Ἕρμωνος τοῦ Λυδῶν βασιλέως. τὸν γὰρ Ἕρμωνα Λυδοὶ Ἄδραμυν καλοῦσι Φρυγιστί. οὐ δύναται δέ, ὡς Ἡρωδιανός, διὰ τὸ μὴ ἔχειν τὸ τ̄ τὸ Ἄδραμυς. — λέγεται δὲ καὶ Ἀδραμύττιον διὰ τοῦ ῑ, ὡς Κρατῖνος.

ἀδράνεια: ει. παρὰ τὸ ἀδρανής.

Ἀδράνη πόλις Θρᾴκης, ὡς Θεόπομπος, Πολύβιος δὲ διὰ τοῦ η̄ Ἀδρήνη.

Ἀδράστεια πόλις ἀπὸ Ἀδράστου βασιλέως, ὃς καὶ πρῶτος ἱδρύσατο τὸ Νεμέσεως ἱερόν. λέγεται καὶ Ἀδρήστεια.

ἀδράφαξις εἶδος λαχάνου, γράφεται δὲ καὶ ἀτράφαξυς.

---

l. 1 Hes. Ἄγλαυρος, St. B. Ἄγραυλος, unde composui quae dedi. l. 3 St. B. l. 5 Choer. 175, 5, περὶ ποσ. 284, 9, St. B. 22, 8, E. M. 13, 22. l. 7 E. M. 14, 50 coll. Choer. Orth. 170, 1, unde illud haustum est. l. 13 Il. Pr. Ε 203. Hes.: ἄδδην τοῦ ἑνὸς δ̄ πλεονάζοντος. l. 16 Choer. 174, 31 cf. ἀρνειός. l. 17 Choer. 170, 4. l. 21 Choer. 180, 12, E. M. 17, 20; 42, 26. Hes l. 22 St. B., Hes. habet Ἀδραμύτιον Ἕρμωνος. l. 30 Choer. 179, 8. l. 31 St. B. l. 33 St. B. habet Ἀδράστεια, Hes. Ἀδρήστεια, et iure Schmidt. ap. eum Ἀδραστία ἡ Νέμεσις in Ἀδράστεια mutandum arbitratur. l. 35 ἀδράφαξις Hes., ἀτράφαξυς Arcad. 92, 3.

Ἀδρηστίνη: διὰ τοῦ η τὸ δρη̄. τὸ τῑ ῑ. τὰ γὰρ διὰ τοῦ ῑνη̄ κτλ.

Ἀδρίας: ῑ· τὰ διὰ τοῦ ιας κτλ.

ᾄδω: ἀείδω κράσει τοῦ ε̄ καὶ α εἰς ᾱ μακρὸν καὶ συναιρέσει τοῦ ᾱῑ εἰς ᾳ δίφθογγον.

ἀεί: διὰ τῆς ει διφθόγγου. εὕρηται γὰρ καὶ χωρὶς τοῦ ῑ οἷον αἰέν καὶ αἰές καὶ κατὰ ἀφαίρεσιν τοῦ ῑ ἐκ τοῦ ἄε προσθήκῃ τοῦ ῑ εἰς τὸ ε̄ ἀεί.

ἀείδελον: τὸ λίαν ὁρατόν· διὰ τῆς ει γράφεται· γέγονε δὲ ἀπὸ τοῦ εἴδω εἴδελος καὶ ἐν συνθέσει ἀείδελος ὁ μὴ θεωρούμενος. παρὰ δὲ Νικάνδρῳ ἐπὶ τοῦ ἀεὶ φανεροῦ κεῖται, περὶ οὗ ἔστιν εἰπεῖν, ὅτι ἀπὸ τοῦ ἀείδηλον γέγονε κατὰ συστολὴν τοῦ η εἰς ε̄ «τοῦ δὲ τέρας περίσημον — ἀείδελον ἐστήρικτο» Νίκανδρος (Ther. 20). ἐπὶ δὲ τοῦ ἀοράτου ἐχρήσατο τῇ λέξει Ἡσίοδος περὶ Αὐτολύκου. φησὶ γὰρ «ὅττι κε χερσὶ λάβεσκε, ἀείδελα πάντα τίθεσκεν» (fr. 61 Dind.).

ἀείδω: διὰ τῆς ει διφθόγγου. ἀντιπαράκειται γὰρ αὐτῷ τὸ ο, ὡς ἀπὸ τοῦ ἀλείφω ἀλοιφή εἴρηται, οὕτω καὶ ἀπὸ τοῦ ἀείδω ἀοιδή γέγονεν.

ἀείκελος: τὸ ει δίφθογγος. ἀπὸ τοῦ εἴκω τοῦ σημαίνοντος τὸ ὁμοιῶ γέγονεν εἴκελος καὶ ἐκεῖθεν ἀείκελος ὁ ἀνόμοιος.

ἀεικής: ὁ ἀναιδὴς καὶ σκληρός, διὰ τῆς ει διφθόγγου. παρὰ γὰρ τὸ εἴκω τὸ ὑποχωρῶ, ἐξ οὗ καὶ τὸ οἶκος οἱονεὶ εἰς ὃν ὑποχωροῦμεν, γίνεται ἀεικής ὁ μὴ εἴκων.

ἀείρω: διὰ τῆς ει διφθόγγου. οἱ γὰρ Αἰολεῖς ἀέρρω λέγουσιν. ἡμεῖς δὲ τὸν μέλλοντα λέγομεν ἀερῶ καὶ πλεονασμῷ τοῦ ῑ ἀείρω καὶ διὰ τὸ ἔχειν τὸ ἀείρω ἀντιπαρακείμενον τὸ ο̄ ἐν τῷ ἀορτήρ.

ἀεργία: διὰ τοῦ ῑ γράφεται.

Ἀζανία μέρος τῆς Ἀρκαδίας ἀπὸ Ἀζᾶνος τοῦ Ἀρκάδος. οἱ οἰκήτορες Ἀζᾶνες καὶ Ἀζῆνες.

Αἰζήν Ταντάλου παῖς, ἀφ' οὗ ἐν Φρυγίᾳ πόλις Αἰζανοί. λέγεται καὶ Ἀζανοί· Στράβων.

---

l. 1 Choer. 170, 33 et Hes. l. 2 Choer. 180, 16. l. 3 E. M. 21, 91. An. Paris. III 298, 13 (cod. Coisl. 387) τὸ ἀείδω συναλοιφὴν παθὸν ἅπαξ γέγονεν ᾄδω. κράσεως δὲ γεγονυίας μακρὸν γίνεται τὸ ᾱ τὰ ἐμά τᾱμά. γέγονε δὲ κρᾶσις τοῦ ᾱ καὶ ε̄ εἰς ᾱ μακρόν. ὑπερηχεῖται δὲ τὸ ῑ διὰ τὸν μακρὸν χρόνον ὡς καὶ τὸ Νηρηΐς Νηρῄς. τὸ δὲ πάϊς παῖς οὐχ ὑπερηχεῖται. οὐ γὰρ μακρὰ ἡ συναλοιφή. οὐκ ἂν δέ τις εἴποι ὡς παραπλησίως τὸ ᾄδω ἐκ τοῦ ἀείδω γέγονε τῷ φαίνω καὶ αἴρω ἐκ τοῦ φαείνω καὶ ἀείρω. ὤφειλε γὰρ οὕτως ὑπερηχεῖσθαι τὸ ῑ διὰ τὸ μακρὸν γενέσθαι τὸ ᾱ ὡς ἀείδω ᾄδω οὕτως ἀείρω ᾄρω καὶ φαείνω φᾄνω, νῦν δὲ φαίνω καὶ αἴρω λέγεται· ὡς γὰρ τεκμαίρω σκαίρω χαίρω καὶ ἐθείρω ἐγείρω, οὕτως ἀείρω καὶ αἴρω λέγεται, καὶ πάλιν ὡς ἀλεείνω καὶ ῥαίνω καὶ δραίνω καίνω, οὕτως οὖν φαείνω καὶ φαίνω κατ' ἴδιον χαρακτῆρα ἑκάτερα. l. 5 Choer. 176, 33. Hes. l. 8 Choer. 177, 8, E. M. 21, 19, Hes. l. 15 Choer. 181, 32, Hes. l. 18 Choer. 177, 12, Hes. cf. περὶ ποσ. 284, 19 ἀεικέλιος: ει. τὸ μὲν γὰρ εἴκελος διφορεῖται κατὰ τὴν γραφήν. τὰ μέντοι παρ' αὐτὸ συντεθειμένα δίφθογγον ἔχει, θεοείκελος, πανείκελος, ἀνδρείκελος. Hes. habet ἀϊκελίου. l. 20 Choer. 177, 16 coll. E. M. 12, 46. l. 23 Choer. 175, 25. l. 26 Choer. 171, 12 cf. can. gen. l. 27 St. B. l. 29 St. B. 31, 3, ubi Ἡρωδιανὸς διὰ τῆς αι ἐν πρώτῃ τῶν

Ἀζειῶται: ει.

Ἄζιλις πόλις Λιβύης. τινὲς δὲ Ἄζιριν μετὰ τοῦ ρ̄ λέγουσι τὸν χῶρον. Χάραξ δὲ Ἄζιρον λέγει αὐτήν.

ἀηδών: τοῦτο καὶ σὺν τῷ ῑ. ἐκ γὰρ τοῦ ἀείδω ἀειδών καὶ τροπῇ τῆς ει Αἰολικῶς εἰς η ἀηδών καὶ φυλάττει τῆς ει τὸ ῑ.

ἀηδόνειος: ει.

Ἀθαρραβίτης νομὸς ἐν Αἰγύπτῳ καὶ Ἀθάρραβις πόλις. Ἑκαταῖος δὲ ἐν δευτέρῳ περιηγήσεως δι' ἑνὸς ρ καὶ τοῦ μ̄ «Ἀθαραμβίτης νόμος καὶ Ἀθαράμβη πόλις».

ἀθεεί: ει.

Ἀθήνησι καὶ Θήβησι δίχα τοῦ ῑ.

Ἄθλιβις πόλις Αἰγύπτου. Νικάνωρ δ' Ἑρμείου διὰ τοῦ ρ̄ φησὶν Ἄθριβις. οὕτω καὶ Στράβων.

Ἄθωος τὸ τοπικὸν χωρὶς τοῦ ῑ καὶ Ἀθώους τοὺς ἐνοικοῦντας, τὸ δὲ δηλοῦν τὸ ἀζήμιον προπερισπᾶται καὶ διὰ τοῦ ῑ ἐκ τῆς θωῆς.

Αἰανῖτις Ναβαταίων χώρα· διὰ διφθόγγου. Σοφοκλῆς δὲ Αἰαντία γράφει δίχα τοῦ ν̄.

Αἴγειος: τὸ γει δίφθογγος ὡς μέρος σώματος. — Αἰγαῖος «Αἰγαῖον πέλαγος» Αἰγαῖος πόντος παρὰ τὴν Αἰγὰν τῆς Αἰολίδος ἄκραν.

Αἴγειρα πόλις Ἀχαΐας. ει δίφθογγος.

αἴγειρος: cf. fr. 16, sic etiam Hes.

Αἴγινα ὄνομα πόλεως. τὸ γι ἰῶτα. τὰ διὰ τοῦ ινα διὰ τοῦ ῑ γράφεται χωρὶς τοῦ πεῖνα καὶ τοῦ τέρεινα ἡ ἁπαλή οἷον Βέμβινα Καμάρινα Βέλβινα ὄνομα πόλεως, Ἄρπινα ὄνομα ἵππου, ὅπερ τινὲς διὰ δύο νν γράφουσι, Καμάρινα λίμνη δυσώδης ὡς καὶ ἡ χρῆσις δηλοῖ «μὴ κίνει Καμάριναν» — οὕτω καὶ Αἴγινα.

ἀΐδηλος: ῑ.

ἀΐδιος: διὰ τοῦ ῑ.

αἰδοῖος καὶ αἰδῷος σὺν τῷ ῑ. τὰ γὰρ ἀπὸ τῶν εἰς ως διὰ τοῦ ωος παραγωγὰ σὺν τῷ ῑ γράφεται καὶ προπερισπᾶται Μίνως Μινῷος, ἥρως ἡρῷος, πάτρως πατρῷος, ἠώς ἠῷος καὶ αἰδώς αἰδῷος.

καθόλου λέγων «Αἰζήν κτλ.», sed alteram scripturam ei ignotam fuisse non credibile est. Αἰζήν etiam ap. Arc. 8, 25 et Mon. 16, 4 exstat, cf. Lob. Parall. 191.
l. 1 St. B., Hes. l. 2 St. B. l. 4 Theogn. 32, 17. cf. E. M. 23, 38, Hes. sine ῑ scribit. l. 6 Hes. l. 7 St. B. l. 10 Hes. et Theogn. 165, 4.
l. 11 Theogn. 157, 26. in E. M. 25, 13 ut videtur a Choerobosco traditur haec adverbia cum ῑ scribi, quamvis non deberent, quum eandem scripturam atque adverbia in θεν servarent. l. 12 St. B. l. 14 St. B., Arc. 87, 12 et E. M. 26, 30. l. 16 locum Stephani intactum reliqui, coniecturas virorum doctorum vide ap. Meinekium. l. 18 prior pars sumpta est ex E. M. 28, 35 αἴγειος: τὸ γει δίφθογγον ὡς μέρος σώματος. τὸ Δωρικὸν αἰγαῖος· οἱ γὰρ Δωριεῖς τὸ ει αι λέγουσι. τὸ γὰρ κύπειρον κύπαιρον λέγουσι· τὸ δὲ αἴγειον αἰγαῖον πέλαγος; posterior de Αἰγαῖος ex St. B. s. Αἰγά. l. 20 St. B. cf. E. M. 28, 53 ἔστι δὲ τὸ Ἄργιρον (scr. Αἴγιρον) ὄνομα πόλεως· τινὲς δὲ ὡς καὶ ὁ Χοιροβοσκὸς εἰς τὸ ἀκτῖνα διὰ τῆς ει διφθόγγου γράφουσιν αὐτό. l. 22 E. M. 27, 9 coll. Theogn. 100, 31, Choer. 171, 8. Hes. l. 27 Hes. E. M. 41, 44. l. 28 Choer. 175, 3. Hes. l. 29 αἰδοῖος Hes., αἰδῷος Choer. ἐν τῷ περὶ ποσότητος in E. M.

ἀΐζηλος: ἄδηλος.

αἰζηός: οὐκ ἔχει τὸ ῑ προσγεγραμμένον. Ἀπολλώνιος μὲν ὁ Ἀρχιβίου σὺν τῷ ῑ οἶδεν αὐτὸ λέγων γεγονέναι ἐκ τοῦ αἰζήϊος. ἀλλ' εἰ ἦν ἀπὸ τοῦ αἰζήϊος, οὐκ ὤφειλεν ὀξύνεσθαι, ἀλλὰ προπερισπᾶσθαι. ἡ γὰρ ὀξεῖα καὶ βαρεῖα εἰς περισπωμένην συνέρχονται οἷον Ἀχελώϊος Ἀχελῷος, ὑπερώϊον ὑπερῷον, ὥσπερ οὖν ἀπὸ τοῦ Αἰτωλός γίνεται Αἰτώλιος κατὰ παραγωγὴν τοῦ αὐτοῦ σημαινομένου φυλαττομένου καὶ ἀπὸ τοῦ κάπρος κάπριος, οὕτω καὶ ἀπὸ τοῦ αἰζηός αἰζήϊος.

Αἰθάλη ἐκαλεῖτο ἡ Λῆμνος ἴσως ἀπὸ τῶν αἰθαλῶν ἀναδεδομένων ἐκ τῶν Ἡφαίστου κρατήρων. Αἰθαλίτης τὸ ἐθνικόν, ἀπὸ δὲ τοῦ Αἰθάλεια Αἰθαλείτης ὡς Ζελείτης.

Αἴθικες ὡς Κίλικες ἔθνος ἐν Θετταλίᾳ οἰκοῦν ἐν τῷ Πίνδῳ ὄρει (Β 744).

αἴθουσσα: ἔχει διττὸν μὲν τὸ σ̄ ἐπὶ τοῦ προσηγορικοῦ, ἐπὶ δὲ τοῦ κυρίου κατά τινας ἕν, λέγω δὲ ὅτε σημαίνει θυγατέρα Ποσειδῶνος καὶ Ἀλκυόνης.

αἶκνον δεῖπνον.

ἄϊκες αἱ ὁρμαὶ διὰ τοῦ ῑ γράφεται. ἐγένετο γὰρ παρὰ τὸ ἀΐσσω ἄϊξ. καὶ πάλιν τὰ εἰς ξ λήγοντα ἀποστρέφεται τὴν ει δίφθογγον οἷον πέρδιξ μάστιξ θρίξ· οὕτως οὖν καὶ ἄϊξ.

Αἰλία πόλις Παλαιστίνης. τὸ αι δίφθογγον, τὸ λι ῑ κατὰ παράδοσιν.

Αἴνεια τόπος Θρᾴκης ἀπὸ Αἰνείου· Αἰνία διὰ τοῦ ῑ πόλις Περραιβῶν.

Αἰνείας: διὰ τῆς ει διφθόγγου τὸ νει. εὕρηται γὰρ καὶ Αἰνέας λεγόμενον καὶ προσθέσει τοῦ ῑ Αἰνείας.

αἰπεινός: διὰ τῆς ει διφθόγγου. τὰ γὰρ εἰς νος ὀξύτονα παρώνυμα μὴ ἐπὶ καιροῦ λαμβανόμενα ἀποστρέφεται τὴν διὰ τοῦ ῑ μόνου γραφήν.

Ἄϊρος: ῑ.

29, 28, Arc. 42, 24. l. 1 Herod. περὶ παθῶν fr. 179 in E. M. 41, 44, Hes., Lehrs ad Herod. p. 457. l. 2 E. M. 32, 10 ubi qui citatur technicus est Herodianus. Hes. l. 9 St. B. et E. M. s. v. l. 12 St. B. 47, 4. Hes. s. v., alii Αἴθυκες scripsisse videntur, ut apparet ex Choer. Dict. 80, 16, ubi τὰ εἰς υξ δισύλλαβα φύσει μακρᾷ παραληγόμενα ἁπλᾶ μὴ ὄντα θηλυκὰ διὰ τοῦ κ̄ κλίνονται οἷον αἶθυξ αἴθυκος ὁ εὐκίνητος παρὰ τὸ αἰθύσσω. ἔστι δὲ ὄνομα ἔθνους καὶ κύριον. Lehrsius ad Diehr. p. 347 suspicatur hoc gentile Αἴθυκες confusum esse a Choerob. cum Αἴθικες, quamquam non negat hoc etiam recte habere posse. Similis vocalium ῑ et ῡ variatio reperitur in Ἀλλόβριγες et Ἀλλόβρυγες. Fortasse sic Herodiani in Orthogr. adnotamentum processit: Αἶθιξ διὰ τοῦ ῑ τὸ ἐθνικόν, αἶθυξ ὁ εὐκίνητος παρὰ τὸ αἰθύσσω διὰ τοῦ ῡ, τινὲς δὲ καὶ τὸ ἐθνικὸν διὰ τοῦ ῡ γράφουσιν. l. 14 Mon. 12, 27, ad quem locum Lehrsius citat Ep. Hom. 278: εἰς σα ἔχομεν τῇ ου διφθόγγῳ παραληγόμενα ὑπὲρ δύο συλλαβὰς καὶ μετὰ διττοῦ τοῦ σ̄· δισύλλαβα δὲ οὐκ ἔχομεν ὅμοιον τῷ μοῦσα et significari αἴθουσσα ἔμπουσσα Συράκουσσα opinatur. l. 17 Hes., scribitur etiam αἶκλον et εἶκλον Hes. l. 18 Choer. 170, 10, Il. Pr. O 709, Hes. l. 21 St. B., Choer. 178, 18. l. 23 St. B. s. v. l. 25 Choer. 176, 4. l. 27 Choer. 179, 17. l. 30 Hes., E. M. 488, 16.

αἴcθηcιc: αἰcθητήριον, αἰcθητόc καὶ αἰcθάνομαι καὶ ὅcα ὅμοια διὰ τῆc αι διφθόγγου. τὸ δὲ ἐcθήc καὶ ἔcθημα διὰ τοῦ ε.

αἰcχίων: διὰ τοῦ ι γράφεται. τὰ γὰρ εἰc ων καθαρὰ cυγκριτικὰ οὐ παραλήγεται τὴν ει δίφθογγον κτλ.

αἶcχοc: διὰ τῆc αι διφθόγγου.

ἀΐτηc: διὰ τοῦ ι γράφεται. πάντα γὰρ διὰ τοῦ ιτηc διὰ τοῦ ι γράφεται κατὰ τὸν κανόνα τοῦ Ἀcκαλωνίτηc.

ἀΐτιαc: τὰc ἐρωτικάc· διὰ τοῦ ι. ὥcπερ γὰρ ἀπὸ τοῦ ὁ δεcπότηc ἀρcενικοῦ γίνεται ἡ δεcπότιc διὰ τοῦ ι, οὕτω καὶ ἀπὸ τοῦ ἀΐτηc ἡ ἀΐτιc ἀΐτιδοc καὶ ἐντεῦθεν ἀΐτιαc.

Ἀκαδήμεια γυμνάcιον Ἀθήνηcιν. κέκληται ἀπὸ Ἀκαδήμου. γράφεται καὶ διὰ τοῦ ε Ἑκαδήμεια.

ἀκακαλλίc καὶ κακαλίc.

ἀκαλαρείτηc τὸ ρει δίφθογγοc. δεῖ γὰρ γινώcκειν, ὅτι πάντα τὰ παρὰ τὸ ῥέειν διὰ τῆc ει διφθόγγου γράφεται οἷον εὐρείτηc, βαθυρείτηc. οὕτωc οὖν ἀκαλαρείτηc. cημαίνει τὸ ἡcύχωc ῥέον.

Ἀκαμάντιον πόλιc τῆc μεγάληc Φρυγίαc. τὸ ἐθνικὸν Ἀκαμάντιοc ὡc Βυζάντιοc, τὸ δὲ κτητικὸν τοῦ Ἀκάμαντοc διὰ τῆc ει διφθόγγου.

ἀκέραιοc: αι· παρὰ τὸ κέραc.

ἀκηδία: ι. Ἀπολλώνιοc δὲ ὁ τὰ Ἀργοναυτικὰ τὸ δει δίφθογγον γράφει «μή δέ μ' ἀκηδείῃcιν ἀφορμηθῆτε λιπόντεc» (Β 219).

ἀκηδίλωτον: ι.

Ἀκιδαλίνη: ι· ἔcτι δὲ ὄνομα κρήνηc παρὰ τὸ Ἀκίc Ἀκίδοc.

ἀκονιτί: ι.

Ἀκραγαντῖνοc: διὰ τοῦ ι μακροῦ. τὰ γὰρ διὰ τοῦ ινοc κτλ.

ἀκρατία καὶ ἀκραcία: ι ἡ παράδοcιc.

ἀκρίβεια: διὰ τῆc ει διφθόγγου ὁμοίωc τῷ ἀπέχθεια, ἀναίδεια, ἐντρέχεια.

ἀκριβήc: διὰ τοῦ ι γράφεται. ὥcπερ ἀπὸ τοῦ Ἀφροδύτη γίνεται Ἀφροδίτη τροπῇ τοῦ υ εἰc ι, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ ἀκρυβήc γίνεται ἀκριβήc διὰ τοῦ ι. καὶ γὰρ τὸν ἀκριβῆ οὐδεὶc δύναται κρύψαι ἢ λαθεῖν τι.

ἀκροθίνιον ἀπαρχὴ τῶν θινῶν: ι.

ἀκτίc: διὰ τοῦ ι μακροῦ ὡc δικατάληκτον κτλ.

l. 1 Choer. 214, 3. l. 3 Choer. 171, 22 cf. can. gen. l. 5 Choer. 179, 29. l. 6 Choer. 173, 1. l. 8 Choer. 173, 4, E. M. 43, 40. l. 11 St. B. Ἀκαδήμεια et Ἑκαδήμεια E. M. 44, 9, Hes. Ἀκαδημία et Ἑχεδημία. l. 13 Hes. l. 14 Choer. 169, 28, Hes. l. 17 St. B. l. 19 Choer. 182, 27, sed locus mutilatus in E. M. 46, 40 plenior exstat: ibi etiam altera originatio a κεράννυμι proposita est. Hes. l. 20 E. M. 47, 35. Hes. ἀκηδία. l. 22 Choer. 183, 13, Hes. l. 23 Choer. 172, 16, Ἀκίc habet etiam Hes. l. 24 Choer. 172, 18. Hes. l. 25 Choer. 170, 26. l. 26 Choer. 178, 29. Hes. l. 27 Choer. 178, 25. Hes. l. 29 Choer. 171, 30 et E. M. 52, 55, ubi ἡ παρὰ τὸ ἄχρι καὶ βαιόν — οὕτωc Ὡρίων καὶ Χοιροβοcκόc. E. Orionis hanc posteriorem tantum originationem profert altera, quae est Herodiani, omissa. l. 33 Choer. 182, 33. Hes. l. 31 Choer. 167, 15.

ἄκυτος παρὰ τὸ κύω κυτός καὶ ἄκυτος. Καλλίμαχος ἄκυθος εἰπὼν (hymn. in Apoll. 53) μεταλήψει στοιχείου ἐχρήσατο.

Ἁλαί δύο δῆμοι τῆς Ἀττικῆς. ἑκατέρου ὁ δημότης ἄνευ τοῦ ι Ἁλαεύς. Τρύφων δ' ἐν παρωνύμοις «Ἁλαῖος καὶ Ἁλααῖος· ἀπὸ δὲ τοῦ Ἁλαῖος λέγεται Ἁλαιεύς», ἀλλ' ἐν τοῖς ἑξῆς καθ' ἔθος Ἀττικὸν ἔνδειάν φησι τοῦ ι.

ἀλάβαστος: λήκυθος . . . . ἀλάβαστρον· μυροθήκη ψήφινος.

ἀλαζονεία: διὰ τῆς ει διφθόγγου· διὰ τὸ ἔχειν ῥῆμα ἀντιπαρακείμενον διὰ τοῦ ευω.

ἀλεείνω: τὸ ει δίφθογγος. τὰ γὰρ διὰ τοῦ εινω κτλ.

ἄλειαρ: διὰ τῆς ει διφθόγγου· ἐκ γὰρ τοῦ ἄλεαρ γέγονεν ἄλειαρ. σημαίνει τὰ ἄλευρα.

ἄλεισον: διὰ διθόγγου γράφεται. γέγονε γὰρ ὡς λέγει Ἀπολλώνιος ὁ Ἀρχιβίου παρὰ τὸ λεῖον ἄλειον καὶ ἐπενθέσει τοῦ σ ἄλεισον τοῦ α ἐπιτατικοῦ ἢ στερητικοῦ, τουτέστιν τὸ μὴ ὂν ὁμαλὸν ἀλλὰ περιφερές· παρὰ τὸ εὖ λεῖον.

ἀλείτης ὁ ἁμαρτωλός: διὰ τῆς ει διφθόγγου γράφεται διὰ τὸ ἀντιπαρακεῖσθαι τὸ ο ἐν τῷ ἀλοίτης· τὰ γὰρ ἔχοντα τὸ ο ἀναφαινόμενον ἔχει τὸ ε ἐγκείμενον οἷον σπείρω σπορά, ἀλείφω ἀλοιφή. οὕτως οὖν ἀλείτης ἀλοίτης. γίνεται δὲ παρὰ τὸ ἀλιτῶ τὸ ἁμαρτάνω, ὅθεν καὶ Ἀλεξίων τὸ ἀλείτης ἠξίου διὰ τοῦ ι γράφεσθαι. ἡ δὲ παράδοσις διὰ τῆς ει διφθόγγου· ἀλήτης δὲ ὁ πλανήτης διὰ τοῦ η. δεῖ γὰρ γινώσκειν ὅτι ὥσπερ τὸ πεδήτης καὶ κομήτης καὶ πλανήτης οὐ ῥηματικά, ἀλλὰ παρώνυμα ἀπὸ τοῦ πέδη καὶ πλάνη καὶ κόμη, οὕτω καὶ παρὰ τὸ ἄλη, ὃ σημαίνει τὴν πλάνην, γίνεται ἀλήτης. οὕτω Φιλόξενος εἰς τὸ ῥηματικὸν αὐτοῦ.

ἄλειφα καὶ ἄλειφαρ τὸ ἄλειμμα διὰ τῆς ει διφθόγγου. ἀπὸ γὰρ τοῦ ἀλείφω γέγονε φυλαχθείσης τῆς λει συλλαβῆς διφθόγγου.

ἀλείφω: τὸ λει δίφθογγος· τὰ γὰρ ἔχοντα τὸ ο ἀντιπαρακείμενον ἔχει τὸ ε ἐγκείμενον οἷον λέγω λόγος, δέρω δορά, οὕτω καὶ ἀλείφω ἀλοιφή, ὅ ἐστι τὸ ἄλειμμα, διὰ τῆς ει διφθόγγου τροπῇ τοῦ ο εἰς ε. τὰ δὲ ὀνόματα τὰ ἐκ τοῦ ἀλείφω γινόμενα, εἰ μὲν διὰ τοῦ πτ ἐκφέρεται, φυλάττει τὴν ει δίφθογγον, ἀλείπτω ἀλείπτης, ἄλειπτον, ἀνή-

l. 1 E. M. 54, 52, ubi quae de lapsu Callimachi in significatu dicta sunt, ab epitomatore adiecta videntur; paullo post in Methodii articulo haec ab Herodiano profecta videntur: παρὰ τὸ κύω ἄκυτος ἄκυθος ὡς λύω λυτός ἄλυτος καὶ ὦρται ὀρτός ὀρθός. Hes. habet ἄκυθος et ἀκυθῶν ἀγρυπνῶν, in quo fortasse latet ἄκυθον ἄγονον; etiam ap. Arc. 49, 24 ἄκυθος exstat. l. 3 St. B., Hes. l. 7 Hes. cf. E. M. 55, 34, Schmidt. Hes. p. LXXXVII. l. 8 Choer. 181, 1. l. 10 Choer. 176, 14. cf. can. gen. l. 11 Choer. 181, 29. l. 13 Choer. 179, 17 coll. E. M. 61, 32, cui praecepto ex Choerobosci Orthographia prompto subscriptum est οὕτως Χοιροβοσκός. Hinc inserui ὡς λέγει Ἀπολλώνιος ὁ Ἀρχιβίου. l. 17 Choer. 169, 14, E. M. 61, 41, E. Gud. 33, 20, Theogn. 45, 24, Ep. Cr. I 28, 29. ἀλεῖτις scriptum est in Il. Pr. I 571. l. 27 Choer. 175, 16. l. 29 Choer. 175, 8, E. M. 61, 1.

λειπτον. εἰ δὲ διὰ τοῦ φ ἐκφέρεται, σύνθετα ὄντα, διὰ τοῦ ι γράφεται οἷον ὑπηλιφής, ἀνυπηλιφής· πρόσκειται «σύνθετα» διὰ τὸ ἄλειφα καὶ ἄλειφαρ ἄλειμμα.

Ἀλεξάνδρεια: ει.

ἀλήθεια: τὸ θει δίφθογγος· ἔστι κανὼν ὁ λέγων, ὅτι τὰ εἰς ης ἀρσενικὰ εἰς α θηλυκὰ μεταγόμενα κτλ.

ἀληθινός: ι.

Ἀλήσιον πόλις τῆς Ἤλιδος «πέτρης τ' Ὠλενίης καὶ Ἀλησίου» (Il. Λ 757), γράφεται καὶ διὰ τῆς ει διφθόγγου.

ἀλίνειν ἀλείφειν, ἀλῖναι ἐπαλεῖψαι, ἀλεῖναι ἐπαλεῖψαι, ἐπαλεῖναι ἐπαλεῖψαι, καταλεῖναι καταμῖξαι.

ἀλῖσαι τὸ κυλίσαι. γράφεται διὰ τοῦ ι. τὰ γὰρ διὰ τοῦ ιω ὑπὲρ δύο συλλαβὰς κτλ.

ἀλιτήριος ὁ ἁμαρτωλός ἀπὸ τοῦ ἀλιτρός παρὰ τὸ ἀλιτεῖν ῥῆμα διὰ τοῦ ι.

Ἀλίφηρα πόλις Ἀρκαδίας. εὕρηται ἡ παραλήγουσα διὰ διφθόγγου.

Ἀλκμαίων: Ἀλκμέωνας τὸ με ψιλὸν ὡς παρ' Εὐριπίδῃ ἔχει ἡ χρῆσις. συστεῖλαν τὴν αι δίφθογγον εἰς τὸ ε φυλάττει τὸ ω ὡς κύριον ἐν τῇ γενικῇ.

Ἀλλόβροξ ἔθνος Γαλατικόν, διὰ τοῦ ο Χάραξ, Ἀπολλόδωρος διὰ τοῦ υ, Πολύβιος δὲ διὰ τοῦ ι αὐτοὺς καλεῖ Ἀλλόβριγας, καὶ οὕτως οἱ πλείους.

ἀλοᾷ τύπτει. ἀλοία ἔτυπτε Ἀττικῶς, ἀφ' οὗ καὶ πατραλοίας.

Ἄλπεις καὶ Ἄλπεια ὄρη καὶ Ἄλβια. διχῇ ἡ γραφὴ καὶ διὰ τοῦ π καὶ διὰ τοῦ β καὶ Ἀλβία χώρα διὰ τοῦ β.

ἀλυίω καὶ ἀλύω.

Ἀλφειός: διὰ τῆς ει διφθόγγου κατὰ τὴν παράδοσιν. εὕρηται γὰρ καὶ χωρὶς τοῦ ι Ἀλφεός καὶ κατὰ πλεονασμὸν τοῦ ι Ἀλφειός.

ἀλφή μετὰ τοῦ ι παρὰ τὸ ἀλοιῶ παρὰ τὴν ἀσταχύων ἀλοίησιν, ἀλωή χωρὶς τοῦ ι σημαίνει τὸ σύμφυτον χωρίον καὶ σύνδενδρον τόπον παρὰ τὴν ἄλσιν τὴν αὔξησιν.

ἁμᾶ: ζητεῖται ἐν τῷ περισπωμένῳ ἁμᾶ εἰ προστεθήσεται τὸ ι.

Ἀμαζόνειον τόπος ἐν τῇ Ἀττικῇ. οὕτως ἐκαλεῖτο καὶ ἡ Κύμη. Ἑκαταῖος δ' ἐν τοῖς Αἰολικοῖς διὰ τοῦ ι γράφει τὸ ὄνομα. ἔστι καὶ ἄλλο διὰ τοῦ κ Ἀμαζονικόν ἐν Βοιωτίᾳ. ἔστι δὲ καὶ ἐν Βιθυνίᾳ Μαζαῖον κατὰ παραφθοράν, ὡς Ἀρριανὸς ἐν Βιθυνιακοῖς.

l. 4 Choer. 178, 12. l. 5 Choer. 179, 9. l. 7 Choer. 179, 33. l. 8 Ἀλήσιον St. B., Ἀλείσιον Choer. in E. M. 61, 37, Hes. Ἀλίσιον. l. 10 Hes. cf. Lob. Rhem. 238. l. 12 Choer. 183, 3, Hes. l. 14 Choer. 169, 21, Hes. l. 16 St. B. Hes. Ἀλίφηρα. l. 17 An. Ox. II 337, 4, Ἀλκμέων etiam a Choer. Dict. 72, 2 in nominibus in εων numeratur. l. 20 St. B. l. 23 Hes. l. 24 St. B. In E. M. 623, 1 etiam scriptura per ο Ὄλπια profertur. l. 26 ἀλυίω Arc. 165, 24; idem ἀλύω, hoc etiam Hes. l. 27 Choer. 168, 19 et 177, 25. l. 29 E. M. 74, 21. l. 32 Herod. in ιθ' Catholicae ap. Schol. ad Pind. Pyth. III 65; ap. Hes. exstat etiam forma ὁμᾶ ὁμοῦ. l. 33 St. B.

ἀμαθία: ῐ ἡ παράδοσις καὶ βραχύ.

ἅμακις ἅπαξ Κρῆτες, ἀματίς Ταραντῖνοι.

ἀμάκιον ἄβαξ Λάκωνες.

ἀμαλή ἁπαλή. ἡ δὲ λέξις Μακεδόνων.

Ἄμανον ὄρος πρὸς τῇ Κιλικίᾳ. ὁ οἰκήτωρ Ἀμανίτης. εἰσὶ δὲ καὶ Ἀμμανῖται διὰ δύο μμ, γένος τῶν Ναβαταίων Ἀράβιον ὡς Ἰώσηπος.

ἁμαρτῇ δασέως. περισπᾷ δὲ καὶ ὁ Ἀσκαλωνίτης καὶ οἱ πλείους. ὀξύνει δὲ ὁ Ἀρίσταρχος βουλόμενος αὐτὸ ἀπὸ τοῦ ἁμαρτήδην ἀποκεκόφθαι· διὸ καὶ κατ' αὐτὸν χωρὶς τοῦ ῑ γράφεται. ἐπικρατεῖ μέντοι τὸ περισπώμενον γενόμενον παρὰ τὸ ἅμα καὶ τὸ ἀρτῶ.

Ἀμαρύνθιος τὸ ἐθνικὸν καὶ Ἀμαρύσιος ὡς Τρικορύσιος. ἀναλογώτερον δέ μοι δοκεῖ τὸ διὰ τοῦ σ̄.

ἁματροχιά ἐστι τὸ ἅμα τρέχειν καὶ μὴ ἀπολείπεσθαι οἷον ὁμοδρομία τις οὖσα· τρόχους γὰρ τοὺς δρόμους ἔλεγον οἷον «τῇ ῥ' ἔσχε Μενέλαος ἁματροχιὰς ἀλεείνων» Ἰλιάδος Ψ (422), ἁρματροχιά δὲ τὸ ἀπὸ τῶν τροχῶν ἴχνος δηλονότι ὁ τύπος, ἡ ἐγχάραξις τοῦ τροχοῦ «οὐδέ τι πολλὴ — γίγνετ' ἐπισσώτρων ἁρματροχιὴ κατόπισθεν — ἐν λεπτῇ κονίῃ» (Ψ 504).

Ἀμβρακία; εὕρηται καὶ διὰ τοῦ π̄ ἀντὶ τοῦ β̄, ὅθεν καὶ τὸ Ἀμπρακιώτης ἀπὸ τῆς Ἄμπρακος γενικῆς καὶ Ἀμπρακία.

ἀμείβω: διὰ τῆς ει διφθόγγου διὰ τὸ ἔχειν ἀντιπαρακείμενον τὸ ο̄ ἐν τῷ ἀμοιβή ὥσπερ λείβω λοιβή, ἀλείφω ἀλοιφή.

ἀμείνων: διὰ τῆς ει διφθόγγου (παρὰ τὸ μείων καὶ πλεονασμῷ τοῦ ν̄ καὶ πάλιν παρὰ τὸ μένω γέγονεν ἀμένων καὶ πλεονασμῷ τοῦ ῑ ἀμείνων ὁ μὴ μένων, ἀλλ' ὑπὸ πάντων αἱρόμενος).

ἀμέλεια δίφθογγος παρὰ τὸ ἀμελής.

ἀμιναῖον: δι' ἑνὸς ν̄ τὸν οἶνον λέγει· ἡ γὰρ Πευκετία Ἀμιναία λέγεται.

ἀμίξαι τὸ οὐρῆσαι καὶ ὀμίξαι.

Ἀμμωνία ἡ μεσόγειος Λιβύη. ὁ οἰκήτωρ Ἀμμώνιος· ταῦτα διὰ τοῦ ῑ. τὸ δὲ Ἀμμώνειον διὰ διφθόγγου ὡς Δημήτρειον καὶ Ἀπολλώνειον.

ἀμνίον: τὸ αἱματοδόχον ἀγγεῖον. παρὰ τὸ αἷμα αἱμνίον καὶ ἀμνίον. Ζηνόδοτος δὲ ἐν ταῖς ἀπὸ τοῦ δ̄ γλώσσαις τίθησι τὴν λέξιν κτλ.

l. 1 Choer. 179, 4 et 15. l. 2 Hes. s. ἅμακις et ἀματίς. l. 3 Hes. cf. Ahrens de dial. Dor. p. 85 et supra Ἄμαντοι i. q. Ἄβαντες. l. 4 Hes., E. M. 76, 39. l. 5 St. B. l. 7 Il. Pr. Ε 656 (E. M. 78, 20) cf. Φ 162. Hes. consueta commixtione diphthongi ει cum ῃ ἁμαρτει. — Dicitur etiam ὁμαρτῇ Hes. Similiter variant ἁμαρτῶ et ὁμαρτῶ, de quibus agit E. M. 623, 20. l. 11 St. B. l. 13 E. M. 79, 32 et 145, 14; Hes. s. ἁματροχίας, quod Schmidt. oxytonos scribere debuit, et ἁματροχιαί. cf. Meinek. ad Callim. p. 153. l. 19 St. B. l. 21 Choer. 175, 29. l. 23 Choer. 176, 6, E. M. 82, 43. E. Orion 18, 12 priorem tantum habet originationem. l. 26 Choer. 179, 3. l. 27 Hes. l. 29 Hes., E. M. 83, 32 cf. Lob. El. I, 79. l. 30 St. B. l. 33 Schol. ad Od. γ 444, Eustath. 1476, 40, E. M. 84, 40. Hes. suis locis habet αἱμνίον ἀμνίον et δάμνια De Zenodoti glossis cf. Düntzer de Zenodoti studiis p. 29.

Ἀμνιcόc ὁ ποταμὸc διὰ τοῦ ῑ γράφεται. τὰ γὰρ εἰc ῑcοc τριcύλλαβα ἐπὶ ποταμῶν διὰ τοῦ ῑ γράφεται οἷον Ἀμνιcόc, Κηφιcόc, Ἰλιcόc.

ἀμορβεύων ἀκολουθῶν. ὁμορβεῖν ἀκολουθεῖν.

Ἀμοργὸc νῆcοc μία τῶν Κυκλάδων. λέγεται καὶ Ἄμολγοc προπαροξυτόνωc.

ἀμόρξαι ἀποψῆcαι καὶ ὀμόρξαι.

ἀμφιειμένοι: ἐνδεδυμένοι. διὰ τῆc ει διφθόγγου. εὕρηται γὰρ παρὰ τοῖc Αἰολεῦcι καὶ χωρὶc τοῦ ῑ οἷον ἀμφιέμμενοι.

ἀμφικτυόνεc οἱ περίοικοι Δελφῶν.

ἀμφίcβαινα εἶδοc ὄφεωc μακροκέφαλον. λέγεται δὲ καὶ διὰ τοῦ μ ἀμφίcμαινα.

Ἄμφιοc Ἀμφίων.

Ἀμφιτρίτη ἡ θάλαcca· ἀμφιτρίτη δὲ ἡ πέτρα ἢ ποταμόc. εἴρηται παρὰ τὸ ῥεῖν ἢ παρὰ τὸ τρεῖν. φόβον γὰρ ἐμποιεῖ τοῖc πλέουcιν, ὥc φηcι Δίδυμοc. ὤφειλε διὰ τῆc ει γράφεcθαι εἴτε παρὰ τὸ ῥεῖν εἴτε παρὰ τὸ τρεῖν. ὑπεβλήθη δὲ κανόνι τῶν εἰc τη θηλυκῶν καὶ διὰ τοῦ ῑ γράφεται.

Ἄμφρυcoc πόλιc Φωκίδοc. τινὲc δὲ διὰ τοῦ β φαcίν. γράφεται καὶ διὰ δύο cc.

ἀναγκαῖον: τὸ δεcμωτήριον, ἀνάκειον τὸ Διοcκουρεῖον.

ἀναιδήc: τὸ ναι δίφθογγοc καὶ ἀναίδεια διὰ διφθόγγου τὸ δει.

Ἀνακτόριον Ἀκαρνανίαc πόλιc. τὸ ἐθνικὸν Ἀνακτόριοc καὶ Ἀνακτορία ἡ γῆ. Cοφοκλῆc δέ φηcι διὰ τῆc ει «Ἀνακτόρειον τῆcδ' ἐπώνυμον χθονόc».

ἀναρίτηc ζῶον κοχλιῶδεc: ῑ.

ἀναρριχᾶcθαι: παρὰ τὸ ἄρριχοc ὁ κόφινοc, εὑρίcκεται καὶ χωρὶc τῆc αν cυλλαβῆc παρ' Ἱππώνακτι ἀρριχῶμαι.

---

l. 1 Choer. 172, 12. l. 4 Hes. l. 5 St. B. s. Ἀμοργόc et Arc. 47, 17. l. 7 Hes. l. 8 Choer. 176, 24. Ahrens de dial. Aeol. 51 not. 4. l. 10 Hes. et Arc. 15, 27, ex quo accentum perversum ἀμφικτύονεc restitui. In E. M. 90, 51 ἀμφικτιών καὶ τροπῇ τοῦ ῐ εἰc ῠ ἀμφικτυών ὡc τριφάλεια τρυφάλεια Orus explicat, qui ab Herodiano petivisse videtur. l. 11 Hes. s. v. l. 13 cf. can. gen. E. M. 92, 1 et 42. l. 14 E. Gud. 49, 39; Choer. 173, 16 διὰ τοῦ ῑ γράφεται κατὰ τὴν παράδοcιν. γράφεται δὲ διὰ τοῦ ῑ, ὅτι τὰ εἰc τη λήγοντα κτλ. l. 19 St. B. et Herod. in Schol. ad Apoll. A 54, Ἄμβρυccoc habet Theogn. 73. l. 21 Hes., alii ἀνάκαιον vel ἀνάκειον E. M. 98, 30: ἀνάκαιόν τι δεcμωτήριον παρὰ τοῖc Βοιωτοῖc οὕτω καλούμενον ὡc καὶ παρὰ τοῖc Κυπρίοιc ὁ κέραμοc. ἀξιοῦcι δέ τινεc ἀνάκειον γράφεcθαι, ὅπερ ἐcτὶ τὸ Διοcκουρεῖον, ἄνακεc γὰρ οἱ Διόcκουροι. cf. Schmidt ad Hes. s. v. l. 22 Choer. 178, 23. l. 23 St. B.

l. 26 Hes., Leh. Proll. 396 hoc et νηρίτηc per ει scribi adnotat fortasse non ob aliam causam quam ut ieta longum esse indicetur. l. 27 Herod. περὶ παθῶν fr. 707 in E. M. 99, 14. Hes. ἀναριχᾶcθαι ἀναβαίνειν cum simplici ρ̄ scriptum est, sed postea ἀρριχᾶcθαι. — De scripturae vocabuli ἄρριχοc inconstantia cf. Leh. Proll. 337: nihil tam fluxum et instabile quam nomen corbis cophinique ἄρριχοc, quod non solum ἀρίcκοc dicitur Hes., sed etiam mutata vocali ὕριχοc et ὑρίcκοc additoque sigma cύριχοc et cυρίcκοc.

ἀναρροιβδεῖ: ἀναρροφεῖ.

ἄνδειρον: ἄκρον ἢ τὰ χείλη τῶν ποταμῶν. γράφεται καὶ ἄνδηρον.

ἀνδρεία ἰσχύς: ει.

ἀνδρείκελος διὰ τῆς ει διφθόγγου. τὰ γὰρ παρὰ τὸ εἴκελος, ὅπερ διφορεῖται κατὰ γραφήν, συντιθέμενος δίφθογγον ἔχει.

ἀνδρειφόντης: ἀπὸ τῆς ἀνδρί δοτικῆς καὶ τοῦ φένω τὸ φονεύω. ἀλλ' ἐγράφη ἂν διὰ τοῦ ῑ· ἀλλὰ γράφεται δρει δίφθογγος. καὶ γίνεται παρὰ τὴν ἀνδρός γενικὴν ἀνδροφόντης καὶ τροπῇ τοῦ ō εἰς ē ἀνδρεφόντης καὶ πλεοναςμῷ τοῦ ῑ ἀνδρειφόντης.

Ἀνεμώρεια πόλις Φωκίδος ἡ νῦν Ἀνεμώλεια. Ὅμηρος (Β 421) καὶ Λυκόφρων (v. 1073).

ἄνεῳ μετὰ τοῦ ῑ· ἔςτι γὰρ εὐθεῖα τῶν πληθυντικῶν οἱ ἄνεῳ «τίπτ' ἄνεῳ ἐγένεςθε» (Β 322).

ἀνηρείψαντο οἱ θεοὶ ἀπὸ τῆς γῆς ἀνήρπαςαν. δίφθογγος τὸ ρει. ἀνερέψαντο γάρ. ἔςτιν ἔρα ἡ γῆ, ἐκ τούτου γίνεται ἐρέπτω τὸ εἰς γῆν καταβάλλειν καὶ ἀνερέπτω καὶ πλεοναςμῷ τοῦ ῑ ἀνερείπτω καὶ ἐξ αὐτοῦ ἀνηρείψαντο.

ἄνθιμος: τὸ θι ῑ· παρὰ γὰρ τὸ ἄνθος γέγονεν ἄνθιμος.

ἀνθρωπίςκος διὰ τοῦ ῑ. πάντα γὰρ εἰς ςκος ὑποκοριςτικά κτλ.

ἀνία: διὰ τοῦ ῑ ἀπὸ τοῦ ἰάω τὸ θεραπεύω, ἡ γὰρ ἀνία ἐςτέρηται τῆς θεραπείας.

ἀνόκαιον ὑπερῷον: γράφεται καὶ ἀνώγεων.

ἀντήρεις ςημαίνει πᾶν εἰς ὃ ἐπερείδεταί τις. οὐχ εὕρηται δὲ ἡ εὐθεῖα ἐν χρήςει. αἱ δὲ ἄλλαι πτώςεις τὴν κλίςιν ὡς ἀπὸ ὀξυτόνου εἰς ῑς ληγούςης εὐθείας ἔχουςιν. ὥςπερ γὰρ ἀςπίς ἀςπίδος καὶ ςανίς ςανίδος, οὕτω καὶ ἀντήρεις ἀντηρίδος ὡς παρ' Εὐριπίδῃ «κρήμνη ςεαυτὴν ἐκ μέςης ἀντηρίδος».

l. 1 Hes. Herodian. in E. M. 99, 9. l. 2 ἄνδειρον habet Arc. 123, 3, ἄνδηρον Hes. et E. M. 101, 39 ubi pro ἄνω εἶναι τῶν δειρῶν τουτέςτι τῶν διύγρων scribendum est διερῶν. Sic diversam scripturam concinnandam arbitratus sum.
l. 3 Hes. περὶ ποc. 306, 17, E. M. 461, 54 cf. can. gen. l. 4 περὶ ποc. 284, 29, Ep. Cr. I 156, 6, Hes. habet ἀνδρείκελον et ἀνδρίκελον. l. 6 E. M. 102, 14, Choer. 178, 9 cf. fr. 48. Hes. ἀνδριφόντης habet. l. 10 St. B, Hes.
l. 12 E. M. 105, 17, Schol. ad Od. β 240, Hes. l. 14 Choer. 176, 1, E. M. 107, 57. Hes. ἀνερίψαντο et ἀνηρείψαντο cf. fr. 31. l. 18 Choer. 182, 9.
l. 19 Choer. 176, 20. l. 20 Choer. 169, 1, Herod. in Ep. Cr. I 83.
l. 22 Hes. Choer. 182, 7 ἀνώγειον παρὰ τὸ ἄνω καὶ γέα et ibid. 31 ἀνώγαιον scriptum est. An. Ox. II 338, 11 ἀνώγεων: τό γε ψιλόν· τὰ παρὰ τὸ γέα ςυντιθέμενα διὰ τοῦ ē ψιλοῦ γράφεται γεωμέτρης, γεώλοφος, οὕτω καὶ ἀνώγεων.
l. 23 E. M. 112, 19, Ep. Cr. I 283, 28, An. Par. III 296, 18, Choer. Ep. in Psalm. 60, 6. Hesychius habet ἀντηρίδες τὰ ἀντερείδοντα ξύλα ἢ λίθινα καταςκευάςματα. In libello περὶ ποc. 296, 2 ἀντήρεις ἀντήρειδος cum κατάκλεις κατάκλειδος componitur ut exemptum ab eo canone, quo vocabula, in quorum genetivo ē non provenit ut in χαρίεις χαρίεντος, per ῑς exhibenda esse praescribitur. Choer. Orth. 173, 21 ἀντήρεις διὰ τῆς ει διφθόγγου εἰς ὃ ἐπερείδεταί τις. τοῦτο δὲ κατὰ τὴν παράδοςιν διὰ τῆς ει διφθόγγου γράφεται. His locis comparatis Herodiani sententiam E. M. et Ep. Cr. accuratius repraesentare videntur. cf. Lob. Parall. 232.

ἀντίος: παρὰ τὸ ἄντω ῥῆμα βαρύτονον γίνεται ἀντῶ περισπώμενον, ἀφ' οὗ ἄντην ἐπίρρημα καὶ ἀντίος, ὅθεν καὶ διὰ τοῦ ι γράφεται. τὰ παρὰ ἐπιρρημάτων γινόμενα διὰ τοῦ ιος προπαροξύνεται καὶ διὰ τοῦ ι γράφεται οἷον ἶφι ἴφιος, πρωΐ πρώϊος. οὕτω καὶ ἄντην ἀντίος. κατὰ τόνον μόνον ἥμαρτε καὶ οὐ κατὰ γραφήν.

ἀνώγειος: πάντα τὰ παρὰ τὸ γέα διὰ τῆς ει διφθόγγου γράφεται κτλ.

ἀνῷγεν: πρόσκειται τῷ ω τὸ ι. ἀπὸ γὰρ θέματος τοῦ ἀνοίγω πέπτωκεν.

ἀπείλω καὶ ἀπειλή: διὰ τῆς ει διφθόγγου. οἱ γὰρ Αἰολεῖς διὰ τοῦ ε ἐκφέρουσιν αὐτὰ οἷον ἀπέλλω, ἀπέλλη ὥσπερ κείρω κερῶ.

ἄπειρος: εἴτε ἐπὶ τοῦ ἀμαθοῦς εἴτε ἐπὶ τοῦ μεγάλου διὰ διφθόγγου γράφεται. ἐπὶ μὲν τοῦ ἀμαθοῦς ἐκ τοῦ πεῖρα γέγονε ἄπειρος οἷον ὁ ἐστερημένος τῆς πείρας. τὸ δὲ πεῖρα διὰ διφθόγγου γράφεται, οἱ γὰρ Αἰολεῖς πέρρα λέγουσιν· ἐπὶ δὲ τοῦ μεγάλου καὶ αὐτὸ διὰ τῆς ει διφθόγγου, ὅτι ἀπὸ τοῦ πέρας γέγονε ἄπερος καὶ κατὰ πλεονασμὸν τοῦ ι ἄπειρος οἱονεὶ ὁ μὴ ἔχων πέρας.

ἀπερείσια: τὸ ρει δίφθογγον ἐκ τοῦ ἄπειρος ἀπειρέσια καὶ καθ' ὑπερβιβασμὸν ἀπερείσιος καὶ ἀπερείσια.

Ἀπεσάντειος ἤμελλεν εἶναι ὥσπερ Αἴας Αἰάντειος, ἀλλὰ λέγεται Ζεὺς Ἀπεσάντιος.

ἀπινύσσων ἀπινύτως ἔχων.

ἀπόδειξις: τὸ δει δίφθογγος. Ἡρόδοτος γὰρ ἀπόδεξις ἐν ὑπομνήματι αὐτοῦ.

ἀπώλεια: τὰ παρὰ τὸ ὀλῶ διὰ τῆς ει διφθόγγου γράφεται καὶ ἐκτείνει τὸ ο εἰς ω, ἀπώλεια, ἐξώλεια.

Ἀργέννουσα νῆσος παρὰ τὸ Ἀργεννὸν ἀκρωτήριον, ἀφ' οὗ ἀργεννόεις καὶ κατὰ συναίρεσιν ἀργεννοῦς καὶ Ἀργέννουσα. Ἀνδροτίων ἐν τῷ τετάρτῳ τῆς Ἀτθίδος διὰ τοῦ ι.

Ἀργεῖος: ει.

Ἀργειφόντης cf. fr. 46.

ἄργιλος ἡ σμηκτὶς γῆ.

l. 1 E. M. 113, 5 (E. Or. 27, 23). cf. Arc. 41, 8 et 27, Choer. Orth. 173, 26. l. 6 Choer. 178, 30. l. 8 Il. Pr. Ξ 168. l. 10 Choer. 175, 32. l. 12 Choer. 178, 2. — pro πέρα scripsi πέρρα cf. Ahrens de dial. Aeol. 59. l. 18 Choer. 180, 26, Ep. Cr. I 22, 26, An. Par. III 309, 17. Hes. s. vv. l. 20 Choer. Dict. 39, 15 et St. B. l. 22 Hes. Schol A ad Il. O 10: Ἀριστοφάνης κῆρ ἀπινύσκων. ὁ δὲ Ἀρίσταρχος καὶ ἐν Ὀδυσσείᾳ διὰ δύο σσ (5, 342) cf. Lob. Rhem. 248. l. 23 Choer. 176, 12. l. 25 Choer. 178, 30; 180, 19. l. 27 St. B. cf. Lob. Proll. 188, qui adnotat ἀργεννόεις nihil aliud esse atque ἀργινόεις, unde Ἀργίνουσα. l. 30 cf. can. gen. περὶ ποσ. 288, 12 et 284, 15, Il. Pr. Φ 467 et B 269. Stephanus secutus est sententiam, quae in Schol. V ad Il. Φ 467 adiicitur: τὸ Ἀργεῖος οὐκ ἀπὸ οὐδετέρου παρῆκται, ἄλλως τε καὶ ἔχει δύο σύμφωνα: dicit enim 113, 4 τὸ ἐθνικὸν πασῶν (sc. urbium Ἄργος dictarum) Ἀργεῖος οὐ παρὰ τὸ Ἄργος οὐδέτερον (ἦν γὰρ διὰ τοῦ ι), ἀλλὰ παρὰ τὸν Ἄργον τὸν κτίστην. cf. Lob. ad Ai. p. 119. l. 32 Hes. Ἄργιλος πόλις Θρᾴκης, Ἄργιλα πόλις Καρίας

ἀργίλοφοι: λαπάραι κωδίων.

Ἀργύννιον ἱερὸν Ἀφροδίτης ἐν Βοιωτίᾳ. Ἀριστοφάνης δὲ Ἀργύννειον διὰ διφθόγγου.

Ἀργυννίς ἡ Ἀφροδίτη. λέγεται καὶ Ἀργουνίς.

ἀργυρίδιον: διὰ τοῦ ῑ τὸ ρι· ἐκ τοῦ ἄργυρος ἀργύριον ἀργυρίδιον.

ἀργυροδίνης παρὰ τὸ δίνη ἡ συστροφή. διὰ τοῦ ῑ γράφεται διὰ τὸν χαρακτῆρα τῶν διὰ τοῦ ινη καὶ πάλιν οἱ Αἰολεῖς δίννας λέγουσι καὶ οὐ δέννας. ἐὰν γὰρ δέννας, διὰ τῆς ει διφθόγγου ἤμελλε γράφεσθαι, ἀλλὰ δίννας λέγουσιν ἤγουν διὰ τοῦ ῑ. διὰ τοῦτο καὶ τὸ παρ' αὐτὸ ἀργυροδίνης διὰ τοῦ ῑ γράφεται. Καὶ ἄλλως δὲ τὰ διὰ τοῦ ινης ἀποστρέφεται τὴν ει δίφθογγον.

Ἀρδέα κατοικία τῆς Ἰταλίας. ἔστι καὶ πόλις Ἰλλυρίας διὰ τοῦ ῑ.

Ἀρίων: τὸ κύριον ὄνομα διὰ τοῦ ῑ γράφεται κατὰ διαστολὴν τῶν συγκριτικῶν, τὸ δὲ Ἄρειος ἀπὸ τοῦ Ἄρεως γεγονὸς ἤγουν τοῦ σημαίνοντος τὸν ἀνδρεῖον διὰ τῆς ει διφθόγγου γράφεται.

ἀρειά ἡ ἀπειλὴ διὰ τῆς ει διφθόγγου καὶ ὀξύνεται, ἐπὶ δὲ φυτοῦ ἀρία καὶ παροξύνεται.

ἀριστοκεία: τὸ κει δίφθογγος. ἐκ τοῦ ἀριστοκεύς ἀρσενικοῦ.

Ἀρμένη κώμη Παφλαγονίας· Μένιππος ἐν περίπλῳ. παρὰ δὲ Ξενοφῶντι ἐν Ἀναβάσεως ς' (α 9) Ἀρμήνην διὰ τοῦ η̄.

ἁρμονία: ῑ. ἀπὸ γὰρ τοῦ ἅρμων ἅρμονος ἁρμονία.

ἁρμῷ: ἁρμός ἁρμοῦ ἁρμῷ. αὕτη ἡ δοτικὴ μετῆλθεν εἰς ἐπιρρηματικὴν σημασίαν καὶ ἐφύλαξε τὴν αὐτοῦ γραφὴν οἷον ἁρμῷ. παρὰ δὲ τοῖς Συρακουσίοις ἁρμοῖ λέγεται.

ἀρνειός: τὸ νει δίφθογγος διὰ τὸ ἀρνεός καὶ ἄλλως, ὥσπερ ἀπὸ τοῦ ἀδελφός γίνεται ἀδελφειός κατὰ πλεονασμὸν τῆς ει διφθόγγου οὕτω καὶ ἀρνός ἀρνειός.

ἀρνεῖος ὁ μὴν προπερισπώμενον ει̅: τὰ γὰρ διὰ τοῦ ειος τρισύλλαβα πρὸ μιᾶς ἔχοντα τὸν τόνον κτλ.

ἄρνειος ὁ πούς προπαροξύτονον καὶ διὰ τῆς ει διφθόγγου γράφεται· τὰ γὰρ διὰ τοῦ ειος σημαίνοντα μέρος σωματικὸν κτλ.

ἀρπεδόεσσα καὶ ἑρπεδόεσσα.

St. B. haec vocabula etiam per duplex λλ et Ἄργιλος proprium per ει scribi adnotat Lob. Proll. 118. l. 1 Hes., in Bekk. An. 443, 4 ἀργέλοφοι per ε̄ scribitur Lob. Proll. 296. l. 2 St. B. expletus a Meinekio, qui de hac duplici temenicorum forma citat Lob. ad Phyn. p. 567 seqq. l. 4 St. B. l. 5 Choer. 173, 4 cf. can. gen. l. 7 Choer. 171, 3. l. 13 St. B. l. 14 Choer. 171, 26, Hes. ἀρείων βελτίων, Ἀρίων ὁ ἵππος (Il. Β 346), ubi Ἀρείων scribitur, Ποσειδῶνος υἱὸς καὶ μιᾶς τῶν Ἐρινύων. l. 17 E. M. 139, 20, Choer. 177, 4, Hes. l. 19 Choer. 180, 14. l. 20 St. B., eadem urbs ab eodem nominatur Ἀλμήνη πόλις πρὸς τῷ Εὐξείνῳ πόντῳ ὡς Ἀρριανός, ad quem l. cf. Mein. l. 22 Choer. 180, 25. l. 23 E. M. 144, 19, Hes. s. ἁρμοῖ et ἁρμῷ. l. 26 Choer. 168, 22 et 174, 18. l. 29 Choer. 174, 22 cf. can. gen. l. 31 Choer. 174, 27. l. 33 Herod. in E. M. 148, 8, ap. Hes. ἑρπεδόεσσα, quod Schmidtio Aeolicum videtur, sed potest eodem modo ab ἐρί quo ἀρπεδόεσσα ab ἀρι repeti.

ἄρρην ἄρϲην.

ἀρρενικὸν χρώματος εἶδος χλωρόν, ὅπερ ἡμεῖς ἀρϲενικὸν λέγομεν.

ἀρρηφορία ἑορτὴ ἐπιτελουμένη τῇ Ἀθηνᾷ παρὰ τὸ ἄρρητα καὶ μυϲτήρια φέρειν. λέγεται καὶ διὰ τοῦ ε̄ ἐρρηφορία παρὰ τὴν Ἕρϲην τὴν Κέκροπος θυγατέρα. ταύτῃ γὰρ ἦγον τὴν ἑορτήν.

Ἀρταῖοι γένος Περϲικόν, Ἡρόδοτος Ἀρτεάτας αὐτοὺς καλεῖ διὰ τοῦ ε̄ ψιλοῦ.

Ἀρτεμίϲιον πόλις Οἰνωτρῶν. Ἑκαταῖος Εὐρώπῃ. Φίλιϲτος δὲ Ἀρτεμίτιον αὐτὴν καλεῖ, ἴϲως Δωρικῶς. ἔϲτι καὶ πόλις Εὐβοίας.

Ἀρτεμίτα. τὸ ἐθνικὸν Ἀρτεμιτηνός. Ἀπολλόδωρος δ' Ἀρταμιτηνός φηϲι διὰ τοῦ α.

Ἀϲίῳ ἐν λειμῶνι: οἱ μὲν τῷ ἄϲιν ἔχοντι, οἱ δὲ Ἀϲιανῷ, ἀγνοεῖ δὲ Ὅμηρος τὴν Ἀϲίαν ὡς καὶ τὴν Εὐρώπην, ἐν γενικῇ δὲ αὐτὸ ἐκληπτέον καὶ χωρὶς τοῦ ῑ Ἀϲίῳ ἀντὶ τοῦ Ἀϲίου καὶ Ἰωνικῶς Ἀϲίεω καὶ Ἀϲίῳ ὡς τὸ «ἐϋμμελίω Πριάμοιο».

Ἀϲέα κώμη τῆς Ἀρκαδίας, ὁ κωμήτης Ἀϲεάτης. λέγεται δὲ ἡ κώμη καὶ Ἀϲία καὶ κωμήτης Ἀϲιάτης.

Ἀϲκαλωνίτης: διὰ τοῦ ῑ. τὰ γὰρ εἰς τη̄ς λήγοντα ὑπὲρ δύο ϲυλλαβὰς βαρύτονα εἴτε ἁπλᾶ εἴτε ϲύνθετα μὴ ἔχοντα ἀντιπαρακείμενον τὸ ο μήτε ἀπὸ πρωτοτύπου τὸ ε μήτε ἀπὸ πλεοναϲμοῦ τὸ ῑ ἑνὶ φωνήεντι παραλήγεται οἷον Ἀϲκαλωνίτης, μνηματίτης ὁ ἐπιτάφιος λόγος, πολίτης, μυθίτης ὁ ϲταϲιαϲτής, τεμενίτης, Σικελιώτης, ϲτρατιώτης.

ἄϲϲα τινά, Ἀττικοὶ δὲ ἄττα λέγουϲιν. ἅϲϲα ἅτινα.

ἀϲταφίϲ ϲταφίϲ.

ἀϲτεῖος, ὅπερ ἀντιδιέϲταλται τῷ ἄγροικος, καὶ ἀϲτεΐζω καὶ ἀϲτεϊϲμός ἀπὸ τῆς ἄϲτεος γενικῆς, τὸ δὲ προάϲτιος παρὰ τὸ προάϲτιον ὡς Βυζάντιος.

ἀϲτερόεις αἱματόεις διὰ τῆς ει διφθόγγου· τὰ γὰρ εἰς ει̅ϲ κτλ.

ἄϲτλιγγας αὐγάς ἢ ἄϲτριγγας ἢ ὄϲτλιγγας.

ἀϲφάραγος φάρυγξ ἢ βρόγχος ἢ λάχανον ἀτελές, ἀϲπάραγος.

κατ' ἀϲφοδελὸν λειμῶνα (Od. λ 539) ἄδηλον πότερον ϲφόδελον ἢ ἀϲφοδελόν. λέγεται γὰρ καὶ χωρὶς τοῦ α. τινὲς δὲ γράφουϲι ϲποδελόν διὰ τὴν ϲποδὸν τῶν καιομένων νεκρῶν. ἄμεινον δὲ ἀϲφοδελόν διὰ τὸ Περϲεφόνης εἶναι λειμῶνα τὸν τόπον.

l. 1 Hes. Herodianus, qui in libro περὶ γάμου καὶ ϲυμβιώϲεως vocabulum aut ab ἄρδω ἄρϲω aut ab ἔρδω ἔρϲω propagavit, scripturam per ϲ̄ pro priore habuit. E. M. 149, 41. l. 2 Hes. l. 3 Hes. E. M. 149, 13. l. 6 St. B. s. Ἀρταία et Ἀρτεᾶται cum Meinekii adnotatione. l. 8 St. B. cf. Choer. 169, 33 et 172, 1 Ἀρτεμίϲιον Ἀφροδίϲιον: ῑ ἀμφότεραι αἱ ϲυλλαβαί· ἡ παράδοϲις. l. 10 St. B. cum Mein. adnot. l. 12 St. B. Herod. Cathol. in Schol. BDLV ad Il. Β 461, E. M. 153, 42, Hes. l. 16 St. B. Ἀϲέα et Ἀϲεάτης, Hes. Ἀϲία et Ἀϲιώτης.

l. 18 Choer. 169, 7. μυθίτης ex Anacr. profert E. M. 593, 49 cf. Bergk ad Anacr. fr. 16. l. 23 Hes. l. 24 Hes., qui etiam ὀϲταφίϲ profert cf. περὶ παθῶν fr. 24 in E. M. 636, 4. l. 25 St. B. l. 28 Choer. 174, 10. l. 29 Hes. s. ἄϲτλιγγας et ὄϲτλιγξ cf. E. M. 159, 38. l. 30 Hes. cf. Herod. in E. Gud. 87, 52. l. 31 Schol. ad Od. l. c. cf. Hes. ἀϲφόδελος et ϲφοδελός.

ἀτειρής ὁ ἀκαταπόνητος. τὸ τει δίφθογγον. τὰ γὰρ διὰ τοῦ ειρω ἀποστρέφεται τὴν διὰ τοῦ ι μόνου γραφήν — τείρω ἀτειρής. καὶ ἄλλως ἐκ τοῦ ἀτερής γέγονε πλεονασμῷ τοῦ ι ἀτειρής οἱονεὶ ὁ μὴ ὢν ἁπαλός.

ἀτίθασσον ἀνήμερον· τιθασσεύειν γὰρ λέγεται τὰ ἄγρια θηρία ἡμεροῦν.

ἄτιμος: ι. παρὰ γὰρ τὸ τιμή καὶ ἄλλως τὰ διὰ τοῦ ιμος κτλ.

Ἀτρείδης καὶ Αἰγείδης ἀπὸ τοῦ Ἀτρεύς καὶ Αἰγεύς διὰ τῆς ει διφθόγγου. τὰ γὰρ εἰς δης κτλ.

ἀτρέκεια ἡ ἀλήθεια παρὰ τὸ ἀτρεκής.

ἀτρυγηφάγου καὶ ὀτρυγηφάγου.

Αὔασις πόλις Αἰγύπτου. ταύτην δὲ καὶ Ὄασιν καλοῦσιν.

Αὐγείας. δίφθογγος τὸ γει. ἀπὸ γὰρ τοῦ αὐγή Αὐγέας καὶ κατὰ πλεονασμὸν τοῦ ι Αὐγείας.

ἀφάδειος ἐχθρός ἀπὸ τοῦ ἁφανδάνειν. λέγεται δὲ καὶ ἀφάδιος.

Ἀφάναι χωρίον Σικελίας ἄσημον. γράφεται καὶ διὰ δύο νν.

ἄφιξις διὰ τοῦ ι γράφεται. γέγονε δὲ ἀπὸ τῶν παθητικῶν ῥημάτων ἐκ τοῦ ἀφῖγμαι ἀφῖξαι ἀφῖκται. καὶ τὸ ἱκανός παρὰ τὸ ἱκέσθαι, εἰς πάντα γὰρ δύναται παραγενέσθαι ὁ ἱκανός. οὕτως καὶ ἄφιξις διὰ τοῦ ι. καὶ ἄλλως τὰ ἀμφιβαλλόμενα κατὰ τὴν γραφὴν κτλ.

ἀφνειός: τὸ φνει δίφθογγος διὰ τὸ καὶ χωρὶς τοῦ ι αὐτὸ εὑρεθῆναι ἀφνεός.

Ἀφροδίτη διὰ τοῦ ι.

ἀφυῖα διὰ τοῦ ι γράφεται.

Ἀχερόντειος διὰ τὸ μέτρον Ἀριστοφάνης ἔφη «Ἀχερόντιός τε σκόπελος αἱματοσταγής» (Ran. 471).

Ἀχιλῆος: οὕτως ἀναγνωστέον δι' ἑνὸς λ διὰ τὸ μέτρον καὶ διὰ τὸ ἄχος, ὅ ἐστι λύπην, φέρειν τοῖς Ἰλιεῦσιν· ἢ διὰ τὸ μὴ θιγεῖν χείλεσιν θηλῆς, ὅ ἐστι τροφῆς. ὅλως γὰρ οὐ μετέσχε γάλακτος. ἀναλογώτερον δ' ἡ δι' ἑνὸς λ γραφή.

ἀχρεῖος: δίφθογγος καὶ προπερισπᾶται παρὰ τὸ χρεία.

ἀψίς: διὰ τοῦ ι. τὰ γὰρ εἰς ις ὀξύτονα ὑπὲρ μίαν συλλαβὴν ἀποστρέφεται τὴν ει δίφθογγον.

Ἄψυνθος πόλις Θρᾴκης. διχῶς ἡ γραφὴ καὶ διὰ τοῦ υ καὶ διὰ τοῦ ι.

Ἀῷος ποταμός.

l. 1 Choer. 172, 20; posteriorem tantum originationem praebet E. Orion. 18, 16. l. 5 Hes. cum duplici σσ. l. 7 Choer. 182, 16. l. 8 Choer. 173, 23 — de ι subscripto in Ἀτρείδῃσι Choer. περὶ πος. in E. M. 166, 30. l. 10 Choer. 179, 28. l. 11 Hes. E. M. 167, 24. l. 12 St. B. l. 13 Choer. 176, 10. l. 15 Hes., quem recte emendasse Schmidtium monstrat canon ap. Theogn. 54, 20 cf. can. gon. l. 16 St. B., ap. Hes. per νν scriptum est. l. 17 Choer. 173, 7. l. 21 Choer. 175, 1 et 168, 27, ubi etymologia proponitur ab ἔνος ὁ ἐνιαυτός, ἄφενος ὁ ἐκ τῶν καρπῶν τοῦ ἐνιαυτοῦ συναγόμενος πλοῦτος. l. 23 Choer. 170, 16, Ep. I 37, 26, E. M. 179, 3 cf. περὶ παθῶν fr. *607. l. 24 Choer. 182, 10. l. 25 St. B. l. 27 An. Par. III 300, 22. l. 31 Choer. 178, 1, Il. Pr. B 269. l. 32 Choer. 172, 5. l. 34 St. B. l. 35 et in E. M. 117, 34 et ap. Hes., apud quem

Β.

βαίβυκος πελεκᾶνος Φιλητᾶς, Ἀμερίας δὲ βαύβυκος.

Βακχεῖος σημαίνει Διόνυσον διὰ τῆς ει διφθόγγου κατὰ τὸν κανόνα τοῦ ἀνδρεῖος. Βάκχιος δὲ τὸ κύριον διὰ τοῦ ῑ.

βαλανεῖον διὰ τῆς ει διφθόγγου. ἀπὸ τοῦ βαλανεύς γάρ.

βαλβίς ἡ ἀφετηρία τοῦ δρόμου διὰ τοῦ ῑ γράφεται. ἡ γὰρ γενικὴ βαλβῖδός ἐστιν.

βαράγχια τὰ βραγχία τῶν ἰχθύων.

βάρακες τὰ προφυράματα τῆς μάζης. Ἀττικοὶ δὲ βήρηκες.

Βασιλείδης: τὸ λει δίφθογγος· ἐκ τοῦ βασιλεύς.

βασίλειος: τὸ λει δίφθογγος· τὰ γὰρ ἀπὸ τῶν εἰς ευς ὑπὲρ μίαν συλλαβὴν διὰ τοῦ ειος παραγόμενα διὰ τῆς ει διφθόγγου γράφεται οἷον Ὀδυσσεύς Ὀδύσσειος, Ἀχιλλεύς Ἀχίλλειος, οὕτω καὶ βασιλεύς βασίλειος. καὶ τὸ κύριον δὲ ὄνομα διὰ τῆς ει διφθόγγου γράφεται καὶ ἄλλως δὲ εὕρηται κατὰ διάστασιν τὸ ῑ καὶ ἐκτάσει τοῦ ε εἰς η οἷον βασιλήϊος.

βασμός βαθμός.

βατηρίαν ῥάβδον καὶ βακτηρίαν.

βαφεῖον: ει.

Βενέβεντος χωρίον ἐν Ἰταλίᾳ. ἔστι καὶ ἄλλη Καμπανίας διὰ τοῦ δ.

Βέννα πόλις Θρᾴκης καὶ διὰ ἑνὸς ν καὶ διὰ δύο. καὶ ἡ γραφὴ διάφορος καὶ διὰ διφθόγγου (sc. Βεῖνα) καὶ διὰ τοῦ ε̄, ὅπερ κρεῖττον.

βέρεθρον βάραθρον.

Βερεκύνδαι δαίμονές τινες. Βερεκύνται Φρυγῶν τι γένος.

Βῆσσα πόλις Λοκρῶν. Ἡρωδιανὸς δι' ἑνὸς σ γράφει, Ἀπολλόδωρος δὲ καὶ Ἐπαφρόδιτος καὶ Ἡρακλέων διὰ δύο. «Βῆσσάν τε Σκάρφην τε καὶ Αὐγειὰς ἐρατεινάς». ὠνομάσθη δὲ ἀπὸ τῆς τοῦ τόπου φύσεως ναπώδους οὔσης.

---

proparoxytonos Ἄωος exhibetur, et ap. St. B. 244, 12 sine ῑ scriptum est, sed Meinekius Anall. Alex. p. 279, ubi E. Magni locum egregie illustrat, ῑ addit, opinor, ex mente Herodiani propter characterem vocabulorum in ωος velut Ἀχελῷος (Arc. 42, 22) et quia dissoluta forma exstat in E. M. Ἀῷος βασιλεύς — ἀφ' οὗ καὶ ὄρος τι ὠνομάσθη Ἀωϊος. l. 2 Hes. Choer. Dict. 80, 19 βαίβυκες λέγονται οἱ πελεκᾶνες. l. 3 Choer. 185, 31, Arc. 41, 29, Hes. ὁ Βάκχιος ὁ Διόνυσος. l. 5 Choer. 186, 6 cf. can. gen. l. 6 Choer. 183, 29. l. 8 Hes. Herod. in E. M. 188, 9. l. 9 Hes. l. 10 Choer. 186, 1. l. 11 Choer. 185, 17. l. 16 Hes. cf. Moer. Att. p. 97, Phryn. p. 423. l. 17 Hes. l. 18 Choer. 183, 27. l. 19 St. B. l. 21 St. B. l. 23 Hes. E. M. ὁ ποιητὴς βέρεθρον τὸ χάσμα διὰ τοῦ ε̄, φησίν, Ἀττικῶς δὲ διὰ τοῦ ᾱ. l. 24 Hes., Βερεκύνται etiam St. B. l. 25 St. B. Hinc intellegimus Herodianum, qui plerumque Aristarchi vestigia premit, in hoc vocabulo Zenodotum proprium ab appellativo distinguentem secutum esse, nam Aristonicus tradit: Βῆσσα (Β 502) Ζηνόδοτος γράφει Βῆσαν ἐν τῷ ἑνὶ σ̄ διὰ τὸ βήσσας λέγεσθαι τῶν ὀρῶν τοὺς καθύγρους τόπους. ἔστι μέντοι προσηγορικὰ ἅ τινων κύρια γίνεται οἷον κυπάρισσος καὶ πόλεως ὄνομα. His locis comparatis apparet etiam, quod iam Lehrsius de Arist. p. 266 ed. II monuit, Eustathium ad Ρ 276 dicentem Βῆσσα ab Herodiano per duplex σσ scriptum esse non accurate referre. Neque Hesychius appellativum a proprio distinguit: βῆσσαι κλίμακες κοιλίαι καὶ ὑδρηλοὶ τόποι. καὶ τὰ βάσιμα ὄρη. καὶ πόλις.

βιβλία βυβλία.

βιβλίον βιβλίδιον: διὰ τοῦ ῑ.

Βίβλινος οἶνος οἷον «ὕδωρ δὲ πίνει, τὸν δὲ βίβλινον στυγεῖ» ἀπὸ Βιβλίνης οὕτω καλουμένης Θρᾳκίας ἀμπέλου ἥτις διὰ τὸ εὐθαλὴς εἶναι Ἑλλάδι μετετέθη καὶ ἐν Σικελίᾳ ὑπὸ Πόλλιδος τοῦ Σικυωνίου τυράννου, ἔνθεν αὐτόν τινες καὶ Πόλλιον καλοῦσιν. Ἐπίχαρμος δὲ ἀπὸ Βιβλίνων ὀρῶν τῆς Θράκης, ἔνθα φύεται, λελέχθαι αὐτὴν οἴεται. Σῆμος δ' ἐν τῇ ἕκτῃ τῆς Ἰλιάδος ἐν Νάξῳ φησὶν εἶναι ποταμὸν Βιβλίνην, ἀφ' οὗ καλοῦσιν οἶνον βίβλινον διὰ τὰς πεφυκυίας ἀμπέλους. διὰ τοῦ μ̄ γράφουσι τὸν ποταμὸν Βιμβλίνην καὶ τὸν Νάξιον οἶνον διὰ τοῦ μ Βίμβλινον.

Βῖδος φρούριον ἐν Σικελίᾳ οὐδετέρως. εὕρηται δὲ καὶ διὰ διφθόγγου καὶ διὰ τοῦ ῑ.

Βιθυνία: διὰ τοῦ ῑ τὸ βι' τὰ γὰρ ἀμφιβαλλόμενα κτλ. νι ι. τὰ γὰρ διὰ τοῦ ῑᾱ ἐπὶ χώρας ὄντα διὰ τοῦ ῑ γράφεται.

βῖκος τὸ ἀγγεῖον ι ἡ παράδοσις καὶ βικία τὸ ὑποκοριστικόν.

βλάθρον φυτὸν πτέρει ὅμοιον, ὅπερ ἔνιοι βλαχρόν.

βλακίας: ἰχθῦς ποιός. βλασκείας. ἰχθῦς ποιός.

βλένα μύξα. οἱ δὲ διὰ τοῦ π πλένα καὶ πλέννα τὰ ἀσθενῆ καὶ δυσκίνητα.

βλέτυγες φλυαρίαι. οἱ δὲ βλέκυγες.

βλητός βελτός ὁ ἀπόπληκτος.

βλήχων γλήχων. καὶ οὕτως λέγεται.

βλιμάζειν, βλιαρόν, βλικάς σύκου φύλλον, βλίκανον, βλίμη, βλίξ, βλιμάξαι, βλίτον εἶδος λαχάνου διὰ τοῦ ῑ.

βλῖτυξ βλέτυς ἡ βδέλλα.

βόειος: ει· τὰ γὰρ διὰ τοῦ ειος σημαίνοντα μέρος σώματος κτλ.

βοεικός cf. fr. 37 et can. gen.

βοήθεια: ἐκ τοῦ βοηθός γέγονεν. ἔστι δὲ ὁ βοηθός παρὰ τὸ βοή καὶ θοός οἱονεὶ ὁ κατὰ τὴν μάχην ταχὺς καὶ ἐκ τούτου γίνεται βοήθεια διὰ τῆς ει διφθόγγου.

βόλιτον: βόλβιτον δὲ Ἴωνες οἵ τε ἄλλοι καὶ Ἱππῶναξ οἷον «βολβίτου κασιγνήτην» εἶτα «ναὶ τὸν Ποσειδῶ καὶ βολίτινον θἄτερον» (Arist. Ran. 295) παραγωγῶς πλεονασμῷ τοῦ β.

Βολισσός πόλις Αἰολικὴ ἐπ' ἄκρου Χίου πλησίον. Θουκυδίδης

l. 1 Hes. l. 2 Choer. 185, 2. l. 3 E. M. 197, 32, St. B. 168, 10. Hes. Βίμβλινος εἶδος οἴνου κτλ. l. 12 St. B. l. 14 Choer. 183, 17. l. 16 Choer. 184, 3. l. 17 Hes. cf. Schol. ad Nicand. Ther. 39 et Theocrit III 13, postea apud Hes. βλῆχρα πτέρις exstat, pro quo Schmidt. βλῆχρον ponendum iudicat in Schol. Theocrit. βληχρόν scriptum. l. 18 Hes. l. 19 Hes. E. M. 199, 37. l. 21 Hes. βλέκυξ βλέκυγος ἡ φλυαρία, Choer. Dict. 83, 1. l. 22 Hes. s. βλητός et βελτός. l. 23 Hes. Arcad. 16, 6. l. 24 Choer. 184. l. 25 Hes. s. βαῖτυξ, quod ex βλῖτυξ corruptum, et βλέτυες. l. 27 Choer. 185, 25. l. 29 Choer. 186, 26 cf. can. gen. l. 32 E. M. 204, 28, Hes. βόλβιτα ἀφόδευμα βοός — βόλυνθον τὸ αὐτό — βολίτοις βολβίτοις cf. Schmidt. l. 35 St. B.

Βολίσκον αὐτὴν καλεῖ ἐν ὀγδόῃ (c. 24 ubi ἐν Βολίσσῳ). Ἀνδροτίων δὲ δι' ἑνὸς ϲ γράφει.

βομβῶνες βουβῶνες.

βορβορυγή· ποιός τις ἦχος, ὃν καὶ κορκορυγὴν καλοῦσιν.

βορβορόκη.

βορέας· ἓν ρ̄ καὶ διὰ τοῦ ε ψιλοῦ.

βορέη ἡ φῦσα. γράφεται δὲ καὶ βοέη.

βορεινός: ει.

βόρμος, ὃν καὶ βρόμον λέγουσιν. ἔστι δὲ τροφὴ τετραπόδων τὸ πολλαχοῦ μὲν σπειρόμενον, ἐνίοτε δὲ καὶ αὐτομάτως φυόμενον.

Βορυσθένης πόλις καὶ ποταμὸς τοῦ Πόντου. ὁ πολίτης Βορυσθενίτης. ἔδει Βορυσθενείτης διὰ διφθόγγου κτλ.

Βοσπόριον τοῦ Βυζαντίου λιμήν. οἱ δ' ἐγχώριοι Φωσφόριον αὐτὸ καλοῦσι παραγραμματίζοντες.

τὸ ἐθνικὸν τοῦ Βόσπορος Βοσπόριος καὶ Βοσποριανός καὶ Βοσπορανός καὶ Βοσπορηνός. διχῶς γὰρ καὶ διὰ τοῦ α καὶ διὰ τοῦ η ὡς Τιβαρανός καὶ Τιβαρηνός. Σοφοκλῆς δ' ἐν Φινεῖ πρώτῳ διὰ διφθόγγου τὴν πρὸ τέλους φησὶ τὸ κτητικόν «οὐδ' ἂν τὸ Βοσπόρειον ἐν Σκύθαις ὕδωρ».

Βούδειον πόλις ἐν Μαγνησίᾳ τῇ κατὰ Εὐρώπην ἀπὸ τοῦ οἰκίσαντος Βουδείου. ἔστι καὶ Βούδειοι ἔθνος Μηδικόν.

Βουθρωτός νῆσος περὶ Κέρκυραν καὶ Βουτρωτός.

Βοῦρα πόλις Ἀχαΐας. τὸ ἐθνικὸν Βουραῖος καὶ Βουραϊκός κτητικόν. λέγεται καὶ Βούρειος διὰ διφθόγγου. τὸ δὲ διὰ τοῦ ι ὡς Νύσσα Νύσσιος, Βοίβη Βοίβιος.

Βούσιρις: τὰ δύο ῑ. τὸ σι· τὰ γὰρ ἀμφιβαλλόμενα κτλ. τὸ ρις διὰ τὸ εἰς δος εἶναι τὴν γενικήν.

Βρέκυν τὸν Βρέκυντα τὸν Βρίγα. Βρίγες γὰρ οἱ Φρύγες.

βράγχος: νόσημά τι τῶν ἐν τῷ σώματι γιγνομένων περὶ τὸν βρόγχον, ὃ καὶ ὗς μάλιστα διαφθείρει.

---

l. 3 Hes. Herod. in E. M. 206, 56 βουβών — ὅπερ τινές φασι βομβῶνα. l. 4 Hes. l. 5 Arc. 107, 6 βορβορόπη Eust. 1329, 30 cf. Bergk poet. lyr. p. 611 ed. II Schmidt. ad Hesych. βορβορωπόν. l. 6 Choer. 184, 32, Hes. βορρᾶς δὲ δύο ρρ κατὰ παράδοσιν, βορά δὲ ἡ τροφὴ ἓν ρ̄. Sic Choer. 185, 1 emendandus videtur ex Hes., ubi βορά βορέας βορρᾶς. Apud Choer. legimus βορρά ἡ τροφή: δύο ρρ κατό παράδοσιν, ubi excidisse arbitror βορά ἡ τροφή [ἓν ρ̄, βορρᾶς] δύο ρρ κατὰ παράδοσιν. l. 7 Hes. l. 8 Choer. 186, 2. cf. can. gen. l. 9 Hes. et E. M. 205, 3. l. 11 St. B. cf. can. gen. l. 13 St. B. l. 15 St. B. l. 20 St. B., ap. Hes. et in E. M. 206, 44 vitiose Βούδιον scriptum est. l. 22 St. B. et E. M. 210, 22. l. 23 St. B. l. 26 Choer. 184, 19. l. 28 Hes. St. B. Βερέκυντος γενικὴ τῆς εὐθείας ἀρρήτου. ἔστι δὲ πόλις Φρυγίας. καὶ ἡ χώρα Βερεκυντία. ἦν γάρ τις Βερεκύντης, ἀφ' οὗ ἡ χώρα Βερεκυντία. cf. Lob. Parall. 166 seqq.

l. 29 Hes. βρόγχος λέγεται ὁ λαιμός καὶ φάρυγξ, ὃς καὶ βράγχος παρὰ τοῖς παλαιοῖς λέγεται. E. M. 211, 19 et 215, 27 βρόγχος ὁ λαιμός ἢ βρόχθος, ὃν καὶ φάρυγγα καλοῦσι· ἡ μὲν συνήθεια βρόγχον καλεῖ, οἱ δὲ ἀρχαῖοι βράγχον et l. 51 βρόχθος τὸ ὀλίγον πόμα καὶ ἡ φάρυξ, δι' ἧς καταπίνομεν· παρὰ τὸ βρέχω βέβροχα βρόχος καὶ βρόχθος κατὰ πλεονασμόν. cf. Hes. βραγχῶντος. βρόχοις ἀλόν-

Βρέντιοι ἔθνος ἐν Ἰταλίᾳ διὰ τοῦ ν ἢ Βρέττιοι διὰ τῶν δύο ττ.

Βρεττανίδες νῆσοι ἐν τῷ ὠκεανῷ. λέγονται καὶ διὰ τοῦ π Πρεττανίδες ὡς Πτολεμαῖος.

βρεχμός βρέγμα: τὸ μέσον τῆς κεφαλῆς.

Βρισηΐς βριμός βριαρός διὰ τοῦ ῑ γράφονται. τὰ γὰρ ἀπὸ τῆς βρι καὶ βι συλλαβῆς ἀρχόμενα κτλ.

βρόταχος βάτραχος.

βρότειος διὰ τῆς ει διφθόγγου κατὰ τὸν κανόνα τοῦ βόειος.

Βρουσίς μοῖρα Μακεδονίας. τινὲς δὲ γράφουσι διὰ τοῦ υ.

βρύκος κῆρυξ.

Βρυσιαί πόλις Ἤλιδος.

βύτανα κόνδυλοι. οἱ δὲ βρύτανα.

βρύτεα στέμφυλα, ἃ καὶ βρύτια.

βρύττιον πόμα ἐκ κριθῆς. — βρῦτον πᾶν τὸ ἐκ κριθῆς πόμα.

βρωσείω: ει.

Βύζαντες παρ' Ἡροδότῳ (IV 194). κακῶς διὰ τοῦ γ Γύζαντες.

Βυζάντιος τὸ ἐθνικὸν τοῦ Βύζας διὰ τοῦ ῑ, τὸ δὲ κτητικὸν διὰ διφθόγγου. ἔστι καὶ ἐπὶ τῆς χώρας Βυζάντεια διὰ διφθόγγου. ἀπὸ δὲ τοῦ Βυζάντιος Βυζαντία Βυζαντιακός. καὶ Βυζαντειανός διὰ διφθόγγου ὡς Ἡρακλειανός.

βυθμός βυσσός βυθός. ἄντρον πυθμήν.

Βυρσίνης Μυρσίνης. ἦν δὲ αὕτη γυνὴ Ἱππίου τοῦ τυράννου. ἐν τοῖς Ἱππεῦσι (v. 417).

βῴδιον βούδιον.

βωνίτης σημαίνει τὸν βούκολον. Καλλίμαχος «οἵους βωνίτῃσιν ἐνικρύπτουσι γυναῖκες» (fr. 157 Bentl.) διὰ τοῦ ῑ ὡς πολίτης.

Γ.

Γάβαλα πόλις Φοινίκης. ἔστι καὶ χώρα Ἀραβίας καὶ λέγεται ἡ πρώτη συλλαβὴ διὰ τοῦ ε Γέβαλα καὶ τὸ ἐθνικὸν Γεβαληνός.

Γάδειρα πόλις καὶ νῆσος ἐν τῷ ὠκεανῷ.

τος. — βρόγχος ῥόφημα· ὁ λάρυγξ· ὁ καταπότης. l. 1 Hes. et Eustath. ad Dionys. 362. l. 2 St. B. Hes. habet Βρεττανία νῆσος ἡ περὶ τὸν ὠκεανόν. In E. M. Βρεντανίδες et Βρεντανοί scriptum est. l. 4 Hes. E. M. 212, 2 βρέγμα καὶ βρεχμόν τὸ τῆς κεφαλῆς κρανίον, ὅπερ ὁ ποιητὴς βρεγμὸν καλεῖ. ὥσπερ παρὰ τὸ ἔχω γίνεται ἐχμός καὶ νεοχμός, οὕτω καὶ παρὰ τὸ βρέχω γίνεται βρεχμός καὶ βρέχμα p. 285, 10: παρὰ τὸ δέχω δοχμός ὡς βρέχω βροχμός. Hes. βροχμὸν τὸ βρέγμα. l. 5 Choer. 183, 24. l. 7 Hes. E. M. 214, 41. l. 8 Choer. 185, 33 et 186, 23. l. 9 St. B. l. 10 Hes. βρύχος ὁ κῆρυξ, Theogn. 76, 17 βρύοχον κήρυκα Hes. cf. Schmidt. βρυκάνη Herod. περὶ μον. 18, 21 βρύχανα σάλπιγγι καμπύλῃ Hes. l. 11 Hes. St. B., ubi Berkelius et Pearse Βρυσειαί, quae videtur altera scriptura esse. l. 12 Hes., Theogn. 19, 2, Bekk. An. 1355 βύζανα κόνδυλος. l. 13 Hes. E. M. 216, 20 — βρύτια habet etiam Athen. II 56, unde Suidas sumpsit, ap. Hes. cod. βρυττιά. l. 14 Hes. l. 15 Choer. 185, 9 cf. can. gen. l. 16 St. B. l. 17 St. B. l. 21 Hes. l. 22 Hes. l. 24 Hes. l. 25 E. M. 218, 22, Choer. 181, 29. Hes. l. 28 St. B. l. 30 St. B. ει ἀπὸ γὰρ τοῦ γῆ καὶ τὸ δειρά τοῦ σημαίνοντος τὴν ἐξοχὴν γέγονε Γάδειρα οἱονεὶ

Γάζα πόλις Φοινίκης. ἐκλήθη καὶ Ἄζα. — ὁ πολίτης Γαζαῖοι. λέγονται καὶ Γαζηνοί καὶ Γαζῖται παρὰ τοῖς ἐγχωρίοις. εἰσὶ καὶ διὰ τοῦ η̄ ἔθνος Γαλατῶν χρυσοφοροῦν, ὡς Εὐφορίων. λέγονται καὶ διὰ τοῦ ᾱ Γαζᾶται ὡς πολυίστωρ.

γαζαφυλάκιον· θησαυροφυλάκιον.

γαῖα γέα γῆ.

γαιάοχος ἠπειρώτης· γαιήοχος ὁ τὴν γῆν συνέχων. γεοῦχος ὁ τὴν γῆν ἔχων.

γαιογράφοι τὰ ἐν τῇ γῇ γράφοντες.

γαΐτης γηΐτης γεωργός.

Γαιτοῦλοι ἔθνος Λιβύης. Ἀρτεμίδωρος Γαιτυλίους αὐτούς φησιν.

γαληνόν· ἥσυχον ἱλαρὸν εὔδιον — γαληρόν τὸ αὐτὸ καὶ γαλερόν.

γάλινθοι· ἐρέβινθοι. οἱ δὲ γέλινθοι.

Γάμβρειον πόλις Ἰωνίας. γράφεται διὰ διφθόγγου, ὡς δηλοῖ τὸ Γαμβρήϊον.

γαμφαί ἢ γναμφαί. γνάθοι.

γάνδος ὁ πολλὰ εἰδὼς καὶ πανοῦργος. τινὲς δὲ γάδος.

γανυρόν λευκόν ἡδύ λιαρόν.

γαργαίρειν πληθύειν, καρκαίρειν κινεῖσθαι σπαίρειν.

γάργαλα πλῆθος πολλά.

γαργαλισμός. γαγγαλισμός. ἡδυπάθειά τις.

Γάργαρα πόλις τῆς Τρῳάδος. Ἑλλάνικος δὲ Γάργασον ἔφη τὴν πόλιν διὰ τοῦ σ̄, ἀλλ' οἶομαι σφάλμα εἶναι.

γέγειος σημαίνει τὸν ἀρχαῖον διὰ τῆς ει διφθόγγου γράφεται. ἀπὸ γὰρ τοῦ γέα γέγονε γέειος διὰ τῆς ει̅ διφθόγγου καὶ κατὰ πλεονασμὸν τοῦ γ̄ γέγειος.

Γεδρωσία· ἐν τοῖς τοῦ πολυΐστορος διὰ τοῦ κ̄ εὑρέθη ἡ πρώτη συλλαβή, ἀλλ' ἦν ἀδιόρθωτον τὸ βιβλίον.

γεῖσα: ει.

γείτων καὶ γειτνιῶ τὸ γει δίφθογγος.

γέλαρος ἀδελφοῦ γυνή. Φρυγιστί. λέγεται καὶ γάλλαρος.

Γελασῖνος: διὰ τοῦ ῑ· τὰ γὰρ διὰ τοῦ ινος̄ κτλ.

γῆς δειρά. τὰ γὰρ Γάδειρα ἀρχὴ τῆς γῆς. Choer. 189, 13 et E. Or. 40, 26 Γάδειρα οἷον τῆς γῆς δειρά. — Hes. l. 1 St. B. E. M. 223, 13, ubi Euphorionis locus profertur Πολυχάρει: Γαιζῆται περὶ δείρια χρυσοφοροῦντες Mein. Anall. p. 68, per αι in prima syllaba scriptum est vocabulum. l. 5 Hes. in Bachmanni Anecd. I 183, 9 γαζαφυλάκειον scriptum est. l. 6 E. M. 223, 48. l. 7 Hes. cf. fr. 11. l. 9 Hes. E. M. 222, 30. l. 10 Hes. l. 11 St. B. l. 12 Hes. l. 13 Hes. idem habet λέβινθος et Creticum ῥάβινθος. l. 14 St. B. l. 16 Hes. l. 17 Hes., qui infra γάσος habet. cf. Schmidt. l. 18 Hes. E. M. 223, 46 γανερόν. l. 19 Hes. l. 20 Hes. i. q. γάργαρα et γέργερα. l. 21 Hes.; Bekk. An. 87, 28 γαγγαλίζειν οὐ γαργαλίζειν. l. 22 St. B. — Hes. Γάργαρον. l. 24 Choer. p. 189, 31, St. B. 206, 17, E. M. 223, 23. l. 27 St. B. l. 29 Choer. 189, 16. l. 30 Choer. 189, 1, ubi eadem originatio proponitur atque in E. Orion. 40, 24 γείτων παρὰ τὴν γῆν γείτων καὶ γείτων ὁ ἐν τοῖς αὐτοῖς τόποις. l. 31 Hes. l. 32 Choer. 188, 15.

Γενέα κώμη Κορίνθου, τινὲc δὲ Τενέα γράφουcι.

γένειον: τὸ νει̅ δίφθογγοc., τὰ γὰρ ἀπὸ τῶν εἰc οc οὐδετέρων κτλ.

γηγενήc cf. fr. 50.

γήδιον: τριῶν ὄντων τῶν πρωτοτύπων γῆ καὶ γαῖα καὶ γέα ἐκ ποίου τούτων γέγονε τὸ γήδιον; λέγει δὲ ὁ Δίδυμοc, ὅτι ἔcτι γέα διὰ τοῦ ε̅ καὶ ἐπειδή, ἡνίκα ἡ τελευταία cυλλαβὴ τῆc γενικῆc τοῦ πρωτοτύπου ἀπὸ φωνήεντοc ἄρχεται καὶ παραλήγει τῷ ε̅ ἢ τῷ ο, τότε γίνεται διὰ διον ἡ παραγωγὴ καὶ προcέρχεται κατὰ τὴν παραλήγουcαν τὸ ι̅ οἷον πράξεωc πραξείδιον, λέξεωc λεξείδιον, βοῦc βοόc βοίδιον, νόοc νόου νοίδιον. οὕτωc οὖν καὶ γέα γέαc γείδιον διὰ τῆc ει διφθόγγου καὶ κατ' ἔκταcιν Ἀττικὴν τοῦ ε̅ εἰc η̅ γήδιον διὰ τοῦ η καὶ ι̅ ὥcπερ εἰκάζω ᾔκαζον καὶ εἴδειν ᾔδειν (περὶ δὲ τούτου ζήτει εἰc τὸ περὶ κτητικῶν τοῦ Χοιροβοcκοῦ).

γήπεδον τὸ πρὸc τοῖc οἴκοιc ἐν πόλει κηπίον, ὅπερ οἱ τραγικοὶ διὰ τοῦ α̅ φαcὶ δωρίζοντεc.

γήτειον τὸ χλωρὸν κρόμμυον. γράφεται διὰ τῆc ει̅ διφθόγγου. τὰ διὰ τοῦ ειον γινόμενα οὐδέτερα κτλ., καλεῖται καὶ γήθυον.

γήτηc: μετὰ τοῦ ι̅ ἀπὸ τοῦ γηΐτηc ὁ τὴν γῆν ἐργαζόμενοc, γεωργόc.

γῆρυc φωνή, ὅθεν καὶ κῆρυξ τοῦ κ̅ πρὸc γ̅ cυγγένειαν ἔχοντοc.

γηοῦχοc cf. fr. Orth. 30.

Γιγάντεια ἡ πραγματεία ὡc ἡ Ὀδύccεια καὶ Δολώνεια διὰ τῆc ει διφθόγγου προπαροξύνεται.

Γίγαρτα: ι̅. ἐν cυcτολῇ γὰρ εὕρηται.

γιγνώcκει γινώcκει.

γίνεται τὸ ἀποτελεῖται διὰ τοῦ ι̅, γείνεται τὸ ἐπὶ τοῦ γεννᾶται διὰ διφθόγγου. τὸ δὲ γίνεται ἐπὶ τοῦ τελειοῦται ἀπὸ τοῦ γίγνομαι γέγονε κατὰ ἀποβολὴν τοῦ γ̅. τὸ δὲ γίγνεται διὰ τοῦ ι̅ γράφεται, ἐπειδὴ ἀπὸ τοῦ γένομαι γένεται ἐν πλεοναcμῷ cυμφώνου γίγνεται. τὸ ε̅ γὰρ ἐν πλεοναcμῷ cυμφώνου γενόμενον τρέπεται εἰc τὸ ι̅ οἷον μένω μίμνω, τέκω τίκτω. οὕτωc οὖν καὶ γένεται γίγνεται.

Γλιcᾶc διὰ τοῦ ι̅. πᾶcα γὰρ cυλλαβὴ ἀπὸ τῆc γλι̅ ἀρχομένη ἀποcτρέφεται τὴν ει δίφθογγον.

---

l. 1 St. B. l. 2 Choer. 189, 9. l. 4 E. M. 230, 3. pro νοῦc νοόc scripsi νόοc νόου. cf. Apoll. de adv. 586, 12, Lob. El. I 463. l. 14 Steph. B. 207, 1 cf. E. M. s. v. et Hes. γήπεδα et γάπεδα. l. 16 E. M. 302, 22 et Hes. l. 18 Hes., ubi γηῖτηc, ad quem locum Schmidt. adnotat in Soph. Trach. 32 in cod. Laur. γηίτηc i. e. γήτηc legi. l. 19 Hes. l. 21 Choer. 189, 7. l. 23 Choer. 189, 30. l. 24 Hes., E. M. 231, 22, Choer. Orth. 187, 6, cuius brevius praeceptum hic pono: ἦν γνῶ γνώcω γνώcκω καὶ γιγνώcκω, μνῶ μνήcω μνήcκω καὶ μιμνήcκω· οὐδέποτε οὖν ἐν τοῖc τοιούτοιc εὑρίcκεται δίφθογγοc. nam alterum non prorsus Herodianeum est: νώcω γνώcω γνώcκω γιγνώcκω. l. 25 Coer. 188, 26, E. M. 232, 24 cf. Herod. περὶ παθῶν fr. 37 in E. M. 500, 31. l. 31 Choer. 187, 30, E. M. 243, 23; fuisse videntur, qui per duplex c̄c scriberent, nam sic Γλιccᾶc in E. M. et ap. Hes. Γλίcca reperitur, sed Herodianus hanc scripturam improbasse putandus est, quum in Il. Pr., ap. Eustath. et St. B. Γλιcᾶc exstet.

γλυκείδιον: διὰ τῆς ει διφθόγγου τὸ κει· ἀπὸ γὰρ τοῦ γλυκέος γενικῆς γίνεται κτλ.

γλύξις ὁ ἀνειμένος οἶνος καὶ ἄτονος, ὃν ἔνιοι μὲν ἁπλόςτομον, οἱ δὲ γλεῦξιν.

γλυφεῖον ἄντρον τι καὶ ὄργανον.

γλωχίς: ῑ ὡς δικατάληκτον.

γλωςςίς: ῑ· τὰ γὰρ εἰς ις ὀξύτονα θηλυκὰ ὑπὲρ μίαν συλλαβὴν κοινολεκτούμενα κτλ.

γνάθος καὶ πλεοναςμῷ τοῦ μ γναθμός.

γνάμπτω ἐκ τοῦ κάμπτω· σύνηθες δὲ τοῖς παλαιοῖς λέγειν γνάπτω «ἀνεγνάφθη δὲ ἡ αἰχμή» (Γ 348) ἄνευ τοῦ μ̄ καὶ «ἐπέγναψε γὰρ ἅπαντας» (Β 14) ἄνευ τοῦ μ̄· ἐν τῇ συνηθείᾳ «οἱ δ' ὥς τ' αἰγυπιοὶ γαμψώνυχες» (Π 428).

γνάφαλλον τύλη· λέγεται δὲ καὶ διὰ τοῦ κ̄ κνάφαλλον. καὶ ὁ γναφεύς κναφεύς.

γνόφος λέγεται δνόφος τοῖς Αἰολεῦσι (Ahrens I 73, II 80, 109, Doricum esse dicit) ἀπὸ τοῦ δονεῖσθαι τὰ νέφη.

Γόνδραι Θρᾴκιον ἔθνος· λέγεται δὲ παρ' Ἡρωδιανῷ Κίνδραι καὶ Ῥόνδαι.

Γόννοι πόλις Περραιβίας ἀπὸ Γουνέως κληθεῖσα τοῦ ἀπογόνου Κύφου. οὕτως φησὶν Ὅμηρος. ὁ πολίτης Γούνιος καὶ Γουνία ἡ γυνὴ καὶ ἡ χώρα. γράφεται δὲ καὶ χωρὶς τοῦ υ· τοὺς δὲ Περραιβοὺς Αἰολεῖς ὄντας τὰ σύμφωνα διπλοῦν καὶ Περραιβοὺς καλοῦντας ἑαυτοὺς καὶ Γόννον διὰ δύο νν τὴν πόλιν. γόννα γὰρ οἱ Αἰολεῖς τὰ γόνατα.

γόργυρα: Ἀλκμὰν διὰ τοῦ ε φησί.

Γορδυαία χώρα Περσική. τὸ ἐθνικὸν Γορδυαῖος. καὶ Γορδόχους αὐτούς φασι καὶ Γόρδους.

Γόρτυν πόλις Κρήτης. οὕτως δὲ διὰ τοῦ ν̄· καὶ ὕστερον Γόρτυς.

γρᾴδιον: σὺν τῷ ῑ. καὶ λέγουσί τινες, ὅτι ἐπειδὴ καὶ τὸ γραΐδιον ἔχει τὸ ῑ, τούτου χάριν καὶ τὸ γρᾴδιον οἷον «γραϊδίων κολοςυρτόν» παρὰ Ἀριστοφάνει (Plut. 536). οὐκ ἔστι δὲ καταναγκαστικὸς οὗτος ὁ λόγος· ἰδοὺ γὰρ καὶ τὸ αἰζηός οὐκ ἔχει τὸ ῑ καὶ ὅμως τὸ αἰζήϊος ἐπλεόναςε

l. 1 Choer. 189, 27. l. 3 Hes. l. 5 Hes., in E. M. 235, 18 γλύφιον scriptum est. l. 6 Choer. 187, 21. l. 7 Choer. 187, 33. l. 9 Herod. in E. M. 236, 4, Hes. γαθμοί γνάθοι. l. 10 E. M. 236, 10 ubi quae sequuntur verba καὶ τὸ ἐοίκαμεν ὑπὸ συγκοπὴν ἀχθὲν ἔοιγμεν pertinentia ad vicissitudinem literarum γ̄ et κ̄ ab epitomatore adiecta sunt sic ut quae statim de composito ἀναγνάμπτω dicta sunt. — Hes. habet γναμπτός et ἀγναπτός, γνάμψεν et γνάπτει κάμπτει. l. 15 Hes. cf. Mon. 39, 12 τύλη, ὅπερ σύνηθες Ἀττικοῖς κνέφαλλον καλεῖν — ὠνομάσθη δὲ ἀπὸ τοῦ κνάφου — ὥστε καὶ ἀντίθεσις ἐγένετο τοῦ ᾱ εἰς ε̄· εἰσὶ μέντοι οἳ καὶ διὰ τοῦ γ γράφουσιν. — Hes. habet etiam κνάμπτω κνάπτω, κνάφος κνέφαλλον. l. 17 haec eadem etymologia exstat etiam in E. M. 236, 31, ἢ παρὰ τὸ νείφω νόφος καὶ πλεοναςμῷ τοῦ γ̄ γνόφος ἢ παρὰ τὸ δοκεῖν καὶ τὸ νέφος γίνεται· δόνοφος καὶ ἐν συγκοπῇ δνόφος καὶ γνόφος. l. 19 St. B. sic pro Κίνδρα et Ῥόνδα scripsi. l. 21 St. B. l. 26 Hes. s. v. et E. M. s. γέργυρα et γόργυρον. Mon. 17, 26, unde accentum falsum γεργύρα correxi. cf. Lob. Proll. 274 not. l. 27 St. B. l. 29 St. B. l. 30 E. M. 239, 41 cf. Lob. El. I 463.

τὸ ῑ. τὸν αὐτὸν τρόπον καὶ τὸ γράδιον μὴ ἔχον τὸ ῑ ἐν τῷ γραΐδιον ἐπλεόνασε. δεῖ γινώσκειν ὅτι οὔτε ἀπὸ τῆς γραίας εἰ ἔστι, δυνάμει ἔχει τὸ ῑ, οὔτε ἀπὸ τῆς γραῦς γραός. ἀπὸ μὲν τοῦ γραῦς, ὅτι, ἐπειδὴ ἡ τελευταία συλλαβὴ τῆς γενικῆς τοῦ πρωτοτύπου ἀπὸ φωνήεντος ἤρξατο, τότε διὰ τοῦ διον γίνεται ἡ παραγωγὴ οἷον μῦς μυός μύδιον, βότρυς βοτρύδιον, βιβλίον βιβλίδιον. οὕτως οὖν καὶ ἀπὸ τοῦ γραῦς γραός γράδιον. ἀπὸ δὲ τοῦ γραῖα γραίας εἰ ἔστιν, οὐ δύναται πάλιν ἔχειν τὸ ῑ, ἐπειδὴ πάλιν ἡ τελευταία συλλαβὴ τοῦ πρωτοτύπου τῆς γενικῆς ἀπὸ φωνήεντος ἤρξατο καὶ τῇ αῑ διφθόγγῳ παραλήγεται. τότε δὲ διὰ τοῦ διον γίνεται ἡ παραγωγὴ καὶ ἀποβάλλεται τῆς αῑ διφθόγγου τὸ ῑ οἷον κεφάλαιον κεφαλαίου κεφαλάδιον, σπήλαιον σπηλαίου σπηλάδιον. οὕτως οὖν καὶ γραίας γράδιον χωρὶς τοῦ ῑ. ἀλλ' εἰ ἡ παράδοσις ἔχει τὸ ῑ, συνηγορήσωμεν αὐτῷ καὶ εἴπωμεν αὐτὸ σὺν τῷ ῑ γράφεσθαι. ἔστι γραῦις γραύιδι παρὰ Καλλιμάχῳ· καὶ ἐπειδὴ ἡ τελευταία συλλαβὴ τῆς γενικῆς τοῦ πρωτοτύπου ἀπὸ συμφώνου ἄρχεται, τούτου χάριν διὰ τοῦ ιδιον γίνεται ἡ παραγωγὴ οἷον ψυχῆς ψυχίδιον, γνώμης γνωμίδιον· οὕτως οὖν καὶ γραῦις γραύιδος γραυίδιον καὶ κατὰ ἀποβολὴν τοῦ υ καὶ συναιρέσει τοῦ ᾱ καὶ ῑ εἰς τὴν αῑ δίφθογγον γράδιον ἢ λέγεται ὅτι ἀπὸ τοῦ γραῖα γραΐς γραΐδος γραΐδιον καὶ κατὰ συγκοπὴν τοῦ ἑνὸς ῑ καὶ συναιρέσει γράδιον.

γραμματείδιον: ἀμφίβολον εἴτε διὰ τῆς ει διφθόγγου εἴτε διὰ τοῦ ῑ. καὶ εἰ μὲν ἀπὸ τοῦ γραμμάτιον τοῦ σημαίνοντος τὸ μικρὸν γράμμα, διὰ τοῦ ῑ γράφεται ὡς ὀψάριον ὀψαρίδιον, λαχάνιον λαχανίδιον. εἰ δὲ ἀπὸ τοῦ γραμματεῖον γέγονε τοῦ σημαίνοντος τὴν μικρὰν δέλτον διὰ τῆς ει διφθόγγου ὥσπερ ἀγγεῖον ἀγγείδιον, γραφεῖον γραφείδιον.

Γράστιλλος πόλις Μακεδονίας, ὃ καὶ διὰ τοῦ π̄ γράφεται κατὰ τὴν πρώτην συλλαβὴν Πράστιλλος, ὡς Εὔπολις.

γραφεῖον: διὰ τῆς ει διφθόγγου καὶ ἐκεῖθεν γραφείδιον.

Γρήνικος ποταμός.

γρίντης ὁ βυρσεύς, γρῖνος τὸ δέρμα, γρίσων ὁ χοῖρος. Ἀριστοφάνης δέ φησι ὄνομα δρομέως, γρῖπος τὸ δίκτυον, γριπεύς ὁ ῥάπτων τὰ ἁλιευτικὰ δίκτυα, γρῖφος τὸ δύσλυτον αἴνιγμα, γριφᾶσθαι — οὕτως λέγουσι τὸ γράφειν — Λάκωνες διὰ τοῦ ῑ γράφεται, ἐπειδὴ πᾶσα λέξις ἀπὸ τῆς γρι συλλαβῆς ἀρχομένη διὰ τοῦ ῑ γράφεται.

γρῦλος χοῖρος.

γρύπαι αἱ νεοσσιαὶ τῶν γυπῶν· οἱ δὲ γύπαι.

γρυπός ῥυβόν ἐστι παρὰ τοῖς Αἰολεῦσι τὸ ἐπικαμπὲς ἤτοι ῥαιβόν

l. 21 E. M. 241, 3, Choer. 190, 11; 189, 22. Hes. habet γραμματίδιον. l. 27 St. B. Πράστιλλος habet etiam Hes. l. 29 Choer. 189, 18. l. 30 Hes. etyma diversa invenies ap. Choer. 187, 25, E. M. 241, 17. l. 31 περὶ ποc. 290, 15, E. M. 241, 46, Choer. 188, 5 et 13, Hes. s. v. l. 36 Arc. 52, 54, γρύλλος praebet Hes. ex Eleorum dialecto cf. Schmidt ad h. l. l. 37 Hes. l. 38 E. Orion. 41, 7.

καὶ τροπῇ τοῦ β̄ εἰς π̄ ῥυπός καὶ πλεοναcμῷ τοῦ γ γρυπός. οὕτως Ἡρωδιανὸς ἐν τοῖς Ἐλέγχοις.

Γρώνεια πόλις Φωκίδος. ἡ δὲ διὰ τοῦ ῡ Τρωάδος ἐςτίν.

γυναίκιον: ῑ τὸ ὑποκοριστικὸν καὶ προπαροξύνεται. τὸ δὲ κτητικὸν διὰ τῆς ει διφθόγγου γράφεται καὶ προπερισπᾶται.

γωρυτὸς τοξοθήκη. θύλακος· οἱ δὲ χωρυτός.

Δ.

δᾷδες λαμπάδες ἔχει τὸ ῑ, ἐπειδὴ εὕρηται κατὰ διάστασιν δαΐδων. γίνεται δὲ ἐκ τοῦ δαίω τὸ διακόπτω καὶ καίω. ὁ μέλλων δαίσω καὶ λοιπὸν ἐκ τοῦ δαίς καὶ δᾴς κατὰ συναίρεσιν· ἔμεινε δὲ τὸ ῑ ἀνεκφώνητον.

δᾰειρα: ει.

δάμνησι: «τῷ δάμνησι στίχας ἀνδρῶν»· ἄνευ τοῦ ῑ (sic Dionysius Sidonius in Schol. ad Є 746), ὁ δὲ Ἀρίσταρχος σὺν τῷ ῑ, τὸ μὲν ἀπὸ τοῦ δάμνημι, τὸ δὲ ἀπὸ τοῦ δάμνω ὑποτατικοῦ.

δανείζω: ει.

δάνειον: δίφθογγος· παρὰ τὸ δάνος δάνειον. τὰ γὰρ ἀπὸ τῶν εἰς ο̄ς̄ δισυλλάβων οὐδετέρων κτλ.

Δάνουβις ἢ Δάνουσις Ἴστρος ὁ ποταμός.

δάπιδες: τάπητες.

Δαρεικὸς δίφθογγος. καὶ γὰρ ἀπὸ τοῦ Δαρεῖος γέγονεν Δαρειακός καὶ κατὰ συγκοπὴν τοῦ α Δαρεικός.

δάρειρ: τὸ ἀπὸ τοῦ μεγάλου δακτύλου ἐπὶ τὸν μικρὸν διάστημα.

Δασκύλιον πόλις: ῑ.

δατητής: παρὰ τοῖς Ἀττικοῖς ὁ διανεμητής. Ἀριστοτέλης «τίνες οἱ δατηταί». Ἀπολλόδωρος διὰ τοῦ ς φησί· παρὰ τὸ δαίω δαστός καὶ ῥῆμα δαστῶ ὁ παρακείμενος δεδάστηται καὶ ἐνδείᾳ τοῦ ς δεδάτηται, ἀφ' οὗ ὄνομα δατητὴς ὡς πεποίηται ποιητής.

δείδω: τὸ φοβοῦμαι· γράφεται διὰ τῆς ει διφθόγγου, ἐπειδὴ ἀπὸ τοῦ δέος γέγονε δέω καὶ κατὰ πλεονασμόν τοῦ ῑ δείω καὶ κατ' ἐπένθεσιν (pro ἐπέκτασιν scripsi) τοῦ δ δείδω.

δείκηλον: τὸ δει διὰ τῆς ει διφθόγγου. λέγεται καὶ δείκελον. σημαίνει δὲ καὶ τὸ ἄγαλμα καὶ τὸ εἴδωλον οἷον «δείκηλα προΐαλλε» (Apollon. IV 1672) καὶ «δείκελον Ἰφιγόνης» παρὰ Παρθενίῳ. ὥσπερ γὰρ ἀπὸ τοῦ πέμπω πέμπελος (σημαίνει δὲ τὸν πολλῶν ἐνιαυτῶν ὄντα) καὶ ὥσπερ ἀπὸ τοῦ ἄγω γίνεται ἄγελος καὶ ἄγγελος, οὕτω καὶ ἀπὸ τοῦ

l. 3 St. B. l. 4 Choer. 189, 34. l. 6 Hes. l. 8 E. M. 244, 29. l. 12 E. M 244, 34 coll. 318, 53. λέγεται δὲ καὶ Δαῖρα Hes. l. 13 E. M. 247, 11. l. 16 Choer. Orth. 193, 10. cf. can. gen. Hes. δανίζω consueto vitio. l. 17 Choer. 193, 16. cf. can. gen. l. 19 St. B. l. 20 Hes. l. 21 Choer. 193, 13, Hes. l. 23 Hes., Ahrens II 72 vult δᾶριρ, sed cf. Schmidt. l. 24 St. B. l. 25 E. M. 249, 43. l. 29 Choer. 193, 21. l. 32 Choer. 195, 12, E. M. 260, 28.

δείκω τὸ δεικνύω γίνεται δείκελον καὶ ἐπεκτάσει τοῦ ε εἰς η δείκηλον. Ἐπαφρόδιτος δὲ λείπειν τὸ ι φησὶ κατ' ἀρχὰς ἰδείκελον τὸ τὴν ἰδίαν ἑκάστου ἐμφαῖνον ὁμοιότητα.

δείλη: διὰ τῆς ει διφθόγγου παρὰ τὸ ἐνδεῖν καὶ ἐλλείπειν τῇ ἕλῃ τουτέστι τῇ θερμασίᾳ δεέλη καὶ κατὰ κρᾶσιν δείλη.

δειελός (hoc accentu scribendum secundum Arcad. 55, 4): ἡ παρ' Ἀττικοῖς ὀψία δείλη Ἰλιάδος Φ (232) «εἰσόκεν ἔλθῃ δειελὸς ὀψὲ δύων». ἡ δείλη δειελός εἴρηται ὡς ἑσπέρα ἕσπερος, ὠνή ὦνος, χολή χόλος. σύνηθες Ἴωσι τὸ ε πλεονάζειν ἥλιος ἠέλιος, δειλινόν δειελινόν οἷον «δειελινὸν κλίνοντες ὑπὸ ζόφον ἠελίοιο» (Apoll. Rhod. I 452).

δειλός: διὰ τῆς ει διφθόγγου· ὥσπερ γὰρ παρὰ τὸν βήσω μέλλοντα γίνεται βηλός, οὕτω καὶ ἀπὸ τοῦ δείδω δείσω σημαῖνον τὸ φοβοῦμαι γίνεται δειλός τῆς ει διφθόγγου ἐκ τοῦ ῥήματος οὔσης.

δεῖμα: διὰ τῆς ει διφθόγγου. ὥσπερ γὰρ ἀπὸ τοῦ ποιήσω γίνεται ποίημα, οὕτω καὶ ἀπὸ τοῦ δείσω μέλλοντος γίνεται δεῖμα.

δειμαλέος: τὸ δει δίφθογγος· ὥσπερ γὰρ ἀπὸ τοῦ τάρβος γίνεται ταρβαλέος, οὕτω καὶ ἀπὸ τοῦ δεῖμα τοῦ σημαίνοντος τὸν φόβον δειμαλέος γραφόμενον διὰ τῆς ει διφθόγγου.

δεῖμος: διὰ τῆς ει διφθόγγου γράφεται· ἀπὸ γὰρ τοῦ δέος γίνεται δέϊμος καὶ κατὰ συναίρεσιν τοῦ ε καὶ ι εἰς τὴν ει δίφθογγον δεῖμος.

δεῖν: δίφθογγος. σημαίνει δὲ τὸ δέον. γράφεται δὲ διὰ τῆς ει διφθόγγου, ἐπειδὴ ἀπὸ τοῦ δέον γέγονε δεῖν ὡς πλέον πλεῖν οἷον δεῖν γενέσθαι ἀντὶ τοῦ πρέπον γενέσθαι.

δεινός: ει· οἱονεὶ ὁ δέους ἐμποιητικός. καὶ ὥσπερ ἀπὸ τοῦ ἔλεος γίνεται ἐλεεινός διὰ τῆς ει διφθόγγου, οὕτω καὶ παρὰ τὸ δέος δεεινός καὶ κατὰ κρᾶσιν διὰ τῆς ει διφθόγγου.

δεινῶ καὶ δεινοποιῶ: διὰ τῆς ει διφθόγγου. ἀπὸ γὰρ τοῦ δεινός ὀξυτόνου γέγονε· τὰ δὲ παρ' αὐτοῦ συγκείμενα ἅπαντα διὰ διφθόγγου γράφεται, δεινολόχος, Δεινομένης καὶ Δεινίας καὶ Δείνων.

δεῖπνον: διὰ τῆς ει διφθόγγου (ἐκ τοῦ δεῖ τὸ πρέπει καὶ πόνος τὸ δειπονός τις ὂν καὶ δεῖπνος, μεθ' ὃν δεῖ πονεῖν. Ἐπαφρόδιτος δὲ παρὰ τὸ δάπτω δάπτον καὶ δάπνον κατὰ τροπὴν καὶ πλεονασμόν).

δειρά: τὸ σημαῖνον τὸν τράχηλον διὰ τῆς ει διφθόγγου. δέρρα γὰρ λέγουσιν οἱ Αἰολεῖς.

δείρω: διὰ τῆς ει διφθόγγου. δέρρω γὰρ λέγουσιν οἱ Αἰολεῖς ὥσπερ τὸ κείρω κέρρω· γέγονε δὲ ἀπὸ τοῦ μέλλοντος δερῶ πλεονασμῷ

l. 4 Choer. 195, 26. E. Orion. 46, 15, E. M. 261, 20 cf. Il. Pr. I 26. l. 6 E. M. 261, 14. pro Ἀττικοὶ τὸ δείελος scripsi ἡ παρ' Ἀττικοῖς ὀψία δείλη secutus Eustath. 1235, 7. Hesych. habet δίελος. l. 11 Choer. 193, 24. E. M. 261, 28. l. 14 Choer. 191, 32. l. 16 Choer. 195, 18. l. 19 Choer. 195, 4. l. 22 Choer. 193, 33. l. 25 Choer. 194, 19 cf. E. Or. 46, 12. l. 28 Choer. 194, 28, E. M. 262, 31. l. 31 Choer. 193, 30, E. M. 262, 35. l. 34 Choer. 194, 10, E. M. 262, 53. l. 36 Choer. 194, 3.

τοῦ ῑ δείρω. καὶ διὰ τὸ ἀντιπαρακεῖϲθαι αὐτῷ τὸ ο οἷον δορά· τὰ γὰρ ἔχοντα τὸ ο ἀντιπαρακείμενον ἔχει τὸ ε ἐγκείμενον οἷον ϲπείρω ϲπορά, ἀλείφω ἀλοιφή. καὶ πάντα τὰ διὰ τοῦ ειρω ἀποϲτρέφεται τὴν διὰ τοῦ ῑ μόνου γραφὴν οἷον οἰκτείρω, κείρω. οὕτω καὶ δείρω διὰ τῆϲ ε̅ι̅ διφθόγγου.

δεῖϲα: ὃ ϲημαίνει τὴν ὑγραϲίαν διὰ τῆϲ ει διφθόγγου γράφεται, ἀπὸ γὰρ τοῦ δεύϲω μέλλοντοϲ γέγονε δεῦϲα καὶ κατὰ τροπὴν τοῦ ῡ εἰϲ ῑ δεῖϲα καὶ τὸ παράδειϲοϲ διὰ τῆϲ ει διφθόγγου. παρὰ γὰρ τὴν δεῖϲαν γέγονεν. τὸ δὲ δῖϲα ἡ δυϲωδία εἴρηται παρὰ τὸ δίω τὸ διὰ τοῦ ῑ γραφόμενον ὃ ϲημαίνει τὸ φοβοῦμαι, ἵν' ᾖ δῖϲα ἡ δυϲοϲμία, ἣν φεύγομεν. εἴτε οὖν διὰ τοῦ ῑ εἴτε διὰ τῆϲ ει διφθόγγου ἄδηλον, τὸ δίω γὰρ καὶ δείω διφορεῖται ὅθεν δέοϲ καὶ δίον διὰ τοῦ ῑ, ὅθεν «τρὶϲ περὶ ἄϲτυ μέγα Πριάμου δίον» (Χ 251).

Δεκελεικόϲ: διὰ τῆϲ ε̅ι̅ διφθόγγου. ἀπὸ γὰρ τοῦ Δεκέλεια γέγονεν.

δελφίϲ: ῑ· τὰ γὰρ δικατάληκτα κτλ.

δενδρήειϲ: τὸ ειϲ δίφθογγοϲ· ἐπεὶ δενδρήεντόϲ ἐϲτιν ἡ γενική.

Δέρα τόποϲ Λακωνικῆϲ. τὸ ἐθνικὸν Δεραῖοϲ καὶ Δερεάτηϲ. καὶ τὸν δῆμον δὲ Δειράδαϲ φαϲὶ καὶ τοὺϲ δημόταϲ Δειραδιώταϲ ἀπὸ ἥρωόϲ τινοϲ.

Δέρβη: ὁ κατοικῶν Δερβήτηϲ ὡϲ Ϲιδήτηϲ Πυλήτηϲ. λέγεται δ' ἴϲωϲ καὶ Δέρβεια καὶ τὸ ἐθνικὸν Δερβείτηϲ. τινὲϲ δὲ Δέλβειαν, ὅ ἐϲτι τῇ τῶν Λυκαόνων φωνῇ ἄρκευθοϲ.

Δερβίκκαι ἔθνοϲ πληϲίον τῶν Ὑρκανῶν. Ἀπολλώνιοϲ (Aphrodisiensis, Mein. in Indice suspicatur Ἀπολλόδωροϲ) δὲ δὶϲ τὸ κ καλῶϲ (fortasse κακῶϲ et initio Δερβίκαι Mein.) γράφει. Κτηϲίαϲ δὲ Δερβιϲϲοὺϲ αὐτοὺϲ φηϲι καὶ Τερβιϲϲούϲ.

δέτρον: παρὰ τὸ δείρω ὡϲ μείρω μέτρον.

δευρί: τὸ ἐπίρρημα διὰ τοῦ ι ἐκ τοῦ δεῦρο τροπῇ τοῦ ο̅ εἰϲ ῑ.

δεύρω: δεῦρο.

Δεύϲ: Ζεύϲ.

Δηϊάνειρα: διὰ τῆϲ ε̅ι̅ διφθόγγου γράφεται· πάντα γὰρ τὰ διὰ τοῦ ε̅ι̅ρ̅α̅ κτλ.

Δημάδηϲ: οὐκ ἔχει τὸ ῑ. ἀπὸ γὰρ τοῦ Δημέαϲ γίνεται Δημεάδηϲ καὶ κατὰ ϲυναίρεϲιν Δημάδηϲ. καὶ ὤφειλεν εἰϲ τὸ η̅ γίνεϲθαι ἡ κρᾶϲιϲ, ἀλλὰ διὰ τὸν χαρακτῆρα εἰϲ ᾱ ἐγένετο· τὰ γὰρ εἰϲ δηϲ πατρωνυμικὰ ἢ τύπου πατρωνυμικοῦ ὄντα ἢ τῷ ι θέλει παραλήγεϲθαι ἢ τῷ

l. 6 Choer. 196, 16, E. M 263, 1. Hes. habet δίϲαλα ἀκαθαρϲία i. o. δῖϲα vel διϲαλία cf. Schmidt ad h. l. l. 14 Choer. 196, 6. l. 16 Choer. 192, 11. l. 17 Choer. 196, 31. l. 18 St. B. l. 21 St. B. l. 24 St. B. l. 28 E. Gud. 389, 27; etiam Hesychius δέτρον pro δέρτρον praebet. l. 29 Choer. 196, 31. l. 30 Hes., Herod. περὶ μον. λέξ. 26, 33. l. 31 Hes. περὶ μον. 6, 17, l. 32 Choer. 196, 20. l. 34 E. M. 265, 11 cf. 210, 1.

ᾱ οἷον Πηλείδης Αἰακίδης Εὐρυμάδης Πυλάδης. οὕτως οὖν καὶ Δημάδης.

δηρίω: διὰ τοῦ ῑ τὸ ρι. τὰ γὰρ διὰ τοῦ ιω ὑπὲρ δύο συλλαβὰς βαρύτονα κτλ.

δηῶν: γέγονε παρὰ τὸ δήϊος. διὸ καὶ σὺν τῷ ῑ γράφεται τὸ δηῶν.

Δηώ: Δημήτηρ.

Δίας: ὁ ἥρως εἷς τῶν Τιτάνων παρὰ τὴν Διὸς γενικὴν γίνεται Διΐας καὶ κράσει Δίας. τὸ δὲ Δείας γίνεται παρὰ τὸ δέος Δεῖας καὶ ἐν συναλοιφῇ Δείας διὰ τῆς ει διφθόγγου ὁ δέος ἐμποιῶν.

διαττᾶν: διασήθειν, διάττειν ὁρμᾶν.

διηλίτης: ὁ δι' ὅλου ἁμαρτάνων.

διιπετής: διὰ τοῦ ῑ γράφεται παρὰ τὴν Διῒ δοτικὴν γεγονὸς παρὰ τὸ πεσεῖν οἱονεὶ ὁ ἐκ Διὸς πεπτωκώς.

δίνη: τὸ δι ῑ· τὰ γὰρ εἰς ινη μονογενῆ κτλ. καὶ ἐπειδὴ οἱ Αἰολεῖς δίννας λέγουσι καὶ οὐχὶ δέννας.

δῖνος: διὰ τοῦ ῑ· τὰ διὰ τοῦ ινος ὀνόματα πρὸ μιᾶς τὸν τόνον ἔχοντα κτλ. σημαίνει δὲ δῖνος καὶ εἶδος ὀρχήσεως καὶ εἶδος ποτηρίου καὶ συστροφὴν ὕδατος.

δίνω: τὸ συστρέφω ὁμοίως διὰ τοῦ ῑ. οἱ γὰρ Αἰολεῖς δίννω λέγουσιν.

δίκτυον: παρὰ τὸ δικεῖν ὅ ἐστι βάλλειν.

Διομήδεια: ει.

Διόνυσος: οἱ μὲν Διόνυξον αὐτὸν ὀνομάζουσιν, ὅτι σὺν κέρασι γεννώμενος ἔνυξε τὸν Διὸς μηρὸν ὡς Στησίμβροτος, οἱ δὲ Δεύνυσον. Ἀνακρέων «πολλὰ δ' ἐρίβρομον Δεύνυσον»· τοῦ ῑ τραπέντος εἰς ε̄ γίνεται Δεόνυσος — οὕτω γὰρ οἱ Σάμιοι προφέρουσι — καὶ συναιρέσει Δεύνυσος ὡς Θεόδοτος Θεύδοτος. ἔνιοι φασίν, ὅτι, ἐπειδὴ ἐβασίλευσε Νύσης, δεῦνον δὲ τὸν βασιλέα λέγουσιν οἱ Ἰνδοί, ὡς Ἰόβας. οἱ δὲ ἀπὸ τοῦ Διὸς καὶ τῆς Νύσσης τοῦ ὄρους ὀνομάσθαι, ἐπεὶ ἐν τούτῳ ἐγεννήθη, ὡς Πίνδαρος, καὶ ἀνετράφη. οἱ δὲ ἀπὸ τοῦ πολλὰ διανύσαι καὶ κατορθῶσαι, ὡς Ἀλέξανδρος ὁ Θάσιος. οἱ δὲ ἀπὸ τοῦ δονεύειν καὶ κινεῖν τὰ σώματα πλεονασμῷ τοῦ ῑ ὡς πυκνὸς πυκινός. οἱ δὲ ἀπὸ τοῦ Διὸς ὑετοῖς κεράννυσθαι ὅ ἐστιν ὕδασιν, ὡς πιθανεύεται Ἀριστόδημος.

---

l. 3 Choer. 191, 1. l. 5 Il. Pr. P 65, Hes. l. 6 ap. Hes. sine ῑ scriptum est. sed cf. fr. 51. l. 7 E. M. 270, 10 et 271, 3, Choer. 192, 13. l. 10 Hes. E. M. 271, 34. l. 11 Herod. Il. Pr. I 90, sic etiam Hes., apud quem tamen et διελίτης et διλίτης reperitur. l. 12 Choer. 192, 30. l. 14 Choer. 190, 18.

l. 16 Choer. 190, 28. l. 19 Choer. 190, 24; fuisse quosdam qui δείνη δεῖνος scriberent, concludi potest ex Hes., qui habet δεῖναι, δείναις, δείνας, δεινεύει, δεινεύειν, δεινήεντα, δείνησιν, δείνοις, δεῖνος, δεινωτήν, δεινωτοῖς et δεινεύοιτο, δινῆεν δινωτήν δινήσας δινωτοῖσι; etiam in E. M 262, 21 δεῖνος προπερισπᾶται ὁ ψυκτήρ. l. 21 E. Orion. 46, 17. l. 22 Choer. 196, 33. l. 33 reliqua incertiora sunt quum auctores etymologiarum taceantur neque sciri possit, an ab epitomatore adiecta sint. περὶ παθῶν fr. 599: παρὰ δὲ τῷ ποιητῇ ἀεί ἐστιν η ἔκτασις Διώνυσος διὰ τοῦ ω καὶ τοῦ ῡ μακροῦ ὡς τὸ «Διωνύσοιο τιθήνας» καὶ «Διώνυσος δὲ φοβηθείς Ἰλιάδος Z. E. M. 259, 28; 277, 35; 280, 6, ubi

δῖος: ῑ.

Διπόλεια: τὸ δι ῑ κατὰ τὴν ἀρχὴν παρὰ τὴν Διΐ δοτικήν, κατὰ δὲ τὴν παραλήγουσαν διὰ τῆς ει διφθόγγου, γράφεται δὲ καὶ Διπόλια (e. g. Arist. Pac. 420).

δίς: τρίς τετράκις καὶ τὰ ἑξῆς ἐπιρρήματα ἀριθμητικὰ διὰ τοῦ ῐ πάντα.

δισσά: διττά.

διφᾶν: ὅ ἐστι ψηλαφᾶν διὰ τοῦ ῐ γράφεται· παρὰ γὰρ τὸ ἅπτω ἀφή ἀφῶ καὶ μετὰ τῆς διά προθέσεως διαφῶ καὶ κράσει διφῶ τὸ τῇ ἀφῇ ὑποβάλλειν.

Δίφιλος: ῑ. ὥσπερ γὰρ παρὰ τὴν Ἄρηϊ δοτικὴν γίνεται ἀρηΐφιλος, οὕτω παρὰ τὴν Διΐ Δίφιλος καὶ κατὰ κρᾶσιν τῶν δύο ῐῐ εἰς ἓν μακρὸν Δίφιλος.

διψῆν: διψᾶν.

Διώνη ἡ θεός· ἀπὸ τοῦ Διὸς Διώνη κατ' ἔκτασιν τοῦ ο̄ εἰς ω̄, ὅτι αὐτὴ πρῶτον γέγονε γαμετὴ τοῦ Διός. ἢ ἀπὸ τοῦ διὰ πάντων ἰέναι.

Διώρης: ὄνομα κύριον διὰ τοῦ ῐ γραφόμενον. ἢ γὰρ παρὰ τὴν διά πρόθεσιν καὶ ὁρῶ διαόρης καὶ ἐκτάσει τοῦ ο εἰς ω καὶ κράσει τοῦ ῐ καὶ α εἰς ῑ μακρόν. ἢ ὡς ἀπὸ τοῦ ὕλη ὑλώρης παραγωγόν, οὕτω καὶ ἀπὸ τῆς Διός γενικῆς Διώρης «Διώρεος ἄλκιμος υἱός» (P 429).

δμῳῶν: σὺν τῷ ῐ καὶ περισπωμένως. θηλυκὸν γάρ ἐστιν. οὕτως Ἀρίσταρχος καὶ Ἡρωδιανός.

δοιάσσατο: δοάσσατο.

δοκή: δοχή.

δολφός: ἡ μήτρα i. q. δελφύς.

δόμορτις: γυνή τις.

Δονουσία: νῆσος μικρὰ Ῥόδου, εἰς ἣν Διόνυσος ἐκ Νάξου τὴν Ἀριάδνην μετεκόμισε τοῦ πατρὸς Μίνω διώκοντος αὐτήν. ἔοικεν οὖν Διονυσία εἶναι καὶ κατὰ παραφθορὰν Δονουσία.

---

etiam haec ex Herodiano sumpta videntur: Διόδωρος ἀπὸ τοῦ Διὸς καὶ τοῦ τόπου τῆς Νύσης λέγει Διόνυσον ὡς ἐν Νύσῃ παρὰ νυμφῶν ἀνατραφέντα τοῦ Διός μηροῦ εἰστεθέντα καὶ τὸν μηρὸν ὄνομα λέγει τόπου. Choer. 191, 19.

l. 1 Choer. 191, 29 cf. fr. 20. l. 2 verba usque ad ει διφθόγγου sumpsi ex Choer. 192, 20, ubi quae addita sunt πολεῖον ut βαλανεῖον per ει prosperispomenos scribenda esse, ut aliena omisi, γράφεται δὲ καὶ Διπόλια ipse addidi propter Hes., qui habet Διιπόλεια et Διπόλια. l. 5 Choer. 191, 23. l. 7 Hes. l. 8 Choer. 191, 25, E. M. 279, 46. Quosdam per ει scripsisse conicctari licet ex Hes., ubi δειφήσαντες ψηλαφήσαντες, quod non pro δεφήσαντες voce nihili sed pro διφήσαντες est, δειφῶν ζητῶν et διφᾶν ζητεῖν ψηλαφᾶν ἐρευνᾶν. l. 11 Choer. 192, 17. l. 14 Hes. l. 15 E. Or. 46, 21 expletum ex E. M. 280, 41. l. 17 Choer. 192, 7 et E. M. 280, 47. l. 21 Schol. ad Od. τ 121. Choer. Dict. 452, 2 η γραφὴ οὐκ ἔστιν ἡ αὐτή. τὸ μὲν γὰρ Τρῳαί καὶ δμῳαί καὶ θῳαί ἔχουσι τὸ ῑ προσγεγραμμένον κατὰ τὴν παραλήγουσαν, τὸ δὲ Τρῶες, δμῶες, θῶες οὐκ ἔχουσι τὸ ῑ προσγεγραμμένον κατὰ τὴν παραλήγουσαν. l. 23 Herod. in E. M. 281, 33. Hes. l. 24 Hes. l. 25 Hes. l. 26 Hes. l. 27 St. B. s. v. et Eust. ad Dionys. 530. Meinekius Δονουσία ex Δόνουσα vel Δονοῦσσα corruptum putat. cf. Lob. Proll. 417 not. 17.

δορύαλλος: λέγεται καὶ δόρυλλος· Ἀριστοφάνης «αἱ γυναῖκες τὸν δορύαλλον φράγνυνται». ἔστι δὲ τὸ γυναικεῖον αἰδοῖον ἐφ' ὕβρει τραγῳδοποιοῦ Δορύλλου. ἢ παρὰ τὸ δείρειν τὸ τυπτόμενον καὶ τὸ τιλλόμενον τὰς τρίχας καὶ οἱονεὶ ἐκδερόμενον. οὕτω γὰρ πάλαι ἐψίλουν ὡς δηλοῖ Ἀριστοφάνης «ἠβυλλιῶσαι τἄρτι παρατετιλμέναι» (Ran. 519).

δορύκνιον: εἶδος βοτάνης παρὰ Νικάνδρῳ Ἀλεξιφαρμάκοις (376). γράφεται δὲ καὶ δορύχνιον. Δημοφῶν δὲ ἐτυμολογεῖ αὐτὸ οὕτω κεκλῆσθαι διὰ τὸ δόρατι ἴσον εἶναι κατὰ τὴν ἀναίρεσιν.

• Δορυλάειον cf. fr. 42.

δουράτειος: διὰ τῆς ει διφθόγγου ὡς μετουσιαστικόν.

δούρειος: διὰ τῆς ει διφθόγγου πρῶτον μὲν ὅτι ἀνεφάνη τὸ ε ἐν τῷ δούρεος, δεύτερον δὲ ὅτι τὰ διὰ τοῦ ειος σημαίνοντα μέρος σωματικὸν ἢ μετουσιαστικὸν διὰ τῆς ει γράφεται. λέγεται δὲ καὶ δώρειος.

δράγμα: διὰ τοῦ γ. δραχμή: διὰ τοῦ χ.

δριμύς: ῑ. τὰ ἀμφιβαλλόμενα κτλ.

δρίφακτος καὶ δρύφακτος: κράββατος, δρύφακτοι αἱ τοῦ δικαστηρίου θύραι ἢ τὰ διαφράγματα ἢ τὰ περιτειχίσματα.

δροίτη: ἡ πύελος. ὁ δὲ Αἰτωλός φησι τὴν σκάφην, ἐν ᾗ τιθηνεῖται τὰ βρέφη. Παρθένιος δὲ τὴν σορὸν καὶ Αἰσχύλος. καὶ ἔστι παρὰ τὸ δόρυ καὶ τὸν οἶτον τὸν θάνατον τὸ δόρυ τὸ εἰς θάνατον ἐπιτήδειον. ἢ ἐκ δρυὸς εἰς οἶτον πεποιημένη καὶ εἰς τὸ δέχεσθαι τὸ σκῆνος. κατὰ τὸν Ἕρμιππον οὖν διὰ τοῦ ῡ γράφεται παρὰ τὴν δρῦν τὴν ξυλίνην. ὅτε δὲ τὴν σορόν, διὰ τῆς οι.

Δρυόπη: γράφεται καὶ Δρυόπα.

Δρύουσα ἢ Δρυοῦσσα: ἡ Σάμος τὸ παλαιόν.

δύο: δύω.

δύω: δοιώ.

Δυρράχιον πόλις Ἠπείρου ἡ πρότερον κληθεῖσα Ἐπίδαμνος, νῦν δὲ Δυρράχιον, ὅτι κατὰ τὸν τόπον προεχούσης ἄκρας γεωλόφου τὸ κῦμα προσπῖπτον καὶ σχιζόμενον ῥαχίαν ποιεῖ μεγάλην, ὅθεν διὰ τὴν ῥαχίαν καὶ τὸ δύσορμον Δυρράχιον ὠνόμασαν τὸν τόπον. Ἀλέξανδρος ἐν Εὐρώπῃ «δυσραχίου τ' Ἐπίδαμνος ἐπ' ἀγχιάλου χθονὸς ἀκτῆς».

δῶσι: ὅταν μὲν ἑνικῶς ᾖ, σὺν τῷ ῑ, ὅταν δὲ πληθυντικῶς, ἄνευ τοῦ ῑ.

l. 1 E. M. 283, 45, Hes., apud quem voc. per ῡ scriptum est, quum in E. M. per ῑ exhibeatur. l. 6 E. M. 283, 37. Hes. δορύκνιον. l. 10 Choer. 196, 13. l. 11 Choer. 196, 9. l. 14 δράγμα Hes., δραχμή ex Hes. et E. M. 287, 20, ubi de scriptura per χ ad ἐρεχμός et ἐρεγμός mittimur, quo loco traditur δοκεῖ ταῦτα παρὰ τοῖς Αἰολεῦσι ἐκφέρεσθαι διὰ τοῦ χ κτλ. l. 15 Choer. 191, 5. l. 16 Hes. — E. M. 288, 45 δρυφάκτους: εἴρηται κυρίως πάντα τὰ ἀπὸ ξύλων γινόμενα. δρυόφρακτός τις ὢν ὁ ἐκ δρυῶν φραγμός. πάλαι γὰρ τὰ πάντα ξύλα δρύας ἐκάλουν καὶ δρυμόν. l. 18 E. M. 288, 3. l. 24 St. B. l. 25 Hes. et St. B. s. Σάμος, sed ap. Hes. etiam Δόρυσσα οὕτως ἐκαλεῖτο ἡ Σάμος. l. 26 Hes., E. M. 289, 29. l. 27 E. M. 289, 28. l. 28 E. M. 291, 25, St. B. s. v., unde verba Alexandri apposui, de quibus cf. Mein. Anall. p. 374. l. 33 Hes. cf. fr. 48.

δωτήρ καὶ δωτῆρες: ἀπὸ τοῦ δοτήρ τοῦ διὰ τοῦ ο̄ μικροῦ ἐκταθέντος εἰς ω̄ δωρῆρες διὰ τοῦ ω ὥσπερ παρὰ τῷ ποιητῇ «θεοὶ δωτῆρες ἐάων» (Od. θ 325).

δωτίνη: ῑ. τὰ γὰρ εἰς ῑνη̄ μονογενῆ κτλ.

Ε.

ἑβδομήκοντα: τὰ διὰ τοῦ κοντα ἀριθμητικὰ θέλει πρὸ τοῦ κ̄ ἔχειν τὸ η̄ φωνῆεν· ἀπὸ γοῦν τοῦ ἕξ γέγονεν ἑξάκις καὶ ἐκ τοῦ ἑξάκις ἑξήκοντα τροπῇ Δωρικῇ τοῦ ᾱ εἰς η̄. τὸ δὲ ἑβδομήκοντα καὶ ὀγδοήκοντα ἐκ τοῦ ἕβδομος καὶ ὄγδοος ὤφειλεν εἶναι ἑβδομόκοντα καὶ ὀγδοόκοντα διὰ τοῦ ο̄. ἀλλ' ἐπειδὴ τὰ διὰ τοῦ κοντα ἀριθμητικὰ οὐ θέλει παραλήγεσθαι οὔτε τὸ ο̄ οὔτε τὸ ε̄, ἐξ ἀνάγκης ἔτρεψε τὸ ο̄ εἰς τὸ η̄ καὶ γέγονεν ἑβδομήκοντα καὶ ὀγδοήκοντα. καὶ ἐνενήκοντα ὁμοίως γέγονεν ἀπὸ τοῦ ἐννέα ἐννεάκοντα καὶ κατὰ ὑπερβιβασμὸν ἐνενάκοντα· καὶ ἐπειδὴ καὶ ὁ πεντήκοντα καὶ οἱ λοιποὶ τῷ η παραλήγονται οἷον ἑξήκοντα καὶ ἑβδομήκοντα, τούτου χάριν ἐκείνων τρεψάντων τὸ α εἰς η ἔτρεψε καὶ τοῦτο καὶ γέγονεν ἐνενήκοντα.

ἔγγειος: διὰ τῆς ει διφθόγγου. τὰ γὰρ παρὰ τὸ γέα διὰ τῆς ει̅ διφθόγγου γράφεται κτλ.

ἐγείρω: ει. παρὰ γὰρ τὸν ἐγερῶ γέγονε μέλλοντα. καὶ πάλιν οἱ Αἰολεῖς ἐγέρρω λέγουσιν.

ἔγκαρτα: τοὺς κεκουρευμένους πυρούς· ἀλλὰ καὶ ἔγκαρπα Φρύνιχος Δαναΐσιν.

ἐγχείησι: τὸ χει δίφθογγος, διότι ἀνεφάνη τὸ ε̄ ἐν τῷ ἔγχεος ὥσπερ τὸ ἐλεγχείη.

ἐγχείμαργος: διὰ τῆς ει διφθόγγου. παρὰ γὰρ τὴν ἔγχει δοτικὴν γέγονεν.

ἐγχειρίδιον βίβλος μικρὰ καὶ ξίφος· γέγονε δὲ παρὰ τὴν ἐν χειρὶ δοτικήν.

ἔγχουσα εἶδος βοτάνης, ἣ καὶ διὰ τοῦ α λέγεται ἄγχουσα, Ἀττικοὶ δὲ διὰ τοῦ ε̄.

ἐν χρῷ: ἰστέον ὅτι δύο μέρη λόγου εἰσὶ τὸ ἐν χρῷ, πρόθεσις δηλονότι καὶ ὄνομα καὶ οὐχὶ ὥσπερ τινὲς ἐνόμισαν ἐπίρρημα. γράφεται δὲ καὶ μετὰ τοῦ ν̄ καὶ μετὰ τοῦ γ̄. καὶ προσγραφομένου τοῦ ῑ ἡ κλίσις τοῦ χρωτός Ἀττικῶς. ὁ χρώς γὰρ τοῦ χρῶ τῷ χρῷ τὸν χρῶ ὥσπερ

l. 1 Choer. 191, 19. l. 4 Choer. 191, 8. l. 6 Choer. 213, 22, E. M. 308, 42. Quod hic mutatio vocalis ᾱ in η Dorica trope vocatur, inde explicari potest, quod Dorienses η in α vertere soliti in his η servant. cf. Ahrens de dial. Dor. p. 150. l. 17 Choer. 214, 5. ap. Hes. corrupto ἔγγια τὰ ἐν τῇ γῇ. l. 19 Choer. 201, 20. l. 21 Hes. l. 23 Ep. Cr. I 143, 5, E. M. 313, 16, E. Gud. 158, 58. l. 25 Choer. 203, 21. cf. fr. 12. l. 27 Choer. 206, 30 coll. E. M. 313, 26, ubi altera originatio additur ad significatum ξίφος aptata: ἢ παρὰ τὴν ἔγχει δοτικὴν καὶ τὸ ἴδιον ἐγχειίδιον καὶ πλεονασμῷ τοῦ ρ ἐγχειρίδιον. l. 29 E. M. 314, 30. l. 31 E. Gud. 191, 31, E. M. 313, 51 accusativum τὸν χρώ l. 34 pro τὸν χρῶν scripsi ex Choer. Dict. 254, 25 cf. Lob. El. II 302. ἐν

Ἀττικῶς ὁ γέλως τοῦ γέλω. μὴ προσγραφομένου δὲ εὔδηλον ὡς ἀποκοπῆς γενομένης τῆς τελευταίας συλλαβῆς ἐν χρῷ εἴρηται, χρωτί γὰρ ἀπεκόπη.

ἐγχύλης διὰ τοῦ υ, εἶδος ἰχθύος.

ἐγών Δωριέων διάλεκτός ἐστι. — ἢ καὶ ὁ ποιητὴς ἐκκλίνας τὴν χασμωδίαν τῶν φωνηέντων εἶπε τὸ ἐγών μετὰ τοῦ ν.

ἐγώνγα: πᾶσα συλλαβὴ εἰς ν̄ λήγουσα ἐν μιᾷ λέξει, ἐὰν συντεθῇ μεθ' ἑτέρας συλλαβῆς ἀρχομένης ἀπὸ τοῦ γ̄ κ̄ ξ̄ χ̄ τρέπει τὸ ν̄ εἰς γ. — δεῖ γινώσκειν ὅτι τὸ ἐγώνγα καὶ ἰώνγα δοκεῖ ἀντικεῖσθαι κτλ.

Ἐδουμαῖοι ἔθνος Ἀράβων. τινὲς δὲ διὰ τοῦ ῑ γράφουσιν.

ἔθειρα: διὰ τῆς ει διφθόγγου. ἐκ γὰρ τοῦ ἐθείρω γέγονεν οἱονεὶ ἡ ἐξ ἔθους ἐπιφοιτῶσά τινι. ὑπάγεται δὲ καὶ κανόνι τῶν εἰς ρα θηλυκῶν.

ἐθείρω: διὰ τῆς ει διφθόγγου. τὰ γὰρ διὰ τοῦ ειρω ῥήματα κτλ. τὸ δὲ ἐθείρω σημαίνει τὸ ἐξ ἔθους ἐπιμελοῦμαι ἢ ἐξ ἔθους τινὶ ἐπιφοιτᾶν.

ἔθνος: τὸ ε̄ ψιλόν, ἐπεὶ τὰ εἰς ος οὐδέτερα τὸ ε̄ παραλήγεται κτλ.

εἵ: δίφθογγος. αἳ γὰρ λέγουσιν οἱ Δωριεῖς· ἔθος δὲ ἔχουσι τὸ ε εἰς ᾱ τρέπειν οἷον τρέχω τράχω, Ἄρτεμις Ἄρταμις. οὕτως οὖν καὶ εἵ αἵ.

εἶα: ἔστι παρακελευσματικὸν ἐπίρρημα καὶ γράφεται διὰ τῆς ει διφθόγγου.

εἱαμενή ὁ κάθυγρος τόπος διὰ τῆς ει διφθόγγου.

εἶαρ: τὸ αἷμα καὶ εἰαροπότης ὁ αἱματοπότης, ὥς φησι Καλλίμαχος «τὸ δ' ἐκ μέλαν εἶαρ ἔδαπτεν»· διὰ τῆς ει διφθόγγου· γέγονε γὰρ παρὰ τὸ εἴω τὸ πορεύομαι τὸ τοῦ ἰέναι καὶ πορεύεσθαι ἡμᾶς αἴτιον. ὡς γὰρ εἵλω εἷλαρ καὶ ἔδω ἔδαρ εἶδαρ, οὕτω καὶ εἶαρ.

εἶαρ τὸ ἔαρ.

εἴασκε: ἀπὸ τοῦ ἐάω ἐῶ ἐᾷς ἐᾷ, ὁ παρατατικὸς εἴων εἴας εἴα καὶ Ἰωνικῶς εἴασκε. ἐκ τούτου ἔασκε ἀποβληθέντος τοῦ ῑ. τὰ γὰρ τοιαῦτα ἀποβάλλουσι τὴν ἐν ἀρχαῖς κλιτικὴν ἔκτασιν οἷον ἔτυπτον ἔτυπτες ἔτυπτε τύπτεσκεν, ἦγον ἦγες ἦγε ἄγεσκεν. οὕτω καὶ τοῦτο. ἐκ τούτου οὖν τοῦ ἔασκε γίνεται εἴασκε διὰ τῆς ει διφθόγγου κατὰ πλεονασμὸν τοῦ ῑ.

χροῖ habet Hes. l. 4 Hes., ubi ἔγχελυς corrigunt, Schmidtius vero ἀγχύλης anguilla dictum fuisse suspicatur. l. 5 E. M. 314, 37, Ep. Cr. I 150, 11 cf. περὶ παθῶν fr. *90. l. 7 E. M. 315, 11 cf. περὶ παθῶν l. c. l. 10 St. B. l. 11 Choer. 201, 29, E. M. 318, 50, Hes. cf. fr. 14. l. 14 Choer. 201, 22, E. M. 318, 44, Hes. l. 16 E. M. 319, 19 cf. can. gen. l. 17 Choer. 212, 25. l. 19 Choer. 213, 14; originatio quae additur ab ἔω τὸ ἐκπέμπω ἔα εἶα non Herodiani est, qui huiuscemodi vocabula pro nativis habuit; in E. M. 294, 45 adiicitur παρατίθεται τὴν χρῆσιν ὁ τεχνικὸς οὕτως «εἶα δὴ ξύλον ἄγειρέ μοι σεαυτῷ», ubi technicus est ipse Choeroboscus, quamquam is Herodianum hoc loco etiam expilasse putandus est. l. 21 Choer. 203, 30; originatio ab ῥειαμενή Choerobosco debetur. l. 22 E. M. 294, 47. Herod. in Schol. BV ad T 87 εἶαρ ὅπερ ἐστὶ παρὰ Σαλαμινίοις αἷμα. Hes. habet εἶαρ et ἶαρ. l. 26 Choer. 207, 23. l. 27 Choer. 210, 22, E. M. 295, 11, E. Gud. 162, 24 et 50, Hes.

εἵαται: ἧνται καὶ Ἰακῶς ἕαται οἷον «οἱ δὴ νῦν ἕαται σιγῇ (Γ 134) καὶ εἵαται πλεονασμῷ τοῦ ῑ ὡς κέαται κείαται.

εἴβω: διὰ τῆς ει διφθόγγου. ἀπὸ γὰρ τοῦ λείβω γέγονε κατὰ ἀποβολὴν τοῦ λ εἴβω. τρία δέ ἐστιν εἰς βω ῥήματα διὰ τῆς ει διφθόγγου γραφόμενα οἷον ἀμείβω στείβω καὶ λείβω κεὶ εἴβω κατὰ ἀποβολὴν τοῦ λ.

εἶδαρ ἡ βρῶσις διὰ τῆς ει διφθόγγου. ἐκ τοῦ ἔδω τὸ ἐσθίω γέγονε ἔδαρ καὶ κατὰ πλεονασμὸν τοῦ ῑ εἶδαρ.

εἴδεται: ει δίφθογγος.

εἰδικόν: ἡνίκα μὲν τὸ εἶδος σημαίνει οἷον γένος εἶδος γενικόν εἰδικόν, διὰ τῆς ει διφθόγγου, ἡνίκα δὲ τὸ ἴδιον οἷον κοινὸν ἴδιον, διὰ τοῦ ῑ γράφεται.

εἰδήμων, εἰδημόνως.

εἶδον: τὸ εἶδον ἐν μὲν τῇ ὁριστικῇ ἐγκλίσει παρὰ τοῖς ποιηταῖς καὶ διὰ τῆς ει διφθόγγου καὶ διὰ τοῦ ῑ γράφεται οἷον «οὐκ ἴδον, οὐ πυθόμην» (ψ 40) καὶ «εἶδον γὰρ σκοπιὴν εἰς παιπαλόεσσαν ἀνελθών» (κ 194), «Τηλέμαχος μνηστῆρσιν ἐφήμενος εἶδεν Ἀθήνην» (Od. α 118, ubi legitur μνηστῆρσι μεθήμενος εἴσιδ' Ἀθήνην). παρὰ τοῖς ἰαμβογράφοις ἤγουν ἐν ἰάμβῳ καὶ ἐν ῥητορικῷ δὲ λόγῳ ἤγουν πολιτικῷ οὐ δεῖ διὰ τοῦ ῑ γράφειν αὐτό, ἀλλὰ διὰ τῆς ει διφθόγγου μόνον. εἰ δὲ εὑρέθη παρὰ τοῖς τραγικοῖς διὰ τοῦ ῑ γραφόμενον τὸ ἴδον, οὐδὲν θαυμαστόν. οἱ γὰρ τραγικοὶ ποιητικαῖς λέξεσιν εἰώθασι κεχρῆσθαι. ὅτι γὰρ τὸ εἶδον ἐν πολιτικῷ λόγῳ διὰ τῆς ει διφθόγγου γράφεται δῆλον, εἴγε οὐκ ἀναβιβάζει τὸν τόνον ἐν τῷ παρεῖδον καὶ συνεῖδον. εἰ γὰρ ἐγράφετο διὰ τοῦ ῑ, ἤμελλεν ἀναβιβάζειν τὸν τόνον ὡς παρὰ τῷ ποιητῇ «εἴσιδ' Ἀθήνην» (α 118). ἐν δὲ ταῖς λοιπαῖς ἐγκλίσεσι καὶ ἐν ταῖς μετοχαῖς διὰ συνεσταλμένου τοῦ ῑ γράφεται μόνως οἷον ἴδω ἰδών, ἴδοιμι, ἰδέ, ἐὰν ἴδω καὶ ἐξ αὐτοῦ δὲ γενόμενος δεύτερος ἀόριστος μέσος ἐν μὲν τοῖς ὁριστικοῖς διφορεῖται οἷον εἰδόμην καὶ ἰδόμην. ἐν δὲ ταῖς μετοχαῖς καὶ ἐν ταῖς λοιπαῖς ἐγκλίσεσι διὰ τοῦ ˉ μόνου γράφεται οἷον ἰδέσθαι, ἰδοίμην ἐὰν ἴδωμαι «ἀλλ' ἄγε δὴ τὰ χρήματ' ἀριθμήσω καὶ ἴδωμαι» (ν 215) καὶ ἰδόμενος ἡ μετοχή, τὸ γὰρ διὰ τῆς ει διφθόγγου γραφόμενον «εἰδόμενος Ἀκάμαντι θοῷ» (Ε 462) οὐκ ἀντίκειται, ἐπειδὴ οὐκ ἔστιν ἐπὶ τούτου τοῦ σημαινομένου, λέγω δὲ τοῦ θεωρήσας, ἀλλ' ἐπὶ τοῦ ὁμοιωθείς, ἰδού τὸ προστακτικόν.

εἶδος: ει, ἐπεὶ ἀντιπαράκειται αὐτῷ τὸ οἶδα.

---

l. 1 E. M. 295, 55, E. Gud. 162, 57, Choer. Dict. 697, 15 et 698, 21 cf. Herod. ap. Zon. 638 et Arc. 170, 3, Hes. l. 3 Choer. 203, 10. l. 7 Choer. 207, 10. Hes. habet εἶδαρ et ἶδαρ. l. 9 Choer. 202, 22, Hes. l. 10 Choer. 206, 20, E. M. 296, 38, ubi λέγει Ὦρος, quod non impedit, quin Choerobosci praeceptum Herodiano assigneanus, ex quo saepe Orus pendet quamvis adversarium agens. l. 13 Hes., qui tamen etiam ἰδήμων habet, nisi hoc ex ἴδμων corruptum est. l. 14 Choer. Dict. 627, 25. l. 36 Choer. 207, 15; probabile est Herodianum addidisse τὸ δὲ ἶδος τὸ καῦμα ῑ. cf. Hes.

εἴδωλον: ει, παρὰ τὸ εἴδω εἴδωλον ὡς ἔω ἔωλος, φείδω φειδωλός, αἰτῶ Αἰτωλός.

εἰδῶμεν μάθωμεν δίφθογγος, ἴδωμεν θεασώμεθα.

εἰδώς: διὰ τῆς ει διφθόγγου. παρὰ γὰρ τὸν εἴδω ἐνεστῶτα γέγονε ὁ μέσος παρακείμενος οἶδα, ἡ μετοχὴ εἰδώς. εἴδω γὰρ τὸ γινώσκω δίφθογγος.

εἶθαρ εὐθέως. ἔστιν ἐπίρρημα διὰ τῆς ει διφθόγγου· ἀπὸ γὰρ τοῦ εὐθύς γέγονεν εὖθαρ καὶ τροπῇ τοῦ ῠ εἰς ῑ εἶθαρ.

εἴθε: διὰ τῆς ει διφθόγγου· ἀπὸ γὰρ τοῦ εἴ γέγονεν εἴθε καὶ πάλιν ὅτι οἱ Δωριεῖς αἴθε λέγουσι καὶ ἔθος ἔχουσι τὸ ε εἰς τὸ α τρέπειν. οὕτως εἴθε αἴθε.

εἰθύφαλλον: τὸ ἐντεταμένον αἰδοῖον.

εἴκελος: διὰ τῆς ει διφθόγγου· ὥσπερ γὰρ ἀπὸ τοῦ ἄγω γέγονεν ἄγελος καὶ ἄγγελος, οὕτω καὶ ἀπὸ τοῦ εἴκω τὸ ὁμοιῶ, ὅπερ διὰ διφθόγγου γράφεται, γέγονεν εἴκελος.

εἴκοσι: διὰ τῆς ει διφθόγγου κατὰ παράδοσιν. ὥσπερ δὲ ἀπὸ τοῦ εἷς γέγονεν ἕεις κατὰ πλεονασμὸν τοῦ ε καὶ φυλάττει τὴν ει δίφθογγον, οὕτω καὶ τὸ εἴκοσι γίνεται κατὰ πλεονασμὸν ἐείκοσι καὶ φυλάττει τὴν ει δίφθογγον.

εἴκω: τὸ ὑποχωρῶ διὰ τῆς ει διφθόγγου γράφεται· ἀντιπαράκειται γὰρ αὐτῷ τὸ οἶκος οἱονεὶ εἰς ὃν ὑποχωροῦμεν πάντες· τὰ γὰρ ἔχοντα τὸ ο ἀντιπαρακείμενον ἔχει τὸ ε ἐγκείμενον. εὑρέθη δὲ ἐν διαστάσει καὶ ὁ πρῶτος ἀόριστος οἷον ἔειξε.

εἰκών: ει δίφθογγος. ἀπὸ γὰρ τοῦ εἴκω τὸ ὁμοιῶ γέγονεν εἰκών. ἀντιπαράκειται γὰρ τὸ ο ἐν τῷ ἔοικα. τὰ γὰρ ἔχοντα ἀντιπαρακείμενον τὸ ο ἔχει τὸ ε ἐγκείμενον οἷον κείρω κουρεύς, ἀγείρω ἀγορά, οὕτως καὶ εἴκω τὸ ὑποχειρῶ οἶκος καὶ εἴκω τὸ ὁμοιῶ ἔοικα. τὸ δὲ Ἰκόνιον ἡ πόλις καὶ τοῦτο παρὰ τὸ εἰκών ὂν διὰ τοῦ ῑ γράφεται. τὸ

l. 1 E. M. 296, 8, Hes. l. 3 Choer. 202, 23, Hes. l. 4 Choer. 202, 20 coll. E. M. 236, 34, Hes. l. 7 Choer. 207, 26, E. M. 297, 4, Hes. l. 9 Choer. 213, 3, E. M. 297, 3, Hes. l. 12 Hes. quod quamquam ut praecedentia verba εἰθύ, εἰθύοντα, εἰθυνομόμενον, εἰθυπτίων ex corrupta scriptura natum esse potest, Schmidtius tamen defendit, quia Pausanias Atticista ap. Eustath. 1413, 38 διὰ διφθόγγου γράφει. Atque suspicari licet Herodianum ἰθύφαλλον probasse alterius scripturae mentionem iniiciens. l. 13 Choer. 209, 24. Hes. γίνεται δὲ καὶ ἴκελος διὰ τοῦ ῑ ὡς ἐν ἄλλοις. τοιοῦτον καὶ ἴδρις παρὰ τὸ εἴδω, ἐξ οὗ τὸ οἶδα, ἀλλὰ καὶ ὁ ἴδιος ὁ γνωστὸς ἡμῶν καὶ παρὰ τὸν εἴσω τούτου μέλλοντα ὁ ἵστωρ παρ' Ἀττικοῖς ἐδασύνθη, ἀλλὰ καὶ ἴδμων. ὁ γὰρ εἰδήμων ὡς ἀπὸ περισπωμένου γέγονε καὶ φυλάττει τὴν ει δίφθογγον· ἔστι δὲ εἴδω καὶ τὸ ὁμοιῶ «εἰδομένη ξείνῳ» (α 105), ἐξ οὗ ὁ μέλλων εἴσω, ἐξ οὗ τὸ εἴσκω καὶ ἐΐσκω. παρὰ τοῦτο οὖν τὸ εἴδω γίνεται ἐκ τοῦ μέλλοντος τοῦ εἴσω ἶσος. κυρίως δὲ ἶσον τὸ ὅμοιόν τινι «ἶσος Ἐνυαλίῳ» (Ε 31). Ep. Cr. I 210, 10; etiam Hes. habet ἴκελος.
l. 16 Choer. 204, 12. l. 20 Choer. 206. fr. 38. — εἴκω τὸ ὁμοιῶ, ἐξ οὗ εἰκών καὶ εἰκότως· ει· τὸ δὲ ἵκω τὸ παραγίνομαι ῑ Choer. 214, 27 seqq. l. 24 Choer. 205, 21 et Steph. B. s. Ἰκόνιον, unde inserui priorem de origine nominis fabulam; utramque autem narrationem ab Herodiano memoratam fuisse, praeter Stephani et Choerobosci cum eo necessitudinem etiam inde coniectari licet, quod E. M. 470, 45 utramque profert.

δὲ Ἰκόνιον γέγονεν ἀπὸ τῆςδε τῆς αἰτίας. φαςὶ γὰρ ὅτι ἦν Ναννακός ὃς ἔζηςεν ὑπὲρ τὰ τριακόσια ἔτη. τοὺς δὲ πέριξ μαντεύςαςθαι, ἕως τίνος βιώςεςθαι. ἐδόθη δὲ ὁ χρηςμός, ὅτι τούτου τελευτήςαντος πάντες διαφθαρήςονται. οἱ δὲ Φρύγες ἀκούςαντες ἐθρήνουν ςφοδρῶς. ὅθεν καὶ παροιμία «τὸ ἐπὶ Ναννακοῦ κλαύςειν» ἐπὶ τῶν λίαν οἰκτιζομένων. γενομένου δὲ κατακλυςμοῦ ἐπὶ Δευκαλίωνος πάντες διεφθάρηςαν. ἀναξηρανθείςης γὰρ τῆς γῆς ὁ Ζεὺς ἐκέλευςε τῷ Προμηθεῖ καὶ τῇ Ἀθηνᾷ εἴδωλα ἀναπλάςαι ἐκ τοῦ πηλοῦ καὶ προςκαλεςάμενος τοὺς ἀνέμους ἐμφυςῆςαι πᾶςιν ἐκέλευςε καὶ ζῶντα ἀποτελέςαι. διὰ οὖν τὰς εἰκόνας ἐκεῖ διαγραφῆναι Ἰκόνιον ἐκλήθη. ἄλλοι δέ φαςι γυναῖκα κατοικεῖν τὸν τόπον παράνομον, ἢ τοὺς ἐπιξενουμένους ἐκέλευςε ςυγγενέςθαι αὐτῇ καὶ μετὰ τὴν ςυνουςίαν ἀνῄρει, ἵνα μὴ ἡ ἀςέλγεια αὐτῆς ἐπιγνωςθῇ. Περςέα δὲ τὸν Δανάης ἐπὶ τοὺς τόπους ἀφικόμενον καὶ μέλλοντα ταὐτὰ πάςχειν δείξαντα τὸ τῆς Γοργοῦς πρόςωπον ἀπολιθῶςαι αὐτήν. τὴν δὲ εἰκόνα ἐπὶ πολὺν χρόνον διαμεῖναι λιθίνην, ἀφ' ἧς αἰτίας καὶ τοὺς κατοικοῦντας τὴν πόλιν οὕτως ὠνόμαςαν. καὶ ἔδει διὰ διφθόγγου, διὰ δὲ τοῦ ῑ γράφεται, ἐπειδὴ εὑρέθη ἡ ἀρχομένη ςυςτελλομένη παρὰ Μενάνδρῳ.

εἶλαθι: οἱ Αἰολεῖς γὰρ ἔλλαθι λέγουςιν.

εἰλαπίνη ἡ εὐωχία διὰ τῆς ει διφθόγγου τὸ πρῶτον, ἐλαπίναν γάρ φαςιν οἱ Αἰολεῖς.

εἶλαρ τὸ φύλαγμα διὰ τῆς ει διφθόγγου γράφεται, παρὰ γὰρ τὸ εἴλω ἐςτὶν τὸ ςυγκλείω.

Εἰλείθυια: διὰ τῆς ει διφθόγγου καὶ ἡ πρώτη καὶ ἡ δευτέρα ςυλλαβή. παρὰ γὰρ τὸ ἐλεύθω τὸ παραγίνομαι γέγονεν Ἐλεύθυια καὶ Εἰλεύθυια καὶ τροπῇ τοῦ υ εἰς ῑ Εἰλείθυια.

εἰλεός ἡ μαγειρικὴ τράπεζα· ἔςτι γὰρ ἐλεός. Ὅμηρος Ἰλιάδος Ι (215) «καὶ εἰν ἐλεοῖςιν ἔχευαν» καὶ πλεοναςμῷ τοῦ ῑ εἰλεός.

εἰλεός ὁ καὶ εἰλυός ἡ κατάδυςις τοῦ θηρίου διὰ τῆς ει διφθόγγου.

εἴλη ἡ θερμαςία διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ ἕλη γέγονε κατὰ πλεοναςμὸν τοῦ ῑ.

εἴλη ςυςτροφὴ πλῆθος.

εἰλιγγιᾶν καὶ ἰλιγγιᾶν.

εἰλικρινής ὁ καθαρὸς διὰ τῆς ει διφθόγγου κατὰ τὴν ἄρχουςαν.

l. 19 Choer. 224, 16, E. Gud. 566, 33. cf. Ahrens de dial. Aeol. p. 284. l. 20 Choer. 208, 10, Hes. εἰλαπίνη et ἰλαπίνη. l. 22 Choer. 208, 17, Hes. εἶλαρ et ἶλαρ. l. 24 Choer. 209, 1, E. M. 298, 38, Hes., apud quem etiam forma Εἰλύθυια exstat. l. 27 E. M. 298, 32, Choer. 203, 7. l. 29 Choer. 209, 23, E. M. 299, 45, Herod. in An. Paris. IV 181, cf. περὶ προςῳδίας Ἀττικῆς fr. 3. Hes. habet εἰλεός et ἰλεός pariter atque Choer., qui l. c. εἰλεός per ει exhibet, p. 220, 32 ἰλεός ὁ φωλεός καὶ ἡ κατάδυςις διὰ τοῦ ῑ· τὰ γὰρ παρά τό εἰλῶ παραγωγὰ ὀνόματα διὰ τοῦ ῑ γράφεται οἷον ἰλύς, ἴλη ἡ ἄθροιςις. l. 30 Choer. 212, 21. l. 32 Hes. haec scriptura reperitur etiam ap. Herodotum, vulgo ἴλη ut etiam ap. Hes. scriptum legitur et praecipitur a Choer. l. c. l. 33 utrumque Hes. s. vv. habet, idem εἴλιγγος et ἴλιγγος, εἶλιγξ et ἶλιξ. l. 34 Choer. 204, 5,

παρὰ γὰρ τὸ κρίνω καὶ τὸ ἕλη τὸ σημαῖνον τὴν θερμασίαν γέγονεν εἰλικρινής οἱονεὶ ὁ ἐν τῇ ἕλῃ κεκριμένος κατὰ πλεονασμὸν τοῦ ῑ. τὸ δὲ λι γέγονεν οὕτως. εἰλοκρινής ἦν καὶ τροπῇ τοῦ ο εἰς ῑ εἰλικρινής. τὸ κρῐ ἐκ τοῦ κρίνω.

εἰλίπους.

εἰλίσσω τὸ ε̄ῑ δίφθογγος, τὸ λῑ ῑ, ἐπειδὴ οὐδέποτε πρὸ τῶν δύο σσ εὑρίσκεται ἡ ει δίφθογγος κτλ.

εἰλιτενής ἄγρωστις Θεόκριτος ἡ ἐν τοῖς ἕλεσι γενομένη. ῥιζοβόλος γὰρ ἡ ἐπὶ πολὺ διϊκνουμένη. πλεονασμῷ τοῦ ῑ.

εἴλλω εἴργω κωλύω.

εἴλυμα: ἐκ τοῦ εἰλῶ εἰλύω εἰλύσσω γίνεται εἴλυμα τὸ σκέπασμα καὶ εἰλύεται τὸ καλύπτεται.

εἰλύς παρὰ τὸ εἰλύω· τὸ πηλῶδες τοῦ ποταμοῦ.

εἰλυσπᾶσθαι ῑ γραπτέον.

εἰλύσσεται εἱλεῖται.

εἰλύσω ἐν ἰλύϊ κρύψω.

εἰλυφάζω: παρὰ τὸ εἴλω εἰλύφω εἰλυφάζω. Ὅμηρος (Υ 492) «ἄνεμος φλόγα εἰλυφάζων» ἀντὶ τοῦ εἰλῶν καὶ ἀναστρέφων. σημαίνει δὲ καὶ φῶς παρέχω ὡς τὸ «τῆλε δ' ἀπ' αἰθομένων δαΐδων σέλας εἰλύφαζεν» Ἡσίοδος (Scut. 275).

εἰλύω περιβάλλω.

εἰλῶ: διὰ τῆς ει διφθόγγου. ἀνεφάνη γὰρ ἐν τῷ ἑλίσσῳ καὶ ἑλλεδανός ὁ δεσμός.

Εἵλωτες: παρὰ γὰρ τὸ Ἕλως Ἕλωτος γέγονεν Ἕλωτες καὶ κατὰ πλεονασμὸν τοῦ ῑ Εἵλωτες. Εἵλωτες δ' εἰσὶν οἱ κατοικοῦντες τὴν Μεσσηνιακήν· λέγονται καὶ Εἱλῶται καὶ Ἕλειοι καὶ Εἱλεῖται.

εἶμα τὸ ἱμάτιον διὰ τῆς ει διφθόγγου· ἔμμα γάρ φασιν οἱ Αἰολεῖς ἀποβάλλοντες τὸ ῑ καὶ διπλασιάζοντες τὸ σύμφωνον ὥσπερ κείρω κέρρω, φθείρω φθέρρω. τὸ δὲ ἱμάτιον καὶ τὰ παρ' αὐτὸ πάντα διὰ τοῦ ῑ γράφεται οἷον ἱματίζω, ἱματισμός, ἱματιοφόρος καὶ ἱματιοπώλης. ὅτι δὲ γράφεται τὸ ἱμάτιον διὰ τοῦ ῑ, δῆλον ἐκ τοῦ γενέσθαι αὐτὸ κατὰ συναίρεσιν τοῦ ο καὶ ῑ εἰς τὴν οι δίφθογγον· εἰ δὲ ἐγράφετο διὰ τῆς ε̄ῑ διφθόγγου, θοὐμάτιον ἤμελλεν εἶναι κατὰ κρᾶσιν τοῦ ο̄ καὶ ε εἰς τὴν ο̄ῡ δίφθογγον.

εἱμένος τὸ ἐνδεδυμένος διὰ τῆς ε̄ῑ διφθόγγου γράφεται. οἱ γὰρ Αἰολεῖς ἐμμένοι καὶ ἀμφιεμμένοι φασὶν ὥσπερ κείρω κέρρω, φθείρω φθέρρω.

εἰμί τὸ ὑπάρχω· δίφθογγος τὸ πρῶτον, τὸ δεύτερον ῑ. οἱ γὰρ

E. Orion. 58, 5, E. M. 298, 57. Hes. l. 5 cf. Herod. περὶ παθῶν fr. 264 in E. M. 299, 25. l. 6 Choer. 205, 8, E. M. 299, 20. l. 8 E. M. 299, 17. l. 10 Hes. l. 11 E. M. 299, 53 Hes. l. 13 Hes., qui tamen etiam ἰλύς habet, quod praescribit Choer. 225, 2. l. 14 E. M. 299, 55, Hes. habet εἰλισπᾶσθαι et ἰλυσπᾶσθαι. l. 15 Hes. l. 16 Hes., qui etiam ἰλύσω ἰλύϊ καλύψω, κρύψω. l. 17 E. Or. 66, 9, E. M. 300, 1, Hes. l. 21 Hes. l. 22 Choer. 212, 23, Hes. l. 24 Choer. 208, 25, St. B. s. Ἕλος Arcad. 93, 18. l. 27 Choer. 209, 12; 222, 22, E. M. 300, 15. l. 34 Choer. 203, 27. l. 36 Choer. Orth. 210, 32, Dict. 848, 2.

Αἰολεῖς ἐμμί λέγουσι ὥσπερ κείρω κέρρω, γέγονε δὲ εἰμί οὕτως· ἔστιν ἔω τὸ σημαῖνον τὸ ὑπάρχω· τοῦτο τρέπον τὸ ω εἰς μι γίνεται ἐμί. καὶ ἐπειδὴ τὰ εἰς μι φύσει μακρᾷ παραλήγεται, καὶ τοῦτο ἀναγκάζεται φύσει μακρᾷ παραλήγεσθαι ἢ τρέπον τὸ ε εἰς η ἢ προσλαμβάνον τὸ ι. τὸ γὰρ ε ἐν τοῖς ῥήμασι διχῶς μεγεθύνεται ἢ διὰ προσθήκης τοῦ ι οἷον ἔχω εἶχον, ἕλκω εἷλκον ἢ διὰ τὸ τρέπεσθαι εἰς η οἷον ἐλαύνω ἤλαυνον, ἐλέγχω ἤλεγχον. καὶ ὤφειλε μᾶλλον τρέψαι τὸ ε εἰς η ἤπερ προσλαβέσθαι τὸ ι· τὰ γὰρ εἰς μι οὐ θέλει διφθόγγῳ παραλήγεσθαι οἷον τίθημι δίδωμι χωρὶς τοῦ εἶμι τοῦ σημαίνοντος τὸ πορεύομαι. ἀλλ' εἰ ἔτρεψεν τὸ ε εἰς η, οὐκ ἤμελλε φυλάττειν λείψανόν τι τοῦ πρωτοτύπου οἷον λέγω λόγος, νέμω νόμος, διδῶ δίδωμι, τιθῶ τίθημι, ἄρδω ἀρδεύω· τούτου χάριν προσέλαβε τὸ ι καὶ γέγονεν εἰμί διὰ τῆς ει διφθόγγου, ἵνα φυλάξῃ τι τῆς φωνῆς τοῦ πρωτοτύπου. διατί δὲ πάλιν οὐκ ἔτρεψε τὸ ε εἰς η; ἵνα μὴ συνεμπέσῃ τὸ ἠμί τὸ σημαῖνον τὸ λέγω τὸ γενόμενον ἀπὸ τοῦ φημί.

εἶμι τὸ πορεύομαι διὰ τῆς ει διφθόγγου τὸ πρῶτον. ἀπὸ γὰρ τοῦ εἴω γέγονε τροπῇ τοῦ ω εἰς μι.

εἶναι: ει. ἀπὸ γὰρ τοῦ εἰμί γίνεται τὸ πρῶτον πρόσωπον τῶν πληθυντικῶν ἐμέν, ὅπερ κατὰ πλεονασμὸν τοῦ c γίνεται ἐσμέν, καὶ λοιπὸν ἀπὸ τοῦ ἐμέν γίνεται ἔναι τὸ ἀπαρέμφατον καὶ κατὰ πλεονασμὸν τοῦ ι εἶναι.

εἰνάτηρ: ἡ νύμφη διὰ τῆς ει διφθόγγου. παρὰ τὸ εὐνή γέγονεν εὐνάτηρ καὶ κατὰ τροπὴν τοῦ υ εἰς ι εἰνάτηρ.

εἴνατος: ἐκ τοῦ ἔννατος κατὰ μεταβολὴν τοῦ ν εἰς ι. καὶ ἡ μὲν τῶν Ἀργείων διάλεκτος μεταβάλλει τὸ ι εἰς ν. καὶ γὰρ τὸ σπείδω σπένδω λέγουσι καὶ τὸ αἰεί αἰέν. ἡ δὲ τῶν Σικελῶν τὸ ἀνάπαλιν τὸ ν εἰς ι μεταβάλλει, τὸ γὰρ ἐννάνυχον εἰνάνυχον καὶ τὸ ἔνδον ἔνδοι.

Εἴνατος πόλις Κρήτης, ὡς Ξενίων φησί.

εἵνεκα: ἕνεκα πλεονασμῷ τοῦ ι εἵνεκα.

εἰνοσίφυλλον: διὰ τῆς ει διφθόγγου. σημαίνει δὲ τὸν κινοῦντα τὰ φύλλα. παρὰ γὰρ τὴν ἔνοσιν, ὃ σημαίνει τὴν κίνησιν, καὶ τὸ φύλλον γέγονεν ἐνοσίφυλλον καὶ πλεονασμῷ τοῦ ι εἰνοσίφυλλον διὰ τῆς ει διφθόγγου.

εἷο δίφθογγος ἡ ἀντωνυμία. ἕο γὰρ ἦν.

εἶπος παγίς.

l. 16 Choer. Orth. 211, 14 cf. fr. 27. l. 18 Choer. Dict. 726, 5, E. M. 301, 8, de diphthongo in εἶναι cf. E. M. l. c. et Choer. Dict. 725, 25. l. 22 Choer. 205, 12, E. M. 302, 16. l. 24 E. M. 302, 1 cf. Ahrens de dial. Dor. p. 104 not. 1, ubi ex Eustathio 722, 58 Heraclide auctore simile praeceptum profertur, quo tamen non impedimur, quin sumamus idem tradidisse Herodianum. l. 28 St. B. Hes E. M. 302, 14. l. 29 E. M. 302, 20, Hes. l. 30 Choer. 203, 3. Hes., qui infra habet ἐννοσίφυλλον, quod ad eum locum ex Simonido ap. Plut. Mor. 722, 6 citat Schmidt. l. 34 Choer. 202, 32, Hes.; explicatius Choer. 202, 12. l. 35 Hes., sed diserte ἶπος praescribitur a Choer. 223, 27, quae scriptura est etiam ap. Hes. s. ἶπος.

εἶπας: τὸ θέμα ἔπω τὸ λέγω, ὁ πρῶτος ἀόριστος εἶπα. ἡ μετοχὴ ὤφειλεν εἶναι ἔπας καὶ ἐπών. ἀλλὰ μὴν ὁ εἶπας καὶ ὁ εἰπών ἐφύλαξε τὴν παραλήγουσαν τοῦ εἶπα τὴν ει δίφθογγον.

εἴπεσκε τὴν τῆς μετοχῆς ἀρχὴν ἐφύλαξε τῆς εἰπών εἰπόντος, οὐ μὴν τοῦ ἐνεστῶτος· ἔπω γάρ ἐστιν ὁ ἐνεστώς.

Εἰραφιώτης: διὰ τῆς ει διφθόγγου. ἀπὸ γὰρ τοῦ ἐρράφθαι γέγονεν ἐρραφιώτης καὶ εἰραφιώτης προσελθόντος τοῦ ῑ καὶ ἀποβληθέντος τοῦ ρ. Εἰραφιώτης γὲ λέγεται ὁ Διόνυσος διὰ τὸ ἐρράφθαι ἐν τῷ μηρῷ τοῦ Διός. ἢ παρὰ τὸ ἔριφος γέγονεν ἐραφιώτης καὶ κατὰ πλεονασμὸν τοῦ ῑ Εἰραφιώτης. καὶ γὰρ ὑπὸ ἐρίφων φασὶν ἀνατραφῆναι τὸν Διόνυσον. καὶ λέγεται Ἐρίφιος παρὰ Λάκωσιν.

εἰρά ἡ ἐκκλησία εἰ μὲν παρὰ τὸ εἴρω τὸ λέγω διὰ διφθόγγου, εἰ δὲ ἀπὸ τοῦ ἱερὰν εἶναι, διὰ τοῦ ἰῶτα.

εἴργω: δίφθογγος. ἀπὸ γὰρ τοῦ ἐέργω γίνεται κατὰ κρᾶσιν τῶν δύο ε̄ε̄ εἰς τὴν ει̅ δίφθογγον. καὶ ἄλλως, ὅτι ἀνεφάνη τὸ ε̄ ἐν τῷ ἔργαθεν· ἢ διὰ τὸ ἀντιπαρακεῖσθαι τὸ ο̄ οἷον ὀργή. ἡ δὲ ὀργὴ εἴργει τινὰ τοῦ καλῶς βουλεύεσθαι (pro βούλεσθαι scripsi). τὰ δὲ ἔχοντα τὸ ο̄ ἀντιπαρακείμενον ἔχει τὸ ῑ ἐγκείμενον, κτείνω κτόνος, εἴρω ὅρμος, οὕτω καὶ εἴργω ὀργή.

εἴρερος δούλεια: ει.

εἰρεσία ἡ κωπηλασία διὰ τῆς ει διφθόγγου. παρὰ γὰρ τὸ ἐρέτης γέγονεν ἐρεσία καὶ κατὰ πλεονασμὸν τοῦ ῑ εἰρεσία.

εἰρεσιώνη: ε̅ι̅.

εἴρην ὄνομα ἡλικίας παρὰ τὸ εἴρειν καὶ λέγειν. ὁ ἤδη λέγων καὶ δημηγορῶν.

εἰρήνη δίφθογγος κατὰ τὴν ἄρχουσαν. ὥσπερ γὰρ ἀπὸ τοῦ λάμπω λαμπήνη, οὕτω καὶ ἀπὸ τοῦ εἴρω τοῦ σημαίνοντος τὸ λέγω γίνεται εἰρήνη, ὅπερ διὰ διφθόγγου γράφεται.

εἴρια: δίφθογγος· ἀπὸ γὰρ τοῦ ἐρίου γέγονεν εἴρια κατὰ πλεοναςμόν.

εἱρκτή: ἡ φυλακή διὰ τῆς ει διφθόγγου. τοῦ γὰρ εἴργω τὴν δίφθογγον ἐφύλαξεν.

εἱρμός: διὰ τῆς ει διφθόγγου. παρὰ γὰρ τὸ εἴρω τὸ συμπλέκω.

εἰροπόκος: διὰ τῆς ει διφθόγγου. παρὰ γὰρ τὸ ἔριον καὶ τὸ πέκω τὸ ξαίνω γέγονεν ἐροπόκος καὶ πλεονασμῷ τοῦ ῑ εἰροπόκος.

---

l. 1 E. M. 302, 24, Choer. Dict. 613. l. 4 E. M. 302, 43. l. 6 Choer. 212, 32, E. M. 302, 53, Hes. l. 12 E. M. 303, 38 cf. fr. 14. Hes. habet et εἰράων et ἱράων quamvis etiam hoc ab εἰρεῖν repetens. l. 14 Choer. 205, 15, Hes. l. 20 Hes. E. M. 303, 2. Apud. Hes. scriptum est etiam ἵρερος (nam pro ἵερον ponendum esse ἵρερον et Hesychii glossam collato Apollon. lex 92, 23 restituendam ἵρερον δουλείαν· οἱ δὲ εἴρερον monuit Schmidt.). Choer. 226, 6 ἵρεος ἡ δουλεία i. e. ἵρερος. l. 21 Choer. 208, 22, E. M. 303, 9, Hes. l. 23 E. M. 303, 18, Hes. l. 24 E. M. 303, 37, Hes. l. 26 Choer. 209, 19. l. 29 Choer. 207, 31. l. 31 Choer. 198, 17, Hes. l. 33 Choer. l. c. Hes. l. 34 Choer. 208, 2.

εἴρυσθαι τὸ φυλάξαι· ἔστι ἐρύω ἐρύσω εἴρυκα εἴρυμαι εἴρυται καὶ τὸ ἀπαρέμφατον εἰρύσθαι ὡς λελύσθαι. ἀπὸ δὲ τοῦ ἔρυμι τὸ παθητικὸν ἔρυμαι καὶ τὸ ἀπαρέμφατον ἔρυσθαι προπαροξυτόνως καὶ πλεονασμῷ τοῦ ῑ ὡς ζεύγνυμι ζεύγνυσθαι. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ εἱλκύσθαι, εἰ μὲν ἀπὸ τοῦ ἑλκύω εἱλκύσθαι, εἰ δὲ ἀπὸ τοῦ ἕλκυμι εἵλκυσθαι.

εἰρύαται: εἰρύω εἴρυμι, τὸ παθητικὸν εἴρυμαι, τὸ γ΄ εἴρυνται καὶ Ἰωνικῶς εἰρύαται.

εἰρύσασθαι τὸ φυλάξαι· μέσος ἀόριστος α΄ παθητικὸς ἀπὸ τοῦ θέματος τοῦ ἐρύω ἐρύσασθαι καὶ Ἰωνικῷ πλεονασμῷ.

Ἑἴρω τὸ συμπλέκω διὰ τῆς ει διφθόγγου. ἀνεφάνη γὰρ ἐν τῷ ἕρμα τὸ κώλυμα. καὶ πάλιν ὅτι ἀντιπαράκειται αὐτῷ τὸ ὅρμος ὁ περιτράχηλος κόσμος καὶ ὁ λιμὴν παρὰ τὸ εἴρειν καὶ συμπλέκειν τὰς ναῦς. καὶ ἄλλως, ὅτι οἱ Αἰολεῖς ὀρράτω λέγουσιν. ἔστι δὲ ἐρῶ εἶρα ἔρρον τὸ προστακτικόν. ἔθος γὰρ ἔχουσι τὸ ε̄ τρέπειν οιον ὄνειρος ὄνοιρος.

εἴρω τὸ λέγω διὰ τῆς ει διφθόγγου. ἀνεφάνη γὰρ ἐν τῷ ἐρῶ μέλλοντι, καὶ πάλιν ὅτι τὰ διὰ τοῦ ειρω βαρύτονα ἀποστρέφεται τὴν διὰ τοῦ ῑ μόνου γραφήν.

εἴρων δίφθογγος. παρὰ γὰρ τὸ εἴρω τὸ λέγω γέγονεν οἱονεὶ ὁ διὰ λόγων παραλογιζόμενος· τὸ δὲ εἴρω δέδεικται διὰ τῆς ει διφθόγγου γραφόμενον.

εἰρωνεία: διὰ τῆς ει διφθόγγου καὶ κατὰ τὴν ἄρχουσαν καὶ κατὰ τὴν παραλήγουσαν ἡ μὲν ἄρχουσα, ὅτι παρὰ τὸ εἴρων εἴρωνος γέγονεν, ὅπερ διὰ τῆς ει διφθόγγου γράφεται, ὡς δέδεικται, κατὰ δὲ τὴν παραλήγουσαν, ὅτι παρὰ τὸ εἰρωνεύω ἐστὶν εἰρωνεία ὡς μοιχεύω μοιχεία.

εἷς διὰ τῆς ει διφθόγγου τὸ ὄνομα. τὰ γὰρ εις εις ἔχοντα οὐδέτερον εις εν διὰ τῆς ει διφθόγγου γράφεται οἷον χαρίεις χαρίεν, ἀστερόεις ἀστερόεν, οὕτως οὖν καὶ εἷς ἕν.

εἵς ἡ μετοχὴ δίφθογγος διὰ τὸ τὴν γενικὴν ἐκφέρεσθαι διὰ τοῦ εντος.

εἶς τὸ ὑπάρχεις. διὰ τῆς ει διφθόγγου. ἀπὸ γὰρ τοῦ εἰμί γέγονε τροπῇ τοῦ μ εἰς σ.

εἰσάμενος: διὰ τῆς ει διφθόγγου. ἀπὸ γὰρ τοῦ εἰδῶ ῥήματος τοῦ σημαίνοντος τὸ ὁμοιῶ γέγονεν εἴσω εἶσα εἰσάμην καὶ εἰσάμενος ἡ μετοχή.

εἰσῆμεν: ἀντὶ τοῦ εἰσῄειμεν: σὺν τῷ ι Καλλίας Πεδήταις. καὶ εἰσῇσαν ἀντὶ τοῦ εἰσῄεσαν σὺν τῷ ι, Ἀγάθων Ἀερόπῃ. καὶ εἰσῇα ἀντὶ τοῦ εἰσῄειν.

εἰσί διὰ τῆς ει διφθόγγου τὸ πρῶτον. ἀνεφάνη γὰρ τὸ ε ἐν τῷ ἔασι.

l. 1 E. M. 303, 56, Hes. l. 6 E. M. 304, 6. l. 8 E. M. 304, 9, Hes. l. 10 Choer. 209, 27 ex emendatione Ahrensii de dial. Aeol. p. 99 cum not. cf. p. 81. l. 15 Choer. 210, 3. l. 18 Choer. 202, 33, E. Orion. 58, 3. l. 21 Choer. 203, 24. l. 25 Choer. 208, 12. l. 28 Choer. 208, 15. l. 29 Choer. 211, 20. l. 31 Choer. 202, 24, Hes. l. 34 E. M. 301, 56. l. 35 Choer. 211, 22.

ἐΐcκω κατὰ διαίρεςιν «ἐΐcκω πηγεςιμάλλῳ» (Il. Γ 197), τὸ δὲ «ΐcκοντες» (Λ 799) διὰ τοῦ ῑ γραπτέον. οὐδέποτε γὰρ τὰ εἰς cκω ῥήματα κοινὰ ὄντα διφθόγγῳ τῇ διὰ τοῦ ῑ παραλήγεται.

εἴcω: διὰ τῆς ει διφθόγγου. ὥςπερ γὰρ ἀπὸ τῆς ἐξ γίνεται ἔξω καὶ ἀπὸ τῆς πρό πρόςω, οὕτω καὶ ἀπὸ τῆς εἰς εἴcω.

εἶτα: διὰ τῆς ει διφθόγγου· ὥςπερ γὰρ ἀπὸ τοῦ δή γίνεται δῆτα, οὕτω καὶ ἀπὸ τοῦ εἰ γίνεται εἶτα.

εἴωθα: διὰ τῆς ει διφθόγγου. ἀνεφάνη γὰρ τὸ ε ἐν τῷ ἔθος καὶ ἐν τῷ ἔωθα· οἱ γὰρ Αἰολεῖς τὸ εἴωθα ἔωθα λέγουσιν. γέγονε δὲ τὸ εἴωθα τούτῳ τῷ τρόπῳ· ἔστι ῥῆμα ἔθω ὃ σημαίνει τὸ ἐξ ἔθους τι διαπράττομαι, ἐξ οὗ καὶ ἔθνος. τούτου ὁ μέσος παρακείμενος εἶθα καὶ πλεονασμῷ τοῦ ω εἴωθα καὶ εἴωθε.

εἰῶσιν: ἔστιν ἐῶ τὸ συγχωρῶ β΄ συζυγίας τῶν περισπωμένων. τὸ πληθυντικὸν ἐάομεν ἐῶμεν, τὸ γ΄ ἐάουσιν ἐῶσι καὶ πλεονασμῷ τοῦ ῑ «καὶ οὐκ εἰῶσιν ἐκπέρσαι» (Il. Υ 139 καὶ οὐκ εἰῶσι μάχεσθαι). πλεονάζει γὰρ τὸ ῑ ὥσπερ καὶ ἐκ τοῦ ἔωλον γίνεται εἴωλον.

Ἑκαλή δῆμος τῆς Λεοντίδος φυλῆς. ὁ δημότης Ἑκάλιος. καὶ Ἑκάλειος Ζεύς.

ἐκαρβάνιζεν: ἐβαρβάριζεν. καρβάν γὰρ ὁ βάρβαρος.

Ἑκατόννησοι αἱ περὶ Λέσβον: δύο νν.

Ἐκβάτανα cf. Ἀγβάτανα.

ἔκδραχμον: ἐξάδραχμον.

ἐκεῖ ἀπὸ τοῦ ἐκεῖθι, τοῦτο δὲ ἀπὸ τοῦ ἐκείνοθι παρὰ τὸ ἐκεῖνος.

ἐκεῖθεν: οὐδὲν τῶν εἰς θεν τῇ ει διφθόγγῳ παραλήγεται πλὴν τοῦ ἐκεῖθεν, ὅπερ ἐκ τοῦ ἐκείνοθεν γίνεται κατὰ συγκοπὴν καὶ τὸ ἐκεῖσε ἀπὸ τοῦ ἐκείνοσε.

ἐκεῖνος: ει δίφθογγος. καὶ γὰρ οἱ Δωριεῖς κῆνος καὶ τῆνος διὰ τοῦ η ποιοῦσι τὴν γραφήν. ἔθος γὰρ ἔχουσι τὴν ει δίφθογγον τρέπειν οἷον πλείων πλήων, μείων μήων. αἱ δὲ πρωτότυποι ἀντωνυμίαι αἱ μονοπρόσωποι ἀπὸ φωνήεντος θέλουσιν ἄρχεσθαι οἷον αὐτός οὗτος, οὕτως οὖν καὶ τὸ ἐκεῖνος προσέλαβε τὸ ε διὰ τὸν κανόνα τοῦτον.

ἐκεινοσί: διὰ τοῦ ῑ τὸ σι. κατ' ἐπέκτασιν γάρ ἐστιν. αἱ δὲ ἐπεκτάσεις οὐ γίνονται διὰ τῆς ει διφθόγγου, ἀλλὰ διὰ τοῦ ῑ. τὸ οὖν οἱονεί καὶ ὡσπερεί γραφόμενα διὰ τῆς ει διφθόγγου οὐκ ἔστι κατ' ἐπέκτασιν, ἀλλὰ διάφορα μέρη λόγου εἰσίν. τὸ γὰρ οἱονεί δύο μέρη λόγου ἐστὶν τὸ οἷον ὄνομα καὶ τὸ εἰ σύνδεσμος συναπτικός. τὸ δὲ

---

l. 1 E. M. 272, 11. Il. Pr. Λ 799, Π 41, Choer. 268, E. M. 318. 9 ἐκ τοῦ εἴδω τὸ ὁμοιῶ ὁ μέλλων εἴσω καὶ πλεονασμῷ τοῦ κ̄ εἴσκω καὶ μετάγεται εἰς ἐνεστῶτα. καὶ ἐπειδὴ οὐδέποτε ἡ ει δίφθογγος πρὸ τοῦ σκ εὑρίσκεται, διαλύεται καὶ γίνεται ἐΐσκω. μέλλοντα οὐκ ἔχει. l. 4 Choer. 202, 10. l. 6 Choer. 213, 6. l. 8 Choer. 210, 27, E. M. 306, 46, Hes. cf. Ahrens de dial. Aeol. p. 101 cum not. 1. l. 13 E. M. 306, 41, Hes. l. 17 St. B. Hes. l. 19 Hes. l. 20 Hes. St. B. l. 22 Hes. l. 23 E. M. 321, 35, Hes. l. 24 E. M. 321. 40 cf. Mon. 27, 5. l. 27 Choer. 206, 9, E. M. 321, 30 et 508, 30. l. 32 Choer. 200, 32.

ὡσπερεί τρία μέρη λόγου ἐστίν. ἔστι γὰρ ὡς ἐπίρρημα καὶ τὸ πέρ σύνδεσμος παραπληρωματικὸς καὶ τὸ εἰ σύνδεσμος συναπτικός.

ἑκκαίδεκα: ὁ ἀριθμὸς ὁ σύνθετος κ καὶ οὐ ξ. ἐτράπη γὰρ [ὡς καὶ adieci] ἡ πρόθεσις διὰ τὸ ἐπαγόμενον σύμφωνον.

ἐκολῴα: ἐθορύβει. σὺν τῷ ῑ. γίνεται γὰρ παρὰ τὸ κλῶ τὸ κράζω κλοιός καὶ κλῳός καὶ πλεονασμῷ τοῦ ο κολῳός καὶ κατὰ παραγωγὴν κωλῳῶ.

ἐκ Ῥώμης: ἡ ἐξ πρόθεσις, ὅταν αὐτῇ σύμφωνον ἐπιφέρηται, τρέπει τὸ ξ εἰς κ κτλ.

Ἑκτόρειος: διὰ τῆς ει διφθόγγου. εὕρηται γὰρ καὶ χωρὶς τοῦ ῑ «Ἑκτόρεον δὲ χιτῶνα» (Β 416).

Ἐλαία πόλις τῆς Ἀσίας Αἰολική. ἔστι καὶ ἑτέρα Ἰταλίας διὰ τοῦ ε ψιλοῦ, Ἐλέα, ἐξ ἧς Ἐλεᾶται, τῆς δὲ προτέρας Ἐλαῖται.

Ἐλάρα «Ἐλάρας γενεά» οὕτω παρὰ Σιμωνίδῃ. Ἀλέρα δὲ παρὰ Πινδάρῳ (fr. 279 Bergk) κτλ.

ἐλάραι τὰ ἐν τῷ αὐλῷ τῶν δοράτων ἁρμοζόμενα. λέγεται καὶ ἀλάρα.

Ἐλάτεια πόλις μεγίστη Φωκίδος. ἔστι καὶ Θετταλίας. ἔστι καὶ Θεσπρωτίας, ἣν καὶ Ἐλατρίαν φασὶ διὰ τοῦ ρ.

ἐλεγεῖον: ει.

ἐλεγχείη τὸ ὄνειδος. τὸ χει δίφθογγος, διότι ἀνεφάνη τὸ ε ἐν τῷ ἔλεγχος ἐλέγχεα.

ἐλεινός: διὰ τῆς ει διφθόγγου. ὥσπερ γὰρ ἀπὸ τοῦ δέος δεεινός καὶ κατὰ κρᾶσιν τοῦ ε καὶ τῆς ει διφθόγγου εἰς τὴν ει δίφθογγον δεινός, οὕτω καὶ ἀπὸ τοῦ ἔλεος γίνεται ἐλεεινός καὶ κράσει ἐλεινός.

ἐλειός εἶδος ἱέρακος.

ἐλειός ὁ σκίουρος.

Ἐλένεια ἑορτὴ ἀγομένη ὑπὸ Λακώνων.

ἐλένιον βοτάνη τις.

Ἐλευσίς ὄνομα πόλεως. διὰ τοῦ ῑ γράφεται ὡς δικατάληκτον.

Ἐλιμία: Ἀλέξανδρος ἐν Εὐρώπῃ Ἐλίμειόν φησι διὰ μακροῦ τὴν μει συλλαβήν, τὴν δὲ λι διὰ βραχέος τοῦ ῐ.

ἐλινύω τὸ ἡσυχάζω διὰ τοῦ ῑ γράφεται κατὰ τὸν κανόνα τὸν εἰρημένον ἐν τῇ περὶ τοῦ Βιθυνία διδαχῇ (pro διφθόγγῳ scripsi).

ἐλινός ἡ ἄμπελος.

Ἐλιπεύς: ὁ Ἐνιπεύς ποταμός.

---

l. 3 Choer. 213, 20. l. 5 Hes. Ep. Cr. I 135, 3, E. M. 323, 19. l. 8 cf. περὶ συντάξεως στοιχείων fr. 24. l. 10 Choer. 208, 32, Hes. l. 12 St. B. l. 14 Herod. περὶ παθῶν fr. 708 in E. M. 60, 37. l. 16 Hes. cf. Schmidt., qui pro ἄλαρα suadet ἀλάρα. l. 18 St. B. l. 20 Hes., Choer. 214, 24. l. 21 E. M. 327, 20, Hes. l. 23 Choer. 208, 28. l. 26 Hes. l. 27 Hes. l. 28 Hes. ex Meinekii emendatione. l. 29 Hes. l. 30 Choer. 197, 29. l. 31 St. B. l. 33 Choer. 200, 9, Hes. habet ἐλινύειν et ἐλεινύειν consueto errore; idem etiam ὀλινύει. l. 35 E. M. 330, 29, Hes. ἐλενοί. l. 36 Hes.

Ἑλλάνικος: διὰ τοῦ ῑ τὸ νῑ. παρὰ γὰρ τὸ Ἕλλην Ἑλληνικός καὶ τροπῇ τοῦ η̄ εἰς α. καὶ ἄλλως τὰ εἰς κος κτητικὰ διὰ τοῦ ῑ γράφεται. ἢ ἀπὸ τοῦ Ἕλλην Ἕλληνος καὶ τοῦ νίκη γέγονεν Ἑλλανόνικος καὶ συγκοπῇ Ἑλλάνικος.

Ἑλλοί οἱ οἰκήτορες τῆς περὶ Δωδώνην χώρας Ἐλλοπίας καὶ Σελλοί.

ἔλπος ἔλαιον, στέαρ, εὐθηνία. ἔλφος βούτυρον. Κύπριοι.

Ἔμεια διὰ τῆς ει διφθόγγου τῷ λόγῳ τῶν διὰ τοῦ εια προπαροξυτόνων. καὶ ἄλλως· ὥσπερ ἀπὸ τοῦ ἐνεργῶ ἐνέργεια καὶ ἀνθῶ Ἄνθεια, οὕτω καὶ ἐκ τοῦ ἐμῶ Ἔμεια διὰ τῆς ει διφθόγγου. ἔστι δὲ τόπος πλησίον Μυκηνῶν. Ἔμεια δὲ λέγεται, ἐπειδὴ ἐκεῖ ἤμεσεν ὁ Κέρβερος ἀνελθὼν ἐκ τοῦ Ἅιδου ἢ ἐπειδὴ ὁ Θυέστης φαγὼν τὰ τέκνα αὐτοῦ ἐκεῖ ἤμεσεν.

Ἔμισα ἡ πόλις ὡς Λάρισα καὶ Ἐμισαῖος ὡς Λαρισαῖος.

ἐμίχθη: τὸ μῑ κατὰ παράδοσιν. μέμιγά ἐστιν ὁ μέσος παρακείμενος. εἰ δὲ διὰ τῆς ει διφθόγγου ἐγράφετο, μέμοιγα ἤμελλεν εἶναι. ἐὰν γὰρ εὑρεθῇ τὸ ε̄ ἐν δισυλλάβῳ μέλλοντι ἢ μόνον ἢ μετὰ τοῦ ῑ, τρέπεται εἰς τὸ ο̄ οἷον [φθείρω φθερῶ ἔφθορα] πείθω πείσω πέποιθα λείβω λείψω λέλοιβα. εἰ οὖν τὸ μίγω μίξω διὰ τῆς ει διφθόγγου ἐγράφετο, μέμοιγα ἤμελλεν εἶναι ὁ παρακείμενος. ἀλλὰ μὴν μέμιγα ἐστίν. καὶ δῆλον ὅτι μίγω καὶ μίξω διὰ τοῦ ῑ καὶ ἐμίχθη ὁμοίως.

ἐμμέμυκεν παρὰ τὸ μεμυκέναι. τινὲς δὲ ἐμνήμυκεν.

ἐμώκυμόρῳ: ἐμῷ ὠκυμόρῳ. καὶ ἐκθλίβεται τὸ ῑ τῆς ἐμῷ ἀντωνυμίας διὰ τὸ μηδέποτε γίνεσθαι κρᾶσιν τοῦ ῑ μέσου ὄντος· καὶ λοιπὸν κιρνᾶται τὰ δύο ω̄ω̄ εἰς ω̄ καὶ γίνεται ἐμώκυμόρῳ χωρὶς τοῦ ῑ.

ἐνάζω: λιτανεύω πρὸς τοῖς ναοῖς.

ἐν ἀκαρεῖ: ἐν ῥιπῇ. Ἀκαρῇ, ἀκαρί, ἐν ἀκαρεῖ. η̄, ῑ, δίφθογγος.

ἔνδεια: διὰ τῆς ει διφθόγγου. ἀπὸ γὰρ τοῦ ἐνδεής ἐνδέεια καὶ κράσει ἔνδεια ὡς εὐκλεής εὐκλέεια εὔκλεια.

ἐνδεξιᾷ τοπικὸν καὶ περισπώμενον. ὅταν δὲ ᾖ προπαροξύτονον, ἄνευ τοῦ ῑ ἀντὶ τοῦ ἐπιδεξίως.

ἔνδιος σημαίνει τὸν μεσημβρινὸν καιρόν, διὰ τοῦ ῑ γράφεται.

ἔνδινα τὰ ἔντερα διὰ τοῦ ῑ γράφεται ὡς ἀνθρώπινος. ἔνδινος γάρ.

---

l. 1 Choer. 201, 17, E. M. 331, 17, Theogn. 60, 1. l. 5 St. B. 268, 20 et 561, 5, Hes. Ἑλλοί et Σελλήεις. cf. E. M. 709, 30. l. 6 Hes. l. 7 Choer. 206, 20, E. M. 334, 19. l. 13 Choer. 199, 13. l. 14 Choer. 212, 6. φθείρω addidi ex Choer. Dict. 582, 24, ne deesset exemplum futuri per simplex ε̄ prolati. l. 21 Hes. l. 22 E. M. 337, 4, Il. Pr. Σ 458. l. 25 Hes. E. M. 337, 10 cum simplici ν̄, quum Lob. Rhem. 13 et 353 duplex praeferat. l. 26 Hes. l. 27 Herod. in E. M. 392, 15. In E. M. 338, 16 ἔνδεια: τὰ ἐλλείποντα μιᾷ συλλαβῇ κατὰ τὸ θηλυκὸν διὰ τῆς ει διφθόγγου γράφεται ἐνδεής ἐνδέεια καὶ ἔνδεια, ἀδεής ἀδέεια καὶ ἄδεια est Choerobosci sententia syllabam excisam putantis p. 179, 5; tum sequitur Herodiani ἢ ὡς εὐκλεής εὐκλέεια καὶ κατὰ κρᾶσιν εὔκλεια, οὕτω καὶ ἐνδεής ἐνδέεια καὶ ἔνδεια. l. 29 E. M. 338, 43, Hes. Schol. ad Od. ρ 365.
l. 31 Choer. 200, 7, E. M. 339, 1 ubi quae proponuntur originationes παρὰ τὸ ἐνδεῖν καὶ ἐλαττοῦσθαι τὴν ἡμέραν ἢ παρὰ τὸ ἰδίω τὸ ἱδρῶ γέγονεν ἐνίδιος καὶ ἔνδιος, quarum prior ap. Choer. excidit, ab Herodiano alienae sunt. l. 32 Choer.

ἐνδόςθια τινὲς λέγουςι τὰ ἐντόςθια.

ἐνεῖκαι τὸ ἐνέγκαι. ἔςτι γὰρ Ἰωνικόν. παρὰ τὸ ἐνέκω ἐνέξω πλεοναςμῷ τοῦ ῑ ἐνείκω ἤνεικα, ἐξ οὗ «ἀλλά μ' ὑπήνεικαν» (Ε 885) καὶ τὸ ἀπαρέμφατον ἐνεῖκαι.

ἐνεκολάβιςε κατέπιεν. οἱ δὲ ἐνεκολήβαςεν.

ἔνη καὶ Αἰολικῶς ἔννη. ἔςτι καὶ ὄνομα πόλεως.

ἐνθαδί: τὸ ἐπίρρημα διὰ τοῦ ῑ. ὥςπερ γὰρ ἐκ τοῦ δεῦρο γίνεται δευρί κατὰ τροπὴν τοῦ ο εἰς ῑ, οὕτω καὶ παρὰ τὸ ἐνθάδε ἐνθαδί κατὰ τροπὴν τοῦ ε εἰς ῑ.

ἐνθριμματίς· οἱ μὲν πλείους διὰ τοῦ ῑ, ἔνιοι δὲ διὰ τοῦ υ ἤτοι ἀπὸ τοῦ θρύου ἢ ἀπὸ τοῦ θρύβεςθαι.

ἐνίοτε: ῑ. ἢ γὰρ ἀπὸ τοῦ ἔςτιν καὶ τοῦ ὅτε ἢ καὶ ἀπὸ τοῦ ἔνιοι.

Ἐνιπεύς: διὰ τοῦ ῑ. ἔςτι δὲ ὄνομα ποταμοῦ. ἀπὸ γὰρ τοῦ ἐνιπή τοῦ cημαίνοντος τὴν ἀπειλὴν γέγονεν. καὶ γὰρ ὁ ποταμὸς οὗτος ἄγριός ἐςτι καὶ ἀπειλοῦντι ἔοικεν. τὸ δὲ ἐνιπή διὰ τοῦ ῑ, ἀπὸ γὰρ τοῦ ἐνίπτω γέγονεν, ὅπερ διὰ τοῦ ῑ γράφεται· τὰ γὰρ εἰς πτω ἀποςτρέφεται τὴν ει δίφθογγον οἷον νίπτω, ῥίπτω, πίπτω πλὴν τοῦ φιλαλείπτω καὶ ἐρείπτω.

ἐννέα: δύο νν.

ἔννεον: ἔςτι ῥῆμα νέω, ὁ παρατατικὸς ἔνεον καὶ πλεοναςμῷ τοῦ ν ἔννεον (Φ 11).

ἔννη: ἔςτι νῶ, cημαίνει τὸ νήθω — ὁ παρατατικὸς ἔνων ἔνης ἔνη καὶ πλεοναςμῷ τοῦ ν ἔννη.

ἐννύχιον κρύπτεις. cκοτεινῶς καὶ δολίως. τινὲς δὲ ἐμμύχιον ἐν τῷ μυχῷ.

ἐνοπαῖς ἐνωτίοις ἀπὸ τοῦ ἐν ταῖς τῶν ὤτων ὀπαῖς κεῖςθαι. Cοφοκλῆς.

ἐντερόνεια: ἐντεριώνη τὸ μεςαίτατον τῆς νεώς. ἤτοι τὸ μέςον τοῦ ξύλου καρδία, οἱ δὲ μυελός.

ἐνωματία: ῑ.

ἐνωπιδίως ἐςίδεςκεν: τινὲς ἐνωπαδίως γράφουςι τὸ εἰς αὐτοὺς τοὺς ὦπας ὁρᾶν καὶ γινώςκειν (Od. ψ 94 ubi Bekk. per α).

ἐνώπιον μετώπιον: ῑ. τὸ δὲ προςωπεῖον διὰ τῆς ει διφθόγγου καὶ προπεριςπᾶται.

201, 11, E. M. 339, 5, Hes., ubi haec originatio profertur ἀπὸ τοῦ ἐνδύςαςθαι τῷ θώρακι καὶ τοῖς ἄλλοις ὅπλοις; futiles sunt, quae in E. M. proponuntur.

l. 1 Hes., E. M. 345, 50. l. 2 E. M. 339, 32. Hes. l. 5 Hes., E. M. 340, 33 cf. Arist. Eqq. 263. l. 6 Herod. in E. M. 582, 49. l. 7 Choer. 200, 29. l. 10 Hes. l. 12 Choer. 199, 3. l. 13 Choer. 199, 4 et 24. l. 19 Choer. 213, 19. l. 20 E. M. 344. 6. — Huc referendum videtur Hes. ἔννεεν: ἐξέτεινε, ubi pro ἐξέτεινε ἐνήχετο vel ἔνηχε scribendum proponam. l. 22 Herod. in E. M. 344, 1. l. 24 Hes. l. 26 E. M. 341, 47, Hes. s. v. et ἐνώταις, accentum ex E. M. collato Arc. 113, 15 posui. l. 28 Hes. cf. Schol. Arist. Eqq. 1185. l. 30 Hes. Choer. 207, 29 ἐνωμάτεια: ει· ἐνωμάτεια τάγματα δίφθογγος. ἡ παράδοςις corruptus videtur, praesertim si conferas Lob. ad Phryn. 521. l. 31 E. M. 345, 1. l. 33 E. M. 346, 10, Hes. s. vv.

ἐνώτια.

ἐξάκλινον, ἐξάπουν. Ἀττικῶς ἔξπουν καὶ ἔξκλινον λέγεται, ὡς καὶ παρὰ Σοφοκλεῖ ἐξπηχυστί καὶ παρὰ Πλάτωνι τῷ κωμικῷ ἔξπουν.

ἐξείδιον: σημαίνει δὲ τὴν ἕξιν. διὰ τῆς ει διφθόγγου τὸ ξει. γέγονε δὲ ἀπὸ τῆς ἕξεως ἐξείδιον ὥσπερ ἀπὸ τῆς λέξεως λεξείδιον καὶ ὄφεως ὀφείδιον ἀπὸ τῆς Ἀττικῆς γενικῆς. εἰ δὲ ἀπὸ τῆς ἔξιος, ἐξίδιον διὰ τοῦ ῑ.

ἐξίτηλος: ῑ. παρὰ τὸ ἐξιέναι τὸ ἐξελθεῖν. λέγεται δὲ κυρίως τὸ ἀπολλύμενον.

ἔξμετρα: ἑξάμετρα.

ἐξουθενεῖ παρακρίνει, ἐξουθενούμενοι κατευτελιζόμενοι.

ἔξω: χωρὶς τοῦ ῑ. πάντα γὰρ τὰ ἀπὸ προθέσεως ἀρχόμενα ἐπιρρήματα χωρὶς τοῦ ῑ γράφεται οἷον ἀνά ἄνω, κατά κάτω, εἰς εἴσω. οὕτως οὖν καὶ ἐξ ἔξω καὶ πρός πρόσω. ὁμοίως καὶ τὰ εἰς ω̄ ἀπὸ ἐπιρρημάτων γινόμενα χωρὶς τοῦ ῑ γράφεται οἷον ἐγγύς ἐγγυτέρω ἐγγυτάτω, ἔξω ἐξωτέρω καὶ ἐξωτάτω, πέραν περαιτέρω καὶ περαιτάτω.

ἑόλητο: ἐκεκίνητο καὶ ἐτετάρακτο. γράφεται καὶ διὰ τῆς αῑ διφθόγγου «ἡ μὲν ἄρ' ὡς αἰόλητο νόον μελεδήμασι κούρη». Ἀπολλώνιος (III 471).

Ἔορτος ἢ Ἐορδός Μακεδών, ἀπὸ ἔθνους.

ἐοσσητήρ ἐπίκουρος τιμωρός. ἀντὶ τοῦ ἀοσσητήρ.

ἐπαλξίτης ὁ λίθος ὁ ἐπάνω τῆς ἐπάλξεως τῷ κανόνι τοῦ Ἀσκαλωνίτης. ἢ καὶ ἀπὸ τῶν εἰς ις διὰ τοῦ ῑτης γινόμενα διὰ τοῦ ῑ γράφεται οἷον Ναύκρατις Ναυκρατίτης, Ταμίαθις Ταμιαθίτης.

ἐπεί: διὰ τῆς ει διφθόγγου. ἀπὸ γὰρ τοῦ εἰ γέγονε καὶ τῆς ἐπί προθέσεως.

ἐπείγω τὸ σπεύδω, ἐξ οὗ καὶ ἐπείκτης καὶ ἔπειξις καὶ ἐπειγωλή ἡ σπουδή, γράφεται διὰ διφθόγγου.

ἐπαίτης ἀπὸ τοῦ αἰτῶ αἰτήσω αἰτητής καὶ ἐπαίτης.

Ἐπειός: δίφθογγος. τὰ γὰρ διὰ τοῦ ειος κύρια ὀξύτονα διὰ τῆς ει διφθόγγου γράφεται.

ἐπήρεια: δίφθογγος. ἐπηρεάζω γὰρ καὶ ἐπηρεασμός.

ἐπί ἡ πρόθεσις ῑ, ἐπεί ὁ σύνδεσμος δίφθογγος.

l. 1 Hes. s. ἐνοποῖς et ἐνώταις, sic scripsit Herod., Orus Milesius ἐνῴδια E. M. 345, 3. l. 2 Herod. περὶ παθῶν fr. 146 in E. M. 346, 15. l. 4 Choer. 206, 26, E. M. 347, 54 cf. Lob. Proll. 394. l. 7 Choer. 199, 30. Pro τεθηλός scripsi ex Hes. τὸ ἐξιέναι; nam quod habet E. M. 348, 30 τοῦ δήλου, ab Herodiano non profectum est. l. 9 Hes. l. 10 Hes. cf. Lob. ad Phryn. p. 182. l. 11 E. M. 350, 6 cf. infra περαιτέρω. l. 16 E. M. 352, 1. Herodianum per ε̄ scripsisse probat Hes. ἑόληται τετάρακται. l. 19 Hes., St. B. 272, 2 ὀξύνεται ὁ Ἐορδός, ὡς Ἡρωδιανός ἕκτῃ. l. 20 Hes., qui habet etiam ὀσσητήρ. l. 21 Choer. 200, 16. l. 24 Choer. 212, 28, E. M. 356, 7. l. 26 E. M. 356, 33, Choer. 203, 15 causa quae utrobique additur: ἀντιπαράκειται γὰρ αὐτῷ τό οἴγω· ὁ γὰρ κατεπείγων ὥς τι ἀνύσαι βουλόμενος κλεῖθρα οἴγει (aliquid eiusmodi sententia flagitat pro κατεπείγει) dubitari potest, num ab Herodiano profecta sit.

l. 28 E. M. 354, 29. ἕπεται οἱ θεράποντες ἀπὸ τοῦ ἕπεσθαι τοῖς δεσπόταις, E. M. 354, 57. l. 29 Choer. 210, 11, Hes. cf. can. gen. l. 31 Choer. 204, 1.

l. 32 Choer. 200, 4.

Ἐπιδάμνιος τὸ ἐθνικόν· εὕρηται παρὰ Παρθενίῳ καὶ διὰ διφθόγγου.

Ἐπίδαυρος.

ἐπιείκεια: διὰ τῆς ει διφθόγγου καὶ κατὰ τὴν πρώτην καὶ κατὰ τὴν παραλήγουςαν. παρὰ τὸ εἴκω γάρ ἐςτιν τὸ ςημαῖνον τὸ ὑποχωρῶ. καὶ γὰρ ὁ ἐπιεικὴς εὐχερῶς ὑποχωρεῖ, ὅπερ διὰ τῆς ει διφθόγγου γράφεται, ὁμοίως καὶ ἡ παραλήγουςα τῷ λόγῳ τῶν διὰ τοῦ εια προπαροξυτόνων.

ἐπιτάξ, ἐπιζάξ Ἀθηναῖοι.

ἐπιζυγκλεῖν ἐπιςκαρδαμύττειν, ἐπιςτένειν, ἐπικατακλᾶν.

ἐπίςιον τὸ ἐφήβαιον· διὰ τοῦ ι τὰ δύο. ἀπὸ γὰρ τοῦ τὰ ςία τὰ ξηρά. ξηρὸν γάρ ἐςτιν· ἢ παρὰ τὸ ειςιέναι ἐπείςιον (sic scribendum propter etymon, legitur ap. Lycophr. 1385), ςημαίνει δὲ τὸ αἰδοῖον τοῦ ἀνδρὸς καὶ τοῦ γυναικός. γράφεται δὲ καὶ ἐπίςειον.

ἐπίςωτρα: τὰ ἐπικείμενα τοῖς τροχοῖς ςιδήρια, ἐπὶ τὴν γῆν ςοούμενα καὶ πλεοναςμῷ τοῦ ς ἐπίςςωτρα.

ἐπιςχερώ: γράφεται χωρὶς τοῦ ι.

ἐπιτήδειος: ει. ἀπὸ τοῦ ἐπιτηδής ἐπιτήδεος καὶ ἐξ αὐτοῦ ἐπιτήδειος.

ἐπίχειρα: τὸ χει δίφθογγος. παρὰ τὴν χεῖρα γάρ.

ἐπῴχατο: ςὺν τῷ ι ἀπὸ τοῦ οἴγω.

ἐραπίδα: ἃ ἡμεῖς ἐλαπέδα.

Ἐραςῖνος: ἔςτι δὲ ὄνομα κύριον διὰ τοῦ ι τῷ λόγῳ τῶν διὰ τοῦ ινος προπεριςπωμένων. γέγονε δὲ παρὰ τὸν ἐράςω μέλλοντα.

ἐρατεινός: διὰ τῆς ει διφθόγγου. οἱ γὰρ Δωριεῖς ἐρατεννός λέγουςι ὥςπερ ποθεινός ποθεννός καὶ διὰ τὸν κανόνα τῶν εἰς νος ὀξυτόνων παρωνύμων.

ἐρατεινεύειν: ςτρατεύεςθαι ἢ δυςφορεῖν.

Ἐρατινοί ἔθνος ὑπεράνω Ἀράβων.

ἐργαλεῖον: ει δίφθογγος καὶ προπεριςπᾶται κατὰ παράδοςιν.

---

l. 1 St. B. s. Ἐπίδαμνος. cf. Mein. Anall. Al. p. 288. l. 3 ap. St. B. etiam forma Ἐπίταυρος memoratur. l. 4 Choer. 209, 5. l. 9 Hes. ἐπιτάξ habet E. M. 365, 26 et exstat in περὶ μον. 25, 7 ex emendatione Blochii pro ἐπιδάξ. Hesychius praebet etiam ἐπιτάξ cum eadem interpretatione. l. 10 Hes., idem ζικνῶςαι ςκυθρωπάςαι, pro quo E. M. 411, 52 ζιγνῶ τὸ ςκυθρωπάζω καὶ ζιγνῶςαι τὸ ςκυθρωπάςαι. cf. Lob. Rhem. p. 60. l. 11 Choer. 200, 5, E. M. 363, 56. verba γράφεται δὲ καὶ ἐπίςειον addidi propter Hesych. ἐπίςειον. l. 15 E. M. 364, 32, Hes. l. 17 E. M. 365, 16 ubi quod additur etymon vanum est.

l. 18 Choer. 209, 10, qui p. 215, 3 duas originationes vocabuli ἐπιτηδής proponit ab ἔτης ἐτητής ἐτηδής ἐπιετηδής ἐπιτηδής et ab ἥδω ἠδής ἐπιηδής ἐπιτηδής. l. 20 Choer. 210, 10. l. 21 E. M. 368, 35. l. 22 Hes., qui antea ἐλάπεδον τέμενος praebet. cf. Lob. El. I 101 not. 13 et Schmidt. et Mein. ad Hes. l. 23 Choer. 198, 1. l. 25 Choer. 210, 19. l. 28 Hes, Phot. 12, 7 ἐρατειχεύειν ςτρατεύεςθαι. — Hes. ἀρατειχεύειν καταρᾶςθαι, οἱ δὲ ςτρατεύεςθαι et ῥατιχεύειν καταρᾶςθαι. l. 29 Hes., qui tamen statim ἐρατινόν ἐπέραςτον ἔνδοξον habet pro ἐρατεινός, cuius femininum paullo ante recte ἐρατεινή scriptum fuit.

l. 30 Choer. 203, 32, Hes.

Ἐργάνη ἡ Ἀθηνᾶ ἀπὸ τῶν ἔργων, λέγεται καὶ Ὀργάνη.

ἐρεείνω διὰ τῆς ει διφθόγγου· τὰ γὰρ διὰ τοῦ ειγω κτλ.

ἐρείδω: διὰ τῆς ει διφθόγγου. ἀνεφάνη γὰρ τὸ ε ἐν τῷ ἐρηρέδαται καὶ ὑπερείδομαι ὁμοίως διὰ τῆς ει διφθόγγου.

ἐρείκω τὸ σχίζω. διὰ τῆς ει διφθόγγου. ἀνεφάνη γὰρ τὸ ε ἐν τῷ ἐρέχθω καὶ αὐτὸ γὰρ τὸ σχίζω σημαίνει.

ἔρειξις ἡ κατεσχισμένη γῆ διὰ τῆς ει διφθόγγου γράφεται, ἐκ γὰρ τοῦ ἐρείκω ἐρείξω ἔρειξις.

de ἐρείπω ἐρέπτω ἐρίπτω ἐρείπτω cf. fr. 31.

ἔρεισμα: ει δίφθογγος, ἐπεὶ καὶ τὸ ἐρείδω· εὑρέθη γὰρ καὶ ἐρηρέδαται.

ἔρισμα: ῑ. ἐπὶ τῆς φιλονεικίας (sic scripsi pro φρουρᾶς).

Ἐρέσιος Ἀπόλλων: ῑ.

Ἐρέτρια πόλις.

ἐρέχθων (ε 83): οὕτω διὰ τοῦ ε Ἀρίσταρχος. καί φησι στεναγμοῦ τινος καὶ ποιᾶς φωνῆς ἔμφασιν δηλοῦν καὶ ἴσως παρὰ τὸ ἐρείκω. τίθεται δὲ καὶ ἐπὶ φωνῆς ἁπλῶς ὡς τὸ «πολλοὶ μὲν βόες ἀργοὶ ἐρέχθεον ἀμφὶ σιδήρῳ» (Ψ 30), ὁ δὲ Ἀπίων ἐρίχθων λέγει διακόπτων.

ἐρεχμός καὶ ἐρεγμός ὃς λέγεται καὶ ἐρευγμός. δοκεῖ δὲ ταῦτα παρὰ τοῖς Αἰολεῦσιν ἐκφέρεσθαι διὰ τοῦ χ. διωχμὸν γὰρ λέγουσι καὶ ληχμόν ὡς Ἀντίμαχος «ληχμὸν δ' ἐμπάζεσθαι ἀλεείνων».

ἐρήρειστο: ἥρμοστο καὶ ἐπέπηκτο. φυλάσσει δὲ τὴν ει δίφθογγον πρὸς ἀντιδιαστολὴν τοῦ ἐρήριστο, ὅπερ σημαίνει τὸ φιλονεικῶ.

ἐρήριπται: πέπτωκεν.

ἐριδήσασθαι ἁμιλληθῆναι, φιλονεικῆσαι.

ἐριθεύς: διὰ τοῦ ῑ, παρὰ γὰρ τὸ ἔριθος γέγονεν. ἔστι δὲ εἶδος ὀρνέου.

ἔριθος: ῑ. σημαίνει δὲ τὸν ἐργάτην καὶ τὴν γυναῖκα τὴν ἐργαζομένην τὰ ἔρια. γέγονε δὲ τὸ ἀρσενικὸν ἀπὸ τοῦ ἔρα, ὅ ἐστιν ἡ γῆ, ἔραθος καὶ κατὰ τροπὴν τοῦ ᾱ εἰς ῑ ἔριθος. ἐπὶ δὲ τῆς γυναικὸς ἀπὸ τοῦ ἔριον γέγονεν ἔριθος. ὁμοίως δέ ἐστι τὸ λέκιθος (sic pro τολόβινθος scripsi), ὃ σημαίνει τὸν κρόκον τοῦ ᾠοῦ.

l. 1 Hes. s. vv. l. 2 Choer. 212, 14. l. 3 Choer. 202, 5 τοῦτο διὰ τοῦ ῑ γράφεσθαι λέγει ὁ Ἀπολλώνιος, ἀλλ' ἡ παράδοσις διὰ τῆς ει διφθόγγου οἶδεν αὐτὸ γεγραμμένον. Choer. Dict. 571, 22, Hes. ἐρείδω scribit, sed habet etiam ἐριδόμενος ἐρίδων, quae est Apollonii scriptura. l. 5 Choer. 201, 32, E. M. 372, 16, Hes., qui tamen etiam ἐρίκω ἐρικόμενος praebet aeque corruptam atque ἐρίκω ap. Arcad. 152, 13 cf. Lob. Rhem. 57 et 59. l. 7 Choer. 202, 3, E. M. l. c. l. 9 Choer. 200, 12 praescribit ἐρείπτω, Hes. habet ἐρίπει καταβάλλει. l. 10 Choer. 198, 33. l. 12 Choer. 198, 32. l. 13 Hes. St. B. 447, 3. l. 14 Hes. St. B. l. 15 E. M. 371, 24, Hes. habet ἐρέχθων διακόπτων et ἐρε.θων διακόπτων ἐπείγων. l. 19 E. M. 371, 19. l. 22 E. M. 373, 50 cf. Hes. ἐρηρεῖσθαι ἡρμόσθαι, ἐρήρισται ἐρίζει et Choer. Dict. 571. l. 24 Hes. l. 25 Hes. et Il. Ψ 792, ubi Schol. V ἐν δέ τισι τῶν ὑπομνημάτων γράφεται ἐριζήσασθαι. cf. Lob. Rhem. 152, Buttm. II 178. l. 26 Choer. 199, 15. l. 28 Choer. 199, 8, E. M. 373, 39, ad etymon quod attinet, fortasse altera ab ἔριον originatio est

ἐρίκη εἶδος φυτοῦ. ὤφειλε διὰ τῆς ει διφθόγγου γράφεσθαι, ἀπὸ γὰρ τοῦ ἐρείκω γέγονεν. ἀλλ' ἔστι κανὼν ὁ λέγων, ὅτι τὰ διὰ τοῦ ικη ἀποστρέφεται τὴν ει δίφθογγον.

ἐρινεός: ῑ. σημαίνει δὲ τὴν ἀγρίαν συκῆν. ἀπὸ γὰρ τοῦ ἐρίζω γέγονεν ἐρινὸς καὶ πλεονασμῷ τοῦ ε ἐρινεός. ἐριστικὸν γάρ ἐστι τὸ δένδρον. ἀνέρχεται γὰρ καὶ εἰς τοῖχον καὶ εἰς ἕκαστον τόπον.

Ἐρινεός πόλις Δωριέων ὑπὸ τὸν Παρνασσόν. λέγεται καὶ Ἐρινειός.

ἐρινός: τὸ ρι διὰ τοῦ ῑ.

ἐρίπιον, ἐρίπνη.

ἔριφος: ῑ.

Ἕρκειος Ζεύς.

Ἑρμείας: διὰ τῆς ει διφθόγγου. ἀπὸ γὰρ τοῦ Ἑρμέας γέγονε κατὰ πλεονασμὸν τοῦ ῑ.

ἑρμηνεία: ει.

ἑρμίς: ῑ. σημαίνει δὲ τοῦ κραββάτου τὸν πόδα, ἐπειδὴ ἀγάλματα Ἑρμοῦ ὡς ἐφόρου ὕπνου καὶ ὀνείρων ἐκεῖ ἔγλυφον ἢ παρὰ τὸ ἐνείρεσθαι καὶ ἐμπλέκεσθαι ἐν τῇ κλίνῃ. καὶ διὰ τὸ δικατάληκτον διὰ τοῦ ῑ γράφεται οἷον ἀκτίς ἀκτίν, οὕτως ἑρμίς ἑρμίν.

ἑρσήεις: διὰ τῆς ει διφθόγγου. ἀνεφάνη γὰρ τὸ ε̄ ἐν τῇ ἑρσήεντος γενικῇ.

Ἐρυθῖνοι: πόλις Παφλαγονίας. λέγεται δὲ παρὰ τὸ ἔρευθος. διὰ τοῦ ῑ τὸ θι. τὰ γὰρ διὰ τοῦ ινος πρὸ μιᾶς τὸν τόνον ἔχοντα κτλ.

ἐρυσίβη: διὰ τοῦ ῑ γράφεται. ἐρυσίβη δὲ λέγεται ἡ πάχνη ἡ γενομένη ἐν τῇ δυσαερίᾳ καὶ φθείρουσα τοὺς καρπούς.

Ἑρχιά δῆμος τῆς Ἀττικῆς τῆς Αἰγηΐδος φυλῆς ἀπὸ Ἑρχίου τοῦ ξενίσαντος Δήμητρα.

ἐρῳδιός: τὸ ρω ω μέγα σὺν τῷ ῑ καὶ τὸ δι ῑ. ἡ παράδοσις. λέγεται καὶ ῥῳδιός παρ' Ἱππώνακτι.

ἔρῳ: εἰ μὲν χωρὶς τοῦ ῑ ἀποκοπή ἐστιν ἀπὸ τῆς ἔρωτος γενικῆς καὶ ἔρωτι δοτικῆς. εἰ δὲ μετὰ τοῦ ῑ, ὁ ἔρος τοῦ ἔρου τῷ ἔρῳ.

ἔσεται δι' ἑνὸς σ κοινῶς, ἔσσεται διὰ δύο σσ ποιητικῶς. οἱ γὰρ

---

epitomatorum, ut concludi potest ex Hesych. ἔριθοι οἱ γεωργοί. παρὰ τὸ τὴν ἔραν ἐργάζεσθαι, ἥτις ἐστὶ γῆ. καταχρηστικῶς δὲ καὶ οἱ ἐριουργοί. cf. fr. 30.

l. 1 Choer. 202, 1 collat. p. 272, 20, ubi diserte traditur φερίκη, quod quidam φερείκη scriberent, Herodianum per ῑ protulisse. ἐρίκη exstat etiam ap. Arc. 107, 14 et ap. Hes. l. 4 Choer. 199, 17 et 198, 29, Herod. in E. Orion. 61, 24. l. 7 St. B. l. 8 Choer. 198, 8, E. M. 374, 2, Hes. etyma omisi. l. 9 Hes. per ῑ exhibet cf. fr. 31. l. 10 Hes., Choer. 214, 13 ἐρίφια. l. 11 Hes., E. M. 375, 24 Ἕρκιος. l. 12 Choer. 210, 15. l. 14 Choer. 214, 26. l. 15 Choer. 197, 25, E. M. 376, 36, Hes. l. 19 Choer. 210, 17, Hes., qui habet etiam ἐρρήεντα. l. 21 St. B., Choer. 197, 31, Hes. l. 23 Choer. 214, 3, Hes. E. M. 378, 56, An. Ox. II 323, 18 causa additur haec: τὰ ἀπὸ μελλόντων συντιθέμενα τῷ ῑ παραλήγεται, στήσω Στησίχορος, ἐρύσω ἐρυσίβη. l. 25 St. B., Hes. habet Ἑρχειά cf. Mein. ad St. B. l. 27 Choer. 214, 9, Herod. περὶ παθῶν fr. 13 in E. Or. 57, 3, E. M. 380, 30, E. Gud. 210, 58, περὶ μον. 18, 3, Hes.

l. 29 E. M. 379, 52, Hes. habet ἔρωι ἔχοντι, quod Voss. et Thes. III c. 2078 D ἔρωι ἔρωτι scribendum suspicantur. l. 31 E. M. 381, 22 cf. Il. Pr. B 393.

Cικελοὶ τὰ τῶν μελλόντων ῥήματα προηγουμένων βραχέων φωνηέντων διπλαcιάζουcι τὸ c, τελέccω λέγοντεc. ὁμοίωc καὶ τὸ ἕcω ἕccω. ἐκ τοῦ ἕcεται cυγκοπῇ ἕcται. λέγεται καὶ ἐcceῖται Δωρικῶc Ἰλιάδοc Β (393) «οὔ οἱ ἄρκιον ἐcceῖται φυγέειν κύναc». ἐπὶ τοῦ μέcου μέλλοντοc οἱ Δωριεῖc παρεντιθέντεc τὸ ῑ προπεριcπῶcιν οἷον ἐκ τοῦ ἕcεται καὶ πλεύcεται καὶ ῥεύcεται ἐcceῖται, πλευcεῖται, ῥευcεῖται.

ἔcευα: ἐκ τοῦ cῶ cεύω ὁ ἀόριcτοc ἔcευcα καὶ ἀποβολῇ τοῦ c ἔcευα καὶ ἔccευα.

ἐcθήc τὸ ἱμάτιον καὶ ἔcθημα τὸ αὐτὸ διὰ τοῦ ε̄. παρὰ γὰρ τὸ ἕω τὸ cημαῖνον τὸ ἐνδύομαι. — αἴcθηcιc καὶ αἰcθητήριον αἰcθητόc καὶ αἰcθάνομαι καὶ ὅcα ὅμοια διὰ τῆc αι διφθόγγου.

ἔccυτο.

ἑcτία καὶ ἑcτιάτωρ: διὰ τοῦ ε ψιλοῦ.

Ἑcτίαια πόλιc Εὐβοίαc. Ὅμηροc (Β 537) «πολυcτάφυλον θ' Ἑcτίαιαν». ἡ δὲ διὰ τοῦ ῑ Ἰωνικὴ γραφή ἐcτιν. — ἔcτι δὲ καὶ Θετταλίαc Ἱcτίαια. ὁ πολίτηc Ἱcτιαεύc. Ἔφοροc δὲ τὸ ἐθνικὸν Ἑcτιαῖόc φηcι. καὶ Ἱcτιώτηc ὁ τῆc Θεccαλικῆc. τῆc δὲ Εὐβοίαc ἀδιάφοροc κατὰ τὴν γραφὴν καὶ διὰ τοῦ ῑ καὶ διὰ τοῦ ε̄ ψιλοῦ.

Ἐταιεῖc διὰ διφθόγγου ὡc Διπαιεῖc.

ἑταιρεῖοc: δίφθογγοc τὸ ρει. τῷ λόγῳ τῶν κτητικῶν προπεριcπωμένων.

ἑταιρία: τὸ ται δίφθογγοc. τὸ ρι ῑ. ἡ παράδοcιc.

εὐαδήc εὐήνεμοc: οἱ δὲ εὐαήc.

Εὐβοιεύc καὶ Εὐβοεύc χωρὶc τοῦ ῑ, καίτοι τὰ ἀπὸ τοῦ εἰc ᾱ παραγόμενα εἰc ευc φυλάττει τὴν παραλήγουcαν. διὸ καὶ τὸ Ἀλεξάνδρεια οὐ προϋπάρχει τοῦ Ἀλεξανδρεύc. ἔδει γὰρ Ἀλεξανδρειεύc, ἀλλ' ἀπὸ τοῦ Ἀλέξανδροc ὡc Ταρcόc Ταρcεύc.

Εὐβοῒc τὸ θηλυκὸν καὶ Εὐβοϊκόc κτητικόν.

εὐδεινόc: ει. ὡc ποθεινόc.

εὔελοc εὐήλιοc.

---

l. 7 E. M. 383, 42, Hes. ἔcευα et ἔccευα, ἐccεύαντο ἐccεύοντο. l. 9 Choer. 214, 14, Hes. ἐcθήματα ἱμάτια, ἐcθητά corrupte pro αἰcθητά ὁρατά. l. 12 Hes., idem cεcύα(ν)ται, E. M. ἔcτι cῶ τὸ ὁρμῶ. παραγωγὸν cῦμι ὁ μέλλων cύcω céςυκα cέcυμαι καὶ ἐν ὑπερθέcει ἔccυμαι. l. 13 Choer. 214, 19. l. 14 St. B. s. Ἑcτίαια et Ἱcτίαια. Hes. habet Ἑcτίαια ἡ πάλαι Ταλαντία ὀνομαζομένη. l. 19 St. B. l. 20 Choer. 198, 24, Hes. l. 22 Choer. 198, 23. l. 23 Hes cf. Lob. Rhem. 4 not. 3, Parall. 156. l. 24 St. B., Hes. habet Εὐβοεύc, E. M. 389, 6 prorsus reprobat Εὐβοιεύc: τὸ ἐθνικὸν Εὐβοεύc καθ' ὑφαίρεcιν τοῦ ῑ. τὰ γὰρ εἰc ᾱ λήγοντα φυλάττει τὴν παραλήγουcαν τοῦ πρωτοτύπου καὶ ἐν τοῖc εἰc ευc οἷον Ἐλλοπία Ἐλλοπιεύc, Ὀρθωcία Ὀρθωcιεύc. οὕτω καὶ Εὔβοια Εὐβοιεύc ὤφειλεν εἶναι. οἱ δὲ λέγοντεc Εὐβοεῖc καὶ Φωκαεῖc cὺν τῷ ῑ ἁμαρτάνουcιν. ἔοικε δὲ τὰ πολλὰ ἐν τοῖc τοιούτοιc τὸ ῑ ἀποβάλλειν ὡc Νῦcα Νυcαῖοc καὶ ἐξ αὐτοῦ Νυcαιεύc καὶ Νυcαεύc ἄνευ τοῦ ῑ (sic ex St. B. scripsi pro Νύccα Νυccαεύc), Νίκαια Νικαεύc, quod adnotamentum, quamquam Herodianea continet, non prorsus Herodianeum est, quum ex St. B. collato Hes. appareat, Herodianum Εὐβοεύc praetulisse quidem, sed alterum Εὐβοιεύc non prorsus reiecisse. l. 28 St. B., de feminino E. M. 389, 14 Ori et Socratis cuiusdam grammatici opiniones refert. l. 29 Choer. 207, 33. l. 30 Hes., a Choer. 210, 6, E. M. 390, 31 comme-

εὐερκείας ἀσφαλείας.

εὐήθεια μωρία ἄνοια.

Εὐηνίνη ἡ Εὐήνου: διὰ τοῦ ι τὸ νι. τὰ γὰρ διὰ τοῦ ινη μονογενῆ κτλ.

εὐήρεια ἡ εὐπάθεια καὶ εὐχέρεια.

εὐθυεπείαις: ὀρθολογίαις.

εὐθύκαινα ἡ σχοῖνος. διὰ τὸ εὐθέως κτείνειν. καὶ δύναται εἶναι εὐθύκταινα.

Εὐκάρπεια δῆμος τῆς μικρᾶς Φρυγίας. ἔστι δὲ καὶ Εὐκαρπία φρούριον Σικελίας.

εὔκλεια: ει.

εὐκταῖος.

εὐλάβεια.

εὐμάρεια.

Εὐνεῖδαι: διὰ τῆς ει διφθόγγου τὸ νει. παρὰ γὰρ τὸ Εὔνεως γέγονεν. ὥσπερ γὰρ ἀπὸ τοῦ Νείλεως Νειλείδης, οὕτω καὶ ἀπὸ τοῦ Εὔνεως Εὐνείδης.

εὐνεικής εὐκρινής, εὔνικος πολὺ νικῶν.

Εὐνείκη ῥοδόπηχυς: ὄνομα Νηρηΐδος. οὐ παρὰ τὸ νίκη, ἀλλὰ παρὰ τὸ ἐνείκω τὸ κομίζω ὡς τὸ «μελιηδέα οἶνον ἐνείκω» (Ζ 258). Εὐνείκη οὖν ἡ τὰ καλὰ κομίζουσα ἢ ἡ ἄβαρις, ἣν οἷόν τε καλῶς ἐνεγκεῖν.

εὔξεινος.

εὐπαθείας: εὐθαρσίας.

εὐπατέρειαν: ἀγαθοῦ πατέρος θυγατέρα.

εὐρεῖα: διὰ τῆς ει διφθόγγου. εὕρηται γὰρ καὶ χωρὶς τοῦ ι εὐρέα· καὶ ἄλλως· τὰ ἀπὸ τῶν εἰς υς ἀρσενικῶν διὰ τοῦ εια παρασχηματιζόμενα θηλυκὰ διὰ τῆς ει διφθόγγου γράφεται.

εὐρεῖος ποταμοῦ: διὰ τῆς ει διφθόγγου. εὐρεής γὰρ καὶ εὐρεέος καὶ κράσει τῶν δύο εε εἰς τὴν ει δίφθογγον εὐρεῖος.

εὐρείτης.

Εὐριπίδης: διὰ τοῦ ι τὸ ρι καὶ πι. παρὰ γὰρ τὸ Εὔριπος Εὐριπίδης. καὶ πάλιν τὰ ἀπὸ τῶν εἰς ος διὰ τοῦ ιδης γινόμενα διὰ τοῦ ι γράφεται χωρὶς τοῦ Κύθνος Κυθνείδης· ἔστι δὲ ὄνομα κύριον.

εὔριπος διὰ τοῦ ι. παρὰ γὰρ τὸ ῥιπίζω γέγονεν Εὔριπος οἱονεὶ

---

moratur etiam εὔειλος παρὰ τὸ εἵλη, quocum comparari potest εὔερος Ionice εὔειρος, quod ap. Hes. in εὔιρος corruptum est, pronunciatum. cf. Lob. ad Phryn. p. 146 seqq. l. 1 Hes., in E. M. 390, 17 εὐερκίας scriptum est. l. 2 Hes. l. 3 Choer. 199, 33, Hes. l. 5 E. M. 390, 50; ap. Hes. corrupte scriptum est εὐηχερία εὐηρία εὔπλοια. l. 6 Hes. l. 7 Hes. cf. Lob. Proll. 36. l. 9 St. B. l. 11 Hes. Herod. περὶ παθῶν fr. 514 in E. M. 392, 15. l. 12 Choer. 214, 24; ap. Hes. perverso εὐκτέον scriptum est. l. 13 Hes. l. 14 Hes. l. 15 Choer. 202, 27, E. M. 393, 35, περὶ ποc. 298, 20, Hes. l. 18 Hes., apud quem vocabula confusa sunt. l. 19 E. M. 393, 31 coll. περὶ ποc. 302, 23 et Choer. 272, 21. l. 22 Hes. l. 23 Hes., cf. E. M. 462, 14. l. 24 Hes. l. 25 Choer. 208, 5. l. 28 Choer. 211, 30, E. M. 396, 5, Hes. l. 30 Hes., E. M. 396, 1 cf. ἀκαλαρείτης. l. 31 Choer. 201, 7. l. 34 Choer. 200, 19, ubi

ὁ εὐχερῶς ῥιπιζόμενος καὶ ἐπιφερόμενος ἢ παρὰ τὸ εὐρύ γέγονεν εὔρυπος καὶ κατὰ τροπὴν τοῦ υ εἰς ῑ Εὔριπος ὥσπερ ἀφροδύτη ἡ Ἀφροδίτη καὶ δύφρος δίφρος.

Εὐρώπεια: διὰ τῆς ει διφθόγγου. τὰ γὰρ διὰ τοῦ εια θηλυκὰ ἐπὶ τοῦ αὐτοῦ σημαινομένου παρηγμένα διὰ τῆς ει διφθόγγου γράφεται οἷον Καλλιόπη Καλλιόπεια, Πλειστοδόκη Πλειστοδόκεια. οὕτω καὶ Εὐρώπη Εὐρώπεια.

εὐφυΐα.

Ἐφέσιος: εὕρηται καὶ Ἐφέσεια διὰ διφθόγγου. οὕτω γὰρ ἐν Ἀλεξάνδρῳ Σοφοκλῆς.

Ἐφιάλτης ὄνομα κύριον παρὰ τὸ ἰάλλω τὸ ἐκτείνω γέγονεν ἰάλτης καὶ ἐπιάλτης καὶ ἐφιάλτης.

Ἐφωδίων: Ἐρατοσθένης διὰ τοῦ ῑ Ἐφωτίων ἀναγράφει, Μαινάλιον περιοδονίκην παγκρατιαστήν. ὁ δὲ Πολέμων διὰ τοῦ δ.

ἐχθρός cf. fr. 8.

Ἐχινάς: διὰ τοῦ ῑ. ἀπὸ γὰρ τοῦ ἐχῖνος.

ἐχῖνος: διὰ τοῦ ῑ τῷ λόγῳ τῶν διὰ τοῦ ινος προπερισπωμένων.

Ἐχίων: ἔστι δὲ ὄνομα κύριον· διὰ τοῦ ῑ. ἐκ γὰρ τοῦ ἔχις ἔχιος, ὅ ἐστιν εἶδος ὄφεως, γέγονεν Ἐχίων καὶ τῷ λόγῳ τοῦ Ἀμφίων διὰ τοῦ ῑ.

ἐχυρός ὀχυρός.

ἑῷος: διὰ τοῦ ω σὺν τῷ ῑ.

Ζ.

Ζαΐα πόλις Βοιωτίας ἀρχαιοτάτη. Ἡρωδιανός. καὶ διὰ τοῦ ε̄ καὶ διὰ τῆς αι διφθόγγου.

Ζάμολξις. λέγεται καὶ Ζάλμοξις καὶ Σάλμοξις.

Ζαχρηής μεγάλως ἐπικείμενος «ζαχρηῶν ἀνέμων» (Ε 525), τὸ δὲ ζαχρειής πάνυ χρειώδης.

---

quae sequuntur οἱονεὶ ὁ πλατὺς κατ' ἀντίφρασιν τοῦτ' ἔστιν ὁ μὴ πλατύς ab Herodiani sententia deflexa videntur, sed ad εὐρύς a veteribus vocem relatam fuisse apparet etiam ex Hes. Εὔριπος θαλάσσιος τόπος πολύχροος τό πλάτος τῆς μεσότητος τῶν ὑδάτων ἢ ὁ εὐχερῶς μεταβαλλόμενος, ubi Kusterus πολύρροος διὰ τό πλάτος. l. 4 Choer. 206, 15, E. M. 397, 42, λέγεται δὲ καὶ διὰ τοῦ ῑ Εὐρωπία παρὰ Σοφοκλεῖ Αἰχμαλώτισι «καὶ νησιώτας καὶ μακρὰς Εὐρωπίας» καὶ Εὐριπίδης ἐν Θησεῖ «σχεδόν παρ' αὐτοῖς κρασπέδοις Εὐρωπίας». St. B., Hes. habet Εὐρωπία ἡ Ἥρα. l. 8 Hes., E. M. 399, 37 εὐφυΐα ὤφειλε διὰ διφθόγγου ὡς γίνεται ἀπό τῶν εἰς ης ὡς εὐσεβής εὐσέβεια· ἀλλὰ τὰ παρὰ τό φύω καὶ ὄζω (pro δυς scripsi) σύνθετα διὰ τοῦ ῑ γράφεται οἷον εὐωδία δυσωδία, ἀφυΐα καὶ εὐφυΐα et p. 462, 23 τὰ παρὰ τό φυή διὰ τοῦ ῑ εὐφυΐα. εὕρηται καὶ εὐφύεια παρ' Ἀλέξιδι. l. 9 St. B. s. Ἔφεσος. Hes. Ἐφέσια. l. 11 E. M. 403, 32, Eustath. 561, 8, qui postquam ἐπιάλτης et ἐφιάλτης et ἐπίαλτος ἠπίαλος attulit, addit: ἐν δὲ τοῖς Ἡρωδιανοῦ κεῖται καὶ ἠπιάλης ἠπιάλητος, οὐ χρῆσις, φησί, παρὰ Σώφρονι «Ἡρακλῆς Ἠπιάλητα πνίγων». Hes. ἐπιάλης ὁ Ἐφιάλτης, ὃν Αἰολεῖς Ἐφέλην, ἄλλοι Ἐπιάλλην (aut ἠπιάλην aut ἐπιάλτην scr.) καὶ Ἐπωφέλην καλοῦσιν, infra ἐπωφέλης ὁ καλούμενος Ἐφιάλτης. l. 13 Hes. l. 16 Choer. 198, 7, Hes. l. 17 Choer. 198, 3, Hes. l. 18 Choer. 199, 21. l. 20 Hes. l. 21 Choer. 214, 11 ubi ἑώϊος. διὰ τοῦ ω· κτητικόν γάρ. Hes. l. 23 St. B. l. 25 E. M. 407, 45, Hes. Ζάμολξις et Σάμολξις. l. 26 Hes., sed prius etiam ap. Hes. ζαχρειῶν, quod tamen pro insiticio habet Schmidt., scriptum est ut

Ζειά: δίφθογγος. ἔστι δὲ εἶδος κριθῆς ἤγουν αὐτὴ ἡ κριθή. ἔστι δὲ παρὰ τὸ ζέειν [ζεά inserui] καὶ πλεονασμῷ τοῦ ῑ ζειά ἤγουν ἡ τοῦ ζέειν αἴτιος ἤγουν τοῦ ζῆν.

Ζείδωρος ἄρουρα· διὰ τῆς ει διφθόγγου· ἢ γὰρ παρὰ τὸ ζειά γέγονε ζειόδωρος καὶ κατὰ συγκοπὴν τοῦ ο ζείδωρος· ἢ παρὰ τὸ ζῆν γέγονε ζήδωρος οἱονεὶ ἡ τὰ πρὸς τὸ ζῆν δωρουμένη τοῦ η εἰς τὴν ει δίφθογγον μετατεθέντος Βοιωτικῶς. ἄμεινον δὲ οὕτως· τὰ τρίτα πρόσωπα τοῦ ῥήματος συντιθέμενα ἐκβάλλει τὸ ῑ ἔχω ἔχεις ἔχει ἐχέθυμος· φέρω φέρεις φέρει Φέρεκλος, μένει Μένεκλος καὶ Μενέλαος. ζέω ζέει ζεέδωρος καὶ κατὰ κρᾶσιν τῶν δύο εε εἰς τὴν ει δίφθογγον ζείδωρος.

Ζειρά: σημαίνει τὴν ζώνην καὶ χιτῶνα καὶ χλαμύδα. διὰ τῆς ει διφθόγγου γράφεται (παρὰ τὸ δεῖν ὅ ἐστι δεσμεύειν γέγονε καὶ κατὰ μετάθεσιν τοῦ δ εἰς ζ ζειρά?).

Ζέλεια πόλις Τρῳάδος· οἱ δὲ Ζέλην αὐτήν φασι· παρὰ Ποσειδίππῳ δ' εὕρηται διὰ τοῦ ῑ Ζελίη· τὸ ἐθνικὸν Ζελείτης. Ἡρωδιανὸς δὲ Ζελειατῶν φησι κτλ.

Ζέρεθρα βάραθρα· κοῖλοι τόποι.

Ζευγίσιον: διὰ τοῦ ῑ γράφεται τῷ χαρακτῆρι τῶν διὰ τοῦ ισιον διὰ τοῦ ῑ γραφομένων οἷον χαρίσιον, Προβαλίσιον, Ἀρτεμίσιον.

Ζεφύριον: τὸ ἐθνικὸν Ζεφυριώτης. τὸ Ζεφυρίτης ἀπὸ τοῦ Ζεφυριώτης.

Ζῆς ζῇ cf. περὶ ἀνεκφωνήτου fr. 7.

Ζήτρειον: τὸ τῶν δούλων κολαστήριον. διὰ τῆς ει διφθόγγου.

Ζίλαι ὁ οἶνος παρὰ Θρᾳξί.

Ζύγιον: ῑ· ὑποκοριστικὸν γὰρ τοῦ ζυγοῦ.

Ζωάγρια: ἡ παράδοσις.

Ζωγράφος: οὐκ ἔχει τὸ ῑ προσγεγραμμένον· ἔστι γὰρ ζῷον ζῴου ζῳογράφος. καὶ ἐπειδὴ οὐδέποτε μεταξὺ τοῦ ῑ ὄντος ἢ τοῦ ῡ ἢ συμφώνου κρᾶσις γίνεται, ἀλλὰ πρῶτον ἀποβάλλει αὐτὸ καὶ οὕτω γίνεται ἡ κρᾶσις, βελτίονα βελτίω, τῷ ἐμῷ τὠμῷ, τοῦ ἀνθρώπου τἀνθρώπου

---

etiam in E. M. 408, 29. l. 1 Choer. 215, 17, E. M. 410, 14, Ep. Cr. I 181, 12. Hes. habet ζειά et ζιά. l. 4 Choer. 215, 20, E. M. 410, 13, Ep. Cr. I 181, 15. Hes. Verisimile est Herodianum omnes a Choerobosco prolatas originationes proposuisse, sed reliquis ita fere ut in Ep. Cr. l. c. ἄμεινον δὲ οὕτως extremo loco positam antehabuisse; nam expositio haec de compositis a tertia persona congruit cum Herod. ap. Theogn. II 81. l. 12 Choer. 215, 14, E. M. 410, 20. Hes. habet ζειρά et ζιραί. l. 15 St. B. l. 18 Hes. Ahrens de dial. Aeol. p. 232. l. 19 Choer. 215, 10, Hes. l. 21 St. B., qui addit Ἀρκάδιος δὲ διά διφθόγγου γράφει. l. 24 Choer. 215, 27, E. M. 411, 33, ubi additur: εὕρηται δὲ καὶ διά τοῦ ῑ συνεσταλμένου; accentum posui ex canone ap. Theogn. 128, 9. Hes. ζητρεῖον. l. 25 Hes., ἔστι ὁ ζελάς τοῦ ζελά (οὕτω δὲ λέγεται κατὰ Θρᾷκας ὁ οἶνος). Choer. Dict. 124, 11; ὁ ζήλας τοῦ ζήλα. οὕτω δὲ λέγεται κατὰ Θρᾷκας ὁ οἶνος. Cobeti excerpta ex cod. Marian. 489. ζειλά· τὸν οἶνον οἱ Θρᾷκες. Phot. 51, 22. l. 26 Choer. 316, 1. l. 27 Choer. 216, 2, Hes. l. 28 E. M. 413, 51 cf. Lob. El. I 444, qui quamquam iure hanc causam non veram esse contendit, tamen collata Il. Pr. C 458 hoc adnotamentum Herodiano non abiudicem.

ὡς καὶ τὸ ἄνθρωπος τἄνθρωπος, τούτου χάριν καὶ τὸ ζῳογράφος πρῶτον ἀποβάλλει τὸ ῑ καὶ οὕτω ποιεῖ τὴν κρᾶσιν τοῦ ω̄ καὶ ο̄ εἰς ω̄ χωρὶς τοῦ ῑ.

ζῴδιον σὺν τῷ ῑ, ἐπειδὴ εὕρηται καὶ κατὰ διάστασιν. Ἄρατος «Ζωΐδιον δέ ἑ κύκλον ἐπίκλησιν καλέουσιν» (Phaen. 343). ἢ ἐπειδή ἐστι ζῷον ζῴου, ὅπερ ἔχει προσγεγραμμένον τὸ ἰῶτα· καὶ ἐπειδὴ ἡ τελευταία συλλαβὴ τῆς γενικῆς τῶν πρωτοτύπων ἀπὸ φωνήεντος ἄρχεται, γίνεται ζωΐδιον τοῦ ῑ ἀπὸ τοῦ πρωτοτύπου ὄντος.

ζῷον γράφεται μετὰ τοῦ ῑ, ἐπειδὴ εὕρηται καὶ κατὰ διάστασιν παρὰ Σιμωνίδῃ οἷον «τόδ' ἡμῖν ἑρπετὸν παρέπτατο ζώϊον κάκιστον» καὶ διὰ τὸν χαρακτῆρα τῶν διὰ τοῦ ῳο̄ν̄· τὰ γὰρ διὰ τοῦ ῳο̄ν̄ οὐδέτερα μονογενῆ θέλει ἔχειν τὸ ῑ οἷον Πτῷον ὄνομα ὄρους, προστῷον, περίστῳον, ὑπερῷον. οὕτω καὶ ζῷον σὺν τῷ ῑ.

ζῳός.

ζώω.

Η.

τὸ ᾗ ἀντὶ τοῦ ὅπου καὶ ἀντὶ τοῦ καθά περισπᾶται καὶ ἔχει τὸ ῑ προσγεγραμμένον, τὸ δὲ ἤ ἰσοδυναμοῦν τῷ ὡς «ἣ θέμις ἐστί» (Β 73) ὀξύνεται καὶ χωρὶς τοῦ ῑ γράφεται.

ἠγνοίησεν: ἠπείθησεν· ἠγνόησεν. ὡς τὸ «Ἕκτωρ δ' οὔτι θεᾶς ἔπος ἠγνοίησεν» (Β 807).

ᾖα καὶ ᾖε σὺν τῷ ῑ ἀντὶ τοῦ ἐπορευόμην καὶ ἐπορεύετο· εἰ μέντοι χωρὶς τοῦ ῑ γράφεται, γίνεται ἐκ τοῦ ἔω ὁ μέσος ἔα καὶ Ἀττικῶς ἦα καὶ σημαίνει τὸ ὑπῆρχον.

ᾔδει εἴδω· ὁ μέλλων εἴσω, ὁ μέσος παρακείμενος εἶδα, ὁ ὑπερσυντέλικος εἴδειν. καὶ οἱ Ἀττικοὶ τὸ ε̄ τῶν παρῳχημένων εἰς η̄ τρέπουσι, τὸ ἐβουλόμην ἠβουλόμην λέγουσιν. οὕτω καὶ τὴν ει̅ δίφθογγον ἐποίησαν εἰς ῃ̄ καὶ ῑ προσγεγραμμένον ᾔδειν.

l. 4 E. M. 413, 14, Choer. 216, 5. l. 9 E. M. 413, 23 cf. Arc. 121, 27. An. Ox. II 371, 23 ζῷον προσγράφεται τὸ ῑ. τὰ γὰρ διὰ τοῦ ῳο̄ν̄ οὐδέτερα μονογενῆ ἔχει τὸ ῑ προσγεγραμμένον. l. 14 adiectivum ab Arcadio 38, 9 adiectivis in ῳός μετὰ προσγεγραμμένου ῑ adnumeratur, quamquam Lob. El. I 444 hoc ζωός propter accentum tantum adiectum esse suspicatur. Idem Lob. animadvertit grammaticum in E. M. 822, 45 diserte excipere a scriptura per ῳ σῶος et ζωός (τὰ διὰ τοῦ ῳο̄ν̄ μονογενῆ ἔχει τὸ ῑ· πρόσκειται μονογενῆ διὰ τὸ ὁ σῶος, ὁ ζωός τὸ ζωόν). Atque hic locus E. M. ab ipso Herodiano profectus esse videtur, qui in Orthogr. fr. 53 σῶος amplexus tamen in Cathol. Didymi scripturam σῷος commemoravit. Eodem modo, arbitror, in Catholica scripturam ζῳός a grammaticis quibusdam adoptatam tetigit ipse ῑ reiiciens. l. 15 quidam per ῑ scripserunt, ut patet ex Choer. 216, 3 ζῷσον τὸ ζω σὺν τῷ ῑ, sed Herodianus hoc improbasse putandus est collato canone ap. Theogn. 148, 10, E. M. 237, 28 τὰ διὰ τοῦ ω̄ω̄ καθαρὰ δισύλλαβα διὰ τοῦ ω̄ μεγάλου γράφεται οἷον ζώω, χώω, γνώω, σώω, πλώω, ῥώω· ὅμοιον καὶ κολωῶ κατὰ τὴν γραφὴν οὐ κατὰ τόνον οὐδὲ κατὰ ποσότητα τῶν συλλαβῶν· τοῦτο δὲ καὶ πρώτης καὶ δευτέρας συζυγίας τῶν περισπωμένων ἐστὶ καὶ παρὰ Φιλοξένῳ σὺν τῷ ῑ. τὸ δὲ ἀλώω ἡβώω ἢ ἐπαύξησιν χρόνου ἔσχον ἢ πλεονασμὸν τοῦ ω̄. cf. Lob. El. I 444. l. 17 Io. Al. 31, 13, Il. Pr. l. c., E. M. 416, 14. l. 20 Hes. l. 22 E. M. 423, 35. l. 25 E. M. 419, 28.

ἤδειcθα: ἐκ τοῦ ἤδειν ἤδειc κατὰ ἐπέκταcιν τῆc θα cυλλαβῆc γίνεται ἤδειcθα τὸ κοινότερον διὰ τοῦ ῑ, τὸ δὲ Ἀττικώτερον διὰ τοῦ η̄, ἤδηcθα. Εὔπολιc.

ἠδέcθην cὺν τῷ ῑ· παρὰ τὸ αἰδῶ περιcπώμενον. Εὐριπίδηc Ἀλόπῃ οὐ μὴν cύγ' ἡμᾶc τοὺc τεκόνταc ᾐδέcω (fr. 110 Nauck.).

ἤειν ἤειc ἤει: ἐκ τοῦ εἶα μέcου παρακειμένου Ἀττικῇ ἐκτάcει ἦα ἤειν ἤειc ἤει καὶ πληθυντικῶc ἦμεν. Ἀριcτοφάνηc Πλούτῳ (659) «ἔπειτα πρὸc τὸ τέμενοc ἦμεν τοῦ θεοῦ» καὶ ἐν Γηρυτάδῃ «ἦcαν εὐθὺ τοῦ Διονυcίου» ἀντὶ τοῦ ἐπορεύοντο.

ἠθεῖοc: διὰ τῆc ει διφθόγγου. παρὰ τὸ θεῖοc κατὰ πλεοναcμὸν τοῦ η̄ ἠθεῖοc ὡc βαιόν ἠβαιόν.

ἠλακάτη: διὰ δὲ τοῦ ε̄ ἠλεκάτη.

Ἠλεῖοc ὁ πολίτηc διὰ τῆc ει διφθόγγου.

ἡμεῖc: δίφθογγοc. ἀμέc γὰρ λέγουcι οἱ Δωριεῖc καὶ ἄμμεc οἱ Αἰολεῖc.

ἡμετέρειοc: κτητικόν ἐcτι. cημαίνει δὲ τὸν ἡμετέρου· ἐχρῆτο δὲ τῇ λέξει Ἀνακρέων «οὔτε γὰρ ἡμετέρειον οὔτε καλόν». ὑπάγεται δὲ κανόνι τοιούτῳ· τὰ γὰρ διὰ τοῦ ρειοc κτλ.

ἡμῖν: διὰ τοῦ ῑ. ἄμμι γὰρ λέγουcιν οἱ Αἰολεῖc βαρυτόνωc καὶ cυcτέλλοντεc τὸ ῑ. ἦμιν λέγουcιν οἱ Ἴωνεc προπεριcπωμένωc καὶ ἀμῖν λέγουcιν οἱ Δωριεῖc. ἔcτιν οὖν καὶ ἦμιν προπεριcπώμενον διὰ τοῦ ῑ μακροῦ.

ἡμίcεια ἀπὸ τοῦ ἥμιcυc καὶ ἐκ τοῦ οὐδετέρου δῆλόν ἐcτιν, ἡμίcεα γὰρ ὡc καὶ θήλεα.

τὸ ἦν ἐγώ, ὃ cημαίνει τὸ ὑπῆρχεν, γέγονεν οὕτωc· ἔcτιν εἰμί τὸ ὑπάρχω. τούτου ὁ παρατατικὸc εἶν διὰ τῆc ει διφθόγγου τροπῇ τοῦ μ̄ εἰc ν̄ καὶ λοιπὸν Ἀττικῶc ἐκτείνεται, τὸ δὲ ῑ ἀπεβλήθη, ἐπειδὴ τὰ εἰc ν λήγοντα ῥήματα οὐ θέλει ἔχειν πρὸ τοῦ ν̄ τί ποτε ἀνεκφώνητον οἷον βοᾶν γελᾶν περᾶν.

«ἤομεν ὡc ἐκέλευεc» (Od. κ 251) ἀπὸ τοῦ εἴω τὸ πορεύομαι τροπῇ τοῦ ε̄ εἰc η̄ καὶ ἔχει τὸ ῑ προcγεγραμμένον.

ἤπειροc ἡ γῆ. γράφεται δὲ τὸ μὲν η ἐκ τοῦ ᾱ cτερητικοῦ, ἄπεροc γὰρ λέγεται κατὰ ἐτυμολογίαν. τὸ δὲ πει δίφθογγοc, ὅτι ἔχει ἀπὸ πρωτοτύπου φωνῆc τὸ ε̄. πέραc γὰρ οὐκ ἔχει, ἄπερόc τιc οὖcα καὶ ἤπειροc.

ἠπίαλοc καὶ ἠπιάληc καὶ ἠπιόληc· cημαίνει τὸν ῥιγοπύρετον καὶ δαίμονα τοῖc κοιμωμένοιc ἐρχόμενον. Ὅμηροc καὶ οἱ πλείουc ἠπιό-

---

l. 1 E. M. 420, 9. ἤδηcθα ἤδειc Hes. l. 4 E. M. 420, 16. l. 6 E. M. 420, 1. l. 10 Choer. 216, 29, E. M. 422, 13, Il. Pr. Z 518, Hes. l. 12 Hes. l. 13 St. B. s. Ἦλιc. E. M. 426, 32. l. 14 Choer. 217, 14. l. 16 E. M. 429, 30, Choer. 216, 16. l. 19 Choer. 216, 12. l. 23 Choer. 217, 20. l. 25 Choer. Dict. 866, 10, E. M. 431, 15. l. 30 Choer. 217, 24, Hes. l. 32 Choer. 217, 7. l. 36 E. M. 434, 6.

λης λέγουσι διὰ τοῦ η̄, πλὴν διαφόρως ἐχρήσαντο τῇ λέξει. ὁ δὲ Ἀλκαῖος ἐπίαλον αὐτὸν ἔφη. Ἀπολλώνιος δέ φησι τὸν ἐπιάλτην ἠπιάλην καλεῖσθαι καὶ τροπῇ τοῦ ᾱ εἰς ο̄ ἠπιόλην.

Ἥραια ἄκρα οὕτω λεγομένη καταντικρὺ Καλχηδόνος, ταύτην δ' ἐν τῇ συνηθείᾳ Ἡερίαν φασί τινες, κακῶς· ἄλλοι δὲ Ἥριον μυθοποιοῦντες ὡς ἐκεῖσε ὀρύξαντες τάφους χύτρας εὗρον καὶ ὀστᾶ. πειστέον μᾶλλον τῷ Βιθυνῷ Δημοσθένει ἐν τῷ β' βιβλίῳ

ἔστι δέ τις προπάροιθε κλυτῆς Καλχηδόνος ἄκρη
Ἥραια κτλ.

καὶ ἄλλοι οὕτως. τὸ ἐθνικὸν Ἡραιεύς. λέγεται καὶ χωρὶς τοῦ ῑ ὡς Νικαεύς.

Ἡρακλείη: δίφθογγος κατὰ τὴν παραλήγουσαν· ἀπὸ γὰρ τοῦ Ἡρακλῆς γίνεται Ἡράκλειος κτητικὸν διὰ τῆς ε̄ῑ διφθόγγου καὶ λοιπὸν τὸ θηλυκὸν Ἡρακλεία διὰ τῆς ε̄ῑ διφθόγγου οἷον Ἡρακλεία χεὶρ καὶ ἐκ τούτου γίνεται Ἡρακλείη κατὰ μετάθεσιν τοῦ ᾱ εἰς η̄.

Ἡρακλειώτης: τὸ κλει δίφθογγος. Ἡράκλεια γάρ. οὕτως ἡ παράδοσις.

ἠρήκαμεν: διὰ τοῦ η̄ γράφεται, τὸ δὲ εἰρήκαμεν διὰ τῆς ε̄ῑ διφθόγγου.

Ἡρικεπαῖος ὁ Διόνυσος.

ἠρόμην, εἰ μὲν ἔχει τὸ ῑ, σημαίνει τὸ ἐκουφιζόμην καὶ ἔστιν ἀπὸ τοῦ αἴρομαι ᾐρόμην ὡς αἰσχύνομαι ᾐσχυνόμην. εἰ δὲ σημαίνει τὸ ἠρώτων, οὐκ ἔχει τὸ ῑ καὶ ἔστιν ἀπὸ τοῦ ἔρω τὸ ἐρωτῶ ἔρομαι ἠρόμην.

ἥρῳ σὺν τῷ ῑ ἀπὸ κλίσεως.

ἡρωίνη: τὸ ινη διὰ τοῦ ῑ. τὰ γὰρ διὰ τοῦ ινη κτλ.

ἡρῷον.

Ἡρῴδης ἔχει τὸ ῑ προσγεγραμμένον. ἔστι γὰρ ἥρως ἥρωος ἥρωϊ· καὶ γίνεται Ἡρωΐδης καὶ κατὰ συναίρεσιν τοῦ ω̄ καὶ ῑ εἰς τὴν ῳ δίφθογγον Ἡρῴδης καὶ ἄλλως· τὰ εἰς δης πατρωνυμικὰ ἢ τύπου πατρωνυμικοῦ θέλει ἔχειν πρὸ τοῦ δ̄ ἢ τὸ ῑ ἢ τὸ ᾱ οἷον Πηλείδης, Πυλάδης, Μινῴδης.

Ἡρῳδιανός: ἀπὸ τοῦ Ἡρῴδης γίνεται Ἡρῴδιος καὶ Ἡρῳδιανός ὡς ἀπὸ τοῦ εὐτυχής Εὐτύχιος Εὐτυχιανός.

ἡρῷσσα προπερισπωμένως σὺν τῷ ῑ ἐκ συναλοιφῆς τοῦ ἡρώϊσσα.

ἧς ὅτε μέν ἐστιν ὁριστικόν, οὐ προσγράφεται τὸ ῑ, ὅτε δὲ ὑποτακτικόν, ἔχει καὶ τὸ ῑ ἐὰν ὦ ἐὰν ᾖς, ἐὰν ᾖ καὶ κατ' ἐπέκτασιν τῆς σι συλλαβῆς γίγεται ᾖσι.

---

l. 4 St. B. l. 12 Choer. 217, 2. l. 16 Choer. 216, 27. — λέγεται δὲ καὶ Ἡρακλεώτης. St. B. l. 18 E. M. 436, 56 cf. fr. 47. Zon. et Hes. s. ἠρηκώς. l. 20 Hes., alii Ἠρικαπαῖος. l. 21 E. M. 437, 28. l. 24 E. M. 437, 54 cf. Leh. El. II 48 et 299. l. 25 Choer. 216, 9; forma contracta ἡρῴνη ap. Suid. exstat, sed Herm. em. rat. p. 39 sine ῑ scribendum indicat. l. 26 E. M. 438, 14. Hes. pro ἡρῷον vitiose ἡρώειον. l. 27 E. M. 437, 56. l. 32 E. M. 438, 5. l. 34 Herod. in Schol. Apoll. IV 1309. l. 35 E. M. 431, 39.

ἦcθα ἐκ τοῦ ἧc ἐπεκτάcει γίνεται· καὶ εἴ ἐcτιν ὁριcτικόν, τὸ ῑ οὐ προcγράφουcιν οἷον «χθὲc ἧc θεατρικόc», εἰ δέ ἐcτιν ὑποτακτικόν, μετὰ τοῦ ῑ γράφεται· ὅτε δὲ πάλιν λαμβάνεται ἀντὶ τοῦ ᾔδειcθα, κατὰ cυγκοπὴν γίνεται ᾖcθα μετὰ τοῦ ῑ.

ἡccήθη ἡττήθη, ἧccον ἧττον.

ἦcμεν ἀντὶ τοῦ ᾔδειμεν Εὐριπίδηc Ἑκάβῃ (1111) «εἰ δὲ μὴ Φρυγῶν — πύργουc πεcόνταc ἦcμεν», ἦcτε ἀντὶ τοῦ ᾔδειτε Cοφοκλῆc Κόλχοιc «ὑμεῖc μὲν οὐκ ἄρ' ἦcτε τὸν Προμηθέα» καὶ ἦcαν ἀντὶ τοῦ ᾔδεcαν Εὐριπίδηc Ῥήcῳ (855) «οὐδ' ἀφιγμένον — τὸ πάμπαν ἦcαν». cὺν τὸ ῑ.

Ἦτιc ὄνομα πόλεωc διὰ τοῦ ῑ τὸ τιc. Ἠτεῖοc ὁ πολίτηc.

ἧχι τοπικὸν ἐπίρρημα κατ' ἐπέκταcιν τῆc χι cυλλαβῆc ἐκ τοῦ ᾗ δαcυνομένου καὶ περιcπωμένου. ἔχει δὲ καὶ τὸ ῑ προcγεγραμμένον.

ἠῴων cὺν τῷ ῑ.

ἠῷοc cὺν τῷ ῑ.

Θ.

θᾶκοc ὁ καὶ θῶκοc καλούμενοc ἡ καθέδρα.

θάλεια ἐπιθετικῶc διὰ τῆc ει διφθόγγου «τίθεντο δὲ δαῖτα θάλειαν» (Η 475), «δαιτὶ cυνήοpόc ἐcτι θαλείῃ» (Od. θ 99). ἐπὶ δὲ τῆc εὐωχίαc αὐτῆc διὰ τοῦ ῑ «θαλίῃ ἐνὶ πολλῇ» (Ι 143 et 285). Θάλεια δὲ ἡ μοῦcα διὰ τῆc ει διφθόγγου τῷ λόγῳ τῶν διὰ τοῦ εια προπαροξυνομένων καὶ ἄλλωc ὡc παρὰ τὸ ἐνεργῶ ἐνέργεια, οὕτω καὶ παρὰ τὸ θαλῶ Θάλεια καὶ θέρω θέρεια.

θαρριά τραcιά.

θάρροc θάρcοc θράcοc.

Θαῦμοc ἢ Θαῦλοc. Ἄρηc Μακεδόνιοc.

θειάζω: ει.

θειλόπεδον: cημαίνει δὲ τὸν τόπον ἔνθα ξηραίνονται αἱ cταφυλαί· διὰ τῆc ει διφθόγγου τὸ θει. παρὰ γὰρ τὸ ἕλη τὸ cημαῖνον τὴν θερμαcίαν γέγονεν εἵλη διὰ τῆc ει διφθόγγου κατὰ πλεοναcμὸν τοῦ ῑ. καὶ πάλιν ἀπὸ τοῦ εἵλη καὶ τὸ πέδον τὸ cημαῖνον τὸ χαμηλὸν γέγονεν εἱλόπεδον καὶ πλεοναcμῷ τοῦ θ̄ θειλόπεδον.

l. 1 E. M. 431, 35. l. 5 Hes. l. 6 E. M. 438, 53. l. 11 Choer. 216, 25, Steph. Byz. l. 12 E. M. 116, 12, Hes. cf. Il. Pros. M 260. l. 14 Hes. l. 15 Hes. l. 17 E. M. 441, 11, Hes. s. vv. l. 18 Choer. 219, 21 et 26 coll. 180, 20, E. M. 442, 1. Ex Hesych. concludi potest quosdam θαλία ἡ εὐωχία etiam per ει et paroxytonos scripsisse θαλεία (ὡc) παιδεία, εὐθυμία, ἡδονή, nam accentus comparatio cum παιδεία docet hic non id vitium irrepsisse, quod saepius ap. Hes. invenitur, ut ει et ῑ posteriorum more commutata sint; sed possunt duo vocabula confusa esse θαλία et θάλεια, nam postea habet Hes. θαλία εὐθηνία εὐωχία. cf. Lob. Parall. p. 354, Lehrs quaest. ep. 168 seqq. l. 24 Hes., ex E. M. 764, 24 tertia forma addi potest ταρcιά ap. Simonid., ex qua τραcιά per hyperthesin ortum est cf. Lob. El. I 494. l. 25 Hes. l. 26 Hes. l. 27 E. M. 449, 45, Hes. l. 28 Choer. 219, 3.

θείνω τὸ τύπτω διὰ τῆς ει διφθόγγου. ἀνεφάνη γὰρ τὸ ε ἐν τῷ μέλλοντι, θενῶ γάρ.

θεῖναι: ει δίφθογγος. ἀνεφάνη γὰρ ἐν τῷ ἔθεμεν τὸ ε.

θεῖος: παρὰ τὸ θεός θεΐος καὶ κατὰ συναίρεσιν θεῖος.

Θελγῖνες οἱ Τελχῖνες.

θεμέλιον: ι· παρὰ τὸ θήσομαι θεμέλιον ὡς κείσομαι κειμήλιον.

Θεμίσκυρα πόλις, ἥ ἐστιν ἀντίον Θερμώδοντος καὶ ἡ χώρα. οἱ οἰκοῦντες Θεμισκύριοι. λέγεται καὶ Θεμισκύρειοι (Apoll. Rhod. II 995 ἔνθα Θεμισκύρειαι Ἀμαζόνες).

θεμίστειος δίκαιος.

θεοειδής. θεοείκελα.

θέρεια παρὰ τὸ θέρω θέρεια ὥσπερ παρὰ τὸ θάλλω θάλεια.

θερείβοτον. σημαίνει τὸν τόπον τὸν ἔχοντα ἐν τῷ θέρει βοσκάς. θέρος θέρους ἡ δοτικὴ θέρει καὶ μετὰ τοῦ βοτοῦ, ὃ σημαίνει τὴν βόσκησιν.

Θερσίτης: ι ὡς παρώνυμον παρὰ τὸ θάρσος, ὃ οἱ Αἰολεῖς θέρσος λέγουσι. ἢ παρὰ τὸ θέρω, ὃ σημαίνει τὸ θερμαίνω, ῥηματικὸν ὄνομα. θερμὸς γὰρ καὶ προπετὴς ἦν.

Θέσπεια, πόλις Βοιωτίας. Ὅμηρος «Θέσπειαν Γραῖάν τε» (B 498). γράφεται καὶ διὰ τοῦ ι καὶ ἐκτείνεται καὶ συστέλλεται παρὰ Κορίννῃ κτλ. πληθυντικῶς δὲ Θεσπιαὶ ὀξυτόνως.

Θεστίδειον πόλις Θεσσαλική. Ἑλλάνικος δὲ δίχα τοῦ σ φησίν.

Θέτις ἡ μήτηρ Ἀχιλλέως καὶ ἡ θάλασσα. ἡ δὲ γῆ λέγεται Τηθύς.

Θηβαῖος ἔθνος: αι.

θήλεια: ει· τὰ ἀπὸ τῶν εἰς υς κτλ.

Θηρίκλειον κύλικος εἶδος ἀπὸ Θηρικλέως κεραμέως.

Θήσειον: διὰ τῆς ει διφθόγγου. τὰ γὰρ ἀπὸ τῶν εἰς ευς διὰ τοῦ ειον παραγόμενα διὰ τῆς ει διφθόγγου γράφεται.

θίασος θιασώτης: ι.

θιπόβρωτος καὶ θριπόβρωτος ὁ ὑπὸ σητῶν βεβρωμένος.

θίς διὰ τοῦ ι ὡς δικατάληκτον.

θλίβω: ι· τὰ γὰρ εἰς βω λήγοντα ῥήματα οὐ θέλει τῇ ει διφθόγγῳ παραλήγεσθαι κτλ. καὶ ἄλλως τὸ β κατὰ πάντα οὐ θέλει ἔχειν τὴν ει δίφθογγον προηγουμένην οἷον λίβανον λιβάς κιβωτός κτλ.

---

l. 1 Choer. 219, 19. l. 3 Choer. 219, 25. l. 4 Choer. 219, 9. l. 5 Hes. l. 6 Choer. 219, 23. Hes. habet θεμείλια ex Il. Ξ 493. l. 7 St. B. cf. E. M. 445, 27. l. 10 Hes., Herod. in Schol. ad Pind. Ol. I 18. l. 11 Hes. l. 12 Choer. 219, 26. l. 13 Choer. 219, 29, E. M. 447, 9. l. 16 Choer. 217, 31, E. M. 447, 22, Hes. l. 19 St. B. s. v., Il. Pr. B 498. Hes., apud quem Mein. pro Θέσπιος ποταμὸς Βοιωτίας emendat Θεσπιαί πόλις. l. 22 St. B. s. v. l. 23 Hes., Choer. 217, 28. l. 24 Hes., Choer. 220, 14. l. 25 Choer. 220, 4. l. 26 Choer. 256, 21. Hes., qui habet etiam Θερίκλειον. l. 27 Choer. 219, 10, E. M. 451, 39, Hes. l. 29 Choer. 219, 32, Hes. l. 30 Hes. l. 31 Choer. 217, 26. l. 32 Choer. 218, 28, Hes.

θνήςκω: ὡς παρὰ τὸ τρῶ τρώςω τρώςκω καὶ βρῶ βρώςω βρώςκω καὶ βιβρώςκω, οὕτω παρὰ τὸ θνῶ θνήςω θνήςκω. ὁ Δίδυμος χωρὶς τοῦ ῑ. ὥςπερ ἀπὸ τοῦ ἀρέςω μέλλοντος γίνεται ἀρέςκω καὶ ἀπὸ τοῦ μεθύςω μεθύςκω πλεοναςμῷ τοῦ κ̄ καὶ μετάγονται εἰς ἐνεςτῶτα, οὕτω καὶ ἀπὸ τοῦ μνῶ μνήςω καὶ θνῶ θνήςω γίνεται θνήςκω καὶ μνήςκω. καὶ οὐκ ἔχει τὸ ῑ. οἱ δὲ λέγουςι ςὺν τῷ ῑ, ὅτι οἱ Αἰολεῖς θναίςκω καὶ μναίςκω λέγουςι διὰ τῆς αῑ διφθόγγου· ἀλλ' ἰδοὺ τὸ Ἡςίοδος καὶ ἡμίονος Αἰςίοδος καὶ αἰμίονος λέγουςιν, ἀλλ' ὅμως οὐκ ἔχει τὸ ῑ. ἡ μέντοι παράδοςις ἔχει τὸ ῑ [ἴςως ἐκ τοῦ λέγειν τοὺς Αἰολεῖς θναίςκω καὶ μναίςκω]. ἄλλοι δὲ λέγουςιν, ὅτι διὰ τοῦ ιςκω γίνεται ἡ παραγωγή, θνῄςκω καὶ μνῄςκω. οὐ καλῶς δὲ λέγουςι· καὶ γὰρ τὰ τῆς πρώτης ςυζυγίας τῶν περιςπωμένων διὰ τοῦ ιςκω ποιοῦςι τὴν παραγωγὴν οἷον εὑρῶ εὑρεῖς εὑρίςκω, ςτερῶ ςτερεῖς ςτερίςκω· τὰ δὲ τῆς δευτέρας διὰ τοῦ αςκω ἡβῶ ἡβᾷς ἡβάςκω, τὰ δὲ τῆς τρίτης διὰ τοῦ ωςκω βιῶ βιοῖς βιώςκω. εἰ οὖν ἀπὸ τοῦ θνῶ θνήςω θνήςκω γέγονε καὶ μνῶ μνήςω μνήςκω, ταῦτα δὲ δευτέρας ςυζυγίας ἐςτίν, ὤφειλε διὰ τοῦ αςκω εἶναι ἡ παραγωγὴ καὶ οὐ διὰ τοῦ ιςκω· ὡς δὲ δευτέρας ςυζυγίας ἐςτί, καὶ δῆλον ἐκ τοῦ μνῶμαι ὡς βοῶμαι καὶ δηλοῖ τὸ τέθνημι τέθναθι γινόμενον διὰ τοῦ α ὥςπερ ἵςτημι ἵςταθι. ἔχει δὲ τὸ η τὰ δύο ταῦτα.

Θουρία πόλις Μεςςηνίας. τὸ ἐθνικὸν Θουριάτης. τινὲς δὲ Θουνίαν καὶ Θουνιάτης.

Θρᾷξ: Θράϊξ, ἐξ οὗ τὸ Θρήϊκες ἀκρόκομοι (Δ 533) καὶ κατὰ ςυναίρεςιν Θρᾷξ. καὶ πάντα τὰ ἀπ' αὐτοῦ θηλυκὰ διὰ τοῦ ῑ γράφεται, Θρήϊςςα γυνὴ καὶ Θράϊςςα, Ἀθηναῖοι δὲ Θρᾷττα λέγουςι. καὶ τὸ Θρᾴκη δὲ ἔχει τὸ ῑ. Θρακίας καὶ πλεοναςμῷ τοῦ ς̄ Θραςκίας ὁ ἄνεμος.

---

Κῴδιον: ἰστέον ὅτι [τὸ κῴδιον καὶ] στῴδιον εὐλόγως ἔχει τὸ ῑ. τὸ δὲ λαγῴδιον παραλόγως. ἔστι γὰρ στοιά στοιᾶς. καὶ ἐπειδὴ ἡ τελευταία συλλαβὴ τῆς γενικῆς τοῦ πρωτοτύπου ἀπὸ φωνήεντος ἄρχεται, ἐγένετο ἡ παραγωγὴ διὰ τοῦ διον στοίδιον ὡς γραφεῖον γραφείδιον καὶ κατὰ ἔκτασιν στῴδιον καὶ ἔχει τὸ ῑ. [τὸ δὲ κῴδιον σημαίνει τὸ τῶν προβάτων δέρμα παρὰ τὸ ἐπ' αὐτῶν κοιμᾶσθαι. παρὰ τὸ κῶ τὸ κοιμῶμαι γίνεται ὄνομα ῥηματικὸν κῶς. Νικοχάρης Λημνίαις «πλέομεν ὦ κόρη 'πὶ κῶς». τοῦτο γίνεται κατὰ πλεονασμὸν κῶας ὡς ἀπὸ τοῦ ὦς ὠτός γίνεται ὦας «κῶας ἄγειν κριοῖο μεμαότα» (Apoll. Rhod. II 1198) καὶ γίνεται διὰ τοῦ ιδιον ἡ παραγωγὴ κωατίδιον καὶ συγκοπῇ τοῦ ατ γίνεται κωΐδιον καὶ συναιρέσει κῴδιον]. τὸ δὲ λαγῴδιον οὐκ ὤφειλεν ἔχειν τὸ ῑ. εἴτε ἀπὸ τοῦ λαγώς λαγώ εἴτε λαγός λαγοῦ γέγονεν. λαγίδιον γὰρ ὤφειλεν εἶναι, εἴτε ἀπὸ τοῦ λαγωός λαγωοῦ γέγονεν· λαγώδιον γὰρ ὤφειλεν εἶναι χωρὶς τοῦ ῑ, ἐπειδὴ ἡ τελευταία

l. 1 E. M. 544, 12. l. 4 Choer. 231, 25, cf. can. gen. l. 6 Choer. 228, 6. l. 7 Choer. 230, 12. l. 8 Choer. 228, 34. l. 10 Choer. 230, 32, Hes. l. 11 Hes. Arc. 96, 22. l. 12 Hes.; ex Κυννίδης ap. Choer. 230, 27 Κυννίτης corruptum videtur. l. 14 Choer. 232, 17, Hes. l. 17 Hes. l. 18 Choer. 227, 16. l. 20 Choer. 228, 29. l. 22 E. M. 550, 5, Gud. 356, 58. Verba quae his cancellis [] seclusi, ab Herodiano aliena sunt, nam is περὶ παθῶν in E. M. 638, 54 non ὦας ex ὦς, sed contra ὦς ex ὦας oriri vult; praeterea κώδιον et ap. Hes. et ap. Choer. 234, 23 sine ῑ scriptum est atque existimandum est Herodianum κώδιον ab κῶος κώους repetivisse. De στῴδιον non dubium est, quin cum ῑ scripserit, quum etiam voci προστῷον propter στοιά

cυλλαβὴ τῆc γενικῆc τοῦ πρωτοτύπου ἀπὸ φωνήεντοc ἄρχεται καὶ διὰ τοῦ διον γίνεται ἡ παραγωγή. ἀλλ' ἔcτιν εἰπεῖν ἀπὸ τοῦ λαγωός λαγωοῦ γέγονε λαγῴδιον καὶ ἔχει τὸ ι κατὰ cυνεκδρομὴν τοῦ [κῴδιον καὶ] cτῴδιον. cυνεξέδραμε τούτοιc καὶ τὸ καλῴδιον.

κωμῳδόc, μελῳδόc, ῥαψῳδόc cὺν τῷ ι παρὰ τὸ ᾠδή.

κώνειον: δίφθογγοc ει. ἔcτι γάρ τινα προπαροξύτονα διὰ τοῦ ειον τριcύλλαβα, ἅτινα διὰ τῆc ει διφθόγγου γράφεται· οἷον γένειον, δάνειον, βρένθειον. ἔcτι δὲ εἶδοc πολυτελοῦc μύρου. οὕτωc οὖν καὶ κώνειον διὰ τῆc ει διφθόγγου καὶ διὰ τὸ κωνεάζομαι, ἐφάνη γὰρ τὸ ε ἐν τούτῳ.

Κῷοc. cὺν τῷ ι γράφεται, ἐπειδὴ εὕρηται κατὰ διάcταcιν, Καλλίμαχοc «τῷ ἴκελον τὸ γράμμα τὸ Κώϊον» — ἢ ὅτι τὰ εἰc οc κτητικὰ τῷ ι θέλει παραλήγεcθαι χωρὶc τοῦ θηλυκόc ὁ τοῦ θήλεοc, Λιβυκόc ὁ τῆc Λιβύηc, ἁλυκόc ὁ τῆc θαλάccηc. ἔcτωcαν δὲ παραδείγματα τοῦ κανόνοc ταῦτα Ἡροδότειοc, Θηβαϊκόc, πατρώϊοc· οὕτωc οὖν καὶ Κώϊοc.

Κωχεύει: μετεωρίζει. φέρει. κουφίζει. τὸ δὲ αὐτὸ καὶ κωφεύει.

Λ.

λάβδα καὶ λάμβδα cτοιχεῖον ὑγρὸν καὶ ἀμετάβολον.

λάγβατα ὅρκια.

Λάγειον: οὕτωc δὲ λέγεται τὸ ἱπποδρόμιον Ἀλεξανδρείαc ἀπὸ Λάγου τινόc. διὰ τῆc ει διφθόγγου γράφεται.

Λαγίδηc: ι. τὰ γὰρ εἰc οc διὰ τοῦ ιδηc γινόμενα κτλ.

λαγνεία: ει· διὰ τῆc ει διφθόγγου γράφεται. τὰ γὰρ εἰc ηc ἔχοντα ἀντιπαρακείμενον ῥῆμα διὰ τοῦ ευω τὸ θηλυκὸν διὰ τῆc ει γράφεται οἷον ληcτήc ληcτεύω ληcτεία, ἱκέτηc ἱκετεύω ἱκετεία, πολίτηc πολιτεύω πολιτεία, λάγνηc λαγνεύω λαγνεία.

λαγῷα κρέα καὶ λάγεια.

λαγῴδιον μετὰ τοῦ ι.

λαίαν κτῆcιν· Δωριεῖc ἐπὶ τῆc λείαc. i. e. λᾴαν cὺν τῷ ι.

---

attribuerit ap. Arcad. 122 et E M. 665, 1. Si quaeritur quomodo hoc de κῴδιον praeceptum in locum alioquin Herodianeum irrepserit, id culpa epitomatorum factum videtur, qui quae Herodianus refellit, cum ipsius Herodiani placitis confundere solent. Fuerunt forsitan, qui κῴδιον sic explicarent, ut hoc loco factum est, quos contra Herodianus surrexit, sed quae ipse dixit de hac voce, perierunt; fortasse ipse scripturam κῴδιον sic excusari posse exposueret, ut κοῖον κῷον τὸ ἐνέχυρον Hes., quod ipsum a κείω propagatum est, subesse sumatur.

l. 5 Choer. 281, 13, Hes. l. 6 Choer. 233, 12, Hes. l. 11 E. M. 551, 29. Κῷοc cum ι St. B. 403, 5 τῆc Κῶ μονοcυλλάβου Κῷοc καὶ Κώϊοc ὡc Μινώϊοc. Arcad. 38, 7, Hes. Κῶοc sine ι. De nominibus in υκοc cf. Arc. 52, 11. l. 16 Hes. l. 18 prius Hes., alterum E. M. 552, 27. l. 19 Herod. ἐν τῷ περὶ cυντάξεωc cτοιχείων ap. St. B. s. Ἀγβάτανα cf. Hes. s. v. l. 20 Choer. 237, 26, Theogn. 127, 27. l. 22 Choer. 235, 25. l. 23 Choer. 237, 32; 236, 27. l 27 Hes., apud quem ex hac varia scriptura interpretatur Schmidt. glossam λαγώνεια· λαγοῦ κρέα. — λαγῷα habet etiam E. M. 554, 25 ἐκ τοῦ λαγώc γίνεται λαγῷοc τὸ ἐπίθετον καὶ λαγῷα κρέα. l. 28 E. M. 554, 26 cf. κῴδιον et καλῴδιον. l. 29 Hes.

λᾶιδος (i. e. λᾷδος cὺν τῷ ῑ) λῆδος τριβώνιον.

Λᾷος cὺν τῷ ῑ, λέγεται γὰρ καὶ τριcυλλάβως Λάϊος.

λακάρτη λακάρη δένδρον τι.

Λακέρεια: ει δίφθογγος τῷ κανόνι τῶν διὰ τοῦ εια προπαροξυτόνων. ἔcτι δὲ ὄνομα πόλεως.

Λακίνιον ὄρος Κρότωνος. καὶ Λακινία χώρα. διὰ τοῦ ῑ τὸ κι καὶ τὸ νι. τὰ γὰρ ἀμφιβαλλόμενα κτλ.· καὶ ἄλλως ἀπὸ τοῦ Λακῖνος.

Λακῖνος: ῑ καὶ προπεριcπᾶται. τὰ γὰρ διὰ τοῦ ινος ὀνόματα κτλ.

λακπατῆcαι λακτίcαι καταπατῆcαι. ἀνατρέψαι.

[λακρίς καὶ] λάκτις· κώπη τορύνη.

λάκτιμα λάκτιcμα (Aeschyl. Agam. 1601?).

λαλαμίς λαῖλαψ. ἀντὶ τοῦ λαλαμίς λαιλαμίς γράφουcι.

Λάμπεια ὄρος Ἀρκαδίας Παρθένιος Ἀνθίππῃ. τὸ ἐθνικὸν δύναται καὶ Λαμπειάτης καὶ δίχα τοῦ ῑ.

Λάμπη πόλις Κρήτης, ἣν Ξενίων ἐν Κρητικοῖς διὰ δύο ππ γράφει καὶ διὰ δύο αα καὶ διὰ τοῦ η.

λαμπήνη εἶδος ἁμάξης· ἔνιοι ἀπήνη.

Λαμπώνεια πόλις Τρῳάδος. Ἑκαταῖος Ἀσίᾳ. τὸ ἐθνικὸν Λαμπωνεύς. Ἑλλάνικος δὲ Λάμπώνιον αὐτήν φηcι καὶ τὸ ἐθνικὸν Λαμπωνιεύς.

Λαοδαμάντεια νῆcος ἐν Λιβύῃ Ἀρτεμίδωρος. ἐκαλεῖτο δὲ Λαομεδόντεια, ἴcως ἀπὸ Λαομέδοντος τοῦ Τρωός. τὸ ἐθνικὸν ἀμφότερον Λαομεδοντίτης καὶ Λαοδαμαντίτης.

λαοπίζει ἢ λαπίζει γαυροῦται.

λαπάccειν λαπάζειν κενοῦν.

Λάριcα: ἔcτι δὲ ὄνομα πόλεως. διὰ τοῦ ῑ γράφεται. τὰ γὰρ διὰ τοῦ ιcα κτλ.

λαcιτός: κίναιδος· ἢ λεcιτός· πόρνη.

λατρεία ἐκ τοῦ λατρεύω.

Λαύρειον: ἔcτι δὲ τόπος τῆς Ἀττικῆς ποιῶν μέταλλον. διὰ τῆς

l. 1 Hes., qui habet etiam λήδιον τριβώνιον εὐτελές et ληίδιον εὐτελὲς ἱμάτιον. Itaque cὺν τῷ ῑ scripsit Herodianus cum Didymo ap. Eustath. 1146, 58 cf. Schmidt. Didym. p. 342. l. 2 Hes. secundum Schmidtii explicationem. cf. Lob. El. II 34. l. 3 Hes. l. 4 Choer. 236, 31 cf. St. B. s. v., unde addas τὸ ἐθνικὸν Λακεριεύς καὶ Λακερειεύς. l. 6 Choer. 236, 12, E. M. 555, 17, St. B. s. v. l. 8 Choer. 236, 14. l. 9 Hes. cf λάγβατον ἀνατετραμμένον. Eust. 625, 22 παρὰ Cοφοκλεῖ τὸ «λαξπάτητον ἀντρέπων χαράν»· τινές λακπάτητον διὰ τοῦ κ γράφουcι. l. 10 Hes., Arcad. 35, 6 interpretatur τρυγών, quod Schmidt. iure in τορύνη mutavit, sed cf. eundem ad Hes. l. 11 Hes. l. 12 Hes., sic Schmidt. emendavit pro λάλαβις λαῖλαψ. ἀντὶ τοῦ λαλαμίς λαιμάτηcις γράφουcιν. l. 13 St. B. l. 15 St. B. l. 17 Hes. Schmidt. suspicatur pro ἀπήνη λαπήνη. l. 18 St. B. l. 21 St. B. l. 24 Hes. s. λαοπίζειν et λαπίζει cum Schmidtii adnotatione. l. 25 Hes. l. 26 Choer. 236, 8; sic etiam scriptum est ap. St. B., Hes. habet Λάρειcα. l. 28 Hes., idem λαίcιτος κίναιδος. πόρνη. l. 29 E. M. 557, 40, Hes. λατρεία δουλεία. l. 30 Choer. 237, 20. Hes.

ει διφθόγγου γράφεται. τὰ γὰρ διὰ τοῦ ειον τριcύλλαβα ἰδιάζοντα καὶ προπαροξύνεται καὶ διὰ τῆc ει διφθόγγου γράφεται.

λάχεια: cημαίνει δὲ τὴν καλῶc ἐcκαμμένην γῆν· διὰ τῆc ει διφθόγγου τῷ λόγῳ τῶν διὰ τοῦ εια ἀπὸ ἐνεcτώτων προπαροξυτόνων οἷον κρατῶ κράτεια, λαχῶ λάχεια, ἐνεργῶ ἐνέργεια.

Λεβάδεια πόλιc Βοιωτίαc: ει.

λείαξ: διὰ τῆc ει διφθόγγου. παρὰ γὰρ τὸ λεῖον γέγονε λείαξ.

λείβω.

λεῖκνον: διφορεῖται. καὶ γὰρ διὰ τῆc ει διφθόγγου γράφεται καὶ διὰ τοῦ ῑ. καὶ εἰ μὲν διὰ τῆc ει διφθόγγου, cχηματίζεται οὕτωc· ἐκ τοῦ λέχοc γίνεται λέχνον καὶ λέκνον καὶ πλεοναcμῷ τοῦ ῑ λεῖκνον. καὶ γὰρ οἱ ἀρχαῖοι ἐν τοῖc πτυαρίοιc ἐποίουν τοὺc οἰκείουc υἱοὺc καθεύδειν διὰ τὸ πολύγονον. εἰ δὲ διὰ τοῦ ῑ, οὕτωc· ἔcτι λικμᾶν, ὃ γίνεται παρὰ τὸ λίαν καμεῖν, ἐξ οὗ γίνεται λίκμον καὶ μεταθέcει τοῦ μ εἰc ν λίκνον.

λεῖμαξ: cημαίνει δὲ τὸν λειμῶνα. διὰ τῆc ει διφθόγγου.

λειμών: διὰ τῆc ει διφθόγγου γράφεται· παρὰ τὸ λείβω τὸ καταcτάζω λειβὼν καὶ λειμών.

λειόβατοc: παρὰ τὸ λεῖον. ἔcτι δὲ εἶδοc ἰχθύοc.

λεῖοc: διὰ τῆc ει διφθόγγου. ἀνεφάνη γὰρ ἐν τῷ λεαίνω.

λείριον: ει. παρὰ τὸ λεῖον λεΐïον καὶ προcθέcει τοῦ ρ λείριον.

λειρόφθαλμοc: εἰ cημαίνει τὸν προcηνῆ, διὰ τῆc ει διφθόγγου

l. 3 Choer. 236, 33, E. M. 558, 1. Hes. λάχεια εὔcκαφοc καὶ εὔγειοc· παρὰ τό λαχαίνεcθαι, ὅ ἐcτι cκάπτεcθαι πυκνῶc. l. 6 Hes. l. 7 Choer. 238, 23. Hes. habet λίαξ παῖc ἀρχιγένειοc, vel potius ex Schmidtii coni. ἀρτιγένειοc; sed idem etiam λίαν pro λείαν et λιανέω. l. 8 Hes., qui tamen etiam habet λίβει, quod exstare etiam in Galeni lexico 516 adnotat Schmidt. l. 9 Choer. 236, 28, E. M. 562, 43. Hes. habet λεῖκνον et λίκνον. l. 16 Choer. 238, 22, Hes. Falso Choer. 235, 23 λῖμαξ: ῑ η παράδοcιc. l. 17 E. M. 562, 29, Choer. 239, 4, ubi altera originatio ἢ παρὰ τό λεία οἱονεὶ ὅπου ἡ λεία κατανέμεται τουτέcτι τὰ πρόβατα, quae etiam ap. Orion. 93, 3 proponitur. Hes., apud quem tamen etiam λιμών exstat. l. 19 Choer. 237, 29, Hes.

l. 20 Choer. 238, 16, Hes. λειπογνώμων, λειπομορία, λειποτακτήcαc Hes., idem λιπογνώμων, λιποτακτήcαc. Schmidtius scripturam per ει improbavit ε secludens, sed ex Choer. 239, 6 apparet grammaticos de vocabulorum a λείπω ductorum scriptura diverse statuisse, atque sic etiam Herodianus statuisse videtur, qui ap. Arcad. 116, 12 et 118, 22 λειπόπατριc habet, quod vulgo λιπόπατριc scribi solet; idem autem λιπερνήτηc παρὰ τό λείπεcθαι ἐρνέων ἤγουν φυτῶν ap. Zonar. 1309 per ῑ protulit, quomodo etiam ap. Hesych. exhibetur. Apud Hes. per ῑ scripta sunt haec: λιπαυρεῖ, λιπήμεροι, λιπόβιοι, λιποζύγων, λιπόνεωc, λιποcτρατίῃ, λιποταξίου, quod ex Aristophane vel, ut Meinekio Anall. Alex. p. 162 videtur, Antiphane Choeroboscus profert. Ex Herodiano fluxerunt etiam haec ap. Choerob. λιποκτέανοc, λιποναῦται neque dubitaverim quin Origenes, quem Choerob. citat, sua exempla ex Herodiano petiverit, λιπcτρόφια παρὰ Νεοπτολέμῳ, ἐλλιπέεc παρ' Εὐφορίωνι. l. 21 Choer. 237, 30. τὸ δὲ λιρόc ὁ ἀναιδὴc διὰ τοῦ ῑ παρὰ τὸ λίαν (ὁρᾶν· οἱ γὰρ ἀναιδεῖc λίαν ὁρῶcιν?)· τὸ δὲ λίαν διὰ τοῦ ῑ γράφεται Choer. 235, 3. Verba seclusa fortasse a Choerobosco addita sunt et fortasse pro ὁρᾶν scribendum est ὁρμᾶν ab etymo ὅρω, nam Hes., qui similia de scriptura λείριον λειριόεντα praebet, explicat: ἀμέτρωc γὰρ ὁδεύονται οὗτοι In E. Orion. 93, 4 λιρόc ὁ ἀναιδήc. παρὰ τὸ λίαν τινὶ προcκεῖcθαι ἢ παρὰ τό λίαν ὁρᾶν· ἐπεὶ ἀτενεῖc εἰcι τούτων αἱ ὄψειc.

l. 22 E. M. 562, 37, Choer. 235, 11.

γράφεται καὶ γίνεται παρὰ τὰ λείρια τὰ ἄνθη. εἰ δὲ ϲημαίνει τὸν ἀναιδῆ, παρὰ τὸ λίαν ὁρᾶν (? ὁρμᾶν).

λειτουργεῖν: τὸ ὑπηρετεῖν. διὰ τῆϲ ει̅ διφθόγγου. παρὰ γὰρ τὸ λήϊτον τὸ δημόϲιον καὶ τὸ ἔργον γέγονε ληϊτουργεῖν καὶ κατὰ ϲυϲτολὴν τοῦ η̅ εἰϲ ε λεϊτουργεῖν καὶ κατὰ ϲυναίρεϲιν τοῦ ε̅ καὶ ι̅ εἰϲ τὴν ει̅ δίφθογγον λειτουργεῖν.

λειφαιμήϲαϲ λιφαιμήϲαϲ.

λειχήν: διὰ τῆϲ ει̅ διφθόγγου παρὰ τὸ λείχω. καί φαϲιν ἐκ τοῦ λείχειν τὸ πάθοϲ ἐπαίρεται.

λείχω διὰ τῆϲ ει διφθόγγου. ἀντιπαράκειται γὰρ αὐτῷ τραπεζολοιχόϲ.

λείψανον: διὰ τῆϲ ει̅ διφθόγγου γράφεται. ἢ παρὰ τὸ λείβω λείψω γίνεται· καὶ γὰρ ἔϲπενδον ἐπὶ τῶν τεθνεώτων· ἢ παρὰ τὸ λείπω λείψω. λείψανα γάρ εἰϲι τὰ ἐγκαταλείμματα.

λειψανδρία.

Λειψύδριον χώριόν τι ὑπὲρ Πάρνηθοϲ, ὃ ἐτείχιϲεν Ἀλκμαίων.

Λειώδηϲ ὄνομα κύριον διὰ τῆϲ ει̅ διφθόγγου γράφεται, παρὰ τὸ λεῖον, ὅπερ διὰ τῆϲ ει̅ διφθόγγου γράφεται.

λέκιθοϲ: ϲημαίνει δὲ τὸν κρόκον τοῦ ὠοῦ. διὰ τοῦ ι̅ γράφεται τὸ κι.

λεξείδιον, εἰ μὲν ἀπὸ τῆϲ λέξιϲ λέξεωϲ, διὰ τῆϲ ει̅ διφθόγγου· εἰ δὲ ἀπὸ τῆϲ λέξιοϲ Ἰωνικῶϲ, διὰ τοῦ ι̅ ὡϲ ἀπὸ τῆϲ ῥήϲεωϲ ῥηϲείδιον, ἀπὸ δὲ τῆϲ ῥήϲιοϲ γενικῆϲ Ἰωνικῆϲ ῥηϲίδιον καὶ τὰ ὅμοια.

Λεοντῖνοϲ τῷ κανόνι τοῦ Λακῖνοϲ.

λήδιον cf. λᾶδοϲ.

λήϊον: ϲιτοφόρον χωρίον· ἀπὸ τοῦ λειαίνειν τὴν τροφήν. ἀγριοῦνται γὰρ οἱ λιμώϲϲοντεϲ· βέλτιον δὲ ε̅ ψιλῷ διὰ τὴν ἐπιφαινομένην κατὰ καιρὸν λειότητα τῶν ἀϲταχύων.

ληΐτη ἱέρεια, οἱ δὲ λητή.

λῆμα καὶ λῆμμα· τὸ μὲν τίθεται ἐπὶ ψυχικοῦ παραϲτήματοϲ, τὸ δὲ ἐπὶ τοῦ λαμβανομένου· καὶ ἔϲτι τὸ μὲν ἀπὸ τοῦ λῶ τὸ θέλω, τὸ δὲ ἀπὸ τοῦ λήβω τὸ λαμβάνω.

l. 3 Choer. 237, 4, Ep. in Psalm. 172, 19, E. M. 562, 52. Hinc non video, cur Schmidt. ad Hes. λείτειραι ἱέρειαι et λείτορεϲ ἱέρειαι has formas reiciat, quum simili modo ex λήτειραι et λήτορεϲ repeti possint. Hes. habet etiam ληιτουργεῖν ληιτουργόϲ. l. 7 sic habet Hes., neque prius cum Schmidtio reiciam; sed in λείφητρα λείψανα iure idem ε̅ proscripsit. l. 8 Choer. 238, 9, E. M. 562, 57; altera originatio παρὰ τὸ λεῖον κατὰ ἀντίφραϲιν τό μὴ λεῖον ὄν (E. Or. 93, 1) ab Herodiano aliena videtur. Hes., apud quem λειχανόϲ recte reicitur a Schmidtio. l. 10 Choer. 238, 7, Ep. in Psalm. 157, 21. l. 12 Choer. 238, 3, E. M. 563, 5, Hes. l. 15 Hes. l. 16 Hes. l. 17 Choer. 237, 17.

l. 19 Choer. 237, 15, Hes. l. 20 E. M. 560, 12, cui loco subscriptum est nomen Choerobosci, ex cuius Orthogr. 238, 18, ubi tamen praeceptum mutilatum nunc exstat, in E. M. transiit. l. 23 Choer. 236, 19. l. 24 Hes. l. 25 Hes., qui habet λαῖον ἡ ϲιτόϲποροϲ γῆ et λεῖον ὁ ϲῖτοϲ ἢ ὁμαλόν. E. M. 563, 12 λήϊα ϲιτοφόρα χωρία καὶ ϲυναιρέϲει λῆα. l. 28 Hes. l. 29 E. M. 563, 41, Hes.

λῆς λῆ μετὰ τοῦ ῑ παρὰ τὸ λῶ τὸ θέλω.

ληςταρχος: ἀρχιληςτής. — ληςτῆρες, λήςτειραι. — ληςτή, λῆςτον ςὺν τῷ ῑ.

ληςτής ἔχει προςκείμενον τὸ ῑ· ἀπὸ γὰρ τοῦ ληϊςτής τριςυλλάβου ἐςτίν.

Λητώ: λέγει ὁ Ἡρωδιανός — ὅτι τὰ ἀρχαῖα τῶν ἀντιγράφων ἐν ταῖς εἰς ω̄ ληγούςαις εὐθείαις εἶχεν τό ῑ προςγεγραμμένον οἷον ἡ Λητωί, ἡ Capφωί ςὺν τῷ ῑ.

λίαν: ῐ. τὰ γὰρ εἰς αν λήγοντα ἐπιρρήματα οὐ θέλει τῇ ει̅ διφθόγγῳ παραλήγεςθαι.

λίβανος: ῐ. παρὰ τὸ λείβω. καὶ γάρ ςυναλιφή ἀπὸ τοῦ ἀλείφω. ἔςτι δέ τινα ὀνόματα ἀπὸ ῥημάτων γινόμενα ἅτινα οὐ φυλάττει τὴν τοῦ ῥήματος γραφὴν ὡς ἐπιτοπλεῖςτον πείθω πιθανός, λείβω λίβανος.

λιβρόν: ςκοτεινόν, μέλαν, δίυγρον.

λιμβεία παρὰ τὸ λιμβεύω.

λιμβός: διὰ τοῦ ῑ κατὰ παράδοςιν.

λιμήρη Ἐπίδαυρον· τοῦτο διccόν ἐςτιν. ὁπότε παρά τοῦ λιμένος λιμενήρη ἢ παρά τοῦ λειμῶνος λειμωνήρη λειμήρη. οὕτως Ἡρωδιανός.

?λίμμα: ῑ παρὰ τὸ λείπω λίμμα. πολλὰ δέ ἐςτιν ὀνόματα κτλ. cf. λίβανος.

λιμός: διὰ τοῦ ῑ γράφεται. καὶ ὤφειλε διὰ τῆς ει διφθόγγου γράφεςθαι, ἐπειδὴ παρά τὸ λείπω ἐςτίν· ὁ γὰρ λιμός λεῖψίς ἐςτι τῶν ἐπιτηδείων. ἀλλ᾽ ἡ παράδοςις ἔχει τὸ ῑ· λέγει δὲ ὁ Τρύφων, ὅτι ςυνέπαθε ἡ φωνὴ τῷ ςημαινομένῳ· ἐπειδὴ γάρ ἔνδειαν ςημαίνει τινὸς τῶν ἐπιτηδείων, τούτου χάριν καὶ ἔνδειαν φωνήεντος ἀνεδέξατο. ὁ δὲ Ἀπολλώνιός φηςι, ὅτι τό λιμός διὰ τοῦ ῑ γράφεται ἐξ ἀφορμῆς τοῦ λιμπάνω· τά γὰρ διά τοῦ ανω εἰ μὲν πλεονάζει τὸ ν, ςυςτέλλει τήν ἀρχήν, οἷον λήθω λανθάνω, μήθω μανθάνω, πήθω πανθάνω, λείπω λιμπάνω. εἰ δὲ μὴ πλεονάζει τὸ ν, φυλάττει τήν ἀρχὴν οἷον αὔξω αὐξάνω.

l. 1 E. M. 564, 23. l. 2 Hes. l. 4 περὶ μον. 40, 18. l. 6 Choer. Dict. 335, 25. l. 9 Choer. 234, 34. l. 11 Choer. 234, 30, Hes. l. 14 Hes., Choer. 235, 6, E. M. 564, 52, λιμβρός ἡ ςκοτεινή νύξ· ῑ· τὰ γὰρ εἰς ρος ἔχοντα προηγούμενον ςύμφωνον κτλ. l. 15 Choer. 238, 33. l. 16 Choer. 236, 17, Hes. l. 17 E. M. 566, 34. Λιμηρά ἡ Ἐπίδαυρος διὰ τὸ λιμένας ἔχειν εὐφυεῖς οἷον λιμενηρά. Hes. — St. B. Ἐπίδαυρος: τινές Λειμήρη αὐτήν φαςι, τὴν λειμῶνας ἔχουςαν· τινές δέ Λιμηρὰν Λακωνικὴν λέγουςιν μίαν τῶν ἑκατὸν διὰ τὸ πολλοὺς ἔχειν λιμένας. l. 19 Choer. 238, 26. Hes. extra ordinem λίμα ὑςτέρημα, quod Mus. in λεῖμμα, Is. Vossius in λίμμα mutavit. l. 21 Choer. 235, 12, E. M. 566, 4 et 25, unde auctorum nomina exciderunt cf. Choer. 272. Herodiani sententia ea fuisse videtur, quae in E. M. 568, 26, Choer. Ep. in Psalm. 27, 24 proponitur: λιμός propter characterem vocabulorum in ι̅μος per ῑ scribi (cf. canon. gen.): πολλά ἐςτιν ὀνόματα ἀπό ῥημάτων γινόμενα γραφομένων τῶν ῥημάτων διὰ διφθόγγου, τῶν δὲ ὀνομάτων διὰ τοῦ ῑ οἷον πείθω πιθανός, οἰκτείρω οἰκτιρμός, ςείω ςῖτος, νείφω νιφετός, λείχω λίχανος. Ibidem enim λιμός propter significatum defectum literae patiente comparatur χιράς πάθος περὶ τὴν χεῖρα. καὶ ἐμιμήςατο τὸ πάθος ἡ γραφή.

λιπαρεῖν τὸ παρακαλεῖν διὰ τοῦ ῑ γράφεται, ὅτι παρὰ τὸ λίαν παρεῖναί ἐστιν.

λίπος: διὰ τοῦ ῑ γράφεται. συνεσταλμένη γάρ ἐστιν ἡ λι συλλαβή.

λίς σημαίνει τὸν λέοντα ἀρσενικῶς καὶ θηλυκῶς δὲ ἐπὶ τῆς λείας «πέτρη γὰρ λίς ἐστι περιξέστη εἰκυῖα» (μ 79) διὰ τοῦ ῑ γράφεται· τὰ γὰρ εἰς ις κοινολεκτούμενα ἀποστρέφεται τὴν ει δίφθογγον Πάρις, πόλις, ἀσπίς, ῥανίς.

λίταργος ὁ ταχύς διὰ τοῦ ῑ γράφεται· παρὰ γὰρ τὸ λίαν ἀργὸν εἶναι ἤγουν ταχύν.

λιτός: ῑ κατὰ παράδοσιν. καὶ πάλιν τὰ διὰ τοῦ ιτος ἀποστρέφεται τὴν ει δίφθογγον.

λίτρα: ῑ· εὕρηται γὰρ ἐν συστολῇ παρὰ τοῖς Δωριεῦσιν.

λιχμῶ: παρὰ τὸ λείχω. τὸ λι ῑ, ἐπειδὴ οὐ πάντα ἀκόλουθα τὰ παραγωγὰ τοῖς πρωτοτύποις.

λίχνος διὰ τοῦ ῑ.

λιχνεία: τὸ χνει δίφθογγος παρὰ τὸ λιχνεύω.

λίψ σημαίνει τὸν ἄνεμον καὶ τὴν ἧτταν καὶ τὴν λιβάδα. ἀμφότερα παρὰ τὸ λείβω λείψω γέγονεν ἢ παρὰ τὸ λείπω λείψω, διὰ τοῦ ῑ δέ. τὰ γὰρ εἰς ψ λήγοντα πᾶσαν δίφθογγον ἀποστρέφεται.

λογεῖον: σημαίνει εἶδος κρατῆρος καὶ τὸν τόπον τοῦ θεάτρου διὰ τῆς ει διφθόγγου γράφεται. τὰ γὰρ ἀπὸ τῶν εἰς ω ῥημάτων διὰ τοῦ ειον γινόμενα καὶ προπερισπᾶται καὶ διὰ τῆς ει διφθόγγου γράφεται οἷον ᾄδω ᾠδεῖον, κείρω κουρεῖον, σκάπτω σκαφεῖον, ἄγω ἀγγεῖον. οὕτω καὶ λέγω λογεῖον.

Λόκοζος πόλις Φρυγίας. — κατεκλύσθη δέ, ὡς Ξάνθος ὁ Λυδός, ὃς καὶ διὰ τοῦ ξ γράφει ἐν τόποις (Λυδιακοῖς?) Λοκοξίτας τούτους καλῶν.

λοφάδεια.

λοχίτης: ὁ ἐνεδρεύων. τὰ παρὰ τῶν εἰς ος διὰ τοῦ ιτης κτλ.

Λύκαια πόλις Ἀρκαδίας. Θεόπομπος πεντηκοστῷ ἕκτῳ. παρὰ δὲ Μενελάῳ Λύκαιθα μετὰ τοῦ θ.

l. 1 Choer. 234, 27, E. Orion. 93, 6, E. M. 566, 47, Hes. l. 3 Choer. 235, 9. l. 4 Choer. 235, 28, Hes., qui diserte de aequabili utriusque vocabuli scriptura pronunciat; ex eo addidi etiam versum Homericum. l. 8 Choer. 236, 25, E. M. 567, 38, Hes. λιταργίζειν τροχάζειν. l. 10 Choer. 238, 12, E. M. 567, 40 et 714, 46, cf. cod. Voss. ad priorem locum E. M. a Gaisfordio p. 1611 allatum: λιτός· ὁ πένης καὶ δημότης· ἢ ὁ ἐκ λιτανείας ζῶν· ἢ ὁ ἐπὶ τῆς γῆς κοιμώμενος. λιτός ὁ εὐτελὴς χιτὼν καὶ ἀποίκιλος. Δίδυμος παρὰ τὸ λεῖον αὐτὸ λέγει διὰ τῆς ει. ἡ δὲ παράδοσις διὰ τοῦ ῑ· τὰ γὰρ διὰ τοῦ ιτος ἀποστρέφεται τὴν ει σῖτος, ἐπαφρόδιτος, μῖτος (scr. pro λῖτος) χωρὶς τοῦ κλειτός ὁ ἔνδοξος καὶ τὰ παρ' αὐτό. cf. Arcad. 79, 5, Hes. l. 12 Choer. 235, 24. Hes. οἱ δὲ Ῥωμαῖοι διὰ τοῦ β λίβρα. l. 13 E. M. 568, 10, Hes. l. 15 Choer. 238, 30, παρὰ τὸ λίαν χαίνειν Arc. 62, 8. l. 16 Choer. l. c. l. 17 Choer. 236, 20, E. M. 568, 13, Hes. l. 20 Choer. 237, 9, E. M. 569, 26. Hes. hoc vocabulum et λόγια θέσφατα μαντεύματα, quod recte per ῑ scribitur, per ῑ effert. l. 25 St. B. l. 27 Hes. a Schmidtio emendatus, Theogn. 164, 27 καταλοφάδεια (sic scribendum pro τελλοφάδεια) cf. Io. Al. 33, 20. l. 28 Choer. 236, 25, Hes. l. 29 St. B.

Λύκαιον τὸ ὄρος.

Λύκειον τὸ γυμνάσιον.

Λύκτος πόλις Κρήτης ἀπὸ τοῦ Λύκτου τοῦ Λυκάονος· ἔνιοι δὲ Λύττον αὐτήν φασι διὰ τὸ κεῖσθαι ἐν μετεώρῳ τόπῳ. τὸ γὰρ ἄνω καὶ ὑψηλὸν λύττον φασί.

Λυκώρεια κώμη ἐν Δελφοῖς. ὁ πολίτης Λυκωρεύς καὶ Λυκώριος καὶ Λυκωρείτης. ἔστι καὶ Λυκώρειος Ζεὺς καὶ Λυκώρειον διὰ διφθόγγου.

Λύρκειον ὄρος Ἄργους.

Λυρνατία χερρόνησος καὶ χωρίον Λυκίας. Ἀλέξανδρος ἐν δευτέρῳ περὶ Λυκίας.

Λυρνησσός πόλις Τρωϊκή. διὰ δύο σσ.

Λυσάνδρεια πανήγυρις ἀπὸ Λυσάνδρου ὀνομασθεῖσα. ει.

λύσειοι τελεταί· οὕτως ἐλέγοντό τινες τελεταί, ἐπεὶ καὶ Λύσιος ἐλέγετο ὁ Διονύσιος. ει.

λυσιμάχειος βοτάνη εὑρεθεῖσα ὑπὸ Λυσιμάχου. ει.

Λυχνιτός πόλις Ἰλλυρίας ἀρσενικῶς λεγομένη. Ἡρωδιανός. ἄλλοι δὲ Λυχνιδός.

λῴων βελτίων. σὺν τῷ ι.

Μ.

μάγειρος: ει.

μάδισος: δίκελλα· οἱ δὲ μαδιβός.

μαζός μαστός.

Μάζυες οἱ Λιβύης νομάδες. — εἰσὶ δὲ καὶ ἕτεροι Μάξυες καὶ ἕτεροι Μάχλυες.

μακέλη καὶ μάκελλα· δίκελλα.

Μακέτης Μακεδόνιος καὶ Μακέτις γυνὴ καὶ Μάκεσσα ἐπιθετικῶς, ὡς Ἡρακλείδης, καὶ Μάκεττα διὰ δύο ττ καὶ δι' ἑνὸς τ.

Μακετία λέγεται Μακεδονίας μοῖρα κτλ. γράφεται δὲ δι' ἑνὸς τ καὶ διὰ δύο ττ.

Μάκιστος πόλις τῆς Τριφυλίας. τὸ ἐθνικὸν Μακίστιος καὶ Μακιστία. εὕρηται καὶ Μακέστιος διὰ τοῦ ε ψιλοῦ.

Μάκρυες ἔθνος Λιβύης. Ῥιανὸς δὲ Μάκριας διὰ τοῦ ι τούτους φησί.

μαλακός μαλθακός.

---

l. 1 Theogn. 127, 10, Λυκαῖος ὁ Πύθιος Hes. collat. Theogn. 53, 1. l. 2 St. B., Theogn. 127, 28, Hes., Choer. 237, 24. Λύκειος ὁ Ἀπόλλων St. B. l. 3 St. B., Hes. Λύκτος et λύττοι οἱ ὑψηλοὶ τόποι habet. l. 6 St. B. l. 8 St. B., Hes. l. 9 St. B. ι. Arcadius per ει, qui antiquiores secutus videtur, quum monente Meinekio Λυρνατεύς gentile ab hac forma ap. Arist. Vent. nom. p. 973 inveniatur. l. 11 sic St. B. et Theogn. 72, 23, Hes. Λυρνησός per simplex σ. l. 12 Hes. l. 13 Hes. l. 15 Hes. l. 16 St. B. l. 18 Hes. l. 20 cf. fr. 17. l. 21 Hes. l. 22 Hes. l. 23 St. B. l. 25 Hes., Theogn. 111, 3 et 100, 23. l. 26 St. B. l. 28 St. B. Hes. Μακεττία ἡ Μακεδονία per duplex ττ. l. 30 St. B. l. 32 St. B. l. 34 Hes. μαληκός idem et Arc. 51, 19, Theogn. 59, 11; 26.

μαλάςςειν μαλθάςςειν.

μαλάχη μολόχη.

Μάλεα ἄκρα πρὸς τῇ Πελοποννήςῳ. καὶ Μάλεια διὰ διφθόγγου.

Μαλειήτης ὡς Αἰγινήτης· λέγεται καὶ Μαλεάτης Μαλεᾶτις.

μάλευρον ἄλευρον.

μᾶλλον τὸ ἐπίρρημα τὸ α μακρὸν ἔχει. τὰ δὲ ἔχοντα δύο σύμφωνα ὅμοια ἑπόμενα βραχὺ ἔχει τὸ δίχρονον [οἷον ἄλλος, γάλλος, θαλλός, θάλλω, πάλλω, ἅλλομαι καὶ ἀγάλλομαι Mon. 26, 16 cf. Diehr. 292, 10] καὶ τὰ ὅμοια. ὅθεν Λάκωνες τὸ μᾶλλον μάλιον λέγουςι διὰ τὸ μὴ ςυςτεῖλαι τὸ ᾱ. λοιπὸν ἐν οἷς ἐπιφέρηται δύο σύμφωνα ὅμοια, ςυςτέλλει τὸ δίχρονον ἤγουν τὸ ῑ οἷον ἴλλος, ἵκκος καὶ ἴλλαος· οἱ Αἰολεῖς (pro καὶ ἴλαος scripsi), ἐπειδὴ ἀνεδιπλαςίαςε (hoc inserui), ςυνέςτειλε τὸ δίχρονον ἤγουν τὸ ῑ διὰ τὸ μὴ δύναςθαι ὡς εἴρηται αὐτὸ ἐκτείνεςθαι (hoc inserui) τῶν δύο ἐπιφερομένων ςυμφώνων.

Μαντίνεια πόλις Ἀρκαδίας. Ὅμηρος «οἳ Τεγέαν τ' εἶχον καὶ Μαντινέην ἐνέμοντο» (B 607).

Μαντύη καὶ Μάντυα πόλις Ῥωμαίων. γράφεται καὶ Μάντουα τῷ τῶν Ῥωμαίων ἔθει.

Μαργίτης παρὰ τὸ μάργος.

Μαρικᾶς cf. Γαριμᾶς.

μάρκας μακάριος.

Τὴν μάρτυς εὐθεῖαν ἡ Αἰολέων διάλεκτος διὰ τοῦ ρ̄ προφέρει· ἐκεῖνοι γὰρ τὸ c̄ εἰς ρ μεταβάλλουςι τὸ οὗτος οὗτορ λέγοντες καὶ ἵππος ἵππορ· οὕτως οὖν καὶ μάρτυς μάρτυρ, ἀφ' ἧς ἐκπίπτει πληθυντικὸν μάρτυρες παρά τε τοῖς κωμικοῖς καὶ Ἱππώνακτι.

μάςθλη καὶ μάςθλης ἀπὸ τοῦ ἱμάςςω.

μαςταρίζω.

μαςτροπός καὶ μαςτροφός.

ματᾴζω πρὸς τὸ ᾱ τὸ ῑ γραφόμενον ἔχει ὡς τὸ ςφαδᾴζω, τερᾴζω.

ματεῖ ζητεῖ et μαςτεύει ζητεῖ.

μάτιος μάταιος.

ματιολοιχός.

ματύαι γνάθοι.

μαῦρον τὸ ἀμαυρόν.

l. 1 Hes. l. 2 Hes. l. 3 St. B., Hes. corrupte Μάλια. l. 4 St. B. a Mein. emendatus. l. 5 Hes. l. 6 Choer. 239, 33. μάλιον habet etiam Hes. l. 9 Λάκωνες pro Ἴωνες scripsi, quum Eustath. 1643, 32 οἱ Δωριεῖς — τὸ μᾶλλον μάλλιον (sic?). l. 15 St. B. — Μαντινέη habet etiam Hes. l. 17 St. B. l. 19 Choer. 239, 23. l. 21 Hes. sic pro μάκαρς nisi mendosum est. cf. Lob. El. I 509. l. 22 Herod. ap. Eustath. 114, 15. Hes. μάρτυς μάρτυρ ex Alberti emendatione pro μάρτυρ μάρτυς. l. 26 Hes. et Herod. ap. Zon. 1332. Choer. 240, 10. l. 27 Hes. μαςταρύζω Theogn. 142, 29. l. 28 Hes. l. 29 Herod., Mon. 23, 6, Hes. ματαΐςςει i. e. ματᾴζει. l. 30 Hes. idem ματήρ et μαςτήρ. l. 31 Hes. l. 32 Herod. in Schol. Arist. Nub. 451, ματαιολοιχός Hes. l. 33 Hes. idem μάθυιοι γνάθοι. l. 34 Hes.

μεγαλλεῖον ὄνομα μύρου ἀπὸ Μεγάλου Cικελιώτου εὑρόντος αὐτό.

μεγαλοφυείας: μεγαλονοίας.

Μεγαρικός κτητικόν· οὕτω δὲ καὶ τοὺς Μεγαρικοὺς κεράμους διὰ τοῦ ε̄ χρὴ λέγειν, οὐ διὰ τοῦ α, ὡς οἱ ἔμποροι τὴν ἄρχουσαν παραφθείροντες.

μεγήρατα. Ἡσίοδος «μεγήρατα τέκνα θεάων» (Theogn. 240) μεγάλως ἐπέραστα ἢ ὑπερήφανα διὰ τὸ κάλλος· ἢ μέγα ἐρίζοντα περὶ κάλλους.

μέδεα τὰ αἰδοῖα παρὰ τὸ μέδειν καὶ ἄρχειν τῆς γενέσεως ὡς καὶ Ἀρχίλοχος «ἶνας δὲ μεδέων ἀπέθρισε» καὶ κατὰ μετάθεσιν τοῦ δ̄ εἰς ζ̄ μέζεα Ἡσίοδος (op. 512) «καὶ ὑπὸ μέζε' ἔθεντο». ἢ ὅτι μέσα ἐστὶ τῆς οὐρᾶς μέσεα ὄντα. Cικελοὶ δὲ καὶ Ταραντῖνοι μέσα αὐτὰ καλοῦσι. ἐκ δὲ τοῦ μέδεα κατὰ τροπὴν τοῦ ε̄ εἰς η μήδεα.

μεθίω ἀμελῶ — μεθείω ἀμελήσω ἢ ἀπὸ τοῦ μεθῶ μεθείω ὡς τελῶ τελείω.

μεθόπωρον μετόπωρον.

Μεθώνη πόλις Μαγνησίας, ἣν Ὅμηρος διὰ τοῦ η̄ «οἱ δ' ἄρα Μηθώνην καὶ Θαυμακίην ἐνέμοντο» (Β 716).

μειζῶ διὰ τῆς ει̅ διφθόγγου γράφεται, ἐπειδὴ ἀπὸ τοῦ μείζων συγκριτικοῦ γέγονεν. τὸ δὲ μείζων διὰ διφθόγγου κτλ.

μείς μήν.

μελάντειοι ὅροι: ει̅.

μειλίγματα μείλια μείλιχος μειλίσσεσθαι.

Μελίταια πόλις Θεσσαλίας. Ἀλέξανδρος Ἀσίᾳ. Θεόπομπος δὲ Μελίτειαν αὐτήν φησι.

μελίταινα πόα τις, ἣν ἔνιοι μελίκταιναν (ἄλλοι μελισσόφυλλον).

μεμνέῳτο «ὡς μεμνέῳτο δρόμου» (Ψ 361). προπαροξυνητέον. γράφεται δὲ καὶ σὺν τῷ ῑ τὸ ω̄. οὕτω δὲ καὶ ὁ Ἀσκαλωνίτης ἐκ τοῦ μεμνέοιτο ἡγούμενος αὐτὸ εἶναι. παρὰ μέντοι Ξενοφῶντι ἄνευ τοῦ ε̄

l. 1 Theogn. 129. 1, qui diserte inter properispomena refert, quare ap. Hes. pro codicis scriptura μεγαλίον potius μεγαλλεῖον restituendum fuit: «Orus Milesius in E. M. 587, 7 testis est scribi μετάλλειον, sed in libris Aristophanis (Τελμισεῦσι) διὰ τοῦ γ̄ exaratum reperiri» Schmidt ad Hes. l. c. l. 2 Hes. iure intactum reliquit Schmidt Musuro ε̄ secludente; conferri potest cum εὐφύεια παρ' Ἀλέξιδι E. M. 462, 23. l. 3 St. B. 439, 5. l. 6 E. M. 574, 52; qui ab ἐρίζω derivabant, per ῑ scripsisse patet ex Hes. μεγήριτα τίμια μεγαλόχαρτα. cf. Schmidt. l. 9 E. M. 575, 10, cod. Paris. ap. Bekk. Anecd. 1438, E. Gud. 390, 42. Hes. habet μέζος et μήδεα. l. 14 E. M. 575, 27. Hes. μεθίω, pro quo Musur. recte μεθείω. l. 16 Hes., idem μεθόπιον. l. 17 St. B. Hes. Μεθώνη. l. 19 περὶ ποс. 312, 26. l. 21 Hes., E. M. 583, 4. l. 22 Choer. Dict. 281, 28 μελαντείους δ' ἐπὶ πέτρας Hes., apud quem Schmidt. ε̄ inseruit; ap. Apollon. IV 1707 πέτρας Μελαντίους scriptum est. l. 23 Hes., apud quem iure vocabula per ῑ exhibita seclusit Schmidt, in E. M. 587, 48 discrimen futile statuitur μειλίγματα τὰ πραΰντικὰ per ει et μιλίγματα δαιτὸς τὰ λείψανα.
l. 24 St. B. l. 26 Hes. l. 27 H. Pr. Ψ 361 (Schol. ad Arist. l. c.), transiit in E. M., ubi additum est post Xenophontis scripturam Κράτης δὲ μεμνοῖτο et in fine Πίνδαρος δὲ Δωρικώτερον διὰ τῆς αι μεμναῖτο (Pind. fr. N. 277). cf. Lob. ad Buttm. II 244.

ἐςτὶν ὁ ςχηματιςμὸς καὶ προπεριςπᾶται ἐν Κύρου παιδείας πρώτῳ (6, 3) «ἀλλ' ὅτε τὰ ἄριςτα πράττοι, τότε μάλιςτα τὸν θεὸν μεμνῷτο». τὸ ἀνάλογον δὲ διὰ τοῦ η̄ προςκειμένου τοῦ ῑ παρ' Ἀριςτοφάνει ἐν Πλούτῳ δευτέρῳ (992) «ἵνα τοὐμὸν ἱμάτιον φορῶν μεμνῇτό μου». καὶ πάλιν προπεριςπαςτέον.

μεμορυχμένα.

Μεμφίτης παρὰ τὸ Μέμφις.

μεςαύχενες· Ἀριςτοφάνης φηςὶ «μεςαύχενας νέκυας» οὕτω διὰ τοῦ μ̄ γραπτέον μεςαύχενες, ὅτι μέςον αὐχένα ἀςκοῦ πιέζει, ὃ περιεβάλλοντο ςχοινίον. παρῳδεῖ δὲ τὰ ἐν τῷ Φιλοξένου Σύρῳ· ἔνιοι δὲ διὰ τοῦ δ̄ γράφουςι δεςαύχενες καὶ [βυςαύχενες] οὐ καλῶς.

μεςοπέρδην· μεςοφέρδην τὸν μέςον φερόμενον· τὸ γὰρ παλαιὸν τῷ π̄ ἀντὶ τοῦ φ̄ ἐχρῶντο προςτιθέντες τὸ τῆς δαςύτητος ςημεῖον.

Μεςςήνη καὶ χώρα καὶ πόλις. — χώρα δὲ Μεςςηνία καὶ Μέςςη κατ' ἀποκοπὴν ἢ Μέςη καὶ Μεςήνη, ὥς τινες.

Μέταβον οἱ βάρβαροι τὸν Μεταπόντιον ἔλεγον.

μέταυλον μέςαυλον.

Μήονες οἱ Λυδοὶ λέγονται ἀπό τινος Μήονος ἢ Μαίονος τραπέντος μὲν τοῦ ᾱ εἰς η̄, τοῦ δὲ ῑ μένοντος ἀνεκφωνήτου· λέγονται δέ ποτε καὶ τετραςυλλάβως Μηΐονες ἐκφωνηθέντος τοῦ προςγραφομένου ῑ. Ἡρακλείδης δέ, φαςίν, ἄνευ τοῦ ῑ γράφει τοὺς ἀπὸ τοῦ Μαίονος κληθέντας Μήονας λέγων Βοιωτίαν εἶναι τὴν τοιαύτην μεταβολὴν ὡς τῶν Βοιωτῶν τὴν ὅλην αι̅ δίφθογγον εἰς η̄ καταμόνας μεταβαλλόντων, ὥς που καὶ ὁ Χοιροβοςκὸς παραςημειοῦται, ἐν οἷς ἐξηγεῖται τὸν Ἡρωδιανὸν λέγων καὶ ὅτι τὰς θηλυκὰς πληθυντικὰς εὐθείας τῶν παθητικῶν ἐνεςτώτων τὸ ποιούμεναι λεγόμεναι καὶ τὰ τοιαῦτα ποιούμενη λεγόμενη ἐκεῖνοί φαςιν, οὕτω δὲ καὶ τὰ ὅμοια.

μιγέωςι μιχθῶςι.

Μιδάειον πόλις Φρυγίας. — καὶ Μιδάϊον λέγεται καὶ Μιδήϊον.

μικκὸς ὁ μικρός· ἐπειδὴ ἀνεδιπλαςιάςθη τὸ κ̄, ςυςτέλλουςι τὸ ῑ.

μικρός: διὰ τοῦ ῑ γράφεται· κανὼν δὲ τοιοῦτος· τὰ εἰς κρος̅ γε-

l. 6 Hes., Eust. ad Od. ν 435 διχῶς μεμορυγμένα ἢ μεμορυχμένα. Lob. El. I 187. l. 7 Choer. 239, 24. l. 8 Hes. cum Schmidtii adnotatione. l. 12 Hes. cum Schmidtii annotatione, qui comparat ςκαπέρδα. l. 14 St. B. Hes. habet Μέςςην πόλις Λακωνικῆς et Μεςςήνη ἡ ἀρινή, in quo Schmidtio Μεςηνή ἡ Ἀριηνή latere videtur, cuius meminit St. B. Quadratum testatus. l. 16 St. B. Hes. Μετάβολοι. l. 17 Hes. l. 18 Eustath. 365, 24, quem haec de scriptura vocis Μήονες praecepta ex Choerobosco exscripsisse, Choeroboscum autem ipsum ex Herodiano excerpsisse verisimillimum est. Hes. habet Μήονες Λυδοί, Μηονίς Λύδη, Μηονία ἡ Λυδία cum ῑ subscripto. cf. etiam E. M. 583, 36. l. 28 Hes. cf. E. M. 587, 25, An. Ox. II 325, 26: τὸ μι ῑ· εἰ γὰρ ἐγράφετο διὰ διφθόγγου, ὤφειλεν εἶναι ὁ μέςος παρακείμενος μέμοιγα. ὁ δεύτερος ἀόριςτος ἔμιγον· βραχὺ τὸ ῑ. ὁ παθητικὸς ἐμίγην, μιγείς μιγέντος, μιγῶμεν μιγῶςι καὶ «ἐπεί κε νομῷ μιγέωςιν» (B 475). cf. Buttm. II p. 244. l. 29 St. B. l. 30 Choer. 240, 8. Schol. ad Hesych. μαμμυκόν, Gregor. Corinth. 282, E. M. 587, 36. l. 31 Choer. 239, 16, E. M. 587, 40.

νόμενα διcύλλαβα εἴτε κύρια εἴτε μὴ κύρια ἀποστρέφεται τὴν ει δίφθογγον.

μῖλαξ ἡ λικία· ἔνιοι δὲ μέλλαξ. καὶ παρ' Ἑρμίππῳ ἐν θεοῖς, ἀγνοήσας Ἀρτεμίδωρος. ἐκεῖ γὰρ μῖλάξ ἐστιν.

Μίλητος· ἔστι ὄνομα πόλεως, διὰ τοῦ ῑ γράφεται· Μίλλατος γὰρ λέγουσιν οἱ Αἰολεῖς ὥσπερ ὅμιλος ὅμιλλος, πέδιλον πέδιλλον· εἰ δὲ ἐγράφετο διὰ τῆς ει διφθόγγου, ἔλεγον ἂν Μέλλετος ὥσπερ κείρω κέρρω.

μιλτοπάρῃοι.

μίμνω: ἔστι τινὰ ῥήματα ἅτινα πλεονάζει σύμφωνον καὶ τρέπει τὸ ε εἰς ῑ· ἔστιν οὖν μένω, γίνεται δὲ μίμνω.

μῖμος: ῑ· τὰ εἰς ος διcύλλαβα ἔχοντα τὴν πρώτην καὶ τὴν δευτέραν συλλαβὴν ἀπὸ τοῦ αὐτοῦ συμφώνου ἀρχομένην ἐνὶ φωνήεντι θέλει παραλήγεσθαι οἷον Νῖνος, βίβλος.

μινῴα εἶδος ἀμπέλου.

μιμνήσκω ὁ μὲν Δίδυμος ἄνευ τοῦ ῑ, ἡ μέντοι παράδοσις οὐκ ἐπείσθη αὐτῷ.

Μίνως βασιλεύς. τινὲς διὰ διφθόγγου παρὰ τὸ μένω Μένως καὶ Μείνως, ἐπεὶ κατέμεινεν ἡ Εὐρώπη ἐν Κρήτῃ Ἀστερίωνι γαμηθεῖσα, ἐξ ἧς γέγονεν ὁ Μίνως. ἡ δὲ παράδοσις ἔχει τὸ ῑ, ἐπεὶ παρὰ τὸ μίμνω Μίμνως καὶ Μίνως.

μισγάγκεια: ει.

μίσγω cf. supra μιγέωσι et can. general.

μῖσος: ῑ· ὥσπερ ἀπὸ τοῦ ἀφροδύτη γέγονεν Ἀφροδίτη καὶ δύφρος δίφρος, οὕτω μύσος μῖσος.

μίτυλον ἔσχατον νήπιον Λάκωνες. — μύτιλον ἔσχατον, ἀφ' οὗ καὶ τὸν νεώτατον. οἱ δὲ καὶ τὸ ἀποβαῖνον. καὶ ὁ νήπιος καὶ ὁ νέος.

μνῴα δουλεία. σὺν τῷ ῑ.

μόλιβος καὶ μόλυβδος· εἰ μὲν ῑ ἐστίν, τὸ δ οὐκ ἔστιν οἷον «καὶ μόλιβος ὥστε δίκτυον κατῆγε» Σοφοκλῆς· ἐὰν δὲ τὸ ῡ, τὸ δ̄ «ἡ δὲ μολυβδαίνῃ ἰκέλη» Ἰλιάδος Ω (80).

Μολοσσοὶ καὶ Μολοττοὶ καὶ Μολοτοί δι' ἑνὸς τ̄.

Μολυκρία πόλις Αἰτωλίας. Στράβων δεκάτῃ (p. 460). Θουκυδίδης δευτέρᾳ (c. 84) Μολύκρειον αὐτὴν καλεῖ, Εὐφορίων δὲ Μολυκρίαν αὐτήν φησιν.

---

l. 3 Hes. cf. Mein. Com. ed. min. I p. 143. l. 5 Choer. 239, 29, Hes. l. 8 Hes. cum ι subscripto cf. καλλιπάρῃος. l. 9 Choer. 240, 15, qui inde μιμνήσκω et μίμησις repetit. l. 11 Choer. 240, 11. l. 14 Hes. ἔστι δὲ καὶ πόλις Μινῴα. St. B. cum ῑ cf. Lob. El. I 452 cum not. l. 15 Ep. Cr. I 196 cf. θνήσκω. l. 17 E. M. 588, 23. l. 21 Hes., E. M. 588, 55. l. 23 Choer. 240, 20, E. M. 588, 50 ubi ἔστι δὲ τὸ μῖ μακρὸν ἀπὸ παραδόσεως.

l. 25 Hes., Arc. 55, 23. Mon. 21, 4, ad quem locum Lehrsius suspicatur Herodianum μύτιλος aeque atque πύτιλος per traiectionem ex μίτυλος et πίτυλος orta putasse. l. 27 Hes. l. 28 E. M. 590, 8. Hes. habet μολυβδαίνῃ μολυβίδι. l. 31 St. B. l. 32 St. B.

Μομβρώ ἡ Μορμώ.

Μοψοψία ἡ Ἀττικὴ ἀπὸ Μόψοπος. ὁ πολίτης Μοψόπειος διὰ διφθόγγου καὶ διὰ τοῦ ῑ.

Μυκάλη πόλις Καρίας. Δίδυμος δὲ ὄρος τὴν Μυκάλην φησίν. ἐκλήθη δὲ ἐπεὶ αἱ λοιπαὶ Γοργόνες ἐπὶ τόκῳ (Mein. ἐπ' οἴκτῳ) μυκώμεναι τὴν κεφαλὴν Μεδούσης ἀνεκαλοῦντο· οἱ δὲ Μυχάλην αὐτήν φασιν, ἐπεὶ ἐν μυχῷ κεῖται τῆς Καρικῆς ἁλός.

Μυκαλησσός πόλις μεσογεία Βοιωτίας.

Μυκέρινα ὄνομα πόλεως.

Μυλάντειοι θεοί.

Μύλας εἷς τῶν Τελχίνων ὃς τὰ ἐν Καμείρῳ ἱερὰ Μυλαντείων ἱδρύσατο.

Μύλιττα ἡ Οὐρανία. Ἀσσύριοι.

Μυργέται ἔθνος Σκυθικόν. Ἑκαταῖος Εὐρώπῃ. ἔν τισι δὲ τῶν Ἡρωδιανοῦ γράφεται διὰ τοῦ γ̄ Γυργετῶν κακῶς.

Μύρινος πόλις ἐν Λήμνῳ ἀπὸ Μυρίνης ἢ Μυρίνου.

Μύρκινος τόπος καὶ πόλις κτισθεῖσα παρὰ τῷ Στρυμόνι ποταμῷ. Παρθένιος δὲ Μυρκιννίαν αὐτήν φησι.

Μυρμήκιον πολίχνιον τῆς Ταυρικῆς. Στράβων ἑνδεκάτῃ (p. 494). Ἡρωδιανὸς διὰ διφθόγγου γράφει καὶ προπερισπᾷ· τὸ ἐθνικόν, ἐὰν μὲν διὰ διφθόγγου, Μυρμηκειεύς, εἰ δὲ διὰ τοῦ ῑ γράφεται, Μυρμήκιος. Ἀρτεμίδωρος δὲ Μυρμηκίαν αὐτήν φησι.

μυρρίνη μυρσίνη.

Μυρρινοῦς δῆμος τῆς Πανδιονίδος φυλῆς. ὁ δημότης Μυρρινούσιος. Διονύσιος δὲ ὁ Τρύφωνος Μυρρινοῦττά φησιν. ὁ δημότης ἐκ Μυρρινούττης διὰ δύο ττ.

Μύρσινος πόλις Ἤλιδος «καὶ Μύρσινος ἐσχατόωσα» (Β 616). ὕστερον δὲ Μυρτούτιον ἐκλήθη.

μυστίλη ὁ κοῖλος ἄρτος.

Ν.

νάθραξ καὶ νάρθαξ· νάρθηξ. Δωρικῶς.

Ναιάδες ἢ Ναΐδες, Νηΐδες.

ναίω τὸ οἰκῶ διὰ τῆς αι διφθόγγου ὡς τὸ «ναῖε δὲ Σατνιόεντος

l. 1 Hes., idem Μομμώ, ὃ ἡμεῖς Μορμώ φαμεν. l. 2 St. B. l. 4 St. B. Hes. Μυκάλη ὄρος Καρίας. l. 8 St. B. — Hes. per simplex σ̄. l. 9 Theogn. 100, 33. Hes., qui etiam habet Μουκέρινα, ut Schmidtius suspicatur, ex scriptore Dorico. l. 10 Hes. et St. B. s. Μυλαντία. l. 11 Hes. et St. B. s. Μυλαντία; nomen Μύλλας per duplex λλ exstat ap. Arc. 21, 27. l. 13 Hes., qui habet etiam Μιλίτης Ἀφροδίτης, pro quo ordo Μιλύτης postulat. l. 14 St. B. l. 16 St. B., sic etiam Hes. per simplex ν̄, E. M. 595, 25 Μυρίννα. l. 17 St. B. l. 19 St. B. l. 23 Hes., apud quem vitiose μυρίνη. l. 24 St. B. l. 27 St. B., Hes. l. 29 Arc. 109, 9, ubi diserte cum πυστίλη et μαρίλη opponitur nominibus oxytonis in ειλη ὠτειλή, ἀπειλή, ὀφειλή. Quare iure ap. Hes. Schmidt. σ̄ seclusit. l. 31 Hes., Theogn. 40, 18. l. 32 Hes. l. 33 E. M. 598, 45 cf. An. Ox. II 326, 4.

ἐυρρείταο παρ' ὄχθας» (Ζ 34) ἐξ οὗ γίνεται ὁ ναός. νέω δὲ διὰ τοῦ ε̄ ψιλοῦ τὸ πορεύομαι ὡς τὸ «νῦν δ' ἐπεὶ οὐ νέομαί γε φίλην ἐς πατρίδα γαίην» (C 101) καὶ τὸ κολυμβῶ ὡς «στόμα καλλιρρόοιο Ἷξε νέων».

Νακόλεια πόλις Φρυγίας· ἔστι καὶ οὐδέτερον Νακόλαιον. καὶ ὥσπερ ἀπὸ τοῦ νύμφης νύμφαιον καὶ Ἥρας Ἥραιον, οὕτω Νακόλης Νακόλαιον ἀπὸ Νακόλης νύμφης. τὸ ἐθνικὸν Νακολαιεύς. εἰ δέ ἐστι Νακόλεια διὰ τῆς ει διφθόγγου, παρὰ τὸν Νάκολον τὸν Δασκύλου παῖδα, τὸ ἐθνικὸν ἔσται Νακολεύς.

νάρθηξ: cf. νάθραξ.

Νάστος πόλις Θρᾴκης. γράφεται καὶ Νέστος.

ναῦς: τοῦ ὀνόματος αἱ εὐθεῖαι ποικίλαι οἷον νεῦς διὰ τοῦ ε̄, νηῦς διὰ τοῦ η̄, ναῦς διὰ τοῦ ᾱ, νᾶς παρὰ Δωριεῦσι· χρῆται οὖν ὁ ποιητὴς ταύταις ταῖς φωναῖς νηυσί, νευσί, νέεσσιν, νήεσσιν. οἱ Αἰολεῖς νάεσσι. τί οὖν; οὐκ οἶδεν Ὅμηρος τὴν ναυσί; ναί, ἐν συνθέσει, Ναυσίθοος, ναυσίκλυτος.

νεάτη ἡ ἐσχάτη· καὶ νήτη χορδὴ ὑπὸ τῶν μουσικῶν πρὸς ἀντιδιαστολὴν τῆς τε ὑπάτης καὶ τῆς μέσης.

νείαιρα.

νεῖον: τῆς νηὸς τὸ πυθμενοειδὲς ξύλον.

νείατον ἔσχατον διὰ τῆς ει̅ διφθόγγου γράφεται· ὥσπερ γὰρ παρὰ τὸ μέσον γίνεται μέσατον, τὸν αὐτὸν τρόπον καὶ παρὰ τὸ νέον νέατον καὶ κατὰ πλεονασμὸν τοῦ ι̅ νείατον.

νεῖκος ἡ φιλονεικία διὰ τῆς ει διφθόγγου γράφεται ἐκ τοῦ εἴκω τὸ ὑποχωρῶ καὶ τοῦ νε̅ στερητικοῦ γέγονε νέεικος καὶ κατὰ κρᾶσιν τοῦ ε̄ καὶ τῆς ει̅ διφθόγγου νεῖκος· ἡ γὰρ φιλονεικία τοῦ ὑποχωρεῖν ἐστέρηται. εἰ γὰρ ὑποχωροῦμεν, οὐκ ἔστι φιλονεικία. — τὸ δὲ νῖκος τὸ νίκημα διὰ μόνου τοῦ ι̅ «νῖκος ἀπωσάμενος» (Μ 276)· οὕτως γὰρ διὰ τοῦ ι̅ Ἀρίσταρχος. βούλεται γὰρ λέγειν τῆς νίκης τὴν ἧτταν.

νεικῶ φιλονεικίαν σημαίνει, νικῶ δὲ νίκην.

Νεῖλος: οὐδὲν εἰς ος̅ λῆγον δισύλλαβον βαρύτονον τῇ ει̅ διφθόγγῳ παραλήγεται, ἀλλὰ μόνον τὸ Νεῖλος. Νῆλος γὰρ λέγεται κατὰ διάλεκτον.

Νείλεως διὰ τῆς ει̅ διφθόγγου γράφεται. ἢ γὰρ παρὰ τὸ νέος καὶ λεώς γέγονε νεόλεως καὶ κατὰ κρᾶσιν τοῦ ε̄ καὶ ο̄ εἰς τὴν ει̅ δίφθογ-

---

l. 4 St. B. cum Meinekii adnotatione. l. 10 St. B. l. 11 E. M. 605, 23, Il. Pr. K 109. l. 15 Hes. l. 17 Hes. cf. fr. 45. l. 18 Theogn. 121, 18, Hes. l. 19 Choer. 240, 33. l. 22 Choer. 240, 17, E. M. 601, 56; quae de νῖκος addidi, sunt ex Schol. ad Il. l., ubi cod. A Ἀρίσταρχος νῖκος διὰ τοῦ ι̅ κτλ., BL Ἡρωδιανὸς διὰ μόνου τοῦ ι̅, ἵνα δηλοῖ τὸ νίκημα. cf. de hoc νῖκος Lob. ad Phryn. 647. In An. Par. III 368 νῖκος sic derivatur: παρὰ τὸ ἐνὶ εἴκειν, εἶτα κατὰ ἀφαίρεσιν τοῦ ε̄ νιείκη καὶ ἐλλείψει τοῦ ἑτέρου ε̄ καὶ κράσει τῶν β' ιι εἰς ι̅ μακρὸν γίνεται νίκη, quae originatio congruit cum Ep. Cr. I 440, 2 in loco, quem ex Herodiano depromptum esse et testimoniorum copia et Homerici usus accurata observatio demonstrat. De νεῖκος in An. Par. diversa etymologia proponitur παρὰ τὸ τοῖς νέοις ἐοικέναι γέγονε νέεκος καὶ κράσει τῶν δύο εε̅ εἰς τὴν ει̅ δίφθογγον νεῖκος, ἡ γὰρ φιλονεικία τοῖς νέοις πρέπει. l. 28 Choer. Dict. 653, 5. καὶ τὸ μὲν νικῶ ἐστι δευτέρας συζυγίας οἷον νικᾷς, τὸ δὲ νεικῶ πρώτης ἐστὶ συζυγίας E. M. 606, 6. l. 29 Mon. 14, 10 coll. Choer. 240, 27 Νεῖλος διὰ τῆς ει διφθόγγου, οἱ γὰρ Δωριεῖς διὰ τοῦ η̅ γράφουσιν. l. 31 Choer. 241, 9, E. M. 602, 23.

γον Νείλεως ὡς πλέον πλεῖν, δέον δεῖν. ἢ ὥςπερ ἡ ἀβλῆτος καὶ ἀτρῶτος γενικαὶ μετάγονται εἰς εὐθεῖαν καὶ προπαροξύνονται, τὸν αὐτὸν τρόπον καὶ ἡ Νηλέως γενικὴ ἀπὸ τοῦ Νηλεύς εὐθείας μετάγεται εἰς εὐθεῖαν καὶ προπαροξύνεται οἷον Νείλεως κατὰ τροπὴν τῶν Βοιωτῶν τοῦ η εἰς ει δίφθογγον ὥςπερ οὐτήσω ὠτειλή.

νειός ἡ ἀνανεουμένη γῆ διὰ τῆς ει διφθόγγου γράφεται· παρὰ γὰρ τὸ νεῶ γέγονε νεός καὶ πλεονασμῷ τοῦ ῑ νειός.

νειρός σφοδρός.

νείσεται εἰσέρχεται, νείσαντο ἐπορεύοντο, νείσοντο ἐπορεύοντο, νεισόμενος πορευσόμενος, νίσεσθαι πορεύεσθαι, νισόμενον πορευόμενον.

νείφω τὸ χιονίζω διὰ τῆς ει διφθόγγου. ἔστι γὰρ νέφος καὶ ἐξ αὐτοῦ γίνεται νόφος καὶ πλεονασμῷ τοῦ γ γνόφος. ἐκ τούτου οὖν τοῦ νέφος γίνεται νέφω καὶ πλεονασμῷ τοῦ ῑ νείφω. τὸ δὲ νήφω ἐπὶ τοῦ φρονῶ, ἐξ οὗ καὶ νηφαλέος, διὰ τοῦ η γράφεται. Ἀπολλώνιος δὲ ὁ Ἀρχιβίου τοῦτο κατὰ τροπὴν γεγενῆσθαι λέγει ἀπὸ τοῦ νείφω τὸ χιονίζω κατὰ τροπὴν τῆς ει διφθόγγου εἰς ῆ. τοὺς γὰρ λειποψυχοῦντας πολλάκις ὕδατος ῥανίσι νήφειν ποιοῦμεν.

νεογιλλός.

νεοττοί νεοσσοί.

νέτωπον νετώπιον μύρον συντιθέμενον ἐκ πολλῶν μιγμάτων. οἱ δὲ μετώπια.

νευστάζων: νεύων, ἐπινεύων. — νυσταλέον ὑπνηλόν. — νυσταλωπιᾶν νυστάζειν.

νέφος: ε̄. τὰ διὰ τοῦ εφος δισύλλαβα μονογενῆ διὰ τοῦ ε̄ γράφεται χωρὶς τοῦ λαῖφος.

νεῴ: οἱ νεῴ σὺν τῷ ῑ. πρῶτον ἀπὸ τοῦ οἱ Μενέλαοι καὶ οἱ ναοί γέγονε κατὰ τροπὴν τοῦ ο̄ εἰς ω̄ καὶ μένει τὸ ῑ προσγεγραμμένον.

---

l. 6 Chuer. 241, 18, E. M. 602, 37. l. 8 Hes., idem νίρον μέγα cf. can. gen. de num. in ῑρος. l. 9 Hes. Ex his formis νείσεται νείσονται νίσεσθαι νισόμενος, quae praesentis et imperfecti sunt, si per duplex σσ scribuntur, per ῑ exhibendae sunt secundum canonem, quo ει ante σσ poni vetatur; si per simplex σ̄, ει locum habere potest. Species futuri et aoristi quum simplex σ̄ legitimum sit, utramque scripturam admittunt. Sed quum ap. Hesych. scriptura inter ει et ῑ tantum neque tamen inter simplex et duplex σ̄ fluctuet (nam νισσόμενον ex Musuri correctione dedit Schmidtius), effici videtur Herodianum verbum per simplex σ̄ protulisse, et variatio scripturae per ῑ et ει indicat, opinor, Herodianum exposuisse utramque scripturam inveniri. Sed ita eum rem decidisse suspicor ut factum est in E. M. 606, 12 νίσομαι τό πορεύομαι καὶ «νισόμενον πόλεμόνδε» (N 186) σημαίνει τὸν περιγενησόμενον. ὤφειλε γὰρ διὰ τῆς ει διφθόγγου, ἀνεφάνη γὰρ τὸ ε̄ ἐν τῷ νέομαι, ἀλλ' ἡ παράδοσις ἔχει τό ῑ θεματικόν, ὡς ἀπό τοῦ νίω ἐνεστῶτος ὁ μέλλων νίσω, quod adnotamentum Herodianeae originis esse eo magis credibile est, quod Herodianus pronensus fuit ad praesens ex futuro repetendum velut λεύσετε pro praesenti ex futuro ficto habuit in E. M. 562, 8 cf. Lob. ad Buttm. II 249, Spitzner ad Il. XIII 196 et qui ab iis citantur. l. 11 Choer. 241, 29 et 34, E. M. 605, 34, Theogn. 138 ex Herod. περὶ συζυγιῶν. Hes. habet νίφει. l. 18 Arc. 54, 15; νεογιλός Hes. l. 19 Hes., idem νεοττίς et νευσσίς. l. 20 Hes. l. 22 Hes. cf. E. M. 609, 34 νυστάζω ἀπὸ τοῦ νευστάζω ἀποβολῇ τοῦ ε̄, l. 24 E. M. 601, 44, Hes. l. 26 E. M. 616, 32.

δεύτερον δὲ ὅτι πᾶσα εὐθεῖα ἀρcενικῶν τε καὶ θηλυκῶν πληθυντικῶν εἰc φωνῆεν λήγουcα ἀνεπέκτατοc εἰc ι̅ θέλει λήγειν οἷον οἱ καλοί, αἱ μοῦcαι. αἱ γὰρ θεματικαὶ εὐθεῖαι πληθυντικαὶ ἤγουν αἱ μὴ ἀπὸ ἑνικοῦ κεκλιμέναι οἷον οἱ πέντε καὶ οἱ ἑπτά οὐκ ἀντίκεινται ἡμῖν μὴ λήγουcαι εἰc ι̅, ἐπειδὴ οὔκ εἰcιν ἀπὸ ἑνικοῦ κεκλιμέναι. εἰ ἄρα οὖν οἱ Μενέλεῳ καὶ οἱ νεῴ εἰc φωνῆεν λήγουcιν, εἰc τὸ ι δηλονότι θέλουcι καταλήγειν.

νήδυμοc.

νήϊον: παρὰ τὸ ναῦc ναόc νάϊοc καὶ τροπῇ νήϊοc καὶ νήϊον ξύλον τὸ πρὸc νεῶν καταcκευὴν ἐπιτήδειον. ἔcτι δὲ καὶ ὄροc πληcίον Ἰθάκηc οὕτω καλούμενον οἷον «ἡμεῖc δ' ἐξ Ἰθάκηc ὑπονηΐου» (γ 81) τῆc ὑπὸ τῷ Νηΐῳ ὄρει κείμενον. οὕτω δὲ «Θήβη ὑποπλακίη» (Ζ 387) ἡ ὑπὸ τῷ Πλακίῳ ὄρει. διὰ τοῦ ι̅ γράφεται. τὰ γὰρ ἀπὸ τῶν εἰc αυc θηλυκῶν μονοcυλλάβων διὰ τοῦ ιοc παραγωγὰ διὰ τοῦ ι̅ γράφεται, γραῦc γράϊοc καὶ «γρήϊον εἶδοc ἔχουcα».

νηλήτειc: ἀναμάρτητοι. παρὰ τὸ μὴ ἀλιτεῖν. καὶ νηλίτιδεc τὸ αὐτό.

νηλόc (νῆλοc) ἔριον. ἄμεινον λῆνοc.

νῆϊc.

νηπιέη ἡ τῶν νηπίων ἡλικία. — νηπιέῃcι νεότηcι. — νηπιάαc ὀχέειν νηπιότηταc, ἀφροcύναc καὶ ματαιότηταc ἔχειν ἢ ὑπ' αὐτῶν ἔχεcθαι.

Νηρῇδεc: ἔχει τὸ ι̅· ἀπὸ γὰρ τοῦ Νηρηΐδεc καὶ Βριcηΐδεc καὶ Χρυcηΐδεc καὶ Καδμηΐδεc cυνηρέθη Νηρῇδεc, Βριcῇδεc, Χρυcῇδεc καὶ Καδμῇδεc.

Νήρικοc πόλιc Ἀκαρνανίαc. [Λούπερκοc δὲ ταύτην Νήριτόc φηcιν ἢ Νήριτον ὡc τὸ ὄροc.]

νηρίτηc.

νῆc τὸ ἔνηc, ὅπερ ἐcτὶν εἰc τρίτην. Δωριεῖc δὲ νᾶc λέγουcιν.

---

l. 7 de hoc vocabulo idem sensisse Herodianum cum Aristarcho opinor. Schol. Il. Β 2: Δία δ' οὐκ ἔχε νήδυμοc ὕπνοc· ὅτι τὸ νήδυμοc μετὰ τοῦ ν̅ καὶ οὐχὶ ἥδυμοc, ὡc ἔνιοι, παρὰ τὸ ἡδύc ὡc δῆλον ἐκ τοῦ «νήδυμοc ἀμφιχυθείc» (Il. Ξ 253). οἱ δὲ μεθ' Ὅμηρον καὶ χωρὶc τοῦ ν̅ λέγουcι καὶ Ἀντίμαχοc «ἐπεί ῥά οἱ ἥδυμοc ἐλθὼν» καὶ Cιμωνίδηc «οὗτοc δέ τοι ἥδυμον ὕπνον ἔχων». ἴcωc οὖν ἐνόμιcαν ἀπὸ τοῦ ἡδύc εἶναι παραγωγὸν τὸ ἥδυμοc ὡc ἔτυμοc ἐτήτυμοc. ὁ δὲ ποιητὴc ἐπὶ τοῦ ἀνεκδύτου τίθηcι τὴν λέξιν καὶ δῆλον, φηcὶν Ἀρίcταρχοc, ὅτι παρὰ τὸ δύω ἢ δύνω ἐξέπιπτε ῥηματικὸν τὸ δύμοc καὶ κατὰ cτέρηcιν τοῦ νη̅ ὁ νήδυμοc ἐγίνετο, ὅθεν καὶ οἱ δίδυμοι δύο ἐκ μιᾶc καταδύcεωc τῆc γαcτρόc· καὶ οὐ παρὰ τὸ ἡδύc. λέξει γὰρ δαcυνομένῃ οὐ cυντίθηcι τὸ νη. cf. E. M. 602, 53, Hes. etiam scripturae sine ν meminit ἥδυμοc ὕπνοc. l. 8 E. M. 603, 14, Hes. νήϊον et ὑπὸ νηΐω. l. 15 Hes. νηλήτηc γέγονε παρὰ τὸ νη̅ τὸ ἐπιτατικὸν μόριον καὶ τὸ ἀλιτεῖν τὸ cημαῖνον τὸ ἁμαρτεῖν. καὶ ἄξιόν ἐcτι ζητῆcαι, εἰ ἄρα τὸ νηλήτηc ἀπὸ τοῦ ἀλιτεῖν γέγονε, τὸ δὲ ἀλιτεῖν διὰ τοῦ ι̅ γράφεται, πῶc τὸ νηλήτηc διὰ τοῦ η γράφεται. ἔcτιν οὖν εἰπεῖν, ὅτι ἐτράπη Αἰολικῶc τὸ ι̅ εἰc τὸ η̅, οὕτωc γὰρ τὸ ἀκτῖνεc καὶ τὸ ψιμύθιον διὰ τοῦ η̅ προφέρονται οἱ Αἰολεῖc Choer. 241, 3, E. M. 603, 49. l. 16 Hes. l. 17 Herod. Epim. in E. Orion. 110, 33, Choer. Dict. 193, 16. l. 18 Hes., E. M. 604, 24. l. 21 E. M. 604, 54, Choer. Dict. 243, 25. l. 24 St. B. Hes. habet Νήρικοc πόλιc Ἠπείρου. l. 26 fr. 43; Hes. νηρῖται μεγάλοι, quod Heinsius et Pearso correxerunt sic νηρῖται· (κοχλίαι) μεγάλοι. l. 27 Hes.

Νηcαῖον πεδίον, ἀφ' οὗ παρὰ Μήδοις οἱ Νηcαῖοι ἵπποι.

νίζε cημαίνει τὸ νίπτε. οἱ Αἰολεῖς τὰ εἰς $\overline{\text{πτω}}$ ῥήματα εἰς δύο $\overline{\text{cc}}$ μεταβάλλουσι νίπτω νίccω, Ταραντίνων δὲ φωνῇ γίνεται νίζω. παρὰ τὸ νίζω γίνεται νίτρον ὡς μάccω μάκτρον καὶ πλήccω πλῆκτρον.

νίκη: παρὰ τὴν ἐνί δοτικὴν καὶ εἴκω τὸ ὑποχωρῶ γίνεται ἐνιείκη καὶ κατὰ ἀποβολὴν τῶν δύο $\overline{\text{εε}}$ καὶ κράcει τῶν δύο ιι γίνεται νίκη οἱονεὶ ἡ ἐνὶ ὑποχωροῦcα, ὡς καὶ ὁ ποιητὴς δηλοῖ λέγων «ἑτεραλκέα νίκην» τὴν ἑτεροκλινῆ. τινὲς δὲ cχηματίζουcιν οὕτως. παρὰ τὸ νη cτερητικὸν καὶ τὸ εἴκω τὸ ὑποχωρῶ οἱονεὶ ὁ μηδενὶ ὑποχωρῶν. κακῶς δὲ λέγουcιν. ἀντίκειται γὰρ αὐτῷ ἡ γραφή.

νίκλον: τὸ λίκνον.

νίρνος φθείρ. Ἀχαιοί. ἢ νίρμος.

Νίcιβις πόλις ἐν τῇ Περαίᾳ τῇ πρὸς τῷ Τίγρητι ποταμῷ. Φίλων ἐν Φοινικικαῖς Νάcιβίς φηcι διὰ τοῦ $\overline{\alpha}$. cημαίνει δέ, ὥς φηcι Φίλων, νάcιβις τὰς cτήλας. Cτράβων δὲ ἑκκαιδεκάτῃ διὰ τοῦ $\overline{\iota}$ (p. 747).

νιφάς νιφετός διὰ τοῦ $\overline{\iota}$. εἰcὶ γὰρ ὀνόματα κτλ.

Νιφάτης ὄρος Ἀρμενίας· ἔοικε δὲ παρὰ τὸ νείφειν, ἀλλ' ὀνοματικῶς διὰ τοῦ $\overline{\iota}$ γράφεται.

Νομαντία: τὸ ἐθνικὸν Νομαντῖνος. λέγεται καὶ διὰ τῆς ου.

Νοcτία κώμη Ἀρκαδίας. Ἔφορος τὸ ἐθνικὸν Νεcτάνιος ἔφη, ὥcτε κατ' αὐτὸν Νεcτανίαν λέγεcθαι.

Νουκρία πόλις Τυρcηνίας. εἴρηται καὶ Νακρία διὰ τοῦ $\overline{\alpha}$.

νυκχάcας: γράφεται δὲ καὶ νευχάcας (sic ex Phot. 303, 9 pro νυκχάcας) ὅπερ ἐcτὶ νεανιευcάμενος. τὸ δὲ νυκχάcας νύξας.

Νῦcαι πόλεις πολλαί. τὸ ἐθνικὸν Νυcεύς. λέγεται καὶ Νυcαῖος καὶ ἐξ αὐτοῦ Νυcαιεύς τριcυλλάβως καὶ Νυcαεύς ἄνευ τοῦ $\overline{\iota}$.

νώ ἡμᾶς.

Νώνακρις τόπος ἐπώνυμος Ἀρκαδίας. τινὲς δὲ Νώναπις.

l. 1 St. B. Sic per $\overline{\eta}$ etiam Hes. Νηcαίας ἵππους; alii Νιcαῖον ἵππον dicebant ut Herod. III 106, Strab. XI 522; 530; scripturam per $\overline{\upsilon}$ vitiosam esse docet Coray ad Heliod. IX 19, Schmidt, ad Hes. s. v. Apud Herodotum nunc Νηcαῖοι restitutum est cf. Stein. ad VII 40. l. 2 E. M. 605, 42. l. 5 E. M. 605, 55, ubi tertia etiam antecedit originatio: νίκη παρὰ τὴν ἐνί δοτικὴν καὶ τό ἵκω τὸ παραγίνομαι γίνεται ἐνιΐκη καὶ κράcει τῶν δύο ιι εἰς ἓν μακρόν νίκη ἀποβολῇ τοῦ $\overline{\epsilon}$· καὶ πολλάκις πέφυκεν ἀποβάλλειν κατὰ τὴν ἀρχὴν τὸ ε οἷον ἐρύω ἐρυτῆρες ῥυτῆρες, ἔχω ἐχείρ χείρ. Quum in Ep. Cr. I 440, 1 χειρός: κατὰ ἀφαίρεcιν τοῦ ε γέγονε παρὰ τό ἔχω ὡς παρὰ τό ἐνὶ εἴκειν νίκη καὶ ἐρῳδιός ῥῳδιός κατὰ Cιμωνίδην «ῥῳδιῷ κατηυλίcθην» in loco, quem alia etiam indicia Herodianeum esse produnt, derivatio ab ἐνὶ εἴκειν proponatur, hanc pro ea habeam, quam Herodianus reliquis praetulerit; exstat etiam in E. Orion. 107, 25. l. 11 Hes., apud quem νεηκλᾶ· λικνᾶ Salmasius ex νεῖκλα λίκνα corruptum esse vidit. l. 12 Hes. l. 13 St. B., qui tertiam scripturam Uranii Νίcιβις affert. l. 16 Choer. 241, 33. l. 17 St. B. l. 19 St. B. l. 20 St. B. l. 22 St. B. l. 23 Hes. l. 25 St. B. l. 27 Hes. oxytonos et sine $\overline{\iota}$. E. M. 609, 39, Il. Pr. Є 219. l. 28 Hes. St. B. Νώνακρις πόλις Ἀρκαδίας.

Ξ.

Ξανθικόc ὁ μήν· ῑ. οὐδεὶc γὰρ μὴν Μακεδονικὸc τὴν ει δίφθογγον ἔχει ἐν παρατελεύτῳ.

Ξεῖνοc διὰ διφθόγγου γράφεται· ὥcπερ γὰρ ἀπὸ τοῦ κενόc γίνεται κεινόc κατὰ πλεοναcμὸν τοῦ ῑ οἷον «κεινὴ δὲ τρυφάλεια ἅμ' ἕcπετο χειρὶ παχείῃ» (Γ 376), τὸν αὐτὸν τρόπον καὶ τὸ ξένοc γέγονε ξεῖνοc. μηδεὶc δὲ οἰέcθω, ὅτι τὸ ξέννοc ἀπὸ τοῦ ξεῖνοc γέγονεν· οὐδέποτε γὰρ οἱ Αἰολεῖc τὸ ῑ τὸ ἀπὸ πλεοναcμοῦ ἀποβάλλουcι καὶ ἀναδιπλαcιάζουcι τὸ cύμφωνον οἷον τὸ κενόc γίνεται κεινόc καὶ οὐ λέγουcι κέννοc· ἀλλὰ ἀπὸ τοῦ ξένοc γέγονε ξέννοc. καὶ γὰρ πολλάκιc καὶ ἐπὶ βραχέων ποιοῦνται τοῦ cυμφώνου διπλαcιαcμὸν οἷον Ἔννη· ἔcτι δὲ ὄνομα πόλεωc· θεράπων θερράπων. οὕτω καὶ ξένοc ξέννοc.

Ξένιοc: ῑ καὶ τὸ κύριον καὶ τὸ ἐπίθετον.

Ξερόν τὸ ξηρὸν τῆc γῆc.

Ξίμβαι ῥοαί. Αἰολεῖc.

Ξῖριc: ἔcτι δὲ εἶδοc ἀρωματικοῦ φυτοῦ. διὰ τοῦ ῑ γράφεται. τὰ γὰρ εἰc ρ̄ιc κτλ.

Ξιφίζειν ἀνατείνειν τὴν χεῖρα, καὶ ὀρχεῖcθαι.

Ξιφύδρια κοχλία.

Ξυλεία: ε̄ι. ξυλεύω γάρ.

Ξυλήφιον: ῑ ὡc ὑποκοριcτικὸν καὶ δοκιμώτερον τὸ ξυλήριον καὶ ξυλάριον.

Ξυλοφορία: ῑ ἡ παράδοcιc.

Ξύμμαχοι cύμμαχοι.

Ξυνά κοινά.

Ο.

Ὄα ἀπὸ τοῦ οἶα γέγονεν, ἐξ οὗ καὶ τὸ διὰ τῆc ω̄ι διφθόγγου ᾦα. δηλοῖ δὲ δῆμον Ἀττικὸν καὶ τοῦ χιτῶνοc τὸ ἄκρον.

Ὄγγα Ἀθηνᾶ καὶ Ὄγκαc Ἀθηνᾶc.

---

l. 2 Choer. 242, 32, Hes. Ξανθικά· ἑορτὴ Μακεδόνων, ξανθικοῦ μηνὸc ἡ ξανδικοῦ ἀγομένη. l. 4 Choer. 242, 15 cf. simillimum Herodiani praeceptum in E. M. 582, 43. l. 13 Choer. 242, 31. l. 14 Hes. E. M. 611, 22 ξηρὸν καὶ ξερόν. γίνεται δὲ κατὰ τροπὴν τοῦ η̄ εἰc ε̄ ξερόν. l. 15 Hes., qui habet etiam ῥίμβαι· ῥοαὶ μεγάλαι, ἄμεινον δὲ διὰ τοῦ ξ̄ ξίμβαι. l. 16 Choer. 242, 10 cf. fr. 18 Apud Hes. ξειρίc per ει et oxytonos scriptum est, apud eundem ex Schmidtii emendatione etiam Ζεῖριν· ἄρωμά τι ποιόν. Theogn. 24, 10, quem locum attulit Schmidt., ὕcτα· ξυρίc; in E. M. 209, 25 etiam cῖριc forma commemoratur: cῖριc ἢ ξῖριc· ποτὲ μὲν γὰρ διὰ τοῦ c̄ λέγεται, ποτὲ δὲ διὰ τοῦ ξ̄ καὶ ποτὲ μὲν διὰ τοῦ ῑ γράφεται, ποτὲ δὲ διὰ διφθόγγου. κρεῖττον δὲ διὰ τοῦ ῑ. l. 18 Hes., idem cκιφίζει· ξιφίζει. ἔcτι δὲ cχῆμα μαχαιρικῆc ὀρχήcεωc. l. 19 Hes., idem cκιφύδρια εἶδοc κογχυλίου. cf. Schmidt. l. 20 Choer. 243, 1. l. 21 Choer. 242, 29, E. M. 611, 22. l. 23 Choer. 242, 28. l. 24 Hes. l. 25 Hes., E. M. 611, 29. l. 27 Theogn. 106, 6, E. M. 612, 38, Arc. 100, 12 et 17, Hes. ὄα, οἶαι, ὦα ἡ μηλωτή sine ῑ ut ap. Arcad. 100, 23, sed ap. eundem etiam ὦιαι· ἄκραι, ἔcχατα, μηλωταί, λέγναι; porro ὄη δένδρον καὶ δῆμοc τῆc Ἀττικῆc, quam formam etiam St. B. profert. l. 28 Hes. St. B. Ὀγκαῖαι·

ὁ δεῖνα: ὥςπερ τὸ Νέα πόλις δύο ὀνόματά ἐςτι καθ' ἑνὸς ὑποκειμένου, οὕτω καὶ τὸ ὁ δεῖνα δύο ἀντωνυμίαι εἰςὶ καθ' ἑνὸς ὑποκειμένου. τινὲς δὲ λέγουςιν, ὅτι μία λέξις ἐςτὶ καὶ οὐ δύο. οἵτινες κακῶς λέγουςιν. εἰ γὰρ ἦν μία λέξις, οὐκ ὤφειλε κατὰ πτῶςιν ἐναλλάττεςθαι ἡ ἀρχὴ οἷον φιλάνθρωπος φιλανθρώπου φιλανθρώπῳ· γράφεται διὰ διφθόγγου οὕτως ἐχούςης τῆς παραδόςεως καὶ ἴςως πλανηθείςης ἔκ τοῦ τινας λέγεςθαι ὅτι μία λέξις ἐςτίν. οἱ γὰρ λέγοντες, ὅτι μία λέξις ἐςτί, λέγουςιν, ὅτι παρὰ τὴν ὅδε ἀντωνυμίαν γέγονεν ὁδεῖνα καὶ ὁδεῖνα. αἱ ὑπὲρ μίαν ςυλλαβὴν μονοπρόςωποι ἀντωνυμίαι θέλουςιν ἔχειν δίφθογγον, αὐτός, οὗτος, ἐκεῖνος· μόνον τὸ ὅδε οὐκ ἔχει· τούτου χάριν ὁ δεῖνα ἔχει τὴν ει δίφθογγον. πρόςκειται «ὑπὲρ μίαν ςυλλαβήν» διὰ τὴν μίν καὶ ςφίν μονοπρόςωπον. μονοπρόςωποι δὲ λέγονται αὗται, ἐπειδὴ οὐκ ἔχουςι πρῶτον καὶ δεύτερον πρόςωπον κατὰ ἀκολουθίαν. τὸ γὰρ ἐγώ, ςύ οὐκ εἰςι τοιοῦτον, ἀλλὰ τὸ ἵ.

ὀδμή ὀςμή.

ὄθματα ὄμματα.

ὀθνεῖον: ει δίφθογγος. ἀνεφάνη γὰρ τὸ ε ἐν τῷ «ὀθνέην ὁδόν» (ἔςτι δὲ παρὰ τὸ νόθος νοθεῖος καὶ ἐν ὑπερβιβαςμῷ ὀθνεῖος).

οἰδαίνω «οἰδάνει ἐν ςτήθεςςι νόον» (Il. I 554) ἐνδείᾳ τοῦ ι ὡς μελάνει (Η 64).

ὀϊζυε, ὀϊζύομεν οἰζύει, ὀϊζύος οἰζύς, οἰζυρά.

οἴειος: ει.

οἰκεῖος: ει. οἰκήϊος γὰρ οἱ Δωριεῖς.

οἰκετεία ει ἡ θεραπεία.

οἰκία ὁ οἶκος διὰ τοῦ ι τὸ κι· ἐκ τοῦ οἶκος γὰρ γέγονεν οἰκία.

οἰκιμβάζειν ςτραγγεύεςθαι διατρίβειν. ὀκιμβάζειν διατρίβειν καὶ ςτραγγεύεςθαι. ςκιμβάζει χωλεύει.

οἰκονομία: ι παρὰ τὸ οἰκονόμος.

οἶκος.

οἰκτίρω οἰκτείρω· διὰ τοῦ ι γράφεται καὶ διὰ τῆς ει διφθόγγου. ἔχει δὲ λόγον ἑκάτερα. τὸ γὰρ οἰκτίρω διὰ τοῦ ι γράφεται διὰ τὸ οἰκτιρμός γράφεςθαι διὰ τοῦ ι. καὶ πάλιν οἱ Αἰολεῖς οἰκτίρρω λέγουςι καὶ οὐχὶ οἰκτέρρω. οἱ δὲ διὰ τῆς ει διφθόγγου γράφεςθαί φαςιν αὐτό,

---

πύλαι Θηβῶν. Εὐφορίων Θρᾳκί. Ὄγκα γὰρ ἡ Ἀθηνᾶ κατὰ Φοίνικας. l. 1 E. M. 614, 47, ubi praeceptum melius servatum est quam ap. Choer. 246, 7.
l. 15 Hes. l. 16 Hes. cf. Ep. Cr. I 102, 30. l. 17 Choer. 245, 31, E. M. 616, 8. l. 19 Il. Pr. H 64 et Ξ 73. l. 21 Hes. E. M. 619, 56 ὁ Ἀπολλώνιος λέγει (de adv. p. 538) ὅτι ἐςτὶν οἶ ἐπίρρημα ςχετλιαςτικὸν ἢ θρηνητικόν. ἐκ τούτου γίνεται οἰζω ὡς λίαν λιάζω καὶ αἶ αἰάζω. ἐκ δὲ τοῦ οἰζω γίνεται οἰζύω καὶ κατὰ διάλυςιν ὀϊζύω καὶ ὀϊζυρός. l. 22 Hes. habet οἴϊας. l. 23 Choer. 244, 28, ubi l. 24 οἰκεῖα τὰ ἴδια. ει δίφθογγος ὡς κτητικόν, τῆς οἰκίας γάρ. Hes.
l. 24 Choer. 246, 25. l. 25 Choer. 244, 26. l. 26 Hes. Theogn. 21, 3.
l. 28 Choer. 244, 3. l. 29 fr. 38. l. 30 Choer. 243, 26. Herodianus propter canonem generalem τὰ διὰ τοῦ ειρω scripturam per ει praeoptavisse putandus est et Hes. habet οἰκτείρειν ἐλεεῖν.

ἐπειδὴ οἰκτερῶ ἐστιν ὁ μέλλων. ὅσα γὰρ ῥήματα ἐν τῷ μέλλοντι ἔχει τὸ ε̄, καὶ ἐν τῷ ἐνεστῶτι τὸ ε̄ ἔχει καὶ ἢ μόνον ἢ μετὰ τοῦ ῑ αὐτὸ ἔχει· μόνον μὲν οἷον νέμω νεμῶ, δέρω δερῶ. μετὰ δὲ ἑτέρου φωνήεντος οἷον κείρω κερῶ, ἐγείρω ἐγερῶ, ἀείρω ἀερῶ. εἰ οὖν οἰκτερῶ φαμεν τὸν μέλλοντας διὰ τοῦ ε, δηλονότι ὁ ἐνεστὼ διὰ τῆς ει̅ διφθόγγου γράφεται.

Ὀϊλεύς: λέγεται δὲ καὶ Ἰλεύς. διὰ τοῦ ῑ γράφεται, ἐπειδὴ τὰ εἰς ευc̄ ὡς ἐπὶ τὸ πλεῖστον οὐ θέλει τῇ ει̅ διφθόγγῳ παραλήγεσθαι κτλ.

οἴομαι καὶ κατὰ διάλυσιν ὀΐομαι.

οἱονεί: δίφθογγος. δύο γὰρ μέρη λόγου ἐστίν, ὄνομα καὶ ὁ σύνδεσμος καὶ ἐν συνθέσει (pro συναιρέσει scripsi) γέγονεν οἱονεί τὸ ἐπίρρημα.

οἶσθα οἶδας. ἑκατέρως Ἀττικῶς.

Οἰσύμη πόλις Μακεδονίας. ταύτην Αἰσύμην Ὅμηρος (Il. Θ 304) ἔφη.

οἰσύπειον: ἔριον ῥυπαρὸν προβάτων. τὸ αὐτὸ οἰσυπηρόν καὶ οἰσυπηρός.

Οἴτη ὄρος περὶ Τραχῖνα. οἱ οἰκοῦντες Οἰταῖοι. καὶ θηλυκὸν Οἰταίη καὶ Οἰτηΐς, ἴσως ἀπὸ τοῦ Οἰταιεύς Οἰταιΐς καὶ Οἰτηΐς.

Οἴτυλος πόλις Λακωνικῆς. «ἠδ' Οἴτυλον» (B 585) ὡς δάκτυλον ἀπὸ τοῦ Οἰτύλου ἥρωος. τινὲς δὲ τὸ οι ἄρθρον φασὶν εἶναι καὶ τὴν πόλιν Τύλον.

ὀκεῖλαι ἐξώκειλα. ὀκέλλω γάρ.

ὄκκα παρ' Ἀλκμᾶνι· τὸ ὅτε ὅκα λέγει ἡ διάλεκτος. εἶτα διπλασιάσασα ὄκκα.

ὀκνείω ὀκνῶ.

ὄκταλλος ὁ ὀφθαλμὸς παρὰ Βοιωτοῖς.

ὀλαιτοί: σπερμολόγοι. καὶ ὀλατοί.

ὄληαι ἀποθάνοις.

ὀλίος κατὰ διάλεκτον. Ταραντῖνοι γὰρ τὸ ὀλίγος ὀλίος λέγουσιν ἄνευ τοῦ γ̄.

Ὀλμειός ποταμός: ει ὡς Ἀλφειός.

ὄλοκες αὔλακες.

ὀλόπτειν, ὀλούφειν τίλλειν.

ὄλπα ἡ ἐλπίς.

---

l. 7 Choer. 244, 31. cf. Il. Pr. Δ 264. l. 9 Choer. 244, 17, Hes., apud quem etiam οἶμαι. l. 10 Choer. 246, 19, Hes. οἱονεί ὡσπερεί. l. 13 Hes. l. 14 St. B. l. 15 Hes. l. 17 St. B. l. 19 St. B. Il. Pr. l. c. l. 22 Choer. 245, 20; 246, 32, Hes. l. 23 Herod. περὶ παθῶν in E. M. 620, 36, Hes. l. 25 Hes. Herod. περὶ παθῶν in E. M. 620, 44. l. 26 Arc. 54, 5, Hes. ὄκκον ὀφθαλμόν. l. 27 Hes. l. 28 Hes. Orus Milesius in E. M. 621, 32 ut videtur ex Herodiano: ὄληαι Τυραννίων προπερισπᾷ καὶ τὸ ῑ προσγράφει οἰόμενος παρέλκειν τὴν ᾱι· οὕτω καὶ ἐπὶ τοῦ «πρώτη ἐπαύρηαι» (O 17). ἔστι δὲ μέσος ἀόριστος δεύτερος καὶ οὐ περισπᾶται οὐδὲ προσγράφεται τὸ ῑ. l. 29 Herod περὶ παθῶν in E. M. 621, 51. l. 31 Choer. 246, 17, Hes. Arc. 44, 16. l. 32 Hes. Arc. 125, 6. l. 33 Hes. l. 34 Hes.

Ὄμβρικοι ἔθνος Ἰταλικόν. λέγονται καὶ Ὄμβροι καὶ Οὔμβροι παρὰ τοῖς Ἰταλικοῖς συγγραφεῦσιν.

ὁμηρεία ει παρὰ τὸ ὁμηρεύω.

ὅμιλος: ῑ. ὅμιλλος γὰρ λέγουσιν οἱ Αἰολεῖς. καὶ πάλιν τὰ διὰ τοῦ ι̅λος κτλ.

ὀμιχεῖν οὐρεῖν. διὰ τοῦ ῑ γράφεται. τὰ γὰρ εἰς χω̄ τῇ ει διφθόγγῳ οὐ παραλήγεται.

ὀμίχλη ἢ ὀμίχλα.

ὀνείατα σημαίνει καὶ τὰ βρώματα καὶ πάντα τὰ ὠφελοῦντα. διὰ τῆς ει διφθόγγου γράφεται, ἐπειδὴ οἱ Αἰολεῖς διὰ τοῦ η̅ γράφουσιν αὐτὸ οἷον ὀνήατα. κατ᾽ ἔθος γὰρ ἔχουσι τὴν ει δίφθογγον εἰς η τρέπειν. γέγονε δὲ καὶ παρὰ τὸν ὀνήσω μέλλοντα ὄνειαρ ὀνείατος κατὰ τροπὴν Βοιωτικὴν τοῦ η̅ εἰς τὴν ε̅ι̅ δίφθογγον.

ὄνειδος: ει δίφθογγος. (παρὰ γὰρ τὸ εἶδος καὶ τὸ ὀνῶ τὸ μέμφομαι γέγονεν ὄνειδος. ὄνειδος γὰρ τὸ κατὰ τὸ εἶδος μεμπτόν?)

Ὄνειον ὄρος ἐν Κορίνθῳ.

ὄνειρος: ει. τὰ διὰ τοῦ ειρος κτλ.

ὀνομαστί: ῑ, ἐπειδὴ καὶ συνέσταλται.

ὀξύπεινος: ε̅ι̅.

ὀπτανεῖον μαγειρεῖον.

Ὀπικοί ἔθνος Ἰταλίας. οἱ δὲ ὅτι Ὀφικοί ἀπὸ τῶν ὄφεων.

ὀπιπεύω διὰ τοῦ ῑ γράφεται· παρὰ γὰρ τὸ ὄπτω τὸ θεωρῶ γίνεται ὀπτεύω καὶ κατὰ διπλασιασμὸν ὀπιπτεύω καὶ ὀπιπεύω.

ὄπισθεν καὶ ὄπιθεν.

ὀπτίλλος ὀφθαλμός.

ὀπωρινός διὰ τοῦ ῑ γράφεται. τὰ γὰρ εἰς νος ὀξύτονα ἐπὶ καιροῦ λαμβανόμενα κτλ. οὕτω καὶ ὀπωρινός διὰ τοῦ ῑ μακροῦ ὅλα.

ὀρεινός ὑπάγεται τῷ κανόνι τῶν εἰς νος ὀξυτόνων.

ὄρειος: ε̅ι̅ ἀπὸ τοῦ ὄρεος γενικῆς. ὄριον δὲ τὸ δασυνόμενον ῑ καὶ Ζεὺς Ὅριος.

ὀρείχαλκος.

ὀρεοκόμος.

ὀρεσκῷος ὁ ἐν ὄρεσι διαιτώμενος. ἀπὸ τοῦ κείω τὸ κοιμῶμαι

---

l. 1 St. B. l. 3 Choer. 246, 23. l. 4 Choer. 244, 22, Hes., ubi ἀπὸ τοῦ ὁμοῦ εἰλεῖσθαι κατ᾽ αὐτὸν ὄχλον. cf. Ep. Cr. I 303, 7, E. Orion. 118, 9. l. 6 Choer. 245, 1, Hes. l. 8 Hes. l. 9 Choer. 245, 21, E. M. 626, 3 cf. Ahrens de dial. Aeol. 191 not. 5. Hes. l. 14 Choer. 245, 17. l. 16 Hes. l. 17 cf. fr. 15, 16, 17 et can. gen. de ειρος. καὶ ἄλλως, ἐπειδὴ οἱ Αἰολεῖς ὄναιρος λέγουσιν Choer. 245, 17. l. 18 Choer. 245, 6. l. 19 Choer. 246, 17. l. 20 Hes. cf. fr. 40. l. 21 St. B. Hes. Ὀφικοί οἱ νῦν Ὀπικοί. l. 22 Choer. 244, 5, Hes. l. 24 Hes. l. 25 sic Arcad. 54, 15 per duplex λλ, unde iure Schmidtius Hesychio ὀπτίλλοι ὀφθαλμοί restituendum iudicat. l. 26 Choer. 243, 2. l. 28 Choer. 245, 29. l. 29 Choer. 246, 21. l. 31 E. M. 630, 52, Hes. ὀρείχαλκος et ὀρίχαλκος. l. 32 Hes., alias etiam ὀρεωκόμος Arist. Thesm. 491 invenitur cf. Lob. ad Phryn. 697. l. 33 An. Paris. III 344, 33, E. M. 630, 12. Hes. ὀρεσκῴοισιν· ὀρεσιοίκοις ἢ ὀρεσικοίτοις· κεῖαι γὰρ κοιμηθῆναι.

γίνεται ὀρεσίκοιος καὶ κατὰ συγκοπὴν καὶ τροπὴν τοῦ ο εἰς ῳ̄ ὀρεσκῷος καὶ μένει τὸ ῑ προσγεγραμμένον.

Ὀρεστία πόλις. ῑ.

ὀρεύω φυλάσσειν.

ὀρθοέπεια: ει δίφθογγος τῷ λόγῳ τῶν διὰ τοῦ ει̅α προπαροξυτόνων.

ὀρίγανον.

ὀρίνω διὰ τοῦ ῑ γράφεται. οἱ γὰρ Αἰολεῖς ὀρίννω λέγουσι καὶ οὐχὶ ὀρέννω. καὶ ἄλλως, ἐπειδὴ εὕρηται κλινόμενον μετὰ τὸν παρατατικόν. εἰ δὲ μετὰ τῆς ει διφθόγγου ἐγράφετο, οὐκ ἐκλίνετο μετὰ τὸν παρατατικόν. τὰ γὰρ διὰ τοῦ ει̅νω ὑπὲρ δύο συλλαβὰς διὰ τῆς ει διφθόγγου γραφόμενα ἄχρι τοῦ παρατατικοῦ κλίνεται, ἐρεείνω, φαείνω, ἀλεείνω. καὶ ἰστέον ὅτι πάντα τὰ ὑπὲρ δύο συλλαβὰς διὰ τοῦ εινω διὰ τῆς ει διφθόγγου γράφεται πλὴν τοῦ ὀρίνω καὶ ὠδίνω.

ὀριχᾶται γλίχεται ἐπιθυμεῖ.

ὀρκάνη εἱρκτή δεσμωτήριον.

ὅρκμον φράγμα.

ὁρμειαί ὁρμιαί.

Ὀρνειαί ἤ Ὀρνεαί, κώμη Ἀργείας.

ὄρνις ὄρνιθος· ῑ διὰ τὸ εἰς θος εἶναι τὴν γενικήν.

ὀροβάκχη βοτάνη τις.

ὀρούα χορδή. — ὀρύα χορδὴ ἑφθή.

ὀρρωδῶ καὶ ἀρρωδῶ.

ὀρτή ἀπὸ τοῦ ἑορτή κατὰ ἀφαίρεσιν.

ὄρυμος βωμός. οἱ δὲ ὄρυμβος.

ὄρφνα καὶ ὄρφνη· σκοτία. νὺξ μέλαινα.

ὄρχαμος ἡγεμών. παρὰ τὸ ἄρχω ἄρχαμος καὶ ὄρχαμος.

ὅσιος διὰ τοῦ ῑ ὡς Χαρίσιος, ἀφροδίσιος.

Ὄσιρις διὰ τοῦ ῑ τῷ λόγῳ τοῦ Βούσιρις.

ὀστακός εἶδος καράβου. οἱ δὲ ἀστακὸν λέγουσιν.

ὄσπριον δεῖ λέγειν καὶ οὐκ ὄσπρεον. παρὰ γὰρ τὸ σπόρος σπόριον καὶ ὑπερβιβασμῷ ὄσπριον. Χοιροβοσκός.

l. 3 St. B. Eudaemon et Orus teste Stephano urbem Arcadicam Ὀρέστειον per ει̅ exhibuerunt. l. 4 Hes. et Theogn. 50, 21, ubi ὀρεύω ὀρεός, vulgo ὠρεύω. l. 5 Choer. 246, 5. l. 7 cf. fr. 12. l. 8 Choer. 244, 8, Hes. l. 15 Hes., qui cum eadem interpretatione praebet ὀρίχεται et ὀρόχεται. cf. Lob. Rhem. 67, qui omnes has formas cum ὀριγνᾶσθαι societate coniunctas putat. l. 16 Hes., qui habet etiam ἑρκατή, quod Schmidt. probabiliter in ἑρκάνη mutatum velit. l. 17 Hes., idem ὀρχμαί φραγμοί. l. 18 Hes. Lob. El. I 429. l. 19 St. B. Hes. Ὀρνειαί πόλις. Eustath. ad Hom. 291, 6 Ὀρνειαί ἢ δίχα τοῦ ῑ Ὀρνεαί, τοῦτο γὰρ μάλιστα ἐν κοινῇ χρήσει κεῖται. — γράφονται δὲ διὰ διφθόγγου αἱ Ὀρνειαί ὡς καὶ Βρυσειαί καὶ Αὐγειαί. l. 20 Choer. 244, 4. l. 21 Hes., alii ὀροβάγχη. cf. Schmidt. l. 22 Hes. cf. Theogn. 106, 21. l. 23 E. M. 633, 38. l. 24 Herod. περὶ παθῶν in E. M. 634, 13, Hes. ὀρτή ἑορτή. l. 25 Hes. l. 26 Hes. l. 27 E. M. 634, 32. l. 28 Choer. 244, 18, Theogn. 58, 1, E. M. 635, 41. l. 29 Choer. 245, 4, Hes. l. 30 Hes. l. 31 E. M. 635, 48 ex Choer. Orth.

ὄστρεια: ει. ὄστρεα γάρ.

ὅ σφιν ἀντὶ τοῦ ὅς αὐτοῖς. Ἀρίσταρχος εἰδὼς ὅτι ὁ ποιητὴς προτακτικοῖς χρῆται ἀντὶ ὑποτακτικῶν τὸ «ὅ σφιν προΐει» (Α 336, ubi tamen σφῶϊ, sed substitui possunt loci β 160; 228; η 158) καὶ τὰ λοιπὰ δι' ἑνὸς σ̄ γράφει.

ὀσχεός: ἀπὸ τοῦ ὀχεύω ὀχεός καὶ πλεονασμῷ τοῦ σ ὀσχεός.

ὅτι: ἰστέον ὅτι τὸ ὅτι πῆ μέν ἐστι σύνδεσμος αἰτιολογικός, πῆ δὲ ὄνομα οὐδέτερον. ἐὰν δὲ ἀναδιπλασιασμὸν δέξηται τοῦτο ὅτι, μόνον ἐστὶ ὄνομα ἐν μιᾷ λέξει ἀκουόμενον καὶ οὐκέτι συμπίπτει συνδέσμῳ, ἀλλ' ἔστιν οὐδέτερον ὄνομα.

ὀττεσθαι κληδονίζεσθαι, ὀττεύεσθαι ὁμοίως. — ὄσσα κληδὼν καὶ φήμη.

οὐθέν οὐδέν — οὐδένεια οὐθένεια.

οὐκί οὐχί.

οὔριος ἐπιτήδειος, ἐπιδέξιος ἄνεμος, τὸ δὲ οὔρειος ὄρειος.

οὕτως τὸ ἀνάλογον, τὸ δὲ οὕτω κατ' ἔλλειψιν.

ὀφείλει δεῖ γενέσθαι κατ' ἀνάγκην. — ὀφέλλει ὠφελεῖ αὔξει. ὄφελες ὤφειλες.

ὀχεῖον ἡ ἄγκυρα: ει.

ὄχθοιβος λῶμα.

ὀψαρίδιον διὰ τοῦ ῑ. ὥσπερ παρὰ τὸ οἰκία γέγονεν οἰκίδιον διὰ τοῦ ῑ, οὕτω καὶ παρὰ τὸ ὀψάριον ὀψαρίδιον ὡς γωνία γωνίδιον.

ὀψὲ δύων ἐν δυσὶ μέρεσι λόγου· εἰ γὰρ ἦν σύνθετον, διὰ τοῦ ῑ ἐγράφετο ὀψιδύων ὡς ὀψιμαθής, ὀψιτέλεστον. οὕτως δὲ καὶ τὸ «ὀψὲ δύοντα Βοώτην» (Od. ε 272).

ὀψείω τὸ ἐπιθυμίαν ἔχω τοῦ θεωρῆσαι. διὰ τῆς ει̅ διφθόγγου. εὕρηται γὰρ καὶ χωρὶς τοῦ ῑ παρὰ Σώφρονι «ἐγὼ δέ τοι πάλιν ὤψεον». καὶ ἄλλως. τὰ ἀπὸ ἐνεστώτων ἢ μελλόντων διὰ τοῦ ειω̅ παραγωγὰ ὑπὲρ δύο συλλαβὰς διὰ τῆς ει̅ διφθόγγου γράφεται.

Π.

πάγχυ παντελῶς. γίνεται παρὰ τὸ πάνυ κατὰ πλεονασμὸν τοῦ χ̄.

παιδεία: ει. παιδεύω γάρ.

244, 29, Hes. l. 1 Choer. 245, 28. l. 2 E. M 614, 13, Hes. ὅς σφιν habet. cl. Choer. 247, 1 ΟΤΩ (sc. ὃ σφῶϊ) χωρὶς τοῦ σ̄ ὅτε σύμφωνον ἐπιφέρηται. Hes. ὃ σφῶϊ· ὅς ὑμᾶς emendatus ab Alberto. l. 6 Il. Pr. Ψ 160, E. M. 637, 27, Theogn. 50, 20, Hes. l. 7 E. M. 636, 40, Ep. Cr. I 323, 27, quod adnotamentum recepi inter fragmenta περὶ παθῶν. l. 11 Hes. l. 13 Hes, Choer. 246, 18 οὐδένεια ει διὰ τὸ οὐδένες παρακείμενον. l. 14 Hes. l. 15 Hes. l. 16 Herod. in E. M. 643, 42, Hes. οὕτω χωρὶς τοῦ σ̄, ὅτε σύμφωνον ἐπιφέρηται. l. 17 Hes. l. 19 Theogn. 128, 27, E. M. 645, 12, Hes. l. 20 Hes. E. M. 645, 22 ὄχθωβος et 570, 53 ὄχθοβος. l. 21 Choer. 244, 19. l. 23 Il. Pr. Φ 232, Hes. l. 26 Choer. Orth. 246, 1, quom explevi Sophronis loco ex Dict. 528, 2, Hes. habet ὀψείοντες et ὀψίοντες, priore loco comparans κλαυσείοντες βρωσείοντες.
l. 31 E. M. 647, 1. l. 32 Choer. 254. 3, Hes.

παιδεῖος: ει δίφθογγος τὸ κτητικόν.

παιδιά τὸ σημαῖνον τὸ παίγνιον διὰ τοῦ ῑ γράφεται καὶ παρ' ἡμῖν μὲν ὀξύνεται, παρὰ δὲ τοῖς Ἀθηναίοις βαρύνεται.

παιδίου πλοκάμοισι: ῑ.

παῖς: Ἡρωδιανός· παρὰ τὸ βαιόν γίνεται βάϊς καὶ πάϊς κατὰ τροπὴν τοῦ β εἰς π, ἐκ δὲ τοῦ πάϊς γίνεται κατὰ συναίρεσιν παῖς.

παλάμηφι (Γ 338 et alias): προσγράφεται τὸ ῑ ἐκ παραδόσεως. ἔχει δὲ κανόνα· αἱ διὰ τῆς φι συλλαβῆς γινόμεναι ἐπεκτάσεις προσερχόμεναι ταῖς πτώσεσιν, εἰ μὲν φυλάττουσι τὴν αὐτὴν φωνήν, καὶ τὴν αὐτὴν γραφὴν φυλάττουσιν.

παλάσια τὰ συγκεκομμένα σῦκα. καὶ διὰ τοῦ θ παλάθια καὶ παλάθη.

παλίνσκιος.

παλίωξις: διὰ τοῦ ῑ γράφεται. ἔστι γὰρ πάλιν καὶ δίωξις. ἐκ τούτων γίνεται κατὰ ἀποβολὴν τοῦ ν καὶ τοῦ δ παλιίωξις καὶ κατὰ κρᾶσιν τῶν δύο ιι εἰς ἓν μακρὸν παλίωξις.

παμφαίνῃσι (Ε 6) ἔχῃσι καὶ τὰ τοιαῦτα ἔχει τὸ ῑ προσγεγραμμένον κατὰ τὴν παραλήγουσαν. ἔστι γὰρ ἐὰν παμφαίνω καὶ τὸ τρίτον παμφαίνῃ καὶ λοιπὸν κατ' ἐπέκτασιν τῆς σι συλλαβῆς γίνεται παμφαίνῃσι καὶ ἔχῃσιν.

πανδοκεῖον πανδοχεῖον.

πανδοκεύτρια: ῑ. τὰ γὰρ διὰ τοῦ τρια κτλ.

πανσυδίῃ et πασσυδίῃ πασσυδίᾳ.

παράδεισος: ει.

πάρδαλις ποιὸς ὄρνις. — παρδαλέην παρδάλεως δοράν.

παρειαί: ει, παραῦαι (pro παραυαὶ praeeunte Ahrensio de dial. Aeol. p. 36) λέγουσιν οἱ Αἰολεῖς τρέποντες τὸ ῑ εἰς ῡ καὶ τὸ ε εἰς α. καὶ ἄλλως ὅτι εὕρηται καὶ παρήϊα κατὰ διάστασιν τοῦ ῑ καὶ ἐκτάσει τοῦ ε εἰς η.

παρείας τὸ σημαῖνον τὸν ὄφιν διὰ τῆς ει διφθόγγου γράφεται οἷον παρείας παρείου καὶ ἔστιν ἡ χρῆσις παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ (690) «ὀδὰξ ἐλαβόμην ὡς παρείας ὢν ὄφις». παρείας δέ ἐστιν εἶδος

l. 1 Choer. 253, 27, ubi corrupte πάδειος. l. 2 E. M. 657, 50. l. 4 Choer. 253, 28. l. 5 Zon. 1496. l. 7 Ep. Cr. I 316, 18. l. 11 Hes. l. 12 Hes. E. M. 648, 25 παλίσκιος. l. 13 Choer. 249, 1, E. M 648, 42, Hes. l. 16 E. M. 650, 7; quae sequuntur neque Herodianea sunt et confusa esse animadvertit Ahrens de dial. Dor. p. 302. l. 20 Hes. πανδοκεῖον: ει δίφθογγος. κτητικὸν γὰρ ἀπὸ τοῦ πανδοκεύς Choer. 254, 4; Hes. habet etiam πανδοχεύς.
l. 21 Choer. 247, 11. l. 22 Hes. l. 23 Hes. Choer. 251, 27, E. M. 651, 45: παρὰ τὸν δεύσω μέλλοντα τὸν σημαίνοντα τὸ βρέξω γέγονε παράδευσος καὶ κατὰ τροπὴν τοῦ ῡ εἰς ει παράδεισος. ἢ παρὰ τὴν δεῖσα, ὃ σημαίνει τὴν ὑγρασίαν, παράδεισος. l. 24 Hes. idem: πόρδαλις ὁ ἄρσην, ἡ δὲ θήλεια πάρδαλις. ὁ μὲν ἀπὸ τοῦ προάλλεσθαι· ἡ δὲ ἀπὸ τοῦ παράλλεσθαι. Similiter Apion et Herodorus ap. Eustath. 890, 9, Ep. Cr. I 356, 18, E. M. 652, 29 ubi: ἐπὶ μὲν τοῦ ζῴου διὰ τοῦ ο δεῖ προφέρεσθαι, ἐπὶ δὲ τοῦ δέρματος (sc. παρδαλῆς) διὰ τοῦ α.
l. 25 Choer. 251, 34, Ep. Cr. I 343, 13, E. M. 650, 32. cf. praeterea Ahrens p. 191 not. 5. l. 29 Choer. Dict. 32, 9 et 119, 30, Hes. παρεῖαι ὄφεις· ὄφεων εἴδη μεγάλας παρειὰς ἐχόντων.

ὄφεως ἔχον τὰς παρειὰς ἐπηρμένας. τὸ δὲ Παρίας Παρίαντος ὄνομα κύριον διὰ τοῦ ῑ γράφεται.

παρείκαμεν παρεπέμψαμεν.

παρείκει παρέρχεται.

πάρεσαν παρῆσαν.

παρθενοπίπης σημαίνει τὸν περιβλεπόμενον τὰς γυναῖκας. διὰ τοῦ ῑ γράφεται. τὰ γὰρ παρὰ τὸ ὀπιπεύω διὰ τοῦ ῑ γράφεται οἷον παιδοπίπης.

Παρνασσός ὄρος Δελφῶν. ἐκαλεῖτο δὲ πρότερον Λαρνασσός διὰ τὸ τὴν Δευκαλίωνος λάρνακα αὐτόθι προσενεχθῆναι.

Πάρνης Πάρνηθος τὸ ὄρος τῆς Ἀττικῆς.

Παρπάρων χωρίον ἐν Ἀσίᾳ Αἰολικόν. τινὲς Περπερηνήν τοῦτο καλοῦσιν.

παρρησία παρὰ τὸ πᾶν γίνεται.

Παρώρεια πόλις Ἀρκαδίας. λέγεται δὲ καὶ Παρωραία.

Πάσσιρος ὁ τὴν Εἰρήνην κτίσας Ὑπερβόρειος. ἐκαλεῖτο δὲ Εἰρήνη καὶ Πελαγοῦσσα.

παττάλους πασσάλους.

πατάνια τὰ ἐκπέταλα λοπάδια καὶ τὰ ἐκπέταλα καὶ φιαλοειδῆ ποτήρια, ἃ πέδαχνα καλοῦσι· τινὲς δὲ διὰ τοῦ β βατάνια λέγουσιν.

πατρῷος ὄνομα κτητικὸν οἷον πατρῷος δοῦλος, πατρῷον κτῆμα, ὅπερ διαλύσει γίνεται πατρώϊος. διαφέρει δὲ τοῦ πατρωός. πατρωός γὰρ λέγεται ὁ παρὰ τῇ συνηθείᾳ πατροιός (vel πατρυιός).

πεδανῷ ὕπνῳ ἢ ἠπεδανῷ· κούφῳ. Ἴων Ἀγαμέμνονι. τινὲς δὲ οὐ βεβαίῳ.

πέδιλα: ῑ. σημαίνει τὰ ὑποδήματα καὶ κατὰ ἐτυμολογίαν ὤφειλε διὰ τῆς ει διφθόγγου γράφεσθαι. πέδιλα γὰρ λέγονται παρὰ τὸ περὶ τοὺς πόδας εἰλεῖσθαι. διατί δὲ διὰ τοῦ ῑ; ἐπειδὴ πέδιλλα λέγουσιν οἱ Αἰολεῖς ὥσπερ ὅμιλος ὅμιλλος. εἰ δὲ ἐγράφετο διὰ τῆς ει διφθόγγου, πέδελλα εἶχον λέγειν. καὶ ἄλλως (inserui), ἐπειδὴ κανών ἐστιν ὁ λέγων ὅτι τὰ παρὰ τὸ εἰλῶ συγκείμενα ἐν ὀνόμασι κατὰ τὸ τέλος ἢ παραγόμενα ἐν ὀνόμασι διὰ τοῦ ῑ γράφεται οἷον ὅμιλος· ἔστι δὲ παρὰ τὸ

l. 3 Hes., quod Schmidt. e dialecto Boetica et Rhodia pro παρήκαμεν dictum suspicatur. l. 4 Hes., quod idem Schm. e dialecto pro παρίκει, non pro παρήκει opinatur collatis glossis παρικτόν ἵκαντι et ἵκει nec non εἴκει, sed sub παρικτόν ε secludit παρ[ε]ίκει. l. 5 Hes. l. 6 Choer. 250, 18, E. M. 654, 52. Hes. l. 9 St. B. E. M. 655, 4, apud Hes. per simplex $\overline{\text{σ}}$ scriptum. l. 11 St. B. Hss. s. v. Πάρνηθος ὄχθος. cf. Schmidt. l. 12 St. B. l. 14 Herod. περὶ παθῶν in E. M. 655, 9, Hes. l. 15 St. B. l. 16 Hes. cf. Theogn. 71, 29, St. B. 348, 2. l. 18 Hes. l. 19 Hes. l. 21 E. M. 656, 28, ubi πατρίος ex alterutro corruptum est cf. Lob. El. II 25 not. 5. Hes. habet πατρῷιος et πατρώϊος et Schmidt. ad πάροιος πρᾷος hoc ex πατροιός πατρωός corruptum putat coll. E. M. 26, 35, ex quo πατρωός sine ῑ scripsi, aut ex πατροῖος Boeotica forma pro πατρῷος coll. E. M. 224, 38. l. 24 Hes. cf. E. M. 422, 12, E. Gud. 238, 30, Lob. Proll. 183. Idem Hes. πεδανός ταπεινός πεδεινός. l. 26 Choer. 247, 13. Similia habent E. Orion. 132, 5, E. M. 658, 51, ubi sic excusatur scriptura per ῑ: οὐ πάντως τὰ ῥηματικὰ ὀνόματα φυλάττει τὴν γραφὴν τοῦ ῥήματος ὥσπερ εἴρω Ἶρις καὶ νείφω

ὁμοῦ εἰλεῖcθαι· ἰλεόc, cημαίνει δὲ τὴν κατάδυcιν, ἴλη, cημαίνει δὲ τὴν ἄθροιcιν, ἰλύc, Ἰλιccόc. οὕτω καὶ πέδιλον διὰ τοῦ ῑ. πρόcκειται «κατὰ τὸ τέλοc» διὰ τὸ εἰλίπουc. «ἐν ὀνόμαcι» δὲ διὰ τὸ εἰλίccω καὶ εἰλύω.

πείθω: ει. πέποιθα γάρ ἐcτιν ὁ μέcοc παρακείμενοc.

πείκειν ξαίνειν. πεῖκον ἔριον ξάμμα.

πεῖνα διὰ τῆc ει διφθόγγου, παρὰ γὰρ τὸ πένω, ἐξ αὐτοῦ δὲ πένομαι, γέγονε πένα καὶ πλεοναcμῷ τοῦ ῑ πεῖνα καὶ πεινῶ ῥῆμα.

πεινῆν πεινᾶν.

πεῖρα: ει, ἐπειδὴ πέρρα λέγουcιν οἱ Αἰολεῖc ἀποβάλλοντεc τὸ ῑ καὶ διπλαcιάζοντεc τὸ cύμφωνον.

Πειραιεύc διὰ τῆc ει διφθόγγου· παρὰ τὸ περαιοῦcθαι γέγονε περαιεύc καὶ πλεοναcμῷ τοῦ ῑ Πειραιεύc. τὸ δὲ ραι ἐκ τοῦ πέραc καὶ προcέλαβε τὸ ῑ.

Πειραcία πόλιc Μαγνηcίαc — λέγεται καὶ Πειρεcία.

Πειρήνη πηγὴ ἐν Κορίνθῳ. διὰ τῆc ει διφθόγγου γράφεται.

Πειρίθοοc διὰ τῆc ει διφθόγγου γράφεται.

πείρινθοc ἢ καὶ πείρινθα λέγεται. cημαίνει δὲ τὸ τετράγωνον τὸ ἐπάνω τῆc ἁμάξηc, εἰc ὃ ἐντίθεται τὰ κομιζόμενα. οὕτωc Ἀπίων. ὁ δὲ Δίδυμοc τὸ ἐκ ῥιπῶν πεπλεγμένον πλινθίον ῥίπενθα καὶ καθ' ὑπέρθεcιν καὶ πλεοναcμῷ τοῦ ῑ πείρινθα. ἢ παρὰ τὸ περιθέειν γίνεται πέρινθοc καὶ πλεοναcμῷ τοῦ ῑ. ἡ περί οὐ μόνον ἐν τῷ Πειρίθοοc, ἀλλὰ καὶ ἐν τῷ πείρινθοc.

πειρῶν ἀντὶ τοῦ περῶν. Ἰλιάδοc Ω (pro Ψ scripsi) 8.

πεῖcα παρὰ τὸ πείθω.

Πειcίcτρατοc παρὰ τὸν πείcω μέλλοντα.

πεῖcμα εἴτε ἐπὶ τοῦ ἐν τῇ cυνηθείᾳ λεγομένου εἴτε ἐπὶ τῶν ἀπο-

---

νιφάc. Hes. habet πέδιλα ὑποδήματα καὶ ἔcτιν οἷον ποδόειλα; idem etiam πέδειλα. l. 4 Choer. 251, 24. l. 5 Hes., qui tamen etiam πίκειν πίκεται habet cf. Lob. Rhem. 58. E. M. 667, 40 πείκω καὶ πέκτω, ὅθεν πεξαμένη· ἢ παρὰ τὸ πέκω καὶ πλεοναcμῷ τοῦ ῑ πείκω. Arcad. 152, 10 πέκω καὶ πείκω καὶ πέκτω. E. Gud. 456, 25 optime servavit praeceptum: πείκειν cημαίνει τὸ ξαίνειν. διὰ τῆc ει διφθόγγου· πρῶτον ὅτι τὸ πείκειν — cημαίνει τὸ κτενίζειν, ἐξ οὗ καὶ παρὰ τῷ ποιητῇ «πεξαμένη χειρὶ πλοκάμουc ἔπλεξε φαεινούc» (Ξ 176) — γέγονε πέκειν καὶ πλεοναcμῷ τοῦ ῑ πείκειν, δεύτερον δὲ διὰ τῆc ει διφθόγγου γράφεται, ὅτι ἀντιπαράκειται αὐτῷ τὸ πόκοc, τὰ δὲ ἔχοντα τὸ ō ἀντιπαρακείμενον ἔχει τὸ ē ἐγκείμενον οἷον λείβω λοιβή, πείκω πόκοc. l. 6 Choer. 251, 24, E. M. 667, 36. l. 8 Hes. E. M. 667, 47 πεινῶ παρὰ τὸ πένω πένομαι, ᾧ παρέπεται πολλάκιc τοῦτο. l. 9 Choer. 252, 7. — Hes. πεῖρα, πειράζω, πειρᾶν, πείρατα πέρατα, πειραταί, πειρατήριον. cf. E. M. 667, 668. l. 11 E. M. 667, 58, Choer. 252, 22. l. 14 St. B. l. 15 Choer. 252, 29, E. M. 668, 4; etymologiae a πεῖρα, a πέραc ἄπεροc ἄπειροc ἀπειρήνη ἡ πολλή, ἀπὸ Πειρῆνόc τινοc sane dubiae sunt. l. 16 Choer. 251, 32, E. M. 668, 15. l. 17 E. M. 668, 21. extrema explicatio Herodiani videtur, qui etiam Apionis et Didymi protulisse putandus est. cf. E. M. 489, 5, Schol. Ω 190, Lob. El. I 153, Choer. 253, 4 πείρινθοc: ει· παρὰ γὰρ τὸ περιθέειν γέγονε πέρινθοc καὶ πλεοναcμῷ τοῦ ῑ πείρινθοc. l. 23 cf. Il. Pr. h. l., E. M. 668, 30. l. 24 E. M. 667, 39, nam sic pro πεῖρα scribendum est. cf. Arc. 97, 20 πεῖcα ἡ πειθώ. Hes. πείcη, qui tamen etiam πίcη. l. 25 Choer. 253, 18, E. M. 668, 46; καὶ Πείcανδροc ὁμοίωc Choer. 253, 25. l. 26 E. M. 668, 39. Hes. habet etiam πίcματα.

γείων cχοινίων διὰ διφθόγγου γράφεται· παρὰ γὰρ τὸ πείθω πείcω γίνεται. τὰ γὰρ ἀπόγεια cχοινία πείθειν καὶ εἴκειν τὴν ναῦν ποιοῦcιν. ἐκ τοῦ πείcω μέλλοντος γίνεται καὶ πεῖcα ἡ πειθώ. τὸ δὲ πείcεται ἐπὶ τοῦ παθεῖν ἀπὸ τοῦ πήθω πήcω ἐcτὶ κατὰ τροπὴν τοῦ η̅ εἰc ει̅ δίφθογγον.

πειώληc διὰ τῆc ει διφθόγγου· cημαίνει δὲ τὸν πόρνον καὶ τὸν διὰ τὸ πέοc ἀπολλύμενον· παρὰ γὰρ τὸ πέοc γέγονε πεόληc καὶ πλεοναcμῷ τοῦ ι̅ καὶ ἐκτάcει τοῦ ο̅ εἰc τὸ ω πειώληc.

πελάγιοc: ι̅. ἀπὸ τοῦ πέλαγοc.

Πελαργικόν ἀντὶ τοῦ Πελαcγικόν.

πέλεια: ει. τῷ λόγῳ τῶν διὰ τοῦ ει̅ προπαροξυτόνωc· καὶ ἄλλωc, οἱ Δωριεῖc διὰ τοῦ η̅ γράφουcιν αὐτό. καὶ ἰcτέον δὲ ὅτι ὥcπερ παρὰ τὸ μαῖα γίνεται μαιάc μαιάδοc, οὕτω καὶ παρὰ τὸ πέλεια πελειάc πελειάδοc φυλαττομένηc τῆc αὐτῆc γραφῆc.

Πελεόc: Ἀχαιὸc Φρίξῳ· καὶ μήποτε τὴν παρ' Ὁμήρῳ Πτελεόν. δύναται δὲ καὶ τὰ Πέλη τὰ ἐν Θεccαλίᾳ λεγόμενα δηλοῦν.

πελιόc: ι̅.

Πελοπόννηcοc: δύναται καὶ τοῦτο πλεοναcμῷ ἔχειν τὸ ν̅. παρὰ γὰρ τὴν Πέλοποc γενικήν· ὡcαύτωc καὶ Προκόννηcοc ἀπὸ τῆc Προκόννηcοc.

πελώριοc: ι̅.

πέμπε Αἰολεῖc πέντε.

Πεντέλεια ὄροc Ἀρκαδίαc.

πέπειρα γραῖα.

πέπειροc παρὰ τὸ πέπτω, πέπειροc βότρυc ὁ ἀκμαῖοc βότρυc. ει̅ ὡc ὄνειροc.

πεπραδῖλαι εἶδοc ἰχθύων.

περαιτέρω: ἀπὸ τοῦ πέραc περατέρω πλεοναcμῷ τοῦ ι̅ περαιτέρω· ὅcοι τὸ ἐγγυτέρω καὶ ἐγγυτάτω καὶ τὰ ὅμοια cὺν τῷ ι̅ βούλονται γράφεcθαι, ἀπὸ δοτικῆc λέγουcιν αὐτὰ εἶναι, ὁ ἐγγύτατοc τοῦ ἐγγυτάτου, τῷ ἐγγυτάτῳ καὶ ὁ ἀνώτατοc τοῦ ἀνωτάτου τῷ ἀνωτάτῳ. καὶ λέγει ὁ Ἐπαφρόδιτοc, ὅτι τινὰ τῶν ἀντιγράφων cὺν τῷ ι̅ εἶχεν αὐτὰ γεγραμμένα· κρεῖττον δέ ἐcτι χωρὶc τοῦ ι̅ ταῦτα γράφεcθαι· λέγει

---

l. 6 Choer. 252, 3, E. M. 668, 37. l. 9 Choer. 251, 1. l. 10 Hes. cf. Lob. ad Phryn. p. 109. l. 11 Choer. 253, 29. cf. Ahrens de dial. Dor. 163, qui Δωριεῖc διὰ τοῦ η̅ pro ι̅ emendavit, hinc ap. Hes. πελήαρ· περιcτεράc. Λάκωνεc.
l. 15 Hes. cf. St. B. Πέλη πόλιc Θεccαλικὴ διττή, μία μὲν ὑπὸ Εὐρυπύλῳ, ἑτέρα δὲ ὑπὸ Ἀχιλλεῖ. ἔcτιν οὖν ἀπὸ τοῦ Πέλη Πέλεια ὡc Ζέλη Ζέλεια. — Per simplex λ scriptum etiam Πέλιννα πόλιc Θεccαλίαc ἐν τῇ Φθιώτιδι, sed per duplex λλ Πέλλα πόλιc Μακεδονίαc, Θεccαλίαc, Ἀχαΐαc, κοίληc Cυρίαc et Πελλήνη πόλιc Ἀχαΐαc. λέγεται καὶ Πελλίνα ὡc Μιτυλίνα. l. 17 Choer. 251, 4, Arc. 41, 3, Hes. l. 18 Herod. περὶ παθῶν in E. M. 659, 48, St. B., Hes. l. 21 E. M. 660, 41, Hes. l. 22 Hes. unde πεμπάc πεντάc, πεμπάccεται Hes. l. 23 Hes.
l. 24 Hes. l. 25 E. M. 626, 17; 661, 18, Hes. l. 27 Hes. Theogn. 111, 12 πραδῖλαι. cf. Lob. Proll. 108; 165, Parall. 101. l. 28 E. M. 663, 30. — Hes. περαιτέρω sine ι̅ exhibet.

δὲ ὁ τεχνικός, ὅτι εἴ τις τὸ ἔξω cὺν τῷ ῑ γράφει; ἐπειδὴ οἱ Cυρακούσιοι ἔξοι λέγουσιν, οὐκ ἐπιχειρεῖ καλῶς· ἰδοὺ γὰρ τὸ ἔνδον ἔνδοι λέγουσιν, ὡς παρὰ Θεοκρίτῳ «ἔνδοι Πραξινόα»; καὶ ὅμως τὸ ἔνδον οὐ γράφεται διὰ τοῦ ω (pro ο Usener Iahn. Annall. 91, 250) καὶ τὸ ῑ. τί οὖν ἄτοπον καὶ τὸ ἔξω γράφεσθαι χωρὶς τοῦ ῑ, εἰ καὶ λέγουσιν οἱ Cυρακούσιοι ἔξοι;

περιδέραιον.

πέρινα περίναιον τὸ αἰδοῖον et περίνος τὸ αἰδοῖον.

περίστῳον cὺν τῷ ῑ γράφεται τῷ χαρακτῆρι τῶν διὰ τοῦ ῳον· καὶ ὅτι ἀπὸ τοῦ cτοιά γίνεται τοῦ cημαίνοντος τὸ cτοά περίστοιον καὶ ἐκτάσει τοῦ ō εἰς ω̄ περίστῳον· εὐλόγως προπαροξύνεται, τὸ δὲ προστῷον προπερισπᾶται. καὶ ὤφειλεν ἢ τὰ δύο προπερισπᾶσθαι ἢ τὰ δύο προπαροξύνεσθαι, ἀλλ' ἡ παράδοσις τὸ μὲν ἓν οἶδε προπαροξύτονον, τὸ δὲ ἕτερον προπερισπώμενον.

περιτρέφετο περιεπήσσετο· ὅθεν καὶ τροφαλὶς τὸ πεπηγμένον.

Πέρνη: ἔνιοι μετὰ τοῦ τ̄ Πτέρνη. εἶναι γάρ τι ἀκρωτήριον τῆς Αἰγίνης οὕτω προσαγορευόμενον.

Περουσία πόλις Τυρρηνῶν· γράφεται δὲ διχῶς, καὶ διὰ τοῦ ō καὶ δίχα αὐτοῦ.

Περραιβοί: οἱ Περραιβοὶ Αἰολεῖς ὄντες ἐδίπλουν τὰ σύμφωνα Περραιβοὺς ἑαυτοὺς καλοῦντες καὶ Γόννον διὰ δύο νν τὴν πόλιν· γόννα γὰρ οἱ Αἰολεῖς τὰ γόνατα.

Πέρραμος Πρίαμος Αἰολικῶς.

πέρυσι: τὸ ἐξ αὐτοῦ μεταποιηθὲν πέρυτις Δώριόν ἐστιν.

πέσσαι πεῖσαι.

πέσσον πεδίον Αἰολεῖς.

πεσσός πεττός, πέσσω πέττω, πεσσεύω πεττεύω.

πεσσύγγιον σκυτεῖον. — πισύγγιον σκυτεῖον.

πέσσυρα πίσυρα τέσσαρα. — πέσσυρες τέσσαρες. Αἰολεῖς. — πίσυρας τέσσαρας.

l. 7 Hes. per simplex ρ̄ et αι diphthongum scribit; eandem scripturam praeoptat Orus Milesius in E. M. 663, 47 secutus Herodianum. l. 8 Hes. — Schmidt. ad hos locos monet περίνεος et περίναιον διὰ τοῦ ε̄ et πηρίς vel περίν διὰ τοῦ η̄ solas esse Graecas formas. l. 9 E. M. 665, 1; etiam Hes. περίστῳον. l. 15 Hes. Eustath. 620, 14 σημείωσαι ὅτι ὁ σοφὸς Ἡρωδιανὸς τὸ «περιστρέφεται κυκόωντι» (Ε 903) περιτρέφεται γράφει πάνυ ὀρθῶς. ἐν γοῦν τοῖς περὶ τροφαλίδος φησί· τροφαλίδα ῥητέον διὰ τοῦ ō, οὐ τρυφαλίδα διὰ τοῦ ῡ· ἡ γὰρ λέξις εἴρηται παρὰ τὸ τρέφεσθαι ὅ ἐστι πήγνυσθαι καὶ παράγει χρῆσιν αὐτίκα τὸ «ὡς δ' ὅτε τις γάλα» ἕως «περιτρέφεται» (Ε 903) τὸ γάλα δηλαδὴ «κυκόωντι τρέφεται» ἀντὶ τοῦ πήγνυταί φησιν. l. 16 Hes. St. B. Πέρνη πόλις Θρᾴκης ἀντικρὺ Θάσου.
l. 18 St. B. l. 20 St. B. 210, 18 et 518, 5 cf. Eust. 335, 38. Hes. Περαιβοί per simplex ρ̄. l. 23 Herod. περὶ παθῶν E. M. 665, 40. Hes. Πέρραμος, cf. quos laudat ad Hes. l. Schmidt. l. 24 Theogn. 163, 18 cf. Schmidt. ad Hes. πέρυσι. l. 25 Hes., ad quem l. Schmidt. «non liquet πεῖσαι a πείθω deducendum sit an a πιπίσκω. Hoc verum puto et formam Aeolicam iudico».
l. 26 Hes. Ahrens de dial. Aeol. p. 66. l. 27 Hes. l. 28 Hes., prius est Aeolica forma; cf. Schmidt. l. 29 Hes. — E. M. 673, 33 πίσυρες ἀντὶ τοῦ τέσσαρες κατὰ τὴν κοινωνίαν τοῦ τ πρὸς τὸ π καὶ τοῦ ε̄ πρὸς τὸ ῑ καὶ τοῦ α εἰς

πέτακνον ποτήριον ἐκπέταλον. τὸ δὲ αὐτὸ καὶ πέταχνον.

πέτευρον cανίc, ἐφ' ἧc αἱ ὄρνειc κοιμῶνται κτλ. — πέτευρον λέγεται ἢ καὶ πέντευρον.

πῆ.

Πήγαcα πόλιc Καρίαc — οὐδετέρωc. — δεῖ δὲ οὐ διὰ τοῦ δ̅ γράφειν Πήδαcα, ἀλλὰ διὰ τοῦ γ̅ Πήγαcα.

πηγή: ἐκ τοῦ πηδῶ γέγονε πηδή καὶ κατὰ μετάθεcιν τοῦ δ̅ εἰc γ̅ πηγή.

Πηλαγονία μοῖρα Μακεδονίαc. οἱ οἰκήτορεc Πηλαγόνεc. ἔcτι δὲ καὶ ὄνομα κύριον. ἔοικε δὲ γράφεcθαι τὸ μὲν τῆc χώραc ὄνομα μετὰ τοῦ ἐθνικοῦ κατὰ τὴν δευτέραν cυλλαβὴν διὰ τοῦ α, τὸ δὲ τοῦ ἥρωοc μόνον διὰ τοῦ ε̅.

Πηλείων: διὰ τῆc ει διφθόγγου· τὰ γὰρ εἰc δ̅η̅c̅ καὶ εἰc ων πατρωνυμικὰ τὴν αὐτὴν παραλήγουcαν θέλει ἔχειν κτλ.

πηλιδνόν πελιδνόν.

Πηλούcιον ἡ πόλιc οὐδετέρωc. ι̅.

πήνα ἀπήνη.

Πηνειόc: ἔcτι δὲ ὄνομα ποταμοῦ. ει ὡc Ἀλφειόc.

Πηνελόπεια: διὰ τῆc ε̅ι̅ διφθόγγου· ἔcτι δὲ ὄνομα κύριον. τὰ γὰρ διὰ τοῦ ε̅ι̅α̅ προπαροξύτονα κτλ.

Πήρεια Θεccαλίαc χωρίον.

Πηρεφόνεια Περcεφόνεια. Λάκωνεc.

πηρίν: cημαίνει δὲ τὸν ὄρχιν. διὰ τοῦ ι̅ γράφεται διὰ τὸ εἶναι δικατάληκτον. πηρίc γὰρ καὶ πηρίν τὰ ἔξωθεν τῶν αἰδοίων.

πῆριξ πέρδιξ. Κρῆτεc.

πῖαρ.

τὸ υ̅ οἷον τέccαρεc καὶ πίcυρεc. Ahrens de dial. Aeol. p. 40. l. 1 Hes.? l. 2 Hes. Lobeckio auctore Proll. 264 idem vocabulum est atque πέταυρον, quod pro πέντευρον Vossius restituendum censet. Comparat Lob. etiam πέδευρα· ὕcτερα. Λάκωνεc et πέδουροc μετέωροc Hes., sed de postremo cf. Schmidt. l. 4 Hes. cum ι subscripto. Io. Al. 31, 2. l. 5 St. B. — Hes. Πήδαcοc· πόλιc καὶ ἔθνοc βαρβαρικὸν καὶ κύριον ὄνομα καὶ ἵππου. l. 7 Choer. 248, 17; E. M. 669, 16. Sic etiam Herodian. Epim. in E. Orion. 138, 16. l. 9 St. B. — Hes. Πηλαγόνεc· γέροντεc, παλαιοί, γηγενεῖc, ubi Schmidt. probabiliter conicit γίγαντεc Πελλαῖοι. In scriptura per α̅ et ε̅ congruit St. B. cum Il. Pr. Φ 141, ubi citatur ex Callimacho (cf. E. M. 669, 51) «Πηλαγόνων ἐλατῆρα» et Πηλεγών «ὅc τέκε Πηλεγόνα», a quibus discernitur tertium barytonum Πηλάγων (Δ 295). l. 13 Choer. 250, 33 cf. 249, 21. l. 15 Hes. l. 16 Choer. 251, 3. l. 17 Hes. Lob. El. I 19 sed cf. Schmidt l. 18 Choer. 253, 3, Arc. 44, 22, Hes. habet praeter Πηνειόc etiam Πηνιόc. l. 19 Choer. 250, 24. l. 21 Steph. Byz. Eustath. ad Hom. 341, 38 τὸ ἐν Πηρείῃ ἀμφιβέβληται· τινὰ μὲν γὰρ ἀντίγραφα διὰ διφθόγγου (i. e. Πειρίῃ) τὴν ἄρχουcαν ἔχει, τὴν δὲ παραλήγουcαν διὰ μόνου διχρόνου· αἰτία δέ τιc οὐ παραδέδοται τῆc τοιαύτηc γραφῆc. ἐν ἑτέροιc ἡ μὲν ἀρχὴ τὸ η̅ ἔχει, ἐν διφθόγγῳ δὲ ἡ παράληξιc γίνεται· καὶ εὕρηται οὕτω καὶ ἐν τῇ κατὰ cτοιχεῖον cυλλογῇ τῶν ἐθνικῶν, ἔνθα κεῖται, ὅτι Πήρεια χωρίον Θετταλικόν, ὅπερ τυχὸν ὑλῶδεc ἦν καὶ ἀγαθὸν τρέφειν ἵππουc. Hes. Πηρίη locum Homericum (Il. B 766) respiciens habet. cf. Mein. ad St. B. l. c. l. 22 Hes. l. 23 Choer. 248, 30, E. M. 671, 3, Hes. πηρίc cf. supra περίνα. l. 25 Hes. l. 26 Hes., qui habet etiam πέαρ, ex quo Schmidt. ap. Theogn. 80, 2 πέπαρ corruptum putat; Lob. tamen cκέπαρ legi vult.

πῖδαξ: σημαίνει δὲ τὴν πηγήν. διὰ τοῦ ῑ γράφεται. τὰ γὰρ εἰς αξ λήγοντα οὐ θέλει τῇ ει διφθόγγῳ παραλήγεσθαι — ὥσπερ δὲ παρὰ τὸ κλίνω γέγονε κλῖναξ καὶ κλῖμαξ, τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ πίω γέγονε πῖαξ καὶ προσθέσει τοῦ δ πῖδαξ διὰ τοῦ ῑ.

Πιδύτης: ἔστι δὲ ὄνομα κύριον· διὰ τοῦ ῑ. παρὰ γὰρ τὸ πιδῶ γέγονεν.

πιδῶ: διὰ τοῦ ῑ. ἢ παρὰ τὸ πίνω γέγονεν (ἢ παρὰ τὸ πηδῶ?).

πίειρα: σημαίνει δὲ τὴν λιπαράν. κατὰ μὲν τὴν ἄρχουσαν διὰ τοῦ ῑ γράφεται, παρὰ γὰρ τὸ πίω γέγονε· κατὰ δὲ τὴν παραλήγουσαν διὰ τῆς ει διφθόγγου τῷ λόγῳ τῶν εἰς ρα θηλυκῶν.

Πίηρ: ῑ. τὰ γὰρ εἰς ηρ βαρύτονα ἑνὶ φωνήεντι θέλει παραλήγεσθαι πλὴν τοῦ Ἐξαύτηρ· ἔστι δὲ ὄνομα κύριον καὶ βαρύνεται· ἡνίκα δὲ σημαίνει τοὺς ὀγκίνους, ὀξύνεται.

πιθανός: ῑ.

πίθεν: ῑ· δεύτερος γὰρ ἀόριστός ἐστιν.

πιθήσω: ῑ· ἣν γὰρ ἐξ ἀρχῆς πείθω διὰ τῆς ει διφθόγγου. καὶ ὁ β' αὐτοῦ μέλλων πιθῶ. τοῦτο εἰς ἐνεστῶτα παραλαμβάνεται καὶ ποιεῖ τὸ πιθῶ πιθήσω. οὕτως καὶ εἴρω ἐρῶ.

πίθος διὰ τοῦ ῑ γράφεται κατὰ τὸν κανόνα· τὰ εἰς θος οὐ θέλει τῇ ει διφθόγγῳ παραλήγεσθαι.

Πικίαντες ἔθνος Ἰταλίας.

πῖλος: ῑ. λέγουσι δὲ ἀρσενικόν· σημαίνει δὲ τὸ πιλίον, διὰ τοῦ ῑ τῷ λόγῳ τῶν διὰ τοῦ ιλος· καὶ ἄλλως, παρὰ τὸ πιέζω πιέσω γέγονεν οἱονεὶ πίελός τις ὢν καὶ κατὰ κρᾶσιν τοῦ ῑ καὶ ε εἰς ἓν μακρὸν πῖλος ὥσπερ ἱερεύς ἱρεύς, ἱερός ἱρός. ὁ δὲ Ἀπολλώνιος παρὰ τὸ πιλνῶ ῥῆμα, ὃ σημαίνει τὸ προσπελάζω· καὶ γὰρ πιλνᾶται (φησί) καὶ συνάπτεται, ἵνα κατασκευασθῇ. οἱ δὲ παρὰ τὸ πελάζω, ἐπεὶ συμπελάζεται ἀλλήλοις τὰ ἔρια.

πιλῶ: διὰ τοῦ ῑ. ὥσπερ γὰρ παρὰ τὸ φίλος γέγονε φιλῶ, οὕτω καὶ παρὰ τὸ πῖλος πιλῶ καὶ πιλήσω ὁ μέλλων. ἐν δὲ τῇ συνηθείᾳ φασὶν πιλώσω.

πιμελή διὰ τοῦ ῑ γράφεται· παρὰ γὰρ τὸ πίω καὶ τὸ μέλος πιομελή τις οὖσα καὶ κατὰ συγκοπὴν πιμελή. σημαίνει δὲ τὸ λίπος.

πίμπλημι: πιπλῶ πίπλημι κατὰ πλεονασμὸν τοῦ μ πίμπλημι, πιπρῶ πίπρημι καὶ πίμπρημι.

l. 1 Choer. 248, 12 cf. Eustath. 890, 10. E. M. 671, 20 addit alteram originationem: τινὲς δὲ παρὰ τὸ πηδᾶν κατὰ μετάθεσιν τοῦ η εἰς ῑ Βοιωτικῶς ὥσπερ ἥκω ἵκω· πηδᾶν γὰρ λέγεται ἐπὶ ἀλλομένου ὕδατος κατὰ μετάθεσιν Αἰολικήν. ἀπὸ τούτου γίνεται καὶ πιδύω καὶ Πιδύτης. l. 5 Choer. 249, 9. l. 7 Choer. 249, 4. l. 8 Choer. 248, 5. l. 11 Choer. 250, 15 cf. Arc. 19, 22. l. 14 Choer. 251, 3, Hes. l. 15 Choer. 252, 11. Hes. πιθών. l. 16 Choer. 250, 30 cf. fr. 32. Hes. πιθήσας. l. 19 Choer. 248, 29. l. 21 St. B.; idem populus atque paullo ante memorati Πικεντῖνοι Choer. Dict. I 31, 32. l. 22 Choer. 249, 25; extrema pars inde ab ὁ δὲ Ἀπολλώνιος ex E. M. 672, 8. Hes. l. 29 Choer. 249, 29, E. M. l. c. l. 32 Choer. 248, 9, E. Orion. 129, 6 et 136, 3, E. M. 672, 19, Hes. l. 34 Ep. Cr. I 371. Hes. πιπλῶν· πληρῶν.

πῖνα: ἔστι δὲ ὄνομα λίθου· διὰ τοῦ ῑ. τὰ γὰρ διὰ τοῦ ῑνᾰ ἀποστρέφεται τὴν ει δίφθογγον χωρὶς τοῦ πεῖνα τοῦ ἐπὶ τῆς ἐνδείας. πῖνα δὲ ἐπὶ τοῦ θαλασσίου διὰ τοῦ ῑ.

πίνω διὰ τοῦ ῑ γράφεται· ἀπὸ γὰρ τοῦ πίω γέγονε κατ' ἐπένθεσιν τοῦ ν̄. τὸ δὲ ν̄ ἐπὶ βαρυτόνων ῥημάτων ἐχόντων ἓν δίχρονον μόνον εἴωθεν ἐπεντίθεσθαι οἷον δύω δύνω, θύω θύνω. οὕτως οὖν καὶ πίω πίνω. καὶ ἰστέον ὅτι τὸ πίνω μόνως ἐκτείνει τὸ ῑ οἷον «Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ πίνοντά περ ἔμπης» (Ξ 1). τὸ δὲ πίω καὶ ἐκτείνει καὶ συστέλλει· ἐκτείνει μὲν ὡς τὸ «πιόμεν' ἐκ βοτάνης» (Ν 493) καὶ Ἀριστοφάνης ἐν Ἥρωσι «πῶς πίομαι», συστέλλει δὲ ὡς τὸ «οἵ κ' ἐμὸν αἷμα πιόντες, ἀλυσσόντες περὶ θυμῷ» (Χ 70), «ἱδρῶ ἀπεψύχοντο πίον τ' ἀκέοντό τε δίψαν» (Χ 2).

πίπτω: παρὰ τὸ πτῶ πίπτω καὶ εὐλόγως διὰ τοῦ ῑ γράφεται, ἐπειδὴ οἱ ἀναδιπλασιασμοὶ ἀπὸ βραχείας θέλουσιν ἄρχεσθαι· καὶ πάλιν τὰ εἰς πτω λήγοντα ῥήματα ἑνὶ φωνήεντι παραλήγεται κτλ.

Πῖρος ὄνομα ποταμοῦ.

Πῖσα: ἔστι δὲ ὄνομα πόλεως· διὰ τοῦ ῑ γράφεται· παρὰ τὸ πίω πίσω γὰρ γέγονεν πῖσα οἱονεὶ ἡ ἔχουσα πολὺ ὕδωρ. καὶ ἄλλως, ἐπειδὴ εὕρηται ἡ πι συλλαβὴ συστελλομένη παρὰ Πινδάρῳ.

πισάκνα πιθάκνη.

πίσεα: σημαίνει δὲ τοὺς καθύγρους τόπους, ὡς Ὅμηρος (Υ 9) «καὶ πίσεα ποιήεντα» καὶ παρὰ Ἀπολλωνίῳ «πίσεά τε προλιπὼν καὶ ἑλεσπίδας» (Ι 1266). διὰ τοῦ ῑ γράφεται, ἐπειδὴ παρὰ τὸ πίω πίσω ὡς λύω λύσω. ἐκ τούτου ῥηματικὸν ὄνομα πῖσος καὶ πίσεα.

Πισιδία: ῑ ἡ παράδοσις.

πίσιρα πίτυρα. Ἀχαιοί.

πίσορ πίθος. Λάκωνες.

Πίστιρος ἐμπόριον Θρᾴκης.

Πισύη πόλις Καρίας· λέγεται καὶ Πιτύη.

πίττη πίσση.

πίτυλος καὶ πύτιλος. cf. μίτυλος.

πιφαύσκω.

l. 1 Choer. 250, 12, E. M. 672, 43, Hes. Vulgo πίννα scribi adnotat Schmidt. l. 4 Choer. 247, 25, E. M. 672, 55, Drac. Strat. p. 73. l. 13 Choer. 249, 17. l. 16 Theogn. 69, 32, Arc. 68, 12, E. M. 475, 23. ῑ quamquam apud Herodotum et Strabonem Πεῖρος per ει exhibetur. l. 17 Choer. 248, 19, St. B. s. v., Dichron. 289, 25, Hes. l. 20 Hes. Laconicum est. l. 21 Choer. 248, 1, E. M. 673, 15. Hes. habet πίσεα et πείσεα. l. 25 Choer. 247, 31. St. B. Πισιδία, Πισίδαι, Πισίδης αἱ δεύτεραι καὶ πρῶται συστέλλονται· λέγεται καὶ Πισιδική καὶ Πισιδικόν καὶ Πισιδεῖς μετ' ἐκτάσεως τοῦ ῑ. l. 26 Hes. l. 27 Hes. l. 28 St. B., idem Βίστιρος πόλις Θρᾴκης, ὡς Πίστιρος τὸ ἐμπόριον. Hes. Πίστα· Πίστειρα πόλις. — Πίστιρος etiam E. M. 488, 10. l. 29 St. B. cf. Meinek. l. 30 Hes. l. 31 Hes. habet πίτυλος et post πυτία πίτυλος, pro quo ordo πύτυλος, quod praebet Phot., vel πύτιλος postulat, quod posterius restituendum arbitror. l. 32 Hes., Il. Pr. Λ 799. E. M. 673, 54 λέγεται καὶ πιφραύσκω πλεονασμῷ τοῦ ρ̄.

πίφιγξ κορυδαλός et πιφαλλίς πίφιγξ.

Πλαραῖοι ἔθνος Ἠπείρου. λέγονται δὲ καὶ Πλάριοι.

πλατεῖα παρὰ τὸ πλατύς.

Πλειάς σημαντικόν ἐστι τοῦ ἐνιαυτοῦ, δύνουσα γὰρ τὴν ἀρχὴν τοῦ ἐνιαυτοῦ δηλοῖ, ἀνατέλλουσα δὲ τὸ τέλος· διὰ τῆς ει διφθόγγου γράφεται, ἐπειδὴ εὕρηται κατὰ διάστασιν Πληϊάς κατ' ἔκτασιν τοῦ ε̄ εἰς η.

πλεῖν πλέειν.

πλεῖν πλέον· Ἀττικοὶ ἑκατέρως λέγουσιν.

Πλεισθένης: ἔστι δὲ ὄνομα κύριον. ε̄ῑ δίφθογγος· ὥσπερ γὰρ παρὰ τὸ δέον γέγονε δεῖν κατὰ κρᾶσιν Ἀττικὴν τοῦ ε̄ καὶ ο εἰς τὴν ει δίφθογγον καὶ παρὰ τὸ πλέον πλεῖν, οὕτω καὶ παρὰ τὸ πλέον καὶ σθένος γέγονε Πλεοσθένης καὶ κράσει Πλεισθένης.

Πλειστοδίκεια: τὸ μὲν Πλειστοδίκεια παρὰ τὸ Πλειστοδίκη ἐστίν, ὅπερ ἀπὸ τοῦ δίκη ἐστί· τὸ δὲ Πλειστοδόκεια παρὰ τὸ Πλειστοδόκη, ὅπερ ἀπὸ τοῦ δέκομαι Ἰωνικοῦ ἐστι τοῦ σημαίνοντος τὸ δέχομαι. ἀμφότερα διὰ διφθόγγου τῷ λόγῳ τοῦ Πηνελόπεια.

πλεῖστος: ε̄ῑ.

πλείων: ει· εἴρηται γὰρ καὶ πλέον· καὶ ἄλλως τῷ κανόνι τῶν συγκριτικῶν.

πλειών: σημαίνει δὲ τὸν ἐνιαυτόν. διὰ τῆς ε̄ῑ διφθόγγου γράφεται· παρὰ γὰρ τὸ πλεῖον τὸ σημαῖνον τὸ πλῆρες γέγονεν οἱονεὶ ὁ πλήρης χρόνων. τὸ δὲ πλεῖον ἐδείχθη διὰ τῆς ε̄ῑ διφθόγγου γραφόμενον.

πλευμονία νόσος ἡ ἐρωτική et πνεύμων ὁ πνεύματος αἴτιος.

Πλημμύριον ἡ ἄκρα παρὰ Συρακούσας. ῑ.

πλοχμοί πλόκαμοι.

πλῴζω ἔχει τὸ ῑ. σημαίνει δὲ τὸ πλωΐζω. ὥσπερ γὰρ ἀπὸ τοῦ λέπω γίνεται λεπίζω, οὕτω καὶ ἀπὸ τοῦ πλώω πλωΐζω καὶ κατὰ συναίρεσιν πλῴζω. ἢ ὥσπερ ἀπὸ τοῦ λέγω λόγος, οὕτω ἀπὸ τοῦ πλέω γίνεται πλόος, ἐξ οὗ πλοΐζω ὡς ἄνθρωπος ἀνθρωπίζω καὶ κατὰ συναίρεσιν πλῴζω ὡς χροΐζω χρωΐζω χρῴζω.

l. 1 Hes., Choer. 249, 32, E. M. 673, 56 πίφιξ: ἔστι δὲ εἶδος ὀρνέου, διὰ τοῦ ῑ γράφεται καὶ κατὰ τὴν ἀρχὴν καὶ κατὰ τὴν λήγουσαν. ἡ μὲν πρώτη παρὰ τὸ πίω γέγονε· χαίρει γὰρ τὸ ὄρνεον τοῦτο τοῖς ὕδασιν· ἡ δὲ λήγουσα, ἐπειδὴ τὰ εἰς ξ λήγοντα τὴν ει δίφθογγον ἀποστρέφεται. ἔτι δὲ καὶ τῷ κανόνι τῶν ἀμφιβαλλομένων. l. 2 St. B. l. 3 Choer. 252, 25. l. 4 Choer. 252, 18, E. M. 675, 50. l. 7 Hes., Choer. 251, 15. l. 8 Hes. πλεῖν. σημαίνει δὲ τὸ πλέον, διὰ τῆς ει διφθόγγου. ὥσπερ γὰρ τὸ δέον γίνεται δεῖν κατὰ κρᾶσιν τοῦ ε καὶ ο εἰς τὴν ει δίφθογγον Ἀττικῶς, οὕτω καὶ παρὰ τὸ πλέον πλεῖν Ἀττικῶς Choer. 251, 19. l. 9 Choer. 253, 7, E. M. 675, 55. l. 13 E. M. 675, 57. l. 17 E. M. 676. 13. l. 18 Choer. 252, 9. l. 20 Choer. 252, 12. Hes.: ἀπὸ τοῦ πάντας τοὺς καρποὺς τῆς γῆς συμπληροῦσθαι. l. 24 Hes. E. M. 677, 31 πνεῦμα παρὰ τὸ πνέω καὶ πνεύμων ἀναλογώτερον διὰ τοῦ ν̄· ταμίας γὰρ τοῦ πνεύματος καὶ ἐν αὐτῷ τὸ πνεῦμά ἐστι πεπιλημένον. l. 25 Choer. 250, 23, St. B. l. 26 Hes. l. 27 E. M. 677, 20 cf. Usener in Iahn. Annall. 91, 242.

πνίγω: ῑ, ἐπειδὴ ὁ παρακείμενος πέπνιγά ἐστι καὶ οὐ πέπνοιγα.

πόα ποία.

ποδεῖον εἴλημα τῶν ποδῶν.

ποδοκάκη καὶ ποδοκάκκη.

ποεῖν ποιεῖν.

Ποιάντιον (γ 190) Ποίαντος παῖδα.

ποῖ κῆχος οἷον ποῦ γῆς· εἰς τίνα τόπον.

ποικῖλαι: διὰ τοῦ ῑ, ἐπειδὴ ὁ μέλλων ποικιλῶ. ἔστι γὰρ παρὰ τὸ ποικίλλω.

πολιτεία: παρὰ τὸ πολίτης ῑ καὶ παρὰ τὸ πολιτεύω δίφθογγος.

Πολύϊδος: ἔστι δὲ ὄνομα κύριον μάντεως Ἰλιάδος Ε (148) «ὁ δ' Ἄβαντα μετῴχετο καὶ Πολύϊδον». διὰ τοῦ ῑ γράφεται· οὕτω καὶ Ἀπολλώνιος ὁ Ἀρχιβίου καὶ ἔστι, φησί, πολυίδμων μάντις ὤν. οὕτω δὲ καὶ τὸ δρᾶμα ἐπιγράφεται παρὰ Ἀριστοφάνει· μαρτυρεῖ δὲ Φιλόξενος. καὶ Σοφοκλῆς δὲ Μάντεσι συνέστειλεν «ὁρῶ πρόχειρον Πολυίδου τοῦ μάντεως» (fr. 357 Nauck) καὶ πάλιν «καὶ ἔστιν εἰ μὴ Πολυΐδῳ τῷ Κοιράνου» (fr. 358).

πολύξεινος: ει.

Πομπηϊούπολις πόλις Παφλαγονίας· τινὲς δὲ δίχα τοῦ υ Πομπηιόπολις λέγουσι καὶ Πομπηιοπολίτης.

πόποι παπαῖ.

Πορδοσελήνη νῆσος περὶ τὴν Λέσβον, πόλιν ὁμώνυμον ἔχουσα. τινὲς δὲ ἐκκλίνοντες τὸ δύσφημον τοῦ ὀνόματος Ποροσελήνην ἐκάλεσαν.

πόρις καὶ πλεονασμῷ τοῦ τ πόρτις.

πόρρω: παρὰ τὴν πρός πρόθεσιν γίνεται πρόσω καὶ κατὰ μετάθεσιν πόρσω καὶ τροπῇ τοῦ σ εἰς ρ πόρρω ὡς μυρσίνη μυρρίνη.

Ποσειδῶν παρὰ τοῖς Ἀθηναίοις διὰ τῆς ει διφθόγγου γράφεται, οἱ δὲ Αἰολεῖς καὶ οἱ Δωριεῖς διὰ τοῦ ῑ.

l. 1 Choer. 250, 6, Hes. l. 2 Hes., Arcad. 100, 16, Theogn. 106, 10. Hes. etiam ποίη. l. 3 Theogn. 128, 26, Hes. l. 4 Hes. l. 5 Hes., E. M. 679, 25. l. 6 Hes. παρὰ λόγον διὰ τοῦ ῑ. St. B. 3, 12. l. 7 Hes. Herod. περὶ παθῶν in E. M. 682, 52. l. 8 Choer. 250, 4. l. 10 Choer. 247, 7. l. 11 Choer. 250, 21, E. M. 681, 22 collat. cod. Paris. 2630 et 2638 ap. E. Gud. p. 1011 et Cyrill. in An. Paris. IV p. 188, 29, E. Gud. 474, 27. l. 18 Hes. l. 19 St. B. l. 21 Hes., Theogn. 158. l. 22 St. B. s. v.; Hes. Πορδοσελήνη· μεταξὺ Λέσβου καὶ Μυσίας νῆσος. l. 24 Il. Pr. P 40, E. M. 684, 2, Hes. πόριπα et πόρτις. l. 25 E. M. 683, 42. Hes. πόρρω, πόρσω et πρόσω. l. 27 Choer. 253, 20. Omisi etymologiam a Choerobosco propositam ἀπὸ τοῦ τὸ πέδον σείειν Πεδοσείων καὶ ἐν ὑπερβιβασμῷ Ποσειδέων καὶ Ποσειδῶν, cui accedunt plures aliae in E. M. 684, 25 et Cram. An. Ox. III 240 et ipsae, ut videtur, ex Choerobosco petitae. Quae Herodiani sententia fuerit, vix extricari potest. E. Gud. 476, 57 Ποσειδῶν: ἰστέον, ὅτι τὸ Ποσειδῶν παρ' ἡμῖν καὶ τοῖς Ἀθηναίοις διὰ τῆς ει διφθόγγου γράφεται, παρὰ τοῖς Ἴωσι δὲ διὰ τοῦ ῑ μακροῦ. καὶ παρὰ τοῖς Αἰολεῦσι καὶ Δωριεῦσίν ἐστιν διὰ τοῦ ῑ γραφόμενον, ἀλλ' οἱ Αἰολεῖς βαρύνουσιν, τρέποντες τὸ σ εἰς τ καὶ τὸ τελευταῖον εἰς ᾶν οἷον Ποτίδαν. Choer. Dict. 277, 28 et 299, 4. De scriptura vocis accuratissime exposuit Herod. in Mon. 10, 6; nuperrime Ahrensius in Philologo XXIII 1 seqq. copiosissime omnibus grammaticorum locis perpensis egit. Equidem hic satis habui quosdam locos ex Herodiano derivatos pro-

πραγματεία ἡ πρᾶξις καὶ ἡ ϲυγγραφή ει̅, πραγμάτια τὰ πράγματα ι̅.

πρᾷος καὶ πρᾴως.

? πράϲειον: ει̅ δίφθογγος ἡ βοτάνη.

πρέϲβεια διὰ τῆς ει διφθόγγου γράφεται· ϲημαίνει δὲ τὴν γεγηρακυῖαν· τῷ λόγῳ τῶν διὰ τοῦ εια προπαροξυτόνων. καὶ ἄλλως· τὰ ἀπὸ τῶν εἰς υς διὰ τοῦ εια παρεϲχηματιϲμένα — οὕτω καὶ πρέϲβυς πρέϲβεια. ἐκ τούτου δὲ γίνεται κατὰ ϲυγκοπὴν πρέϲβα. ἰϲτέον δὲ ὅτι ϲπανίως πάνυ εὕρηται ἐν χρήϲει.

Πρηξῖνος: γέγονε παρὰ τὸν πράξω μέλλοντα πραξῖνος καὶ κατὰ τροπὴν τοῦ α εἰς η Πρηξῖνος.

πρίων πρίονος: ι̅. παρὰ τὸ πρίζω.

προάστειον: ει· πρὸ τοῦ ἄστεος γάρ. προάϲτιον Σοφοκλῆς (pro ὁ φιλόϲοφος) ι̅.

Προβαλίϲιος διὰ τοῦ ι̅. ὥϲπερ γὰρ ἀπὸ τοῦ Τρικόρυνθος Τρικορύϲιος, οὕτω καὶ ἀπὸ τοῦ Προβάλινθος Προβαλίϲιος. τὸ δὲ Προβάλινθος διὰ τοῦ ι̅ γράφεται, ἐπειδὴ τὰ εἰς θος οὐ θέλει διφθόγγῳ παραλήγεϲθαι.

Προκόννηϲος μία τῶν Σποράδων ἐν τῇ Προποντίδι.

προμήθεια: ει̅ καὶ προπαροξύνεται· οὕτως ἡ παράδοϲις.

προϲέχεια: ει δίφθογγος καὶ προπαροξύνεται. ἀπὸ τοῦ προϲεχής.

πρόϲϲκωμμα: διὰ δύο ϲϲ παρὰ τὸ ϲκώπτω καὶ ἡ πρός πρόθεϲις φυλάττεται εἰς τὰ ῥήματα. ὁ γὰρ παθητικὸς παρακείμενος δεικνύει τὸ προϲέϲκωπται.

---

ponere, reliqua quae ad Herodiani doctrinam spectant, ad Monadicorum locum afferam. — Hes. habet Ποϲειδάων Ποϲειδῶν. — Ποϲείδεα· ἑορτὴ Ποϲειδῶνι τελουμένη. Ποϲ[ε]ιδήϊον τὸ τοῦ Ποϲειδῶνος. De hoc Eustath. ad Dionys. 916: Ποϲίδειον λέγεται τετραϲυλλάβως κατὰ τὸ ἐντελὲς τὸ τοῦ Ποϲειδῶνος τέμενος, τὴν μὲν παραλήγουϲαν ἔχον διὰ διφθόγγου τῷ λόγῳ τῆς περιοχῆς, τὴν δὲ προπαραλήγουϲαν διὰ τοῦ ι̅ τῇ ἀπελεύϲει τοῦ τῆς διφθόγγου ἑνὸς ϲτοιχείου — ὡς καὶ τὸ ἀλγινόεις· διαλυθὲν δὲ ἐκ τετραϲυλλάβου τὸ τοιοῦτον ἐντελὲς Ποϲίδειον εἰς πενταϲυλλαβίαν γέγονε Ποϲιδήϊον· ἡ δὲ ῥηθεῖϲα τῆς διφθόγγου ϲυϲτολὴ καὶ ἐν ἄλλοις γέγονεν, ἐν οἷς καὶ ὁ λιμὸς ἀπὸ τοῦ λέλειμμαι καὶ ἡ ἰδέα ἐκ τοῦ εἴδους καὶ αἱ χιράδες αἱ τῶν χειρῶν ῥαγάδες καὶ τὰ χίμετλα τὰ ἐν τῷ χειμῶνι ὡς ἐπὶ τὸ πολὺ γινόμενα ἀποκαύματα, in quibus Oppiani testimonium ad ἀλγινόεις, quod exstat etiam in Hesiod. theogon. 214, 226, omisi. Cf. Eustath. ad Dionys. 803, ubi cum Ποϲιδήϊον comparantur Ἰκόνιον et ἀλγινόεις, de quo cf. Lob. ad Ai. p. 184 et El. II 112. l. 1 Choer. 251, 13, ubi πραγματεία ἡ πρᾶξις ει̅, πραγματία δὲ ἡ ϲυγγραφὴ ι̅, quae corrupta esse patet. Hes. habet πραγματεία ϲύγγραμμα βίβλου ἢ λόγων. — πραγμάτιον sumpsi ex E. Gud. 478, 37. l. 3 Hes. cum ι̅ subscripto. E. Gud. 478, 31 πρᾷος (παρὰ τὸ ῥᾷον ὃ ϲημαίνει τὸ εὔκολον)· ἔχει δὲ τὸ ι. τὰ γὰρ εἰς ον καθαρὰ διϲύλλαβα διφθόγγῳ παραληγόμενα τέϲϲαρά ἐϲτι· καὶ τὰ μὲν δύο ἐκφωνεῖ τὸ ι̅ οἷον πλεῖον μεῖον (pro δεῖον), τὰ δὲ δύο οὐχὶ οἷον ῥᾷον πρᾷον. cf. Lob. ad Phryn. 404 not. l. 4 Choer. 254, 7. Num eadem atque πραϲιαί ap. Hes.? l. 5 Choer. 253, 12, emendatus ex E. M. 687, 3. l. 10 Choer. 247, 9. l. 12 Choer. 249, 11. l. 13 Choer. 250, 28 e Suida emendatus, ubi locus Sophoclis profertur: τὸν ἄνδρ' ἐφ' ἡμῖν; οὗτος ἐκ προαϲτίου. cf. Hes. Lob. Parall. 253. l. 15 Choer. 248, 23. Pro Τρικόρινθος scripsi Τρικόρυνθος ex St. B. pariter atque Προβάλινθος pro Προβάλιθος. l. 19 St. B., Hes., E. M. 689, 14. l. 20 Choer. 254, 6, Hes. l. 21 Choer. 254, 8. l. 22 Choer. 254, 15 scripsi πρόϲϲκωμμα pro πρόϲϲκομμα et προϲέϲκωπται pro προ-

προστῷον.

προσχών: τοῦτο ποτὲ μὲν δι' ἑνὸς ϲ̄ γράφεται, ποτὲ δὲ διὰ δύο· διὰ δύο μέν, ὅτε σημαίνει τὸ προσορμίσας· ὅτε δὲ σημαίνει τὸ ἰδών, δι' ἑνός. τοιοῦτόν ἐστι καὶ τὸ προστῆναι· ἐὰν γὰρ εἴπω, προσστῆναί μου τὴν τροφὴν ἐπὶ τοῦ στομάχου, διὰ δύο σσ γράφεται· ὅτε δὲ σημαίνει τὸ προΐστασθαι δι' ἑνός.

προσωπεῖον.

προτί.

προύνεικος: ει̅· σημαίνει δὲ τοὺς ὑβριστὰς καὶ τοὺς ἄνδρας τοὺς ἱσταμένους ἐν ταῖς ἀγοραῖς καὶ φέροντας τὰ ὤνια καὶ λαμβάνοντας τοὺς ὑπὲρ τούτων μισθούς. καὶ ἐπὶ τῶν ὑβριστῶν, ἐπειδὴ παρὰ τὴν πρό πρόθεσιν καὶ τὸ νεῖκος γέγονε πρόνεικος καὶ πλεονασμῷ τοῦ υ προύνεικος, τὸ δὲ νεῖκος διὰ τῆς ει̅ διφθόγγου γράφεται· εἰ δὲ τοὺς ἄλλους σημαίνει, ἐπειδὴ παρὰ τὴν πρό πρόθεσιν καὶ τὸ ἐνεῖκαι Βοιωτικῶς γέγονε προένεικος καὶ κατὰ κρᾶσιν τοῦ ο̅ καὶ ε̅ εἰς τὴν ου̅ δίφθογγον προΰνεικος, ὥσπερ τὸ ἐμόν τοὐμόν.

προυσελεῖν et προυτελεῖν.

πρόχνυ «πρόχνυ καθεζομένη» (I 566) οἱονεὶ πρόγονυ καὶ κατὰ συγκοπὴν πρόγνυ καὶ πρόχνυ.

πρυτανεῖον: ει̅ τῷ λόγῳ τοῦ βαλανεῖον. καὶ ἄλλως τὰ ἀπὸ τῶν διὰ τοῦ ευω κτλ.

πρῴ ἀντὶ τοῦ πρωΐ et πρωΐ Ἀττικώτερον τὸ ὑφέν.

πρῳζόν ἔχει τὸ ι̅· ὥσπερ ἀπὸ τοῦ χθές γίνεται χθιζόν οἷον «χθιζά τε καὶ πρωϊζά (B 303, ubi πρωϊζ') τὸν αὐτὸν τρόπον καὶ ἀπὸ τοῦ πρωΐ γίνεται πρωϊζόν καὶ κατὰ συναίρεσιν πρῳζόν.

πρῴην σὺν τῷ ι̅ γράφεται.

πρῷρα σὺν τῷ ι̅.

πτάξ πτώξ.

πτισάνη: ι̅ παρὰ τὸ πτίσσω, ἀφ' οὗ πίσος· ἣν γὰρ πτίσος ὡς ἀπὸ τοῦ μέλαντος μέλανος.

πτολίεθρον: ἐκ τοῦ πόλις κατὰ ποιητικὸν ἔθος γίνεται πτόλις καὶ πτολίεθρον. διαφέρει δὲ ὅτι πόλις λέγεται καὶ χωρὶς τοῦ τ̅, τὸ δὲ πτολίεθρον ἄνευ τοῦ τ̅ οὐ λέγεται.

Πτῷον ὄρος.

εσκόψεται. l. 1 Arc. 122, 10, Hes. Cf. περίστῳον. l. 2 E. M. 700, 19. l. 7 Hes., Theogn. 128, 34. l. 8 Hes. cf. Herod. in Anecd. Ox. III 267, 32. l. 9 Choer. 251, 5, E. M. 691, 19. Hes. habet προυνικοί, quod probat Mein. Anall. Alex. 398, quum Lob. Rhem. p. 59 προΰνεικος praeoptet. l. 17 Hes., E. M. 690, 11 προυσελεῖν λέγουσι τὸ ὑβρίζειν. l. 18 E. M. 691, 50, Hes. l. 20 Choer. 253, 34; Et. M. 694, 3 addit: ἢ ὅτι εὕρηται καὶ κατὰ διάστασιν πρυτανήϊον. Hes. l. 22 Hes., Io. Al. 32, 6. l. 23 E. M. 691, 56. Hes. πρωϊζά. l. 24 E. M. 692, 12, Io. Al. 29, 31, Theogn. 154, 32. l. 27 E. M. 692, 26, Hes. cf. fr. 14. l. 28 Hes., Diehr. p. 345 Lohrs. l. 29 Choer. 248, 3; pro πίσσος et πτίσσος scripsi πίσος et πτίσος ex Arcad. 75, 4. πισός habet Hes. s. ὄσπρος cf. Lob. Parall. 33. l. 31 E. M. 694, 38, Hes. l. 34 Arc. 122, 2, unde ducunt πτωΐδες· νύμφαι ap. Hes.

πύαλος et πύελος.

Πύθ[ε]ια πανήγυρις καὶ ἑορτὴ Ἑλληνική.

πυκινός πυκνός.

πυλαυρός: πυλωρός. — πυλαωρός.

πυνθάνω: παρὰ τὸ πεύθω πυνθάνω ὡς λείπω λιμπάνω.

πύξινον: ῑ. πύξις γάρ.

πύον τὸ ἔμπυον.

πυράγρη ἡ πυράγρα.

πύρδαλον ὀψοποιεῖον ὀπτανεῖον. καὶ τὸ καύσιμον φρύγανον ἢ ξύλον. ἢ μαγειρεῖον. ἢ λείψανον. οἱ δὲ πύρδανον. — πύρδανα· τὰ λείψανα καὶ τὰ ζώπυρα τοῦ πυρός.

πυρεῖον.

πύστις πεῦσις.

πῶϋξ: ποιὸς ὄρνις.

Ρ.

ῥᾴ σημαίνει τὸ εὐχερές. τινὲς δὲ ἀπὸ τοῦ ῥέα σχηματίζουσιν αὐτό, οἷς καὶ ὁ τόνος καὶ ἡ παράδοσις ἀντίκεινται καὶ ἡ Αἰολικὴ διάλεκτος. ὁ τόνος μὲν ὅτι εἰ ἦν ἀπὸ τοῦ ῥέα ὤφειλε περισπᾶσθαι· ἡ παράδοσις δέ, ὅτι οὐκ ὤφειλεν ἔχειν τὸ ῑ ἡ τῶν Αἰολέων δὲ διάλεκτος, ὅτι εἰ ἦν ἀπὸ τοῦ ῥέα οὐκ ὤφειλον οἱ Αἰολεῖς προστιθέναι τὸ β καὶ λέγειν βρᾴ· τότε γὰρ προστίθεται τὸ β τῷ ρ, ἡνίκ' ἐπιφέρεται τὸ κ ἢ τὸ δ ἢ τὸ τ̄ ἢ τὸ ζ. ἀλλ' ἔστιν εἰπεῖν, ὅτι τὸ ῥᾴδιον λέγεται βράδιον Αἰολικῶς, ὡς ἐπιφερομένου τοῦ δ. ἐκ τούτου γίνεται κατὰ ἀποκοπὴν καὶ εὐλόγως ἔχει τὸ ῑ. οὐδὲν δὲ ξένον, εἰ δύο συλλαβῶν γέγονεν ἀποκοπή. καὶ γὰρ πολλάκις καὶ δύο συλλαβῶν γίνεται ἀποκοπὴ οἷον μακάριος μάκαρ, προπάροιθεν πρόπαρ. οὕτως οὖν καὶ ῥᾴδιον ῥᾴ. τὸ δὲ ῥᾴδιον ἔχει τὸ ῑ προσγεγραμμένον, ἐπειδὴ εὑρίσκεται τὸ ῑ κατὰ διάστασιν ἐν τῷ ῥηΐδιον, ὃ σημαίνει τὸ εὔκολον καὶ εὐχερές. καὶ ὅτι ἀπὸ τοῦ ῥέα γίνεται ῥεΐδιον καὶ τροπῇ τοῦ ε εἰς η̄ ῥηΐδιον.

Ῥάβεννα πόλις Ἰταλίας. Ἕρμιππος ὁ Βηρύτιος Ῥούενναν αὐτὴν καλεῖ. Διονύσιος δ' ἐν ἑκκαιδεκάτῳ Ῥωμαικῆς ἀρχαιολογίας καὶ πλη-

l. 1 Hes. l. 2 Hes. de scriptura per ει cf. Schmidt., St. B. 539, 1 τὰ Πύθια habet. l. 3 Hes. l. 4 Hes., Lob. Proll. 260. l. 5 Choer. 254, 27. l. 6 Choer. 247, 32, Hes. l. 7 Choer. 254, 22, Arc. 121, 21, Hes. πυόν et πυιόν. l. 8 Hes. l. 9 Hes. l. 12 Hes. l. 13 Hes. l. 14 Hes., E. M. 699, 10 πώυγγες αἱ αἴθυιαι. l. 16 E. M. 700, 25; cf. fr. περὶ παθῶν in E. M. 210, 43 et simillimum de ῥᾴ praeceptum ap. Apollon. de adv. p. 567. — Hes. habet ῥᾴ, ῥᾷστος, ῥᾳδίως, porro ῥᾴδια; ῥᾴων, ῥᾷον, ῥᾷστα et haec a ῥᾴδιος composita ῥᾳδιουργεῖ, ῥᾳδιουργός, ῥᾳθυμία, ῥᾴθυμος, ῥᾳστωνεύεται, ῥᾳστώνη, de quibus E. M. 700, 50 ῥᾳδιουργεῖν. τὰ παρὰ τὸ ῥᾴδιον ἔχουσι τὸ ῑ προσγεγραμμένον οἷον ῥᾴθυμος, ῥᾳστώνη; de ῥᾴων Choer. Ep. in Psalm. 135, 26 ῥᾴων ἔχει τὸ ῑ. τὰ γὰρ εἰς ω̄ν̄ δισύλλαβα καθαρὰ διφθόγγῳ παραληγόμενα δ' ἐστί καὶ τὰ μὲν δύο ἐκφωνεῖ τὸ ῑ πλείων, μείων, τὰ δὲ δύο οὐχί, ῥᾴων λῴων. Cf. E. M. 700, 56. — Porro Hes. habet ῥηϊδίως et ῥηΐδια. l. 30 St. B.

θυντικῶς καὶ διὰ τοῦ η καὶ δι' ἑνὸς ν «ἀμφότεροι ἀπήντησαν Φλουμίῳ (an Οὐολουμνίῳ Mein.) περὶ τοὺς καλουμένους Ῥαβηνούς».

ῥάγα: ἣν ἡμεῖς ῥῶγα θηλυκῶς, Ἀττικοὶ ῥᾶγα.

ῥάδαμνος βλαστὸς ἁπαλός. — ῥάδαμον· καυλὸν βλαστόν.

ῥαδάνη κρόκη. ὁμοίως ῥοδάνη.

ῥαδανόν ῥαδινόν ἀπὸ τοῦ ῥᾳδίως δονεῖσθαι (Il. Ϲ 576). — ῥαδαλόν· ἁπαλόν εὐδιάσειστον (lectio Zenodotea). — ῥαδινόν· λεπτόν ἁπαλὸν εὐδιάσειστον.

ῥᾴδια ὑπόδημα ποιόν. οἱ δὲ σανδάλιον. — ῥαίδια· σανδάλια. οἱ δὲ ὑποδήματα γυναικεῖα.

Ῥαικός Ἕλλην· Ῥωμαῖοι δὲ τὸ γ προσθέντες Γραικόν φασι.

ῥαῖσαι φθεῖραι. ῥαῖσαι· τρισυλλάβως Ἀττικοὶ τὸ ἐκ νόσου ἀναλαβεῖν.

ῥάκος.

ῥαπίδες ὑποδήματα περόναι. ἁρπίδες· κρηπῖδες ἢ ὑποδήματα.

ῥέζει πράττει θύει ἱερεύει παρασκευάζει.

ῥεῖα διὰ τῆς ει διφθόγγου. παρὰ τὸ ῥέω γέγονε ῥέα ὡς τὸ ἠρέμα παρὰ τὸ ἠρεμῶ καὶ πλεονασμῷ τοῦ ι ῥεῖα διὰ τῆς ει διφθόγγου. τὸ γὰρ εὐχερὲς ῥεύσει ἔοικεν.

ῥεῖθρον ῥεῦμα. λέγεται δὲ καὶ ῥέεθρον.

ῥείτης: ἐξ οὗ τὸ βαθυρρείτης καὶ εὐρρείτης. παρὰ γὰρ τὸ ῥέω ῥεῖτης καὶ κατὰ συναίρεσιν ῥείτης.

ῥέμφος τὸ στόμα ἢ ῥίς. — ῥάμφος· ῥύγχος τὸ ἐπὶ τῷ στόματι τῶν μεγάλων πετεινῶν.

---

l. 3 Hes. cf. Dichr. 284, 22. l. 4 Hes. cf. Lob. Proll. 168. l. 5 Hes. l. 6 Hes. cf. E. M. 701, 52. l. 9 Hes. — Choer. 256, 21 ῥοίδια ὑποδήματα, sic etiam Theogn. cf. Schmidt. quaestiones Hesychian. p. C. l. 11 Hes. Ῥαικός ἀπὸ τοῦ Γραικός ἀποβολῇ τοῦ γ E. M. 701, 4. — Γραικὸς ὁ Ἕλλην. St. B. cf. Hes. Βροχός Ῥᾶχος. l. 12 Hes. l. 13 Hes. per simplex κ; in An. Ox. II 407, 2 ῥάκκος διὰ δύο κκ. l. 14 Hes. E. M. 702, 33 ῥαπίδες κρηπῖδες. ἆρον τὸ κ καὶ τρέψον τὸ η εἰς α. ἢ ἀπὸ τοῦ ἁρπίς ὀξυτόνου μετὰ τοῦ ι [ἐκτεταμένου] ὑπερθέσει καὶ συστολῇ χρονικῇ ῥαπίς. cf. ἁρπίς in E. M. 148, 36, Lob. El. I 493.

l. 15 Hes. E. M. 701, 36 ῥέξας. παρὰ τὸ ἔρδω τὸ θύω ὑπερβιβασμῷ ῥέδω, τροπῇ Δωρικῇ ῥέζω, ὁ μέλλων ῥέξω. cf. E. M. 370, 15 et Herod. in Cathol. ap. Theogn. 52, ubi contra ex ῥέζω ἔρδω repetitur. l. 16 Choer 256, 8, E. M. 703, 4, Hes. l. 19 Hes. Choer. 255, 26 ῥεῖθρον διὰ τῆς ει διφθόγγου. παρὰ γὰρ τὸ ῥέειν γίνεται ῥέεθρον καὶ κράσει τῶν δύο εε εἰς τὴν ει δίφθογγον ῥεῖθρον. ἰστέον δὲ ὅτι τὰ εἰς ον λήγοντα ῥηματικὰ ἢ ἰσοσυλλαβεῖ τῷ ῥήματι ἢ περιττοσυλλαβεῖ, τὰ δὲ περιττοσύλλαβα οὐδέποτε ἔχει τὸ ε μετὰ τοῦ θρ ἐν τῇ παρατελεύτῳ συλλαβῇ. καὶ τὰ μὲν ἰσοσυλλαβοῦντα τῷ ῥήματι ἔχει τὸ ρ ἐν τῇ τελευταίᾳ συλλαβῇ ἔχον εἴτε τὸ τ ὡς νίζω νίτρον ἢ τὸ π ὡς νίπτω νίπτρον, τρέφω θρέπτρον ἢ τὸ κ ὡς πλήσσω πλῆκτρον ἢ τὸ λ μετὰ τοῦ τ ὡς φύω φύτλον. καὶ βαρύνουσι πάντα πλὴν τοῦ λουτρόν τὰ δὲ περιττοσύλλαβά ἐστι τὸ αν παραληγόμενα οἷον τύπτω τύμπανον, δρέπω δρέπανον, λείπω λείψανον· καὶ τὸ η τὰ εἰς ρον μετὰ τοῦ θ οἷον θέλγω θέλγηθρον, μέλπω μέλπηθρον. καὶ τὸ ε τὰ εἰς λον ἔχοντα τὸ θ οἷον ἕδω τὸ καθέζομαι ἔδεθλον· ἔστι δὲ παρ' αὐτὸ καὶ τὸ ἕδος· γενῶ, ἐξ οὗ τὸ γενήσομαι, γένεθλον. ἢ ἔχοντα τὸ τ ὡς τὸ ἔχω ἔχετλον. τὸ τοίνυν ῥέεθρον ἄλογον διὰ τοῦ ε, ὤφειλε γὰρ διὰ τοῦ η ὡς μέλπηθρον θέλγηθρον. τὸ ῥεῖθρον πέπονθε συναλοιφὴν ἐκ τῶν δύο εε εἰς τὴν ει δίφθογγον. Sic fere locum corruptissimum sanandum indico. l. 20 Choer. 256, 11, E. M. 703, 11. l. 22 Hes.

Ῥηγῖνος: ἔςτι δὲ ἐθνικόν. διὰ τοῦ ῑ γράφεται. ἴςτεον δὲ ὅτι Ῥήγιον πόλις πληςίον Cικελίας, Ῥήγιον δὲ λέγουςιν ἐπειδὴ ςειςμοῦ γενομένου ἀπετελέςθη τὰ ἐκεῖ ῥηγέντος τοῦ τόπου ἐκείνου. καὶ παρὰ τὴν ῥῆξιν δέ φαςιν ὅτι καὶ ὁ πορθμὸς διὰ μέςου γέγονεν.

ῥῆγμα ςτάλαγμα.

ῥηγμίς: ῑ ὡς δικατάληκτον.

ῥῆγος τὸ πορφυροῦν περιβόλαιον. ῥέξαι γὰρ τὸ βάψαι καὶ οἷον μεταποιῆςαι. ὅτι δὲ ῥαγεῖς ἔλεγον τοὺς βαφεῖς καὶ ῥέγος τὸ βάμμα ςαφὲς Ἀνακρέων ποιεῖ «ἁλιπόρφυρον ῥέγος» (fr. 138) καὶ παρὰ Ἰβύκῳ «ποικίλα ῥέγματα» (fr. 58).

ῥηδίων καρούχων ῥαιδίων. — ῥεδίων ἁρμάτων.

ῥηςείδιον: ει παρὰ τῆς ῥήςεως γενικῆς — ῥηςίδιον δὲ διὰ τοῦ ῑ ἀπὸ τῆς ῥήςιος Ἰωνικῶς.

ῥητίνη: ῑ ὡς ἀξίνη.

ῥητορεία: ει, ἀπὸ τοῦ ῥητορεύω.

ῥῖγος: ῑ· ἀπὸ γὰρ τοῦ φρίςςω γέγονε φρῖγος καὶ ἀποβολῇ τοῦ φ ῥῖγος. τὸ δὲ φρίςςω διὰ τοῦ ῑ γράφεται, ἐπειδὴ οὐδέποτε πρὸ τῶν δύο ςς ει δίφθογγος εὑρίςκεται.

ῥίζα: ῑ. ἔχει γὰρ τὸ ῑ πάντως ςυνεςταλμένον.

ῥίμβαι ῥοαὶ μεγάλαι. ἄμεινον δὲ διὰ τοῦ ξ ξίμβαι. — ξίμβαι ῥοαί. Αἰολεῖς.

ῥίν ὤφειλε διὰ διφθόγγου γράφεςθαι. ἀπὸ γὰρ τοῦ ῥέω γίνεται· ἐκ γὰρ τῆς ῥινὸς ῥεῖ καὶ κατέρχεται τὰ περιττώματα τῆς κεφαλῆς. ἀλλ' ἡ παράδοςις διὰ τοῦ ῑ ὡς δικατάληκτον.

ῥινή: ἰςτέον ὅτι ἐςτὶν ῥινὴ ὀξύτονον καὶ ῥίνη βαρύτονον. ἀλλὰ τὸ μὲν ὀξύτονον ςημαίνει τὸ λεγόμενον ῥινίον, τὸ δὲ βαρύτονον εἶδος ἰχθύος. γράφεται δὲ διὰ τοῦ ῑ τῷ λόγῳ τῶν διὰ τοῦ ινη.

ῥινός: ςημαίνει δὲ τὸ δέρμα. διὰ τοῦ ῑ γράφεται. ἢ γὰρ παρὰ τὸ ῥινή, ὅπερ ἐςτὶν εἶδος ἰχθύος, ὅπερ διὰ τοῦ ῑ γράφεται, ἢ παρὰ τὸ ῥίον, ὃ ςημαίνει τὸ ἄκρον. καὶ γὰρ τὸ δέρμα ἄκρον ἐςτὶ καὶ οἱονεὶ ἐπιφάνεια τῆς ςαρκός.

ῥιπή: ῑ. παρὰ τὸ ῥίπτω.

ῥιπίδιον.

Ῥῖτος: ῥιτοί δέ εἰςι ποταμοὶ δύο διὰ φάραγγος ὑπὸ γῆν ῥέον-

Hes. τρυσσόν· νοσερόν, λεπτόν, ἀσθενές, ubi nunc Schmidt. alterum σ seclusit, cf. Theogn. 24, 21 τρυσόν ἀσθενές. l. 1 Hes., qui habet etiam δρύφακτοι. cf. E. M. 288, 45. l. 2 cf. fr. 52, regio Τρῳάς η χώρα τοῦ Ἰλίου et Τρῳαδεύς ap. St. B. per ῑ scripta sunt. l. 3 St. B. l. 5 Hes. — E. M. 771, 44 παρὰ τὸ τύπτω τύπανον καὶ πλεονασμῷ τοῦ μ τύμπανον. l. 6 Hes. cf. Lob. Phryn. 728. l. 7 St. B., quem Meinek. suspicatur Τυρόριζαν ex vitioso sive Hellanici sive Herodiani codice recepisse. l. 9 St. B. l. 11 Hes. l. 12 cf. Cathol. p. 492, 19. Iis, quae ibi exposita sunt, addenda sunt, quae Lehrsius postea mecum communicavit: Interessant ist, dass im Wörterbuche des Photius zwei Artikel stehen, in welchem beide Schreibarten jenes τώ für διό vertreten sind.

τῶ χωρὶς τοῦ ῑ. ἀντὶ τοῦ διό, καὶ δωρικῶς, ἐπὶ θηλυκοῦ καὶ ἀρσενικοῦ καὶ οὐδετέρου.

τῶ περισπωμένως διό. καὶ οὕτως ἄνευ τοῦ ῑ.

Es ist klar, dass im ersten Artikel τώ zu schreiben. Den zweiten wird man ja aber doch so zu schreiben haben: τῶ περισπωμένως διό καὶ οὕτως. ἄνευ τοῦ ῑ.

l. 14 Choer. 270, 22, Hes. l. 15 Hes. E. M. 774, 3 ὕαλος διὰ τοῦ α, οὐχ ὕελος. l. 16 St. B. l. 18 St. B. l. 20 St. B. l. 22 Choer. 270, 9, E. M. 774, 31, Hes. In etymologici loco οὔτε — οὔτε (l. 26) pro οὕτως — οὕτως emendavit Meineke Menand. p. 379; confirmatur lectione cod. D apud Gaisford. l. 28 Hes., ὑδατοτρεφέων Apoll. lex. 157, 12 cf. Lob. Phryn. 577.

Ὕδη πόλις Λυδίας. Ὅμηρος διὰ τοῦ λ̄ «σκυτοτόμων ὄχ' ἄριστος Ὕλῃ ἔνι οἰκία ναίων» (Η 221).

ὕειος: εῑ δίφθογγος. μετουσιαστικὸν γάρ. εἴρηται δὲ καὶ ὕειον δέρμα καὶ γαστὴρ ὑεία.

Ὑμηττός ὄρος τῆς Ἀττικῆς. τὸ ῡ μακρὸν καὶ βραχύ.

ὑπαὶ δείους (Κ 376)· ὑπὸ τοῦ δέους.

ὑπαίθριος: τὸ παι̅ δίφθογγος, τὸ θρι ῑ κατὰ παράδοσιν.

ὑπεὶρ ἅλα (Ψ 227).

ὑπεμνήμυκεν (Χ 491).

Ὑπερβόρεοι ἔθνος. Ἑλλάνικος δὲ Ὑπερβόρειοι γράφει διὰ διφθόγγου.

Ὑπέρεια πηγὴ Μεσηΐδος.

Ὑπερησία πόλις τῆς Ἀχαΐας «οἵ θ' Ὑπερησίην τε καὶ αἰπεινὴν Γονόεσσαν» Ὅμηρος (Β 573). διὰ τοῦ ῑ γράφεται. τὰ γὰρ ἀπὸ τῶν ἀρσενικῶν ἐχόντων τὸ τ̄ διὰ τοῦ ια̅ γινόμενα καὶ τρέποντα τὸ τ̄ εἰς σ̄ διὰ τοῦ ῑ γράφεται ἄλουτος ἀλουσία, ἀθάνατος ἀθανασία. οὕτως Ὑπέρης Ὑπέρητος Ὑπερησία.

Ὑπερίδης διὰ τοῦ ῑ γράφεται· ὥσπερ γὰρ παρὰ τὴν ἀνά πρόθεσιν γίνεται Ἄνιος καὶ παρὰ τὴν ὑπό Ὕπιος, οὕτω καὶ παρὰ τὴν ὑπέρ Ὕπερος καὶ ἐκεῖθεν Ὑπερίδης ὡς Ὕλλος Ὑλλίδης.

Ὑπερίων: διὰ τοῦ ῑ. παρὰ γὰρ τὴν ἰών μετοχὴν γέγονε Ὑπερίων ὁ ὑπὲρ ἡμᾶς ἰών· καὶ ἄλλως· ἐπειδὴ τρέπει τὸ ω̄ εἰς τὸ ō οἷον Ὑπερίονος· εἰ δὲ ἐγράφετο διὰ τῆς εῑ διφθόγγου, ἐφύλαττε τὸ ω̄ κατὰ τὴν γενικήν. τὰ γὰρ διὰ τοῦ ειων διὰ τῆς ει γραφόμενα μὴ ὄντα συγκριτικὰ φυλάττει τὸ ω̄ κατὰ τὴν γενικὴν οἷον Ἀτρείων Ἀτρείωνος, Καδμείων Καδμείωνος, Ἀργείων Ἀργείωνος. πρόσκειται «μὴ συγκριτικὰ» διὰ τὸ χερείων χερείονος, ἀρείων ἀρείονος.

ὑπεροπλίαις ὑπερηφανίαις.

ὑπερῷον ὑπερῷον ἀνώγαιον οἴκημα.

ὑπισχνοῦμαι: διὰ τοῦ ῑ κατὰ παράδοσιν.

ὑπογάιδιον ὑπόγειον τύμβον.

l. 1 St. B. cf. Spitzner ad Il. l. c. et Υ 385. l. 3 Choer. 270, 15. In lemmato pro ὑεία scripsi ὕειος et pro ὑεικὸν δέρμα — ὕειον. cf. E. M. 775, 30, Lob. Proll. 321. l. 5 St. B., ap. Hes. Ὑμήττιος per simplex μ̄ et Ὑμμητός per duplex, de qua geminatione Schmidt. laudat Meinek. exx. crit. I p. 8. l. 6 Hes. De ὑπαί cf. Herod. Il. Pr. Β 824, Γ 217, Ο 4. l. 7 Choer. 270, 22. l. 8 Hes. cf. E. M. 778, 7 et 25. l. 9 Hes., E. M. 777, 46, Lob. Rhem. 275. l. 10 St. B. l. 12 St. B. 650, 19. Hes. Ὑπερία. l. 13 St. B. Choer. 269, 33, apud quem ὑπηρεσία et Ὑπερησία epitomatoris neglegentia confusa sunt; Hes. — τὸ ἐθνικὸν τῆς Ὑπερησίας Ὑπερησιεύς. Θεόπομπος δὲ Ὑπερασιεῖς φησι διὰ τοῦ ᾱ St. B. l. 18 Choer. 270, 1, a me emendatus et E. M. 778, 55 (maxime cf. Cod. Voss.). l. 21 Choer. 269, 27. Hes. l. 28 Hes. per ῑ. In E. M. 779, 53 scriptura per ει etiam profertur: ὑπεροπλία γίνεται ἐκ τοῦ ὑπέροπλος. — ἀπὸ τοῦ ὑπέροπλος γίνεται ὑπερόπλειος κτητικῷ τύπῳ, ἀφ' οὗ θηλυκὸν ὑπεροπλεία διὰ διφθόγγου· ἢ ἀπὸ τοῦ ὑπεροπλής, ὅθεν τὸ ὑπεροπληέστατος παρ' Ἀπολλωνίῳ (II 4) ὥσπερ Σοφοκλῆς Σοφόκλειος, quae explicatio finxit ex ῑ apud Epicos producto. l. 29 Hes. l. 30 Choer. 270, 19. l. 31 Hes., pro quo Schmidt. probabiliter ὑπόγαιον suspicatur; idem Hes. ὑπόγειον· ὑπὸ τὴν γῆν.

ὑποδεξίη ὑποδοχή.

ὑπόδρα et ὑποδράξ.

Ὑρμίνη πόλις τῆς Ἤλιδος (Β 616). Μενέλαος δὲ τετάρτῳ Θηβαϊκῶν Ὕρμιναν διὰ τοῦ α φησί. τὴν δ' Ὑρμίνην Ἐχεφυλίδας φησὶ τὰς νῦν Ὁρμίνας. — Ὅρμιναι δὲ δύο.

ὑσμίνη διὰ τοῦ ῑ. ὁ κανών· τὰ διὰ τοῦ ῑνη μονογενῆ κτλ.

ὕσπληξ et ὕσπληγξ.

ὕσσακος ὑστακός.

ὑφειμένος: ει δίφθογγος κατὰ παράδοσιν.

ὑψίζυγος.

Φ.

φάγιλος ἀμνός. ῑ.

φάγυλοι: μαστοί, μάρσιπποι.

φαεινός, φωτεινός: ει δίφθογγος ὡς ὀξύτονα, καὶ ἄλλως ἐπεὶ οἱ Αἰολεῖς φαεννός καὶ φωτεννός λέγουσιν.

φαείνω ὁμοίως τῷ ἀλεείνω δίφθογγος.

Φάληρον δῆμος καὶ ἐπίνειον τῆς Ἀττικῆς. — ἔστι καὶ Θετταλίας ἄλλη πρὸς τῇ Οἴτῃ, ἣν Ῥιανὸς διὰ τοῦ α γράφει Φάλαρον λέγων καὶ Φάληρον διὰ τοῦ η.

Φανοτεύς πόλις Φωκίδος. Θουκυδίδης τετάρτῳ (c. 89). λέγεται καὶ Φανότη καὶ Φανότεια· τινὲς Πανόπειάν φασιν.

Φαραί πόλις Μεσσήνης, ὅθεν ἦσαν οἱ Ἀφαρητιάδαι. ἔστι καὶ Ἀχαΐας. εἰσὶ δὲ καὶ διὰ τοῦ η Φηραί.

φάργμα φραγμός.

Φαρκηδών πόλις Θεσσαλίας. Θεόπομπος δὲ θ' Φιλιππικῶν Φαρκαδόνα διὰ τοῦ ᾱ φησίν.

φαρκίς ἡ ῥυτίς διὰ τοῦ ῑ γράφεται τῷ λόγῳ τοῦ σφραγίς.

---

l. 1 Hes. Choer. 269, 18, E. M. 782, 15 Cod. Voss. ὑποδεξία σημαίνει τὸ ὑποδέχεσθαι· διὰ τοῦ ῑ γράφεται· τὰ γὰρ ἀπὸ τῶν εἰς ος μὴ ἐχόντων ῥῆμα ἀντιπαρακείμενον διὰ τοῦ ευω διὰ τοῦ ια θηλυκὰ πρὸ μιᾶς τὸν τόνον ἔχοντα διὰ τοῦ ῑ γράφεται, οἷον κακός κακία, ὑπόδεκτος ὑποδεξία διὰ τὴν σύνταξιν. Il. Pr. I 73 ὑποδεξείη ὡς Ἀργείη. τὸ δὲ ἀκόλουθον ὤφειλεν εἶναι κοινὸν ὑποδεξία ὡς παρὰ τὸ ἀνόρεκτος ἀνορεξία. ταῦτα ἐν τῇ προσῳδίᾳ· ἐν μέντοι τῇ καθόλου οὕτως. «πᾶσά τοί ἐσθ' ὑποδεξίη»· ἕνεκα μέτρου ἔκτασιν ἔπαθε τοῦ ῑ. ἀγνοίᾳ μέντοι τἀκριβοῦς διὰ τῆς ει διφθόγγου τὴν γραφὴν ποιοῦνται καὶ οὕτως ἔχει ἡ τοῦ Ἀντιφάνους (Ls. τῶν ἀντιγράφων) παράδοσις. Lehrsius addit: «at certe unum est, in quo hic fallit. Nam ap. Arcad. p. 99 haec habemus τὰ διὰ τοῦ ια παρὰ μελλόντων γινόμενα παροξύνεται ὀρέξω ἀνορεξία, πέψω ἀπεψία, προδώσω προδοσία etc.» Sed quaeri potest, nonne aliquo loco Herodianus etiam ὑποδεξία ab ὑπόδεκτος repetiverit ut ab ἀθάνατος ἀθανασία. l. 2 Hes. cf. Io. Al. 33, 24 et Herod. in E. M. 781, 47. l. 3 St. B., Eust. ad Hom. 304, 14. Hes. Ὑρμίνη πόλις. l. 6 Choer. 270, 5, Hes. l. 7 Hes. l. 8 Hes. cf. Schmidt. l. 9 Choer. 270, 21. l. 10 cf. fr. 12. Ep. Cr. I 417, 9 διὰ τοῦ ῑ κτλ. Hes. l. 12 Hes. l. 13 Hes. per simplex λ. l. 14 Choer. 273, 30, Hes. l. 16 Choer. 273, 18. l. 17 St. B. Hes. Φαληρεύς, nam Φαλαρεῖς ap. eum est vitiosum. l. 20 St. B. l. 22 St. B. l. 24 Hes. l. 25 St. B. Hes. φαρκίδων· ῥυτίδων καὶ πόλις confundit φαρκίς et Φαρκηδών πόλις. l. 27 Choer. 271, 10, Hes.

φάρυξ: οὕτως ὅ τε Ἡρωδιανὸς καὶ οἱ λοιποὶ γραμματικοὶ χωρὶς τοῦ γ̄ τὴν εὐθεῖαν καὶ τὴν γενικὴν δι' ἑνὸς γ̄.

Φασηλίτης: ἀπὸ τοῦ Φασήλιος ὀνόματος.

φατρία σύνταγμα, σύστημα. — φράτορας· τοὺς τῆς αὐτῆς μετέχοντας φρατρίας, συγγενεῖς.

φαύζειν φρύγειν.

Φειά διὰ τῆς ει διφθόγγου γράφεται· ἔστι δὲ ὄνομα πόλεως. εὕρηται καὶ χωρὶς τοῦ ῑ. «Φειᾶς πὰρ τείχεσσι» (Η 135).

φείδιππος: ει· παρὰ τὸ φείδω, ἐξ οὗ τὸ φείδομαι.

φείδομαι: ει δίφθογγος· παρὰ γὰρ τὸ φεύγειν τὸ δοῦναι γέγονε φεύδομαι καὶ κατὰ τροπὴν τοῦ ῡ εἰς ῑ φείδομαι. τὸ δὲ φιδός τὸ ῥηματικόν, ὃ σημαίνει τὸ φειδωλός, ἐπεκράτησε διὰ τοῦ ῑ γράφεσθαι.

φείδυλος: παρὰ τὸ φείδομαι. ει δίφθογγος.

φειδωλός: διὰ διφθόγγου.

Φείδων ὄνομα κύριον. διὰ τῆς ει̅ διφθόγγου γράφεται. ὥσπερ γὰρ παρὰ τὸ λάμπω γέγονε Λάμπων, οὕτω καὶ φείδω Φείδων.

Φεραί πόλις Θεσσαλίας «οἵ τε Φερὰς ἐνέμοντο παραὶ Βοιβηΐδα λίμνην» (Β 711) — ἔστι καὶ διὰ τοῦ η̅ «Φηράς τε ζαθέας ἠδ' Ἄνθειαν βαθύλειμον» (Ι 151).

Φερσεφόνεια ἡ τῆς Δήμητρος θυγάτηρ.

φευκτέος: τὰ ἀπὸ τῶν εἰς ος̅ ὀξυτόνων διὰ τοῦ εος γινόμενα διὰ τοῦ ε̅ γράφεται ψεκτός ψεκτέος, φευκτός φευκτέος.

φεψάλυξ καὶ κατὰ ἀφαίρεσιν ψάλυξ.

φηλήτης.

---

l. 1 Theogn. 40, 2, Eustath. 1630, 23; 229, 40. Hes. φάρυγξ et φαρύγεθρον. cf. Cathol. l. 3 Choer. 270, 28. St. B. s. Φάσηλις. l. 4 Hes. Cf. Dicaearchus ap. St. B. 511, 18 et St. B. s. φρατρία. Choer. in E. M. 797, 50 ἔστι φατρία, πλεονασμῷ τοῦ ρ̅ φρατρία καὶ συγκοπῇ καὶ ἐκτάσει γίνεται φρήτρη. l. 6 Hes. i. q. φώζειν. l. 7 Choer. 274, 18. St. B. Φεά πόλις τῆς Ἠλείας. Ὅμηρος διὰ τοῦ ῑ «Φιᾶς πὰρ τείχεσσι» et Φιά πόλις τῶν περιμάχων Μεσσηνίοις καὶ Λάκωσιν. Ὅμηρος «Φιᾶς πὰρ τείχεσσιν Ἰαρδάνου ἀμφὶ ῥέεθρα». Inspice etiam Eustath. 671. Hes. Φειά πόλις Θεσσαλίας (vel potius Ἠλείας). l. 9 Choer. 274, 11. l. 10 Choer. 273, 19. Hes. habet φείδομαι et φειδός. cf. Lob. Rhem. 279 seqq. l. 13 Choer. 273, 26. l. 14 Choer. 273, 23, Hes. cf. fr. 26. l. 15 Choer. 273, 27, Hes. l. 17 St. B. Posteriorem urbem commemorat etiam Choer. 274, 25 Φηρά (scripsi pro Φθηρά) πόλις μεταξὺ Λακωνικῆς καὶ Πύλου τῆς Μεσσηνίας οὖσα ἀπὸ τοῦ φέρω (? pro φθέρω). l. 20 Hes. E. M. 790, 52 ἡ φέρουσα πάντα καὶ φθείρουσα. l. 21 E. M. 791, 6; Hes. φευκταῖοι, quod defendit Struvius ap. Schneiderum, sed Meinek. Philol. XII p. 629 φευκτέοι.

l. 23 Choer. Dict. 81, 35; 83, 3, Hes. l. 24 Hes., qui tamen etiam φιλήτης· κλέπτης, λῃστής et φιλησίαις κλεψοσύναις habet Choer. Orth. 271, 30 (E. Orion. 159, 27, E. M. 794, 1) φιλήτης διὰ τοῦ ῑ γράφεται· σημαίνει δὲ τὸν κλέπτην. καὶ λέγει ὁ τεχνικός, ὅτι πολλὰ πάθη ἐνταῦθα γέγονε. δίδωσι γὰρ ἀποβολὴν τοῦ ῡ καὶ τοῦ ε̅· τὸ γὰρ ὑφειλέτης κατὰ τὴν δευτέραν συλλαβὴν διὰ τῆς ει διφθόγγου γράφεται· δίδωσι δὲ καὶ ἔκτασιν τοῦ ε εἰς η. τὸ γὰρ ὑφειλέτης τὸ ε παραλήγεται, τὸ δὲ φιλήτης τὸ η. λέγει δὲ ὁ Τρύφων, ὅτι ἐστί τινα ὀνόματα συμπάσχοντα τῷ δηλουμένῳ οἷον ἡμισυκύκλιον ἡμικύκλιον, λείπω λιμός. οὕτως καὶ ἐνταῦθα συνέπαθεν ἡ φωνὴ τῷ δηλουμένῳ καὶ ἐκ τοῦ ὑφειλέτης γέγονε φιλήτης. ἐπειδὴ γὰρ ἔνδειαν σημαίνει, ὁ γὰρ κλέπτης ἔνδειαν ποιεῖ, τούτου χάριν καὶ φωνῆς ἔνδειαν ἐδέξατο καὶ ἀπέβαλε τὸ υ καὶ ε καὶ τροπὴν ἐποίησε τοῦ ε̅ εἰς η̅. Quae tum additur originatio a φιλεῖσθαι κατὰ ἀντίφρασιν

φῆρα θῆρα.

φῆρες οἱ Κένταυροι. Αἰολικῶς.

φηρία θηρία. Αἰολεῖς.

φῄς.

φῆσθα λέγεις. φῆσθα ἔφησθα.

φῆσι κατ' ἐπέκτασίν ἐστι τῆς σι συλλαβῆς ἀπὸ τοῦ ἐὰν φῶ ἐὰν φῇ.

φθείει θνήσκει. — φθείσονται· διαφθαρήσονται. — φθιεῖ· φθίσει. — φθίμενος. — φθισήνωρ.

φθείρ: ει δίφθογγος. τὸ ἀπὸ τῆς σωματικῆς φθορᾶς. ἰστέον δὲ ὅτι εἰς ειρ μονοσύλλαβα διὰ τῆς ει διφθόγγου γραφόμενα τρία ἐστίν· τὸ φθείρ τὸ ἀπὸ τῆς φθορᾶς τοῦ σώματος, καὶ Εἴρ, ὄνομα δὲ ποταμοῦ, καὶ τὸ χείρ. καὶ τὸ μὲν φθείρ ἀπὸ τοῦ φθείρω, τὸ δὲ Εἴρ ἀπὸ τοῦ εἴρω τὸ συμπλέκω, τὸ δὲ χείρ, ἐπεὶ οἱ Αἰολεῖς χήρ φασι τρέποντες τὴν ει εἰς τὸ η.

Φθία διὰ τοῦ ι γράφεται. τὰ γὰρ διὰ τοῦ ια εἴτε ἐπὶ πόλεως εἴτε ἐπὶ χώρας πρὸ μιᾶς τὸν τόνον ἔχοντα οὐ θέλει τῇ ει διφθόγγου παραλήγεσθαι κτλ. καὶ πάλιν δὲ διὰ τοῦ ι γράφεται τὸ Φθία, ἐπειδὴ ἀπὸ τοῦ Φθῖος κύριον ὄνομα γέγονε, τὸ δὲ Φθῖος διὰ τοῦ ι γράφεται κατὰ τὸν κανόνα τοῦ Φλῖος.

Φθιρῶν.

οἱονεὶ ὁ μισούμενος non videtur ab Herodiano profecta esse et excidisse ipsius Herodiani sententia scripturam φηλήτης a φηλός per η probantis, ut ex Hesychio concludi potest. Technicus autem a Choerobosco laudatus est Herodianus, qui ut solet antecessoris (Tryphonis) sententiam refert. l. 1 Hes. l. 2 Hes. l. 3 Hes. l. 4 Hes. cf. fr. 49. l. 5 Hes., qui utrumque confundit. cf. Il. Pr. Φ 186. l. 6 E. M. 791, 39; cf. Schol. ad Od. α 168 φησί λέγει (adieci ipse). l. 7 Hes. Choer. Orth. 273, 15 φθεῖσαι· διὰ τῆς ει διφθόγγου· παρὰ γὰρ τὸ φθείω (pro φθείρω) τὸ διὰ τῆς ει διφθόγγου γέγονε. γράφεται δὲ καὶ διὰ τοῦ ι ἐκ τοῦ φθίω τοῦ διὰ τοῦ ι et ibid. l. 14 φθείσω· διὰ τῆς ει διφθόγγου κατὰ παράδοσιν, et l. 6 φθεισήνωρ διὰ τῆς ει διφθόγγου· ἔστι γὰρ φθείω διὰ τῆς ει διφθόγγου καὶ φθίω διὰ τοῦ ι, ἐξ οὗ τὸ φθίσας. ἐκ τοῦ οὖν φθείω τοῦ διὰ τῆς ει διφθόγγου γέγονε φθεισήνωρ et p. 275, 12 φθίω διὰ τοῦ ι παρ' ὃ καὶ τὸ φθίσθαι (pro φθιᾶσθαι) καὶ πλεονασμῷ τοῦ ν γίνεται φθίνω, ὅθεν φθινύθω τὸ φθείρομαι καὶ φθινόπωρον παρὰ τὸ φθείρειν τὴν ὀπώραν ἐν αὐτῷ (sic ex E. M. 793, 1 pro corruptis παρὰ τὸ ἔφθιος scripsi). φθείω διὰ διφθόγγου, ἀφ' οὗ τὸ φθείσω, ὅθεν καὶ τὸ φθόη. Inde apparet iam antiquis temporibus huius vocabuli scripturam fluctuasse, sed non dubium est, quin Herodianus ι amplexus sit propter canonem generalem τὰ διὰ τοῦ ιω disyllaba cf. Ep. Cr. I 125, 2. Scriptura φθείω exstat etiam in Anecd. Paris. III 343, 16. l. 9 Choer. 273, 32 cf. Arc. 20, 18, Choer. Dict. 86, 14, Theogn. 133, 15, Ep. Cr. I 440, 5. l. 9 ἀπὸ scripsi pro ἐπὶ cum E. Orion. 160, 8, E. M. 792, 40 φθείρ παρὰ τὸ φθείρω ὁ ἀπὸ φθορᾶς σωματικῆς γινόμενος (sic V). l. 14 ex verbis ἔστι δὲ καὶ Σάπειρ concludi potest hic praeceptum de plurisyllabis adiunctum fuisse hunc fere in modum: καὶ τὰ δὲ ὑπὲρ μίαν συλλαβὴν εἰς ειρ ἀσυνήθη ἐστὶ Βέχειρ, Σάπειρ, Ἀλάζειρ, Λίγειρ, Ἐλάτειρ, ἑκατόγχειρ, ἀντίχειρ, χρυσοέθειρ. l. 15 Choer. 271, 17. Hes. habet Φθῖοι, sed Φθειάδος. l. 20 cf. fr. 35. St. B. 664, 4. Hes. appellativum exhibet φθείρ et φθίρ. Pro Φθιρῶν ὄρος idem: Φθειρῶν ὄρος· πιτυῶδες ὄρος διὰ τὸ πληθύνειν ἐν αὐτῷ πίτυς· τῶν γὰρ στροβίλων τὰ ἐντὸς φθεῖρας καλεῖσθαι; atque huius etiam scripturae Herodianum meminisse apparet ex E. M. 792, 43: Φθειρῶν τ' ὄρος ἀκριτόφυλλον — ὁ μὲν τεχνικὸς διὰ τοῦ ι γράφεσθαι λέγει· ὅτι παρὰ τὸ Φθίρ γέγονε τὸ ἐπὶ τοῦ υἱοῦ τοῦ Ἐνδυμίωνος. ἕτεροι δὲ διὰ διφθόγγου λέγουσι, παρὰ τὸ φθείρ, ὃ σημαίνει τὴν πίτυν. εἰσὶ γάρ τινες πίτυες φθεῖρας ποιοῦσαι. τὸ ὄρος τὸ ἔχον φθεῖρας τουτέστι πίτυας· οἱ δὲ παρὰ τὸ

Φθιῶται: διὰ τοῦ ῑ. ἀπὸ γὰρ τοῦ Φθία γέγονεν, ὅπερ ὡς δέδεικται διὰ τοῦ ῑ γράφεται· ἰστέον δὲ ὅτι Φθιῶται μὲν ἐκαλοῦντο οἱ τοῦ Ἀχιλλέως, Φθῖοι δὲ οἱ τοῦ Πρωτεσιλάου.

φιάλη: διὰ τοῦ ῑ· παρὰ γὰρ τὸ πίω πιάλη ὡς νείφω νεφέλη καὶ φιάλη ἢ παρὰ τὸ πίω καὶ τὸ ἅλις, ἀφ' ἧς ἐστι πιεῖν ἅλις τουτέστιν ἀθρόως διὰ τὸ ἐξεπληρῶσθαι.

φῖγα φῖκα σφίγγα.

Φιγαλεύς ὁ ἀπὸ τῆς Φιγαλείας δήμου. Φιγάλεια γὰρ δῆμος Ἀρκαδίας.

φιδίτια συσσίτια.

Φίκιον: ἔστι δὲ ὄνομα ὄρους· διὰ τοῦ ῑ ἡ ἀρχὴ τῷ κανόνι τῶν διπλῶν. κατὰ δὲ τὴν δευτέραν καὶ αὐτὴ διὰ τοῦ ῑ κατὰ παράδοσιν.

φιλία: ῑ. παρὰ τὸ φίλος.

Φιλῖνος: ῑ.

φιλίων ὁ προσφιλέστερος διὰ τοῦ ῑ γράφεται. τὰ γὰρ διὰ τοῦ ιων συγκριτικὰ κτλ.

φιλοικτίρμων: διὰ τοῦ ῑ.

φιλολόγος: διὰ τοῦ ῑ καὶ ὅσα ὅμοια.

φιλομειδής παρὰ τὸ μειδιῶ τὸ σημαῖνον τὸ γελᾶν γέγονε φιλομειδής.

Φιλομηλείδης κύριον λέγεται εἶναι· εἰ γὰρ μητρωνυμικόν, διὰ τοῦ ῑ ἐγράφετο ἄν. ἀλλ' οὐδὲ Ὅμηρος ἀπὸ μητέρων σχηματίζει μητρωνυμικά, ὡς φησι Διονύσιος.

φιλονεικία: τὸ νει δίφθογγος.

φιλονικῆσαι καὶ φιλόνικος ἐπὶ τοῦ τὴν νίκην φιλοῦντος διὰ τοῦ ῑ ἡ παράδοσις.

φιμός: διὰ τοῦ ῑ γράφεται. παρὰ γὰρ τὸ σφίγγω γέγονε σφιγμός καὶ φιγμός φιμός. τὸ δὲ σφίγγω διὰ τοῦ ῑ γράφεται.

φθείρ λέγουσιν ὁ λῃστής τουτέστιν ὁ φθείρων οἱονεὶ τὸ ὄρος τῶν λῃστῶν· οἱ δὲ ὅτι φθεῖρες λέγονται οἱ θῆρες παρὰ τὸ φθείρειν τὸ ὄρος τῶν θηρῶν. Λυκόφρων (v. 1383). Haec fluxerunt ex Choerob. Orth. 274, 5, in qua particula tantum servata est cum technici (i. e. Herodiani) mentione.

l. 1 Choer. 271, 27, Hes. l. 4 Choer. 275, 2 auxilio E. Magni et Gudiani emendatus. l. 7 Hes., qui habet etiam Macedonicum βῖκας σφίγγας. l. 8 Choer. 274, 23 a me emendatus cf. St. B. Φιγάλεια πόλις Ἀρκαδίας — μετωνομάσθη δὲ Φιάλεια δίχα τοῦ γ ἀπὸ Φιάλου τινός. — Hes. l. 10 Hes., alii φιλίτια cf. Schmidt. E. M. 736, 50 συσσίτιον εὐωχία ἄριστον· καὶ συσσίτια τὰ δεῖπνα ἃ κοινῇ ποιοῦσι Λακεδαιμόνιοι. καλεῖται δὲ καὶ φιλίτια, ἐπεὶ καὶ φιλίας ἐστὶ συναγωγά. l. 11 Choer. 272, 16, sic etiam Hes. St. B. Φίκειον ὄρος Βοιωτίας καὶ διὰ διφθόγγου καὶ διὰ βραχέος τοῦ ῐ. Theogn. 127, 32 Φίκειον ὄνομα τόπου· τοῦτο εὕρηται καὶ διὰ βραχέος τοῦ ῐ κατὰ τὴν παραλήγουσαν· ἴσως δὲ συνεξέδραμε τῷ Ῥύτιον, Αἴγιον, Σούνιον. l. 11 Φίκιον scripsi pro Φίκνον. l. 13 Choer. 274, 30. l. 14 E. M. 793, 45. l. 15 Choer. 270, 24. Hes., qui exemplum correptae vocalis profert. l. 17 Choer. 271, 8. l. 18 Choer. 275, 10, Hes. l. 19 Choer. 274, 15, Hes. l. 21 E. M. 166, 11, Hes., Schol. ρ 134. Cf. Lob. Parall. p. 5 seqq. l. 24 Choer. 271, 14. Hes. φιλόνεικος μάχιμος φίλερις· φιλονεικία γὰρ ἡ μάχη. l. 25 Choer. 271, 12 cf. νεικῶ et νικῶ. l. 27 Choer. 272, 28, E. Orion. 160, 4 E. M. 795, 21, Hes.

Φινεύς: διὰ τοῦ ῑ. τὰ γὰρ εἰς ευς οὐ θέλει τῇ ει διφθόγγῳ παραλήγεσθαι.

φιτρός: διὰ τοῦ ῑ οἱονεὶ φυτρός ἀπὸ τοῦ φυτοῦ.

φλᾷ θλᾷ. — φλάσας· θλάσας.

φλαδιᾶν θλαδιᾶν.

φλιά τὸ πλάγιον τῆς θύρας, ἐν ᾧ ἵσταταί τις καὶ ἐπερείδεται. διὰ τοῦ ῑ. παρὰ γὰρ τὸ θλίβω, ὅπερ δέδεικται διὰ τοῦ ῑ γράφεσθαι, γέγονε θλιά καὶ κατὰ τροπὴν τοῦ θ εἰς φ φλιά ὡς θηρσί φηρσί.

Φλῖος: διὰ τοῦ ῑ γράφεται.

φλίψεται ἀποθλιβήσεται.

φλῖψις θλῖψις.

Φλογίος διὰ τοῦ ῑ. χαρακτήρ ἐστι τριβραχέων ὀνομάτων, ἃ καὶ θέλει ὡς ἐπίπαν κύρια μὲν ὄντα παροξύνεσθαι, ἐπίθετα δὲ προπαροξύνεσθαι.

Φλυήσιος μήν τις.

φλυκτίς: ῑ.

φνεί: δεῖ γινώσκειν ὅτι οὐδέποτε λέξις Ἑλληνικὴ ἄρχεται ἀπὸ τοῦ φ καὶ ν. τὸ γὰρ Φναίτης ὄνομα παρ' Αἰγυπτίοις βάρβαρον. τὸ δὲ φνεί ἐπιτετηδευμένον ἐστὶ παρὰ Ἀριστοφάνει, μίμημα ὀρνέου φωνῆς. λέγουσι δέ τινες, ὅτι τὸ φνεί οὐκ ἄρχεται ἀπὸ τοῦ φν. οὐκ ἔστι γὰρ φνεί ἡ λέξις, ἀλλὰ τοφνεί, τοῦ το μὴ ὄντος ἄρθρου, ἀλλὰ μέρους τῆς λέξεως. καὶ δῆλον ἐκ τοῦ μὴ εὑρίσκεσθαι αὐτὸ χωρὶς τοῦ το παρά τισι. Χοιροβοσκός.

Φοινίκιος: ι.

Φοινίκη: διὰ τοῦ ῑ. πρῶτον μὲν ὅτι ἀπὸ Φοίνικος γενικῆς, δεύτερον δὲ ὅτι τὰ διὰ τοῦ ικη ἀποστρέφεται τὴν ει δίφθογγον.

φορβειά: ει.

---

l. 1 Choer. 273, 1. l. 3 Choer. 275, 5, E. M. 795, 26: παρὰ τό φυτόν φυτρόν καὶ φιτρόν· ἀπό τοῦ φύεσθαι ἐξ αὐτοῦ τὰ φυτά. Eandem eriginatienem praebet etiam Hes. s. v. φίτρον: (φιτρός) κορμὸς τοῦ ξύλου παρὰ τὸ φύεσθαι. l. 4 Hes. l. 5 Hes. l. 6 Cheer. 273, 10, E. M. 796, 19, Hes. l. 9 Cheer. 271, 1. l. 10 Hes. l. 11 Hes. l. 12 Choer. 275, 6, Arcad. 40, 8. Preprium per ῑ seripsit Herodianus, sed adiectivi fermam in ειος praeoptasse videtur: Arcad. 44, 27 φλόγειος, unde per ellipsin φλόγεος eritur «ἐς δ' ὄχεα φλόγεα» (Ε 745), quod habet etiam Hes., ut κήλεος ex κήλειος. ef. Ep. Cr. I 436, 24 et can. gen. l. 14 Hes. St. B. 668, 5 Λακεδαιμόνιοι τῶν μηνῶν ἕνα Φλιάσιον καλοῦσιν, ἐν ᾧ τοὺς τῆς γῆς κορπούς ἀκμάζειν συμβέβηκεν. ὤφειλε δὲ ἀπὸ τῆς Φλιοῦντος Φλιούσιος, πλεονασμῷ δὲ τοῦ α Φλιάσιος. Praeeodunt ὠνόμασται δὲ (so. Φλιοῦς πόλις Πελοποννήσου) παρὰ τὸ φλεῖν, ὅ ἐστιν εὐκαρπεῖν, de qne verbe E. M. 796, 3 φλέω, ὃ καὶ φλύω λέγεται. — E. M. 796, 5 affert Φλεήσιον τὸ Φλιάσιον πεδίον. ef. Lob. Proll. p. 432. l. 15 Choer. 275, 11. l. 16 Cheer. in E. M. 796, 46, qui unde sumpserit, nen latet, nam Theogn. 155, 23 τό φνεί (seripsi pro φνή) παρ' Ἀριστοφάνει. ἔστι δὲ καὶ αὐτό μίμημα φωνῆς ὀρνέου. ef. Mein. fr. Com. I p. 356 ed. min. l. 23 Aread. 40, 6, St. B. 669, 3, Hes. Φοινικίοις γράμμασι. Choer. 274, 31 Φοινίκεια γράμματα τὸ κει δίφθογγος hane seripturam ex Φοινικήϊα γράμματα, euins vestigia etiam ap. Hes. Φοινικκία exstant, repetivisse videtnr, sed Herodianus hoe velut πολεμήϊος nen ex diaeresi, sed ex pleonasmo explicasse putandns est. l. 24 Choer. 272, 19. l. 26 Herodian. in Odyssiaca Prosodia in Schol. ad Arist. Av. 861. Aread. 98, 23, Cheer. 274, 27 φορβειά· ει δίφθογγος ὡς παρειά ὀχειά. ταῦτα ἐπ' οὐσίας. τό δὲ ἀρειά ἐπὶ πράγματος καὶ αὐτό διὰ τῆς

φορίνη ἡ παρ' ἐνίοις πυρίνη.

φρέατα: ἀπὸ τοῦ φρέατα κατὰ πλεονασμὸν τοῦ ῑ φρείατα.

φρήτρηφιν (Β 363). δεῖ γινώσκειν ὅτι ταῦτα ἔχει τὸ ῑ προσγεγραμμένον. τινὲς δὲ βούλονται γράφειν αὐτὰ χωρὶς τοῦ ῑ λέγοντες ὅτι αἱ ἐπεκτεινόμεναι πτώσεις διὰ τῆς φι συλλαβῆς, εἰ μὲν ἔχουσιν ἓν φωνῆεν κατὰ τὴν λήγουσαν, φυλάττουσιν αὐτό, εἰ δὲ β', ἀποβάλλουσι τὸ ἕν. ἕτεροι δὲ συνηγοροῦσι τῇ παραδόσει. ἡ γὰρ παράδοσις τὰς τοιαύτας δοτικὰς οὖν σὺν τῷ ῑ οἶδε γράφειν. λέγουσι γάρ, ὅτι αἱ διὰ τοῦ φι ἐπεκτάσεις προσερχόμεναι ταῖς πτώσεσι, εἰ μὲν φυλάσσουσι τὴν αὐτὴν φωνήν, καὶ τὴν αὐτὴν γραφὴν φυλάσσουσι. εἰ δὲ μὴ φυλάσσουσι τὴν αὐτὴν φωνήν, οὐδὲ τὴν αὐτὴν γραφὴν φυλάττουσιν.

φρίκη διὰ τοῦ ῑ τῷ κανόνι τοῦ Φοινίκη. καὶ ἄλλως, ὅτι παρὰ τὸ φρίσσω γέγονε, τὸ δὲ φρίσσω διὰ τοῦ ῑ γράφεται, ἐπειδὴ οὐδέποτε πρὸ τοῖν δύο σσ δίφθογγος εὑρίσκεται.

Φρίκιον ὄρος ὑπὲρ Θερμοπυλῶν Λοκρικόν. — καλεῖται καὶ Φρίκειον.

φροίμια προοίμια.

φροῦδος πρόοδος.

φυζακινός: ῑ.

φυκτά φευκτά.

φύλλον διὰ δύο λλ πρὸς ἀντιδιαστολὴν τοῦ φύλου τοῦ σημαίνοντος τὴν φυλήν.

φύππαξ ὅπερ ἡμεῖς βόμβαξ.

φῷ ἀντὶ τοῦ φωτί σὺν τῷ ῑ. Εὐριπίδης Μελεάγρῳ «τὸ μὲν γὰρ ἐν φῷ τὸ δὲ κατὰ σκότος κακόν».

φῴζειν: σὺν τῷ ῑ. σημαίνει τὸ καίεσθαι. Στράττις «ἀλλ' εἰ μέλλεις ἀνδρείως φῴζειν ὥσπερ μύστακα σεαυτόν». Βιθυνοὶ δὲ φώγειν λέγουσιν.

φῴς φῳδός ἔχει τὸ ῑ καὶ ὀξύνεται ὡς δᾴς δᾳδός. ἔχει δὲ τὸ ῑ, ἐπειδὴ λέγεται καὶ φωΐδες. — λέγει δὲ ὁ Χοιροβοσκός, ὅτι δισυλλάβως καὶ μόνον λέγεται κατὰ τὸ πληθυντικὸν προσγραφομένου τῷ ω τοῦ ῑ. ἐν δὲ τῇ γενικῇ ὤφειλε περισπᾶσθαι, φῷδες φῳδῶν ὥσπερ χεῖρες χερῶν. ἀλλὰ σεσημείωται καὶ τοῦτο μετὰ τῶν ἄλλων βαρυνόμενον. Ἀριστοφάνης Πλούτῳ «πλὴν φῴδων ἐκ βαλανείου».

Φωκήων: ἰστέον ὅτι τινὲς θέλουσι παρὰ τῷ ποιητῇ τὸ «αὐτὰρ Φωκήων» (Β 517) διὰ τῆς ει διφθόγγου γράφεσθαι κατὰ τοὺς νεωτέ-

---

ει διφθόγγου γράφεται καὶ ἡ δωρειά. Hes. l. 1 Hes. l. 2 Choer. 274, 13. Hes. l. 3 Choer. in E. M. 799, 51. l. 12 Choer. 272, 25, Hes. l. 15 St. B. l. 17 Hes. l. 18 Hes. l. 19 Hes. cf. can. gen. l. 20 Hes. l. 21 E. M. 802, 36, Hes. l. 23 Hes., ubi Schmidt. adnotat idem esse atque πύππαξ, quod cf. l. 24 E. M. 803, 45. l. 26 E. M. 803, 47, Hes. φώγειν φρύγειν. E. M. 667, 25 πεφῳσμένος ἀντὶ τοῦ κεκαυμένος· ἀπὸ τοῦ φῴζω, ὥσπερ χρῴζω, ὅπερ ἔχει τὸ ῑ. l. 29 E. M. 803, 34 cf. Choer. Dict. 453, 4 et 31, Hes. φωΐδες. l. 31 πληθυντικὸν Cod. V. l. 35 Choer. Dict. 209, 27.

ρους Ἴωνας· οὐκ ἔστι δὲ εἰ μὴ διὰ τοῦ η κατὰ τοὺς παλαιοὺς Ἴωνας οἷς συνεχῶς κέχρηται ὁ ποιητὴς οἷον «Πηληϊάδεω Ἀχιλῆος» (Α 1) «κούρην Βρισῆος, τήν μοι δόσαν υἷες Ἀχαιῶν» (Α 392).

Χ.

χαβόν καμπύλον. — χαμόν· καμπύλον.

Χαιρώνεια: πόλις πρὸς τοῖς ὅροις Φωκίδος. τὸ κτητικὸν Χαιρωνικὸς καὶ Χαιρωνική.

χαίτη: παρὰ τὸ κρατῶ κράτη καὶ χαίτη.

χαλινός: διὰ τοῦ ῑ. οἱ γὰρ Αἰολεῖς χαλλινός λέγουσιν. εἰ δὲ ἐγράφετο διὰ τῆς ει διφθόγγου, χαλεννός εἶχε λέγεσθαι.

χαλκεῖα: ει δίφθογγος. χαλκεύω γάρ.

χαλκεῖος: ει δίφθογγος. μετουσιαστικὸν γάρ.

χαλκίον θερμαντήριον τὸ σκεῦος.

χαλκοβάρεια: ει δίφθογγος.

Χάλυβες: Ὅμηρος (Β 856) «τηλόθεν ἐξ Ἀλύβων» ἤτοι τῆς γραφῆς μετατεθείσης ἀπὸ τοῦ «τηλόθεν ἐκ Χαλύβης» ἢ τῶν ἀνθρώπων πρῶτον Ἀλύβων λεγομένων ἀντὶ τοῦ Χαλύβων. λέγεται καὶ μετὰ τοῦ δ Χαλυβδικός τὸ κτητικόν. Λυκόφρων (1109). καὶ Χάλυβοι παρ' Ἑκαταίῳ.

χαραδριός ἑλῶδες τὸ ὄρνεον. γράφεται διὰ τοῦ ῑ.

χαραμός ἡ τῆς γῆς διάστασις. οἱ δὲ (sic Schmidt. pro οἷον) χηραμός.

χάρεια: ει δίφθογγος ὡς προπαροξύτονον.

Χαρῖνος: διὰ τοῦ ῑ.

Χαρίσιος: διὰ τοῦ ῑ.

χᾶτις ἐπιθυμία χρῆσις.

χειά: ει δίφθογγος. ἡ κατάδυσις τῶν ὄφεων. παρὰ γὰρ τὸ χῶ τὸ σημαῖνον τὸ χωρῶ γέγονε χεά καὶ ἐν πλεονασμῷ τοῦ ῑ χειά.

χεῖλος: ει δίφθογγος. χέλλος γὰρ λέγουσιν οἱ Αἰολεῖς ὥσπερ κείρω κέρρω. (ἢ παρὰ τὸ χέω [pro χρέω] γέγονε χέλος καὶ ἐν πλεονασμῷ τοῦ ῑ χεῖλος. εἰς αὐτὰ γὰρ χέονται αἱ τροφαί.)

---

l. 5 Hes. cf. Lob. Rhem. 47. l. 6 St. B., ubi additur: μάτην δὲ τοῦτο διὰ τῆς ει διφθόγγου γράφει Ἀρκάδιος «τὸ τοπικὸν (Mein. κτητικὸν) Χαιρωνεική ὡς Μαντινεική». l. 8 Choer. 279, 7, E. M. 807, 47, Hes. cf. fr. 10. l. 9 Choer. 276, 15. — E. M. 805, 14: τὰ εἰς νος ὀξύτονα μὴ ὄντα παρώνυμα διὰ βραχέος τοῦ ῑ γράφεται, πυκινός, ἀληθινός. τὸ χαλινὸς δὲ διὰ τοῦ ῑ γραφόμενον τῷ χρόνῳ διήλλαξε· μακρὸν γὰρ ἔχει τὸ ῑ. cf. Arc. 65, 18. l. 11 Choer. 277, 30. Hes. E. M. 805, 47 Ἡρωδιανὸς λέγει, ὅτι ἡ πλείων χρῆσις προπερισπᾷ. l. 12 Choer. 277, 23. l. 13 Choer. 276, 14, Hes. χάλκιον, ἐν ᾧ τοὺς κοττάβους ἐποιοῦντο. l. 14 Choer. 277, 29, Hes. l. 15 St. B. cf. s. Ἀλύβης «τηλόθεν ἐξ Ἀλύβης». cf. Lob. El. I 511, qui etiam formam Ἀβύλη profert. Hes. Χάλυβοι et Χαλυβδική. l. 19 Choer. 277, 26, Hes. l. 20 Hes. l. 22 Choer. 277, 28, Hes. χαρία· βουνός. l. 23 Choer. 276, 17. l. 24 Choer. 276, 18, Hes. l. 25 Hes., E. M. 811, 43 χήτει· στερήσει ἐνδείᾳ σπάνει. παρὰ τὸ χῶ ῥῆμα, ὃ σημαίνει τὸ ἐνδέομαι, ὁ μέλλων χήσω. ῥηματικὸν ὄνομα χῆτις ἡ ἔνδεια. καὶ χῆτος οὐδέτερον ὄνομα. ἐκ τούτου καὶ ῥῆμα χητίζω καὶ χατίζω. l. 26 Choer. 278, 4, E. M. 809, 55, Hes. l. 28 Choer. 278, 10, Hes.

χεῖμα παρὰ τὸ χέω γίνεται.

χείμαςτρον τὸ ἐπιτήδειον ἱμάτιον ἐπὶ (pro ἀπὸ) τοῦ χειμῶνος.

χειμέριος παρὰ τὸ χεῖμα γίνεται. τὰ διὰ τοῦ ι̅ο̅ς̅ καθαρὸν ἔχοντα τὸ ρ καιροῦ ὑπόνοιαν ἔχοντα διὰ τοῦ ῑ γράφεται.

χειμών: ει δίφθογγος παρὰ τὸ χέω.

χείρ: παρὰ τὸ ἔχειν.

χειρίς χειρίδος: ε̅ι̅.

χείρων τὸ συγκριτικὸν ει, ἐπειδὴ οἱ Αἰολεῖς χέρρων λέγουσι (γέγονε δὲ παρὰ τὸ χείρ χείρων, χείρων γὰρ λέγεται παρὰ τὸ ἐλαττοῦσθαι τὰς χεῖρας).

χελιδών διὰ τοῦ ῑ γράφεται. τὰ γὰρ εἰς δ̅ω̅ν̅ λήγοντα θηλυκὰ ἐνὶ φωνήεντι θέλει παραλήγεσθαι.

Χέμμις πόλις Αἰγύπτου. — ἔστι καὶ Χέμβις νῆσος διὰ τοῦ β̄ ἐν Βουτοῖ, ὡς Ἑκαταῖος ἐν περιηγήσει Αἰγύπτου.

χερεῖον χεῖρον.

χέρηϊ: χερείονι χέρει καὶ ἐπεὶ κακόφωνόν ἐστι, τροπὴ ἐγένετο τῆς ε̅ι̅ διφθόγγου εἰς τὸ η. οὕτως Ἡρωδιανός.'

χερνιβεῖον.

Χερρόνησος.

χέρρον τὴν χέρσον γῆν. Λάκωνες.

χήλειον ὃ καὶ χέλειον.

χηνοβοσία χηνοβοσκία.

χηρεία: παρὰ τὸ χηρεύω.

χητεία χρεία.

χῖ: τὸ ὄνομα τοῦ στοιχείου· διὰ τοῦ ῑ γράφεται, ἐπειδὴ πᾶν ὄνομα στοιχείου εἰς ῑ καταλῆγον οὐκ ἔχει αὐτὸ ἐν διφθόγγῳ οἷον ε̅ι̅, πῖ, φῖ, ψῖ. οὕτως οὖν καὶ τὸ χῖ διὰ τοῦ ῑ μόνου. χωρὶς τοῦ ε̅ι̅. τοῦτο γὰρ ῑ ἔχει ἐν διφθόγγῳ.

χῖαι ὑποδήματος ἀνδρείου εἶδος.

χίλιοι: διὰ τοῦ ῑ. καὶ ὤφειλε διὰ τῆς ε̅ι̅ διφθόγγου, ἐπειδὴ οἱ Αἰολεῖς χέλλιοι λέγουσιν. τοῦτο δὲ ἔθος ἔχουσι ποιεῖν ἐπὶ τῶν γραφο-

---

l. 1 E. M. 809, 57, Hes. l. 2 Choer. 278, 32, Hes. l. 3 E. M. 810, 18. l. 5 Choer. 278, 31, E. M. 810, 2, Hes. l. 6 Choer. 279, 1; χεῖρες ει δίφθογγος· χέρρες γὰρ λέγουσιν οἱ Αἰολεῖς Choer. 278, 7 cf. Ep. Cr. I 440, 7, Hes. l. 7 Choer. 279, 8. l. 8 Choer. 277, 20. l. 11 Choer. 277, 13, Mon. 9, 6, Hes. l. 13 St. B. l. 15 Hes., E. M. 808, 53 ἐκ τῆς χείρ χερός γενικῆς. χωρὶς γὰρ τοῦ ῑ εὕρηται ἡ γενική. κυρίως χερείων ὁ ταῖς χερσὶν ἥττων καὶ ἐλάττων. l. 16 Il. Pr. A 80, Hes. l. 18 Hes. a Schmidtio emendatus. l. 19 St. B., χερρονησία γῆ Hes., idem χερσόνησος, γῆ εἰς θάλασσαν ἐκνεύουσα. l. 20 Hes., idem χέρσος ἡ ἔρημος γῆ καὶ τραχεῖα. l. 21 Theogn. 128, 13, nam χήλειον pro χείλιον scribendum osse docet ipse canon orthographicus: τὰ διὰ τοῦ ε̅ι̅ο̅ν̅ μονογενῆ τρισύλλαβα προπαροξύτονα ἀπὸ ἑνὸς συμφώνου ἀρχόμενα ἔχοντα τὸ η ἢ τὸ ω μὴ ἔχοντα τὸ μ̄ πρὸ τῆς ει διφθόγγου διὰ τῆς ε̅ι̅ διφθόγγου γράφεται. cf. Schmidt. ad Hes. χέλοιον. l. 22 Hes. Lob. ad Phryn. p. 522. l. 23 Choer. 279, 2. l. 24 Hes. l. 25 Choer. 276, 3 cf. can. gen. l. 29 Hes. l. 30 Choer. 275, 19. Verba ἀλλ' ἰστέον — χέλλιοι (seqn. pag. l. 7. 8) adiecta sunt ex E. Gud. 566, 32, nam hic E. Gudiani locus ex Choerobosco fluxit.

μένων διὰ τῆς ει διφθόγγου οἷον φθείρω φθέρρω, σπείρω σπέρρω. εἰ δέ τις εἴποι, ὅτι καὶ τὸ ῑ εἰς τὸ ε τρέπουσι οἷον Πρίαμος Πέρραμος, τρίτος τέρτος, οὕτως οὖν καὶ τὸ χίλιοι διὰ τοῦ ῑ γραφόμενον χέλλιοι γέγονε παρ' αὐτοῖς κατὰ τροπὴν τοῦ ῑ εἰς τὸ ε, λέγομεν ὅτι οἱ Αἰολεῖς τὸ ῐ τὸ συνεσταλμένον πεφύκασι τρέπειν εἰς τὸ ε οἷον Πρίαμος Πέρραμος, τρίτος τέρτος, κοπρία κόπερρα, τὸ δὲ χίλιοι τὸ ῑ μακρὸν ἔχει. πῶς ἔτρεψεν παρ' αὐτοῖς τὸ ῑ εἰς ε; ἀλλ' ἰστέον ὅτι σπανίως τὸ ῑ ἐκτεταμένον τρέπουσιν εἰς τὸ ε οἷον ἶλαθι ἔλλαθι, χίλιοι χέλλιοι. ἰστέον δὲ ὅτι τὸ χίλιοι διὰ τοῦ ῑ γράφεται διὰ τὴν τοιαύτην αἰτίαν. πᾶς ἀριθμὸς ἐν τῇ ἀρχούσῃ κατὰ τὴν φωνὴν συνεμπίπτων ὀνόματι στοιχείου καὶ τὴν αὐτὴν φυλάττει γραφὴν οἷον ὁ εἴκοσι ἀριθμὸς ἐν τῇ ἀρχούσῃ κατὰ τὴν φωνὴν συνεμπίπτει τῷ ει στοιχείῳ, ἀλλὰ καὶ τὴν αὐτὴν φυλάττει γραφήν. διὰ γὰρ τοῦ ει ἐκφέρεται. ἐπειδὴ οὖν καὶ τὸ χίλιοι ἐν τῇ ἀρχούσῃ συνεμπίπτει τῷ χι στοιχείῳ, τὸ δὲ χῖ διὰ τοῦ ῑ γράφεται, τούτου χάριν καὶ τὸ χίλιοι διὰ τοῦ ῑ γράφεται.

χιλός ἡ τροφή καὶ ὀξύνεται καὶ θηλυκῶς λέγεται καὶ διὰ τοῦ ῑ γράφεται. τὰ γὰρ διὰ τοῦ ιλος δισύλλαβα ὀξύτονα διὰ τοῦ ῑ γράφεται. σεσημείωται τὸ δειλός.

Χίλων: ἔστι δὲ ὄνομα κύριον· διὰ τοῦ ῑ γράφεται, ἐπειδὴ εὕρηται καὶ ἐν συστολῇ παρὰ Καλλιμάχῳ οἷον

Σόλων ἐκεῖνος δ' ὡς Χίλων' ἀπέστειλεν.

ἔστι δὲ χωλίαμβον.

χίμαρος ὁ τράγος. χείμαρρος ὁ ποταμός.

χίμετλα: διὰ τοῦ ῑ κατὰ παράδοσιν.

Χῖος ὁ πολίτης τῆς Χίου. διὰ τοῦ ῑ γράφεται. ὥσπερ γὰρ ἀπὸ τοῦ Λέσβος Λέσβιος διὰ τοῦ ῑ καὶ ἀπὸ τοῦ Σάμος Σάμιος, οὕτω καὶ ἀπὸ τοῦ Χίος Χίιος καὶ κατὰ κρᾶσιν τῶν δύο ιι εἰς ἓν μακρὸν Χῖος ὥσπερ δίιος δῖος, Θέτιι Θέτῑ.

χιράδες: εἰσὶ δὲ αἱ τῶν χειρῶν ῥαγάδες. διὰ τοῦ ῑ γράφεται. καὶ ὤφειλε διὰ τῆς ει διφθόγγου γράφεσθαι, ἐπειδὴ παρὰ τὸ χείρ γέγονεν. ἀλλ' ἴσως ἀπέβαλε τὸ ε ὥσπερ τὸ λείβω λιβάς. κρεῖττον δέ ἐστιν εἰπεῖν, ὅτι συνέπαθεν ἡ φωνὴ τῷ σημαινομένῳ. ἐπειδὴ γὰρ τὸ χιράς ἔνδειάν τινα σημαίνει — τὰς γὰρ τῶν χερῶν ῥαγάδας δηλοῖ, ἡ δὲ ῥαγὰς πρὸς τὸ ὁλόκληρον ἔνδειαν ἔχει. [τὸ γὰρ ῥαγάδας ἔχον οὐκ ἔστιν ὁλόκληρον] — τούτου χάριν ἔνδειαν φωνήεντος ἀνεδέξατο, φημὶ δὲ τοῦ ε, καὶ τὸ λιμός ἀπὸ τοῦ λείπω γενόμενον οὐκ ἐφύλαξε τοῦ λείπω τὴν δίφθογγον.

---

l. 16 Choer. 276, 23, ubi pars canonis ad disyllaba oxytona pertinens excidit. cf. can. gen. Hes., qui tamen etiam χειλός τροφή habet. l. 19 Choer. 277, 9 cf. Meinek. Choliamb. p. 161. l. 23 E. M. 811, 50. Hes., qui tamen s. v. χίμαροι utrumque vocabulum confundit. l. 24 Choer. 277, 17. l. 25 Choer. 275, 14. cf. can. gen. et fr. 20, St. B., Hes. l. 29 Choer. 276, 33, E. M. 812, 3. — Praeceptum proposui ut traditum est; sed collato articulo λιμός existimo Herodianum Tryphonis sententia reprobata ε in χιράδες abiectum esse ut in λιβάς

χίτρα διὰ τοῦ ῑ γράφεται. ἢ χίδρον ἄλευρον τὸ ἐξ ἁπαλῶν κριθῶν ἢ οἱ χλωροὶ πυροί.

χιτών: διὰ τοῦ ῑ. ἔςτι τινὰ ὀνόματα ἀπὸ ῥημάτων γινόμενα κτλ.

χλαῖνα αι δίφθογγος ἡ χλαμύς. παρὰ τὸ χλιαίνειν, ὅ ἐςτι θερμαίνειν.

χοῖνιξ: διὰ τοῦ ῑ. τὰ γὰρ εἰς διπλοῦν λήγοντα ἀποστρέφεται τὴν ει δίφθογγον.

χοιροκομεῖον.

χοιροτροφεῖον: ει ἡ παρατέλευτος κατὰ παράδοςιν.

χοραγείων διδαςκαλείων.

χόριος διὰ τοῦ ῑ καὶ χορεῖος διὰ διφθόγγου. ὁ τόνος ἐςτὶ διάφορος καὶ ἡ γραφή.

χόριον διὰ τοῦ ῑ τὸ ἔλυτρον τῶν βρεφῶν παρὰ τὸ χορεῖν (scr. χωρεῖν).

χρεία ἔνδεια.

χρεῖα: ει δίφθογγος. παρὰ τὸ χρέος γέγονε χρέα καὶ μετὰ τοῦ ῑ χρεῖα.

χρείω τὸ χρηςμῳδῶ διὰ τῆς ει διφθόγγου. παρὰ γὰρ τὸ χρέος γέγονε χρέω καὶ ἐν πλεοναςμῷ τοῦ ῑ χρείω. τοῖς γὰρ χρείαν ἔχουςι τὸ ἀληθὲς μαθεῖν χρηςμῳδεῖ ὁ θεός.

χρίω τὸ ἀλείφω διὰ τοῦ ῑ γράφεται καὶ ἴςως πρὸς ἀντιδιαςτολὴν τοῦ χρείω τοῦ ἐπὶ τοῦ χρηςμῳδῶ. ἕτεροι δὲ λέγουςιν, ὅτι διὰ τοῦ ῑ γράφεται, ἐπειδὴ γέγονεν ἀπὸ τοῦ χρίμπτω χρίω, τὰ δὲ εἰς πτω οὐ θέλει τῇ ει διφθόγγῳ παραλήγεςθαι οἷον νίπτω, ῥίπτω πλὴν τοῦ φιλαλειπτῶ καὶ τοῦ ἀνερείπτω τοῦ cημαίνοντος τὸ ἁρπάζω, ἐξ οὗ ἀνηρείψαντο.

χρεωφειλέτης: ει. καὶ χρεοφειλέτης λέγεται.

χρή ὀξυτόνως ἀντὶ τοῦ δεῖ, χρῇ περιςπωμένως ἀπὸ τοῦ χρῶ χρᾷς χρᾷ Ἰωνικῶς καὶ Ἀττικῶς.

χρήζω μετὰ τοῦ ῑ· χρηΐζω γάρ.

---

pronunciasse sic fere Τρύφων ἔλεγεν, ὅτι cυνέπαθεν κτλ. ἀλλὰ κρεῖττόν ἐςτιν εἰπεῖν, ὅτι ἀπέβαλε τὸ ε ὥςπερ τὸ λείβω λιβάς. Hes. χίραι (quod Schmidt. ex χιράδες iure corruptum putat) αἱ ἐν ταῖς πτέρναις ῥαγάδες, sed idem χειράδας τὰς ἐν τοῖς ποςὶ ῥαγάδας. l. 1 Choer. 278, 1, Hes. s. v. χίδρα. l. 3 Choer. 279, 4, E. Gud. παρὰ τὸ περιχεῖςθαι τῷ cώματι ἡμῶν. Hes. l. 4 Choer. 278, 24, E. M. 812, 21, Hes. l. 6 Choer. 276, 31. l. 8 Hes. l. 9 Choer. 278, 8, Hes. l. 10 Hes. Choer. 276, 28 habet χορήγιον. l. 11 Choer. 277, 18. l. 13 Choer. 277, 31, Hes. habet χορεῖον αὔλημά τι et χόρια. l. 15 Hes., E. M. 814, 38 ἀπὸ τοῦ χρέω (Cod. V χρέος) γίνεται χρέα καὶ χρεία πλεοναςμῷ τοῦ ῑ ὡς χρέος καὶ χρεῖος. l. 16 Choer. 277, 33, Hes. χρεῖος. l. 18 Choer. 278, 13, Hes. χρείων· χρηςμῳδῶν, χρηςμολογῶν. l. 21 Choer. 278, 17 et 276, 13, E. M. 814, 40. cf. Hes. χρῖ χρίει. Herod. Dichron. 286, 20 formam χρίπτω proponit. l. 27 Choer. 278, 3. Hes. habet χρεωφειλέτης. l. 28 E. M. 814, 49, Hes. utrumque confundit. l. 30 Choer. 279, 3; distractam speciem praebet Hes. χρηΐζοντα. cf. Herod. περὶ παθῶν in E. M. 294, 37 παρὰ τὸ χρέος χρεΐζω χρηΐζω καὶ χρήζω. Theogn. 142, 9 χρήζω διὰ τοῦ ῑ ἀνεκφωνήτου. Hinc E. M. 815, 24 etiam χρήςτης cum ῑ exhibet Hesychio χρήςτης scribente. Discrimen, quod statuitur in E. M. 815, 4, ab Hero-

χρῆται χρᾶται.

χρῖμα: cημαίνει δὲ τὸ χρῖcμα. διὰ τοῦ ῑ γράφεται, ἐπειδὴ οἱ Αἰολεῖc χρίμμα λέγουcι καὶ οὐχὶ χρέμμα. ἰcτέον δὲ ὅτι ὥcπερ λέγουcι κροῦμα καὶ κροῦcμα, οὕτω λέγεται χρῖμα καὶ χρῖcμα.

χρίω. cf. supra 606, 21.

χρυcίτηc: διὰ τοῦ ῑ.

χρῴζω: cημαίνει δὲ τὸ πληcιάζω (χρὼc χρωτὸc χρωτίζω ὡc φῶc φωτὸc φωτίζω ἀποβολῇ τοῦ τ χρωΐζω καὶ cυναιρέcει χρῴζω).

χυρρεῖον τὸ ξύλινον δεcμωτήριον. ει.

χυτρεῖα: ει δίφθογγοc· τὰ τῶν χυτρῶν ὄcτρακα. ἤδη δὲ καὶ ἐπὶ παντὸc ὀcτράκου ἐτάττετο.

Ψ.

ψαδυρόν ἀcθενέc μαδαρόν ψαθυρόν.

ψαθαρά εὔθλαcτα, cαθρά. ξηρά ἀcθενῆ ψαθυρά. — ψαφαρά· ψαθυρά. — ψαφερά· ψαθυρά.

ψάθεα ψωμία et ψάφεα· ψωμία.

ψαιδρόν: ᾱῑ δίφθογγοc, τὸ φαιδρόν Κύπριοι.

ψαῖμα: αι δίφθογγοc. τὸ ὀλίγον· καὶ ψαῖcμα τὸ ὀλιγόcιτον.

ψαινύθιον ψευδέc μάταιον.

ψαινύντεc ψωμίζοντεc. — ψεῖcαι· ψωμίcαι. — ψῖcαι· ψωμίcαι.

ψαίνυον ἀχρεῖον.

ψαίρειν: αι δίφθογγοc. Ἀττικοὶ τὸ κινεῖν καὶ ψαύειν. κέχρηνται δὲ τῇ λέξει ἐπὶ τῶν ἱcτίων.

ψαιcτόν: ᾱῑ δίφθογγοc. ἔcτι δὲ εἶδοc πλακοῦντοc, ὃ δι' ἀλφίτων παραcκευάζεται, ἀπὸ τοῦ ψῆcθαι καὶ ψώχεcθαι, ὅθεν καὶ ψωμοί καὶ ψίχεc τὰ μικρὰ θρέμματα.

ψακάc ψεκάc ῥανίc.

---

diano alienum videtur: χρῄζω· ἡνίκα cημαίνει τὸ δέομαι, ἔχει τὸ ῑ προcγεγραμμένον. ἀπὸ γὰρ τοῦ χρέοc γίνεται χρεΐζω καὶ τροπῇ τοῦ ε εἰc η χρηΐζω «χρηΐζοντα καὶ αὐτὸν» (Λ 835) καὶ κατὰ cυναίρεcιν χρῄζω. ὅτε δὲ cημαίνει τὸ χρηcμῳδῶ, ἔcτιν ἄνευ τοῦ ῑ, καίπερ τῆc ἐτυμολογίαc ἀπαιτούcηc cὺν τῷ ῑ γράφεcθαι, παρὰ γὰρ τὴν χρείαν ἐcτί. τοῖc γὰρ χρείαν ἔχουcι τἀληθῆ μαθεῖν χρηcμῳδεῖ ὁ θεόc, ἀλλὰ πρὸc ἀντιδιαcτολὴν τοῦ cημαίνοντοc τὸ δέομαι οὐκ ἔχει τὸ ῑ. l. 1 Hes. l. 2 Choer. 276, 19, E. M. 815, 25. l. 6 Choer. 276, 18. l. 7 E. M. 815, 51; derivatio hoc loco proposita non est Herodiani, qui potius a χροΐζω χρωΐζω χρῴζω repetivit ut a χρεΐζω χρηΐζω χρῄζω cf. supra πλῴζω. Ap. Hes. sine ῑ scriptum est. cf. Usenerum in Iahn. Annall. 91 p. 243. l. 9 Theogn. 128, 20, unde Schmidt. emendavit Hesychium. l. 10 Choer. 278, 29; sic etiam Hes., Theogn. 128, 20 mendose χοιτρεῖα. l. 13 Hes. cf. Schmidt., qui Galen. VIII p. 872 ψαδυρόν Atticis, ψαθυρὸν communi Graecorum dialecto tribuere refert. l. 14 Hes. E. M. 817, 48; 50. l. 16 Hes., sed posterius mendosum esse ordo laesus ostendit. l. 17 Choer. 280, 1, ex quo fluxit, E. Gud. 572, 33, Hes. ψαιδρὸν φαιδρόν. l. 18 Choer. 280, 2, unde E. Gud. 573, 31 derivatum est; utramque formam habet etiam Hes. l. 19 Hes., Choer. 280, 3 (unde E. Gud. 573, 32), ψαινάθιον (?) αι δίφθογγοc τὸ ψευδέc καὶ μάταιον. Hes. habet etiam ψινύθιον· φαῦλον. l. 20 Hes. l. 21 Hes., Choer. 280, 4 ψαίνυον· αι δίφθογγοc τὸ ἀχρεῖον ἡ παράδοcιc, unde E. Gud. 573, 33. l. 22 Choer. 279, 33, Hes. a Schmidtio emendatus, qui confert E. Gud. 571, 57 ψαίρειν τὸ ψαίειν. l. 24 Choer. 280, 5, E. Gud. 571, 53, unde ψῆcθαι pro ψαῖcθαι exhibui. — Hes. l. 27 Hes. a Schmidtio emendatus,

ψάκτα: ἡ ψώκτη μᾶζα.

ψάλιον διὰ τοῦ ῑ, ἐπεὶ καὶ cυcτέλλεται.

ψάμμος ἡ παραθαλάccιος γῆ· ἄμμος.

ψαυκρός καλλωπιστής ταχύς ἐλαφρός ἀραιός. — cαυκρός· ἀβρός ἐλαφρός ἄκρος.

ψάφα κνέφας. — ψέφας· cκότος. — cεῖφα· cκοτία. Κρῆτες.

ψέδυρα ψίθυρος.

ψεῖαι: ἀλώπεκες (i. e lumborum musculi). ψίαι· ἀλώπεκες. ψόα· τὸ μέρος cώματος. ψυῖαι· ἀλώπεκες. — φοῦαι· ἀλώπεκες. φύλλες· ἀλώπεκες.

ψείρει: ει δίφθογγος ἡ παράδοσις.

ψεκάς καὶ ψιάς.

ψέλλιον: ῑ, ὅτι cυcτέλλεται.

Ψένηρος Αἰγυπτία κώμη. — Ψένυρις Αἰγυπτία κώμη.

ψεῦδις: ῑ διὰ τὴν κατάληξιν.

ψευδομαντεία: ει δίφθογγος ἐκ τοῦ μαντεύω.

ψηφίς: ῑ διὰ τὴν κατάληξιν.

ψιθυροί: διὰ τοῦ ῑ κατὰ παράδοσιν.

ψιλός καὶ ψιλή καὶ ψιλόν διὰ τοῦ ῑ.

ψιλίον πτερόν μακρόν. οἱ δὲ ψέλλιον.

ψιμύθιον: διὰ τοῦ ῑ ἀμφότερα.

ψίξ: ῑ διὰ τὴν κατάληξιν.

ψῖcαι: διὰ τοῦ ῑ ἡ παράδοσις. cημαίνει δὲ καὶ τὸ ψωμίcαι καὶ βραχὺ τρῖψαι (pro θρέψαι) μετὰ ποιοῦ τινος ἤχου.

ψόγειος: ει δίφθογγος καὶ προπαροξύνεται, ἔνθεν καὶ τὸ οὐδέτερον πληθυντικὸν (pro παρὰ τὸ) ψόγεια.

ψύθος ψεῦδος.

ψύλλειον ἡ βοτάνη. ει δίφθογγος ὡς πράcειον καὶ ἐλένειον. ἡ παράδοσις.

ψύττα: ἐπὶ τοῦ ταχέως ἀποδραμεῖν λέγεται.

ψύττει πτύει.

---

l. 1 Hes. cf. Lob. Parall. p. 351. l. 2 Choer. 279, 11, Hes., E. M. 817, 13 (V). l. 3 Hes., E. M. 817, 42 Ἡρωδιανὸς παρὰ τὸ ἄμμος λέγει ψάμμος. l. 4 Hes. l. 6 Hes. l. 7 Hes. l. 8 Hes. l. 11 Choer. 279, 23, Hes. ψείρει· φθείρει. l. 12 Herod. in E. M. 818, 46, Hes. ψιάδες· ψακάδες, ψιάζει· ψακάζει, ψίακα· ψακάδα, ψίδες· ψιάδες ψακάδες. l. 13 Choer. 279, 12, Hes. ψέλια per simplex λ̄. l. 14 St. B., qui vici Meinekio non diversi videntur. l. 15 Choer. 279, 22. l. 16 Choer. 279, 24. l. 17 Choer. 279, 13, Hes. l. 18 Choer. 279, 9, Hes. l. 19 Choer. 279, 29 et 16, Hes. l. 20 Hes. et Choer. l. c., ubi ψιλίον διὰ τοῦ ῑ. l. 21 Choer. 279, 14. l. 22 Choer. 279, 15, Hes. s. ψίχες. l. 23 Choer. 279, 19, Hes. ψῖcαι et ψεῖcαι. l. 25 Choer. 279, 26, ψόγεια etiam Hes. l. 27 Hes., E. M. 819, 13 ψύθος· τὸ ψεῦδος. ἐκβολῇ τοῦ ε̄ ψύδος καὶ τροπῇ τοῦ δ̄ εἰς θ̄ ψύθος. l. 28 Choer. 279, 31, unde sumpsit E. Gud. 574, 62; etiam ap. Hes. pro ψυλλίον codicis et ψύλλιον, quod exhibuit Schmidt, ordo requirit ψύλλειον, quod metri causa ap. Orph. Argon. 959 positum esse narrat idem Schmidt. l. 30 Hes., qui etiam ψίττα· ταχέως, E. M. 819, 40 (V). l. 31 Hes. cf. Lob. Rhem. p. 32, qui ex

ψυχεινός: ει.

ψυχραινόμενος: τὸ χραι δίφθογγος.

ψῷζα καὶ ψῴα ἀμφότερα δυςωδίαν cημαίνει.

ψῶμιγξ cφήκωμα. — θῶμιγξ· λεπτὸν cχοινίον.

ψωμίον: ῑ ἡ παράδοcιc.

ψωμίc: ῑ ἡ καταλήγουcα.

ψωφίc: ῑ διὰ τὴν κατάληξιν.

Ω.

ᾠα: ιπαρὰ τὸ οἶc, ὃ cημαίνει τὸ πρόβατον, διαλύcει τοῦ ο καὶ ῑ ὄϊc καὶ ἐπαυξήcει τοῦ ο εἰc ω θηλυκὸν ᾠα, μένει δὲ τὸ ῑ.

ᾠαί: cὺν τῷ ῑ ἡ παράδοcιc, ὅτε cχετλιαcμοῦ ἐcτιν ἐπίρρημα.

ᾦγον: cὺν τῷ ῑ. πρῶτον μὲν ὅτι ἀπὸ τοῦ οἴγω ἐγένετο κατὰ τροπὴν τοῦ ο εἰc ω ὥcπερ οἴχομαι ᾠχόμην, οἰκῶ ᾤκουν· ὁ γὰρ παρατατικὸc πάντοτε μεγεθύνεται κατὰ τὴν ἀρχὴν ἢ χρονικῶc ἢ cυλλαβικῶc. δεύτερον δὲ ὅτι οἱ παρῳχημένοι κατὰ τὴν ἀρχὴν ἢ ἴcα φωνήεντα θέλουcι ἔχειν ὡc αὐλῶ ηὔλουν, αἰcχύνομαι ᾐcχυνόμην, ἢ πλείονα ὡc ἔχω εἶχον, οὐδέποτε δὲ ἐλάττονα. εἰ ἄρα οὖν τὸ οἴγω δύο φωνήεντα ἔχει κατὰ τὴν ἀρχήν, τούτου χάριν καὶ τὸ ᾦγον τὸ ῑ ἔχει, ἵνα cχῇ κατὰ τὴν ἀρχὴν τὰ ἴcα φωνήεντα τῷ ἐνεcτῶτι.

ᾠδεῖον: ει δίφθογγοc, ὡc γράφω γραφεῖον, πέμπω πομπεῖον, ᾄδω ᾠδεῖον.

ᾠδή μετὰ τοῦ ῑ, παρὰ τὸ ᾄδω ἀοιδή καὶ ᾠδή.

ᾠδίc διὰ τοῦ ῑ ὡc δικατάληκτον.

ὦ ἔτα πολῖτα. — ὦ τᾶν· ὦ ἑταῖρε.

ᾦζειν βοᾶν. — ᾦζει ἐπικάθηται et ἐπῴζειν ἐπικαθῆcθαι τοῖc ᾠοῖc i. q. ἐπωάζειν.

Ὠκαλέα πόλιc Βοιωτίαc, ε.

ὠκεῖα: ει δίφθογγοc. ὠκέα γὰρ καὶ ὠκέη.

ᾤκειλεν: ει δίφθογγοc ἐπὶ τοῦ προcωcθῆναι ναῦν.

ὠκυτόκειον: ει δίφθογγοc. καὶ γὰρ ὠκυτοκεύc.

ὠμίc: ῑ.

---

eodem Hes. componit ψίcιc ἀπώλεια i. e. φθίcιc, ψείρω φθείρω, ψινάc i. e. φθινάc, ἐψίcθη ἀπέθανε i. e. ἐφθίcθη. l. 1 Choer. 279, 23. l. 2 Choer. 280, 8. l. 3 E. M. 819, 41, quae cum ῑ scribenda esse significat Hes. proferens ψώϊζοc et ψώϊα. cf. Lob. El. I 441. l. 4 Hes. l. 5 Choer. 279, 21. l. 6 Choer. 279. 28. l. 7 Choer. 279, 10 et 30. l. 9 An. Ox. II 426. Choer. 281, 12: ᾠα τὸ τοῦ χιτῶνοc ἄκρον μετὰ τοῦ ῑ ἡ παράδοcιc. Cf. Etymol. maxime Gudian. Hes. ᾠα et ὦιαι. cf. supra ὄα et Lob. El. I 338 seqq. l. 11 Choer. 281, 1. Cf. Apollon. de adverb. 537, 32 καθάπερ τῷ πόποι τὸ παπαῖ παράκειται καὶ τῷ ὀτοτοῖ τὸ ἀτταταῖ, οὕτω καὶ τῷ ὠοιοί τὸ ὠαιαί, ὅπερ cυναλειφθὲν καὶ ἐν βαρείᾳ τάcει γινόμενον παρ' Αἰολεῦcίν ἐcτιν ᾦαι· διότι καὶ τὸ ῑ πρόcκειται κράcεωc γενομένηc καὶ προcλήψεωc. l. 12 E. M. 820, 14 ex Choerobosco, ut videtur. l. 20 Choer. 280, 27, Hes. l. 22 Choer. 281, 11, Hes., qui habet etiam ᾠιδάν. l. 23 Choer. 281, 10 et 18, Hes. l. 24 Hes. l. 25 Hes. l. 27 St. B. l. 28 Choer. 280, 18. l. 29 Choer. 280, 29, Hes. l. 30 Choer. 280, 26. l. 31 Choer. 281, 19, ubi corrupte ὠμώc.

ᾤμοι: διχῶς· ἐκ τοῦ οἴμοι κατ' ἔκταςιν τοῦ ο̅ εἰς ω̅ ᾤμοι μετὰ τοῦ ι̅. εἰ δὲ ἐγράφετο χωρὶς τοῦ ι̅, γίνεται ἀπὸ τοῦ ὤ ὤμοι.

ὠμφύνειν ἐνδόξους ποιεῖν. — ὀμφύνειν αὔξειν.

ὤνιον: διὰ τοῦ ι̅ ὡς ἐπὶ τοῦ θοίνιον καὶ ἐνθοίνιον.

Ὠξώλων ἔθνος βαρβάρων. — Ξώλων· ἔθνος βαρβάρων.

ᾠόν τὸ τοῦ ὄρνιθος διὰ τοῦ ι̅.

ᾧπερ: ςὺν τῷ ι̅. Cf. ᾧτε.

ὡραῖα καὶ ὡραῖος καὶ ὡραιέςτατος: αι δίφθογγος ὅλα ἡ παράδοςις.

ὤρεια (ὡρεῖα?) φυλακτήρια.

Ὡρείτης: ει. Ὡρεός γάρ.

ὡριαίνεςθαι: α̅ι̅ δίφθογγος ἀπὸ τοῦ ὡραΐζεςθαι.

Ὠρίων διὰ τοῦ ι̅, ἐπειδὴ καὶ Εὐριπίδης ςυνέςτειλεν.

ὡρολογεῖον: ε̅ι̅ δίφθογγος. εἴρηται ὡς καὶ ἡμερολογεῖον.

ὡςεί καὶ οἱονεί διὰ διφθόγγου γράφεται.

Ὡςτιαῖος αι καὶ προπεριςπᾶται. ἔςτι δὲ ἐπὶ ἔθνους.

ὡςτιεῖται: ἀπὸ τοῦ ὠςτίζω, ὃ δηλοῖ τὸ ὠθοῦμαι ὡς τὸ βαδιεῖται καὶ αἰκιεῖται τῇ ει διφθόγγῳ παραλήγεται.

ὠςχοφόριον καὶ ὠςχοφόρια. ἀπὸ περιςπωμένου δέ ἐςτι τὸ ὄνομα· ἣν γὰρ ὀςχοφορῶ. οἴςχη δέ ἐςτι τὰ μετὰ τῶν βοτρύων κλήματα.

ᾧτε χερνῆτις γυνή (M 433) ςὺν τῷ ι̅ ἀντὶ τοῦ ὡςεί τε.

ὠτειλή: ε̅ι̅. ὠτέλλας γὰρ οἱ Αἰολεῖς τὰ τραύματα· Ἀττικοὶ οὐλὴν λέγουςιν.

---

l. 1 Choerob. 281, 16, ubi restant haec tantum ᾤμοι διχῶς ἐκ τοῦ οἴμμοι, reliqua sumpsi ex E. M. 822, 34. Cf. 618, 12 ἔςτιν ὢ ςχετλιαςτικὸν ἐπίρρημα, ὅθεν τὸ ὤμοι, ὅπερ οὐκ ἔχει προςγεγραμμένον τὸ ι̅. Hes. ᾤμοι οἴμοι. Apollonius de adv. 536 scripturam ὤμοι amplexus est. In Ao. Paris. III 336, 7 ᾤμοι παρὰ τὸ οἴμοι cum ι̅ scriptum est. l. 3 Hes. Cf. Lob. Rhem. p. 42. l. 4 Choer. 280, 15. l. 5 Hes. l. 6 Choer. 281, 15. E. M. 822, 39: ᾠόν: δεῖ γινώςκειν, ὅτι τὸ ᾠὸν τὸ ι̅ ἔχει· πρῶτον μὲν ὅτι εὕρηται τὸ ι̅ κατὰ διάςταςιν παρὰ τῇ Σαπφοῖ «φαςὶ δήποτε Λήδαν ὑακίνθινον πεπυκαδμένον εὕρον ὤϊον». δεύτερον δὲ διὰ τὸν χαρακτῆρα. τὰ γὰρ διὰ τοῦ ω̅ο̅ν̅ οὐδέτερα μονογενῆ θέλει ἔχειν τὸ ι̅. πρόςκειται «μονογενῆ» διὰ τὸ ςῶος ζωός. Cf. supra ζῷον. l. 8 Choer. 281, 5, Hes.

l. 9 Hes. Scribitur etiam ὀρεῖον ὄριον ὤριον cf. Schmidt l. 10 Choer. 280, 17 et in E. M. 823, 45 Ὡρείτης ὁ πολίτης παρὰ τὸ Ὡρεός Ὡρεοῦ γίνεται· καὶ τὸ κύριον ὄνομά ἐςτι διὰ διφθόγγου παρὰ τὸ Ὡρεύς Ὡρέως ὡς παρὰ Ἀπολλωνίῳ «Ὡρείτης δ' Ἀμύκοιο» (II 110). τινὰ δὲ τῶν ἀντιγράφων Ὡρείδης ἔχει. Χοιροβοςκός. scripsi pro Ὡρεύς Ὡρέως: Ὡρεός Ὡρεοῦ et addidi Ὡρεύς Ὡρέως coll. E. M. 604, 42 a Lobeckio Proll. 395 emendato. Apud Apollonium testo Schol. ad h. l. Herodianus Ὡρείδης legit: Ὡρείδης δ' Ἀμύκοιο: διὰ τῆς ε̅ι̅ διφθόγγου ἡ παραλήγουςα. οὕτως Ἡρωδιανὸς ἐν τρίτῳ τῆς καθόλου. de gentili cf. Steph. B. s. Ὡρεός et fr. Orth. 43. l. 11 Choer. 281, 7, Hes. ὡριαίνει· ὡραΐζει.

l. 12 Choer. 280, 16 cf. Dict. 286, 1, ubi versus Eurip. Cycl. 213 affertur, et 297, 5, Hes. l. 13 Choer. 280, 22, cf. E. M. 823, 54 (V.). l. 14 Choer. 280, 25 coll. 201, 1. Hes. ὡςεί τε· καθάπερ. l. 15 Choer. 281, 4, ubi est Ὡπιδαῖος, quod ex St. B. 712, 22 in Ὡςτιαῖος mutavi; corruptum est etiam ibid. l. 3 Ὡνηματιαῖος αι ἡ παράδοςις. l. 16 Choer. 280, 23. l. 18 Choer. 280, 12. — pro παρακειμένου scripsi περιςπωμένου, reliqua intacta reliqui, nam ap. Hes. praeter ὤςχη etiam ὄςχη et οἴςχεα, quod ordo pro οἴχεα requirit, leguntur; E. M. 619, 32 οἰςχός habet. l. 20 Choer. 281, 17; ι̅ subscriptum agnoscit Herod. ap. Io. Al. 32, 5 cf. E. M. 825, 23, Ep. Cr. I 446, Eust. 117, 40. E. M. l. l. Cod. V. addit: ζήτει εἰς τὸ ᾧπερ, de quo E. M. 822, 50. Cf. Cathol. 494, 3. l. 21 Choer. 280, 30. Cf. Ahrens de dial. Aeol. p. 58 not. 31. Hes.

ὠφέλεια: ει δίφθογγος ἡ παράδοσις. ποιητικώτερον δὲ διὰ τοῦ ι καὶ παροξύνεται. παρὰ Σοφοκλεῖ δὲ καὶ ει δίφθογγος καὶ προπαροξύνεται ὡς προμήθεια.

ὤφελεν ὤφειλεν.

ὠχραίνεται: αι δίφθογγος ἀντὶ τοῦ ὠχρᾷ (pro ὠχρειά).

ὤψειον ὀπτικῶς εἶχον. εἴρηται δὲ καὶ ὤψεον παρὰ Σώφρονι «ἐγὼ δέ τοι καὶ πάλιν ὤψεον».

l. 1 Choer. 280, 19 cf. can. gen. p. 273, 24; E. M. 826, 2 V., ubi ζήτει εἰς τὸ ἀπώλεια, de qua voce p. 333 Gaisf. l. 4 Hes. l. 5 Choer. 281, 9, Hes. l. 6 Choer. 280, 33 coll. Dict. 528, 2, unde addidi παρὰ Σώφρονι. Hes. ὤψειον.

Bibliotheca Graeca, curant. Fr. Jacobs et Val. Chr. Fr. Rost.

Sophoclis tragoediae. Recensuit et explanavit Eduardus Wunder. Vol. I. Sect. III. Continens Oedipum Coloneum. Editio quarta plurimis locis emendata. [XXXIV u. 160 S.] gr. 8. geh. 18 Ngr.

Schulausgaben griechischer und lateinischer Classiker

mit deutschen Anmerkungen.

Cicero's zweiter Rede gegen C. Verres fünftes Buch. Für den Schulgebrauch herausgegeben von Fr. Richter [140 S.] gr. 8. geh. 10 Ngr.

Homer's Odyssee. Für den Schulgebrauch erklärt von Dr. Karl Fr. Ameis, Professor und Prorector am Gymnasium zu Mühlhausen. Zweiter Band, zweites Heft. Gesang XIX—XXIV. Dritte vielfach berichtigte Auflage. [162 S.] gr. 8. geh. 12 Ngr.

——— ——— Anhang. IV. Heft. Erläuterungen zu Gesang XIX—XXIV. Mit zwei Abbildungen und zwei Registern. [115 S.] gr. 8. geh. 9 Ngr.

Homer's Ilias. Für den Schulgebrauch erklärt von Dr. Karl Fr. Ameis. Erster Band. Erstes Heft. Gesang I—III. gr. 8. [VII u. 128 S.] geh. 9 Ngr.

——— ——— Anhang. I. Heft. Erläuterungen zu Gesang I—III. gr. 8. [92 S.] geh. 7½ Ngr.

Horatius Flaccus, Q., Oden und Epoden. Für den Schulgebrauch erklärt von Dr. K. W. Nauck, Director des Friedrich-Wilhelms-Gymnasiums zu Königsberg in d. N. Sechste Auflage. [XV u. 256 S.] gr. 8. geh. 18 Ngr.

Lysias ausgewählte Reden. Für den Schulgebrauch erklärt von Hermann Frohberger. Zweites Bändchen. gr. 8. [VI u. 188 S.] geh. 15 Ngr.

Ovidii Nasonis, P., metamorphoses. Auswahl für Schulen. Mit erläuternden Anmerkungen und einem mythologisch-geographischen Register versehen von Dr. Johannes Siebelis, Professor am Gymnasium zu Hildburghausen. Zweites Heft. Buch X—XV und das mythologisch-geographische Register enthaltend. Fünfte Auflage. gr. 8. [IV u. 214 S.] geh. 16 Ngr.

Platons ausgewählte Schriften. Für den Schulgebrauch erklärt von Christian Cron und Julius Deuschle. Dritter Theil. A. u. d. T.: Platons Laches. Für den Schulgebrauch erklärt von Dr. Christian Cron, Professor an dem königl. Gymnasium bei St. Anna in Augsburg. Zweite Auflage. gr. 8. [VIII u. 75 S.] geh. 6 Ngr.

Xenophons griechische Geschichte. Für den Schulgebrauch erklärt von Dr. B. Büchsenschütz. Zweites Heft. Buch V—VII. Zweite verbesserte Auflage. gr. 8. geh. 12 Ngr.